α κινος, καὶ πλεονασμῷ τοῦ ¯δ ἀκιδνὸς, ὁ μὴ κινούμενος. η παρὰ τὸ αἰκίζω, αἰκιανὸς, ὁ εὐτελὴς καὶ ἐν αἰκισμοῖς ω ν. Ακικυσ. ὁ ἀνισχυρός. alpha.100᾽Ακκισμοί. προσποιήσεις καὶ ὑποκρίσεις, ἀπὸ᾽Ακκὼ, τινὸς Σαμίας μωρᾶς ου σης. Ακμηνοσ. α γευστος. α κμηνος δόρποιο.᾽Ακμαῖοσ. σφριγῶν· νεανίσκος. Ακμων. παρὰ τὸ κάμνω. ἀκάμων τὶς ω ν, ὁ ἀκαμάτως φέρων.᾽Ακμήτησ. ὁ νέος· ὁ ἀκμάζων, ὁ μὴ κοπιῶν. καὶ ἀκμῆτις. παρὰ τὸ κάμνω, ὁ δεύτερος ἀόριστος ε καμον, ἐξ αὐτοῦ καμὴς, καὶ μετὰ τοῦ στερητικοῦ ¯α ἀκαμὴς καὶ συγκοπῇ ἀκμής.᾽Ακόλαστοσ. ἀκρατὴς, θρασὺς, η ὁ ἀπαίδευτος. παρὰ τὸ μὴ κολάσεως τετυχηκέναι, ο ἐστι παιδείας. ἐπὶ δὲ τοῦ κατωφεροῦς, παρὰ τὸ μὴ κολάσαι τὴν ἐπιθυμίαν. Ακολοσ. ὁ μικρὸς ψωμὸς, ὁ μηκέτι κολούεσθαι δυνάμενος καὶ εἰς μικρὰ τέμνεσθαι.᾽Ακόρητοσ. ὁ ἀνεπιμέλητος, η α πλητος, παρὰ τὸ κόρος. τὸ δὲ κόρος παρὰ τὸ κορῶ, κορέσω, κορήσω, κεκόρηκα, κεκόρημαι, κεκόρησαι, κεκόρηται, κορητὸς καὶ ἀκόρητος.᾽Ακρατοπότησ. ὁ μέθυσος, ὁ τὸν α κρατον οι νον ἀπλήστως πίνων.᾽Ακριβήσ. ὁ νέος. καὶ ἡ δι' ἀναγκαίων γινομένη, καὶ ω ν πᾶσα σπουδαίου ὑπόληψις ε χει. ἀκριβὴς καὶ ὁ βέβαιος. λέγεται γάρ· ἀκριβὴς ζηλωτὴς τῆς τοῦ Μάνεντος δόξης. παρὰ τὸ κρίβω, κριβὴς καὶ ἀκριβής. καὶ γὰρ τὸν ἀκριβῆ οὐδεὶς δύναται λαθεῖν. η παρὰ τὸ α χρι καὶ τὸ βαίνειν, ἀχριβὴς καὶ ἀκριβής. ὁ γὰρ ἀκριβὴς μέχρι καὶ τοῦ μικροῦ καταγίνεται. Ακριτοσ. ὁ ἀδιάκριτος. ου τως Δημοσθένης.᾽Ακρόβελισ. ει δος ἀκοντίου.᾽Ακροβολισμόσ. ἐρεθισμὸς, καὶ τὸ α κρον βάλλειν.᾽Ακρόβολοι. ἀκοντισταὶ, τοξόται. alpha.101᾽Ακρόκομοι. μετρίως κομῶντες, η λίαν. η οἱ τὰ α κρα τῆς κεφαλῆς κομῶντες.᾽Ακρότομος λίθοσ. σκληρὸς, ὑψηλὸς, η ὀξύτατος. Ακρος, τέλειος, εἰς α κρον ἐληλακόσ.᾽Ακρέμων. ὁ κλάδος, ὁ βλαστὸς, παρὰ τὸ α κρον. η παρὰ τὸ κρέμω. ὁ αὐτὸς καὶ κρεμὼν λέγεται.᾽Ακρατήσ. ὁ εἰδὼς τὰ κακὰ, ο τι φαῦλα, καὶ πράττων αὐτὰ δι' ἡδονήν.᾽Ακρόχολοσ. ὁ καθ' ὑπερβολὴν ὀξὺς καὶ πρὸς πᾶν ὀργίλος.᾽Ακροθόριξ. ὁ μέθυσος.᾽Ακραιφνήσ. κυρίως ὁ περιφανὴς, παρὰ τὸ ἀκέραιον καὶ τὸ φαίνω, ἀκεραιοφανής· καὶ κατὰ συγκοπὴν ἀκραιφνὴς, τοῦ ¯ο εἰς ¯α τραπέντος, ὡς ἐπὶ τοῦ μεσοπόλιος μεσαιπόλιος. Ακρητοσ. ὁ α κρατος. ἐκ τοῦ κερῶ, κεράσω· συγκοπῇ κράσω, κρατὴρ καὶ κρητήρ. ἐκ δὲ τοῦ κεράσω, κρατὸς, α κρατος καὶ α κρητος.᾽Ακρατοκώθωνεσ. οἱ νέοι, οἱ πίνοντες τὰ α κρατα ἐκ τῶν κωθώνων.᾽Ακριτόμυθοσ. ὁ πολλὰ λέγων. κρινῶ, κέκρικα, κέκριται τὸ τρίτον τοῦ παθητικοῦ παρακειμένου, καὶ ἐξ αὐτοῦ κριτός· καὶ τὸ μῦθος, ἀκριτόμυθος.᾽Ακταί. οἱ ζωγράφοι.᾽Ακταίωροσ. παρὰ τὸ τὴν ἀκτὴν ὠρεῖν, ο ἐστὶ φυλάσσειν.᾽Ακοινώνητοσ. ὁ ἀκριβής.᾽Ακοίτησ. ὁ ἀνήρ· α κοιτις δὲ ἡ γυνή.᾽Ακύλλιοσ. κύριον. alpha.102 Ακυλοσ. τῆς πρίνου ὁ καρπός. ε κυλος δὲ ει δος βοτάνης. Ακακοι. οἱ ἁπλούστεροι. καὶ ὁ᾽Απόστολος· τὰς καρδίας τῶν ἀκάκων.᾽Ακρήβησ. ὁ ἀκμάζων. ᾽Ακριτόμυθοσ. τὰ εἰς ¯ο¯ς δισύλλαβα ἀναβιβάζουσι τὸν τόνον.᾽Ακάθεκτοσ. ὁ ἀκατάσχετος. η ν γὰρ ἀκάθεκτος ὁρμὴ περὶ αὐτὸν διὰ τὰς τῶν Περσῶν ἐπάρσεις. (Θηλυκόν.)᾽Ακακία. ἡ ἁπλότης, ἡ ἀγαθοσύνη.᾽Ακαλανθίσ. ει δος ὀρνέου, η ἡ κύων, παρὰ τὸ αἰκάλλειν ι σως τοὺς γνωρίμους, ὑλακτεῖν δὲ τοὺς ξένους.᾽Ακαδημία. γυμνάσιον ἐν᾽Αθήναις, ἀπὸ᾽Ακαδή μου τινὸς ὠνομασμένου. λέγεται καὶ ἡ διατριβὴ τῶν φίλων.᾽Ακαλήφη. θαλάσσιον φυτὸν, δῆξιν καὶ κνησμὸν ἐμποιοῦσα. η ἡ χερσαῖα κνίδη. παυσάμενον τῆς δυσκολίας, ἀπὸ τῆς ὀργῆς τὴν ἀκαλήφην ἀφελέσθαι. ἀκαλήφη δὲ ἡ θαλάσσιος, η τις καὶ διὰ τοῦ ¯ι γράφεται, ε στι κογχυλίδιόν τι. ᾽Αριστοφάνης· καὶ τὰς κραναὰς ἀκαλίφας– καὶ Φερεκράτης· βουλοίμην γὰρ κα ν ἀκαλίφαις τὸν ι σον χρόνον ἐστεφανῶσθαι. κατὰ ἀντίφρασιν δὲ ἀκαλήφη, ἡ ε χουσα ἀκαλῆ τὴν ἁφὴν, η ς οὐκ ε στιν ἀκαλῶς, ο ἐστι ἡσύχως, α πτεσθαι· τὰ δὲ διὰ τοῦ ιφη μονογενῆ διὰ τοῦ alpha.103 ¯ι γράφεται, οι ον· Σίφη, ἡ πόλις· ἀκρίφη, ἡ σκάφη. τὸ κνήφη, ἀκαλήφη σεσημείωται.᾽Ακάτειρα. ο νομα πόλεως. Ακαψις. ο νομα πόλεως. ᾽Ακαιή. ῥάβδος θαλασσία. Ακαινα. ῥάβδος. ε στι δὲ μέτρον δεκάπουν, δι' η ς κεντοῦσι τοὺς βόας· ὡς τῶν Πελασγῶν τοῦτο εὑρόντων. Ακανθα. ἀπὸ τοῦ ἀκῇ ἀνθεῖν, ο


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ε στιν ὀξύτητι. ἀκάνθας δὲ ἡ θεῖα γραφὴ τὰς βιωτικὰς λέγει φροντίδας. Ακανθα καὶ ἡ ἁμαρτία. φησὶ γὰρ ὁ Δαβίδ· ἐν τῷ ἐμπαγῆναί μοι α κανθαν.᾿Ακαθαρσία. τὰ ἐκ φυσικῆς ἀνάγκης συμβαίνοντα.᾿Ακερδὴς χάρισ. ἡ μὴ δεόντως διδομένη. η εν α ν φαῦλον τὸ κέρδος. μηδ' α λαστον ἀκερδῆ χάριν, α ν τ' ἰδὼν μετάσχοιμί πως. Ακεσσα. ῾Ρωμαϊκόν τι μηχάνημα, ἐκ δενδροτομίας πρὸς ἐρυμνότητα μετασκευαζόμενον. οἱ δὲ ῾Ρωμαῖοι ξυνέθεσαν τὴν λεγομένην α κεσσαν τῇ῾Ρωμαίων φωνῇ· δενδροτομήσαντες γὰρ ἀλλεπάλληλα στελέχη καὶ τῇ συνθήκῃ καταστορέσαντες, ἀπετείχισαν, ὡς ἐνῆν, τὴν ἐνθένδε πορείαν τῆς πόλεως. Ακη. πόλις Φοινίκης, ἡ νῦν λεγομένη Πτολεμαΐς. ᾿Ακή. παρὰ τὸ η κω γίνεται ἀκὴ, ο σημαίνει τὴν ὀξύτητα. ἡ ἀκμὴ καὶ ἡ ὀξύτης τοῦ σιδήρου. alpha.104᾿Ακηδία. ῥαθυμία, λύπη, ἀχθηδών. Δαβίδ· καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμα μοῦ.᾿Ακιδαλία. ο νομα κρήνης.᾿Ακινησία. ἠρεμία. καὶ τοὺς ι ππους ἐξελαύνειν προσέταξεν, ὡς διαύοιτο αὐτοῖς τὸ ὑπὸ τοῦ παράπλου νεναρκηκὸς ὑπὸ ἀκινησίας.᾿Ακίνασισ. ο νομα τόπου.᾿Ακηδία. πάρεσις. ψυχῆς· νοὸς ε κλυσις.᾿Ακίσ. ἡ ὀξύτης τοῦ βέλους. Ακατοσ. τὸ πλοῖον. παρὰ τὸ α ζω, α ξω, η χα, η χμαι, η κται, ἀκτὸς, καὶ πλεονασμῷ τοῦ ¯α α κατος. η ἀπὸ τοῦ ἀκτὴ γίνεται α κατος, ἡ ἀπ' ἀκτῆς εἰς ἀκτὴν περιερχομένη, ὡς καὶ πορθμὴ λέγεται, ἡ μὴ πελαγοδρομοῦσα. λέγεται καὶ ἐπακτὶς καὶ πορθμὶς καὶ κάραβος, καὶ ἀκάτιον ὑποκοριστικῶς.᾿Ακληρία. δυστυχία. Ακνηστισ. ἡ ῥάχις· παρὰ τὸ μὴ δύνασθαί τινα κνήσασθαι αὐτὴν τῇ ἰδίᾳ χειρί.᾿Ακόνη. παρὰ τὸ κονῶ τὸ ἐνεργῶ, η κονῶ τὸ λεπτύνω καὶ φθείρω, ἐπιτάσει τοῦ ¯α, ἡ διαφθείρουσα καὶ λεπτύνουσα τὸν σίδηρον. Ακοιτισ. ἡ ἐκ παρθενίας α λλης κοίτης μὴ πειρασθεῖσα· καὶ ἡ ὁμόκοιτος. καταχρηστικῶς καὶ ἡ δευτέρου γάμου μετεσχηκυῖα. ᾿Ακίσ. ἡ ὀξύτης, παρὰ τὸ ἀκή. ο κατ' ἐπένθεσιν γίνεται ἀκμή. παρὰ τὸ ἀκὴ ου ν γίνεται alpha.105 ὑποκοριστικὸν ἀκὶς, ὡς σκάφη σκαφὶς, α μνη ἀμνίς.᾿Ακμή. παρὰ τὸ κάμω γέγονεν ἐν συγκοπῇ κμῶ, καὶ μετὰ τοῦ στερητικοῦ ¯α ἀκμὴ, ἡ μὴ κάμνουσα διὰ νεότητα, η ἡ μὴ δυναμένη πόνους ὑποστῆναι. Ακρα. τελεία. η κε παρὰ βασιλέως παῖς Αὐγάρου, καλὸς καὶ μέγας, ἐν ω ρᾳ α κρᾳ. Ακραν ἐπὶ γύαλον. ἐπ' α κραν πέτραν. Ακρας νυκτός. περὶ πρῶτον υ πνον.᾿Ακρασίασ. ἀνωμαλίας, παρὰ τὸ μὴ συγκεκρᾶσθαι.᾿Ιώσηπος· οἱ δὲ῾Ρωμαῖοι διὰ χειρῶν ἀκρασίας ἁλίσκονται. ἀκρασία καὶ ἀκολασία διαφέρει· ἡ μὲν γὰρ κατὰ προαίρεσιν πράττεται τὰ αἰσχρὰ, η τοι ἡ ἀκολασία· ἡ δὲ παρὰ προαίρεσιν. λέγεται δὲ καὶ ἀκράσιος· ου τω τε εἰς πᾶσαν ἀκράσιον ἐκπεπτωκυῖα τρίβον. η ἀκρασία ἐστὶν ε ξις βιαστικὴ παρὰ τὸν ὀρθὸν λογισμὸν πρὸς τὰ δοκοῦντα ἡδέα ει ναι. κατὰ τὸν ἐν θεολογίᾳ Γρηγόριον τὸ περιττὸν καὶ ὑπὲρ τὴν χρείαν.᾿Ακήλητον. α θελκτον· ἀπηνὲς καὶ τὸ ἀκίνητον τοῦ θυμοῦ. ε θελξε λύρα η τὸν ἀκήλητον θυμόν.᾿Ακίχητα. τὰ μὴ καταλαμβανόμενα. θηλυκόν. ᾿Ακράγαντοσ. πόλις Σικελίας, ἀπὸ ποταμοῦ παραρέοντος. φησὶ γὰρ Δοῦρις, ο τι αἱ πλεῖσται τῶν Σικελικῶν πόλεων ἐκ τῶν ποταμῶν ὀνομάζονται. οἱ δὲ ἀπὸ τοῦ ᾿Ακράγαντος Διὸς alpha.106 καὶ᾿Αστερόπης τῆς᾿Ωκεανοῦ. τὸ ἐθνικὸν᾿Ακραγαντῖνος. ᾿Ακρησία. ἡ ἀκρασία. ἀκρισία δὲ ἡ ἀδιακρισία καὶ ἡ κακὴ κρίσις, ¯ι. καὶ Λιβάνιος· οὐκοῦν ἀκρισία μὲν ἐν ἀμφοῖν· ε χει δέ τινα τοὐμὸν φιλανθρωπίαν.᾿Ακρίσ. παρὰ τὸ κάρη καρὶς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀκαρίς. οἱ δὲ παρὰ τὸ τὰ α κρα τῶν ἀσταχύων καὶ φυτῶν νέμεσθαι.᾿Ακρίσ. βοτάνη τις ου τω καλουμένη. καὶ Σολομῶν ἡμᾶς διδάσκει λέγων· ἀνθήσει τὸ ἀμύγδαλον καὶ παχυνθήσεται ἡ ἀκρίς. ταύτην οι μαι καὶ τὸν βαπτιστὴν᾿Ιωάννην καὶ πρόδρομον ἐν τῇ ἐρήμῳ ἐσθίειν.᾿Ακρίασ. τὰς ἀκρωρείας, ἀπὸ τοῦ α κρις, α κριος. τὸ δὲ α κρις, ἀπὸ τοῦ α κρα. α κρις βαρυτόνως.᾿Ακρολοφία. ἡ κορυφὴ τοῦ λόφου, τοῦτ' ἐστὶ τοῦ βουνοῦ.᾿Ακρόνυξ. τὸ α κρον τῆς νυκτὸς, καὶ ἀκρονυχία. ἀκρώνυξ δὲ καὶ ἀκρωνυχία, τὸ α κρον τοῦ ο νυχος καὶ τοῦ ο ρους διὰ τοῦ ω μεγάλου γράφεται.᾿Ακρόπολισ. καρόπολίς τις ου σα. ἡ κεφαλὴ τῆς πόλεως. ᾿Ακρόπολισ. πόλις Λιβύης. ὁ πολίτης᾿Ακροπολίτης. δύναται δὲ καὶ᾿Ακροπολιεὺς, ὡς Τετραπολιεύς. ᾿Ακροπόλοισιν. ἐπὶ οὐδετέρου, ω ν τὰ α κρα καὶ αἱ κορυφαὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περιπολοῦνται καὶ κινοῦνται, ὡς οι μαι. alpha.107 ̓Ακροχορδῶνεσ. αἱ ἐν τῷ προσώπῳ ἐλαῖαι. οι μαι δὲ, ο τι ἀρσενικὸν ἐστί· θέλει γὰρ ει ναι ὁ ἀκροχορδών. ̓Ακρώρεια. ἡ κορυφὴ τοῦ ο ρους η α κρον ο ρους, ἐν ῳ οἱ οἰκοῦντες ἀκρωρεῖται. ὑπώρεια δὲ τὰ πλευρὰ τοῦ ο ρους.̓ Ακταίη. ἡ παραθαλασσία. δῶρα παρ' ἀκταίης σοὶ τάδ' ἐπωφελίης. ἐν ἐπιγραφῇ τοῦτο ἑώρων.̓ Ακροβυστία. τὸ κεκαλυμμένον.̓ Ακτή. ὁ αἰγιαλὸς, ὁ πετρώδης καὶ ἀγχιβαθής. παρὰ τὸ κατάγνυσθαι καὶ κλᾶσθαι ἐν αὐτῇ τὰ κύματα.̓ Ακτίσ. παρὰ τὸ α γω, α ξω, η χα, η χμαι γέγονεν ἀκτίς· οἱονεὶ ἡ πανταχοῦ φερομένη καὶ συστρεφομένη. ἡ γὰρ ἀκτὶς τοῦ ἡλίου πάνυ ἐστὶν ἐκτεταμένη. η ἀπὸ τοῦ ἀΐσσω, ἀΐξω, η ϊχα, η ϊγμαι, η ϊκται, ἀκτὶς, ἡ ου σα ὁρμητική.̓ Ακυληΐα. ἡ Σικελία, η πόλις̓ Ιταλίας πολυάνθρωπος, προκειμένη ἐν θαλάσσῃ. καὶ̓ Ακυλήσιοι.̓ Ακυλία. ἡ Βενετία η Σικελία. Ακυθοσ. ἡ α γονος. Καλλίμαχος· –οὐδ' ἀγάλακτες ο ϊες, οὐδ' α κυθοι, πᾶσαι δέ κεν ει εν υ παρνοι. παρὰ τὸ κύω α κυος, καὶ πλεονασμῷ τοῦ θ α κυθος. ὡς λύω, λυτὸς, α λυτος· καὶ ω ρται, ὀρτὸς, καὶ ὀρθός. η παρὰ τὸ κεύθω, τὸ κρύπτω, α κυθος. τὰ δὲ διὰ τοῦ ¯υ¯θ¯ο¯ς ὑπὲρ δύο συλλαalpha.108 βὰς, διὰ τοῦ ¯υ γράφονται. οι ον, α κυθος· Μικύθος, κύριον· παμμάκυθος, ὁ μωρός. ου τω Θεόγνωστος.̓ Ακωκή. ἡ ὀξύτης. παρὰ τὸ ἀκὴ γίνεται κατὰ ἀναδιπλασιασμὸν ἀκωκή. τὰ γὰρ ε χοντα ἐν τῇ πρώτῃ καὶ ἐν τῇ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, διὰ τοῦ ω μεγάλου γράφεται, οι ον· ε δω, ἐδὴ, ἐδωδὴ, α γω, ἀγὴ καὶ ἀγωγή. ου τως ου ν ἀκὴ καὶ ἀκωκή. Ακυτοσ. νῆσος. παρὰ τὴν Κυδωνίαν Κρήτης. ὁ νησιώτης ̓Ακύτιος. ̓Ακόνιτον. Εὐφορίων λέγει τὴν βοτάνην, η ν οὐδεὶς δύναται κονίσαι, ο ε στι νικῆσαι· δηλητηριώδης γὰρ ἐστίν.̓ Ακκώ. ο νομα γυναικὸς Σαμίας ἐπὶ μωρίας διαβαλλομένης. ̓Ακίνητος σφραγίσ. ὁ υἱὸς, κατὰ τὸ α τρεπτον καὶ ἀναλλοίωτον. ῥηθήσεται δὲ καὶ κινουμένη, κατὰ τὸ μὴ ει ναι α ψυχος, ἀλλὰ ζῶσα. ἀπὸ τοῦ εὐαγγελίου δὲ σφραγὶς ἐλήφθη· τοῦτον γὰρ, φησὶν ὁ πατὴρ, ἐσφράγισεν ὁ θεός. (Οὐδέτερον.)̓ Ακακήσιον. ο νομα ο ρους. ̓Ακάραντον. ἀπλήρωτον. παρὰ τὸ κραίνω· τοῦτο παρὰ τὸ κάρα, καραίνω, καὶ συγκοπῇ κραίνω. πλεονασμὸς δὲ τοῦ ¯α ποιητικῶς. ̓Ακάματον. ἀκοπίαστον, παρὰ τὸ κάμνω. ε στι καὶ ἀκάματον παρὰ τὸ κάμω, κάματος καὶ ἀκάματον. alpha.109̓ Ακαριαῖον. τὸ ὀλίγον, τὸ βραχὺ, τὸ λεπτότατον.̓ Ακατάλληλον. τὸ ἀνάρμοστον. ̓Ακαπήλευτον. α δολον, καθαρόν· ἀραδιούργητον. ̓Ακαθοσίωτον. α νομον, ἀπόβλητον, ἀκόσμητον.̓ Ακάτιον. τὸ μικρὸν πλοῖον.̓ Ακάματον. τὸ πολὺ καὶ α σβεστον. ἀκάματον πῦρ.̓ Ακατέργαστον. ἀμόρφωτον, ἀδιατύπωτον.̓ Ακενόσπουδον. παρὰ Διογνήτου ε μαθον τὸ ἀκενόσπουδον καὶ τὸ ἀπιστητικόν· φησὶ Μάρκος ὁ φιλόσοφος βασιλεύς.̓ Ακέραιον. α κακον· ὁλόκληρον.̓ Ακεσίπονον. τὸ θεραπευτικόν. ̓Ακήματα. θεραπείας. παρὰ τὸ ἀκῶ, ἀκέσω, ὡς νεμῶ, νεμέσω· ἐντεῦθεν ἀκεστὴς, ἀκέστρια καὶ ἀνήκεστος. ̓Ακήλητον. α θελκτον, ἀπηνὲς, καὶ τὸ ἀκόνητον. καὶ τὸ ἀκήλητον θυμοῦ ε θελξε λύρα. η τὸν ἀκήλητον θυμόν. ̓Ακίχητα. μὴ καταλαμβανόμενα. ἀπὸ τοῦ κιχῶ ἀκίχητα· τοῦτο παρὰ τὸ κίω, τὸ πορεύομαι. ̓Ακήριον. ἀσθενὲς, νεκροποιὸν, παρὰ τὸ κῆρ, ο σημαίνει τὴν θανατηφόρον μοῖραν. ̓Ακινάγματα. τὰ μετὰ ῥυθμοῦ κινάγματα τῶν ποδῶν καὶ τῶν χειρῶν. alpha.110 ̓Ακήρατον. α φθαρτον, αἰώνιον.̓ Ακίβδηλον. καθαρὸν, οὐ νόθον. ο θεν δὲ ἡ λέξις, ἡ ἱστορία δηλώσει. οἱ̓ Αθηναῖοι, τῷ μίσει πρὸς τοὺς ἐν Χίῳ, τὸ ¯χ χαράττοντες ἐν τοῖς ἀδοκίμοις ἑαυτῶν νομίσμασιν, ἐκάλουν χίβδηλα, ει τα πρὸς τὸ εὐφωνότερον μετέβαλον τὸ ¯χ εἰς ¯κ.̓ Ακλεέσ. τὸ α δοξον.̓ Ακληρήμασι. συμφοραῖς, δυστυχίαις. διὰ τοῦτο δοκεῖ μοι μάλιστα ἐμπεσεῖν τοῖς ἀκληρήμασιν. Ακομψον. εὐτελὲς, ἀπάνουργον. ἀρχὴ δέ τις αυ τη παρὰ ̔Ρωμαίοις οὐκ α κομψος. ̓Ακόνιτον. ει δος βοτάνης δηλητηριώδους. ἀλλὰ πιὼν ἀκόνιτον, ὑπέκφυγε τοῦτ' ἀκονιτί. ο ἐστι χωρὶς κόπου. καὶ ἐπὶ θηλυκοῦ, ἀκόνιτον. Ακοσ. ἡ θεραπεία.̓ Ακουσίθεον. τὸ εἰς θεοῦ ἀκοὰς ἐρχόμενον. η ν δέ μ' ἀνάψας ευ χηται, λάμψω φέγγος ἀκουσίθεον. ̓Ακούμβιτα. στρωμναὶ μαλακαὶ εἰς υ ψος ἠρμέναι· αυ ται δὲ τρυφῆς καὶ βλακείας εἰσίν. ἡ λέξις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

῾Ρωμαϊκή· ἀκούμβω γὰρ παρὰ ῾Ρωμαίοις τὸ ἀναπίπτω.᾿Ακούσια. τὰ ὑφ' ἡμῶν γινόμενα, τινὸς ε ξωθεν ἀναγκάζοντος. alpha.111᾿Ακρακόρυμβα. τὰ ἀκροστόλια τῶν νηῶν, τὰ ἐξέχοντα κατὰ πρύμναν η πρώραν, ἐν οι ς τὰ σεβόμενα ἐνέγραφον.᾿Ακράτιστα. ε μβρωμα.᾿Ακράδαντον. α σειστον. καὶ γίνεται ἀπὸ τοῦ ¯α στερητικοῦ μορίου, καὶ τοῦ κραδαίνω, τὸ σείω.᾿Ακραιφνέσ. καθαρὸν, λαμπρὸν, διαυγὲς, τέλειον, ὑψηλόν. ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ α κρως φαίνειν.᾿Ακριτόφυλλον. σύμφυτον πολλοῖς δένδροις, ω στε μὴ διακρίναι αὐτῶν τὰ φύλλα, α φέρει.᾿Ακρόλιον. ἀπαρχὴ, ω σπερ πρωτόλιον. ο σα η ν θεοῖς ἀναθήματα καὶ ἀκρόλια. Ακρον ἐπιλίγδην. μεσότητος ἐπίῤῥημα, ἀντὶ τοῦ ἐπιψαύδην, ο σον ἐπιψαῦσαι μόνον. α κρον σημαίνει καὶ τὸ πέρας, καὶ τὸ ἐξέχον, καὶ τὸ α χρι, καὶ τὸ ο ν. α χρον καὶ α κρον. η α ρχον τι ο ν. η παρὰ τὸ ἀκὴν, α κερον, καὶ ἐν συγκοκῇ α κρον.᾿Ακροθίνια. αἱ ἀπαρχαὶ τῶν θινῶν η τοι τῶν σωρῶν· λέγεται δὲ καταχρηστικῶς καὶ πᾶσα ἀπαρχή.᾿Ακροστόλιον. τὸ α θλαστον ξύλον, τὸ ἐξέχον ἀπὸ τῆς πρύμνης, καὶ διῆκον μέχρι τῆς πρώρας ξύλον, στόλος γὰρ λέγεται τὸ ἐξέχον ἀπὸ τῆς πρύμνης καὶ διῆκον τῆς πρώρας ξύλον, ε νθα τὸ τῆς νεὼς ἐπιγράφεται ο νομα.᾿Ακραγγέσ. ἀσθενές.᾿Ακρόχολον. χαλεπόν. alpha.112 Ακραντον. ἀπλήρωτον. καὶ γίνεται ἀπὸ τοῦ ¯α στερητικοῦ μορίου, καὶ τοῦ κραίνω τὸ τελειῶ.᾿Ακροσφαλέσ. ἑτοιμόπτωτον.᾿Ακροφύσια. τὰ ἀκροστόμια τῶν ἀσκῶν.᾿Ακρωλένιον. τὸ τῆς χειρὸς α κρον. Ακτιστον. τὸ θεῖον. Ακυθον. τὸ α γονον καὶ τὸ α γρυπνον. ω σπερ γέγραπται ἐν τοῖς θηλυκοῖς.᾿Ακωδώνιστον. ἀπείραστον, ἀβασάνιστον.᾿Ακροθινίων. σκύλων, λαφύρων. ὁ᾿Απόστολος· ᾧ καὶ δεκάτην᾿Αβραὰμ ε δωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης.᾿Ακιώτατον. τὸ ἀσηπτότατον.῾Ησίοδος· δάφνης η πτελέας ἀκιώτατοι ἱστοβοῆες. (῾Ρῆμα.)᾿Ακαχείατο. ἐλυποῦντο.᾿Ακαχίζεο. λυποῦ. καὶ ἀκαχήμενον οὐδέτερον ὁμοίως. ἀπὸ τοῦ α χος, ἀχῶ, ἀχίζω, καὶ ἀκαχίζω.᾿Ακαχμένον. ἠκονημένον, ὀξύτητα ε χον. ἀπὸ τοῦ ἀκὴ γίνεται ἀκάζω, σημαίνει τὸ ἀκονῶ, ὁ μέλλων ἀκάσω, η κακα, η κασμαι, ἠκασμένον καὶ τροπῇ τοῦ ¯ς εἰς χ ἠκαχμένον. ἰστέον, ο τι μόνη ἡ τοῦ παρακειμένου μετοχὴ ἀεὶ παροξύνεται, τῶν α λλων πασῶν προπαροξυνομένων. οι ον τυπτόμενος, τυφθησόμενος. δεῖ προσθεῖναι, χωρὶς εἰ μὴ πάθωσιν. ἐὰν γὰρ πάθωσιν αἱ εἰς ¯μ¯ε¯ν¯ο¯ς μετοχαὶ παρακειμένου, μὴ ου σαι ὑπὲρ δύο συλλαβὰς, ἀναβιβάζουσι, τουτέστι προπαροξύνονται. οι ον η δω, η σμαι, ἡσμένος καὶ alpha.113 α σμενος. καὶ πάλιν δεδεγμένος, δέγμενος. πρόσκειται, μὴ ου σαι ὑπὲρ τρεῖς συλλαβὰς, ἐπειδὴ ἐὰν ω σιν ὑπὲρ τρεῖς συλλαβὰς καὶ πάθωσι, τὸν αὐτὸν τόνον φυλάττουσιν. οι ον, ἀκάχω, ἀκαχήσω, ἠκάχηκα, η καχμαι, ἠκαχμένος, ἀκαχμένος. τὸ γὰρ οὐτάμενος, καὶ ἐληλαμένος, ὁ ῾Ηρωδιανὸς οὐ δοξάζει κατὰ πάθος, ἀπὸ τοῦ οὐτασμένος καὶ ἐληλαμένος· ἐπειδὴ ὡς ο ντα ὑπὲρ τρεῖς συλλαβὰς, ω φειλε τὸν αὐτὸν τόνον φυλάττειν· ἀλλ' ἀπὸ τῶν εἰς ¯μ¯ι λέγονται αὐτά· ἀπὸ τοῦ ου τημι, καὶ ἐλήλαμαι, ι να ω σιν ἐνεστῶτες καὶ παρατατικοί· ὡς τὸ, ι στημι, ι σταμαι, καὶ ἱστάμενος.᾿Ακαχείατο. ἐλυποῦντο. ἀπὸ τοῦ ἀκαχῶ, ἀκαχήσω, ἠκάχημαι. ὁ ὑπερσυντελικὸς, ἠκαχήμην. καὶ ἰωνικῶς ἀκαχείατο.᾿Ακαχήμενοσ. λυπούμενος. οὐκ ε στι παρακείμενος· ἐπεὶ ω φειλε παροξύνεσθαι, ὡς τὸ, πεποιημένος· ἀλλ' ε στιν ἀπὸ τοῦ ἀκάχω, ἀκάχημι ἐνεστῶτος, ὁ παθητικὸς ἀκάχημαι. οἱ Αἰολεῖς δὲ τὴν παραλήγουσαν οὐ συστέλλουσι. καὶ ἡ μετοχὴ ἀκαχήμενος.᾿Ακαχείατο. ἐλυπήθη.᾿Ακέων. ἀντὶ τοῦ ἐφ' ἡσυχίας. Ομηρος· ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι--.᾿Ακεῖσθαι. θεραπεύειν.᾿Ακήδεσεν. οὐκ ἐφρόντισεν.᾿Ακέων. ἡσυχάζων. παρὰ τὸ μὴ χαίνειν γίνεται ἀχὴν καὶ ἀκὴν καὶ ἐξ αὐτοῦ ἀκέων. η παρὰ τὸ κέω τὸ κοιμῶμαι, ἀκέων ἐπιτάσει τοῦ ¯α.᾿Ακεύμενον. τὸ τεθεραπευμένον. καὶ ἀκῶ τὸ θεραπεύω, ἡ μετοχὴ ἀκεόμενος, καὶ κράσει δωalpha.114 ρικῇ τοῦ ¯ε καὶ ¯ο εἰς τὴν ¯ε¯υ δίφθογγον, ἀκεύμενον.᾿Ακηχέδαται. λυποῦνται. παρὰ τὸ ἀχῶ ἀχάζω, ὡς ἀνιῶ ἀνιάζω, η χακα, η χαδα ὁ μέσος, παθητικὸς η χασμαι, η χασται. καὶ ἰωνικῶς ἠχάδαται. καὶ μετὰ ἀναδιπλασιασμοῦ ἀττικοῦ καὶ τροπῇ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

¯α εἰς ¯η ἀκηχέδαται.᾿Ακινητίζω. ἐπιθυμῶ μὴ κινεῖσθαι.᾿Ακκίζεται. ε τι τῆς υ βρεως ε χεται· η ἐπαίρεται, γυναικίζεται, θρύπτεται, μωραίνει. ει ρηται δὲ ἀπὸ Σαμίας τινὸς γυναικὸς μωρᾶς, η ς ο νομα ᾿Ακκώ. ᾿Ακμάζει. νεάζει, τὰ νέων πράττει. ου τως ῾Υπερίδης καὶ Λυσίας. ᾿Ακληρεῖ. οὐ μετέχει, οὐ κεκλήρωται. ᾿Ακληρούντων. δυστυχούντων. συμπάσχοντες τῇ τῶν ἀκληρούντων ὑπερωδυνίᾳ.᾿Ακολασταίνω. τὸ μωραίνω. λέγεται καὶ ἐπὶ τοῦ ἀκρατοῦς καὶ ὑβριστοῦ καὶ ἐπὶ τοῦ ἀξίου κολάσεως. ᾿Ακουάζεσθε. παρ῾ Ομήρῳ· ἀντὶ τοῦ αἰσθάνεσθε, ἐπεὶ ἡ ἀκοὴ ὁδὸς ἐστὶ τῆς αἰσθήσεως. ᾿Ακουτίσαι. διδάξαι.᾿Ακοστήσασ. κριθιάσας, σταυλίσας.᾿Ακρατίζω. τὸ α κρατον πίνω. καὶ ἀκρατισαμένη ἡσυχίαν η γεν, ἀκράτου σπάσασα.᾿Ακούμβω. τὸ ἀναπίπτω παρὰ ῾Ρωμαίοις· ο θεν καὶ ἀκούμβιτα. ᾿Ακριβωθήσεται. ἀκριβῶς μελετηθήσεται. ᾿Αριστοφάνης· οὐδ' α ν προβαίη τὸν πόδα τὸν ε τερον, εἰ μὴ ταῦτ' ἀκριβωθήσεται. alpha.115 ᾿Ακριτομυθεῖν. πολυλογεῖν. ᾿Ακροβολίζειν. τοξεύειν, ἀκοντίζειν. ᾿Ακροᾶσθαι. ὑπακούειν. ου τως᾿Αντιφῶν.᾿Ακολουθεῖ. παρὰ τὸ κόλλη καὶ τὸ θέω τὸ τρέχω· η ἐκ τοῦ ἐλεύθω, ε λευθα, ἐξ αὐτοῦ ἀκολουθεῖ.᾿Ακροκελαινιόων. τὸ α κρον τοῦ κύματος μελαίνων.᾿Ακρωτηριάζω. τὰ α κρα τέμνω.᾿Ακτάζων. ἐξανιστάμενος. ᾿Ακταίνειν. γαυριᾷν, ἀκολασταίνειν καὶ ἀτάκτως πηδᾷν.᾿Ακροῶ. παρὰ τὸ ἀκούω. ω σπερ κύρω, κυρῶ, καὶ πλεονασμῷ τοῦ ¯ρ ἀκροῶ.᾿Ακαχίζω. ἀπὸ τοῦ α χος, ἀχῶ, ἀχίζω καὶ ἀκαχίζω. παρὰ τὸ τὴν α γην, ο σημαίνει τὴν ε κπληξιν. ἡ γὰρ ε κπληξις ἀφωνίας οι δε ποιεῖν. κατὰ τροπὴν τοῦ ¯γ εἰς ¯κ. (᾿Επίῤῥημα.)᾿Ακάματα. ἀντὶ τοῦ ἀκαμάτως καὶ ἀδιαλείπτως, η οὐ κεκμηκότως. Σοφοκλῆς· –ο ν ἐγώγ' ἀκάματα προσμένουσ' α τεκνος τάλαινα–.᾿Ακαρῶς· ἀκαρεῖ. ἐν βραχείᾳ ω ρᾳ, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν στιγμῇ.᾿Ακαταλλήλωσ. ἀναρμοδίως.᾿Ακαταλήκτωσ. ἀκαταπαύστως. Ακαρ. ἀντὶ τοῦ μικρὸν η οὐδέν.᾿Ακηδῶσ. ἀντὶ τοῦ ἀτάφως. ἐριμμένον ἀκηδῶς καὶ ὀλιγώρως τὸν τεθνεῶτα παρελθεῖν οὐκ ἐτόλμησεν, ἀλλ' ε θαψεν. alpha.116᾿Ακῆν. ἐπὶ α κρας ἡσυχίας. ᾿Ακινδυνί. καὶ ἀκινδυνότατα. χωρὶς κινδύνου. ᾿Ακηράτωσ. αἰωνίως, ἀφθάρτως.᾿Ακλαυστί. χωρὶς κλαυθμοῦ.᾿Ακληρεί. χωρὶς κλήρου.᾿Ακλητί. χωρὶς κλήσεως.᾿Ακμητί. ἀκόπως.᾿Ακοντί. ἀντὶ τοῦ ἀκουσίως.᾿Ακονιτί. α νευ ἀγῶνος καὶ μάχης. ἀπὸ τοῦ κόνης, κόνιτος καὶ ἀκονιτί.᾿Ακριτί. α νευ κρίσεως.᾿Ακροποδιτί. α κροις ποσίν. Ακρυ. ἀληθῶς. ᾿Ακυμάντωσ. ἀταράχως. καὶ γίνεται ἀπὸ τοῦ ¯α στερητικοῦ μορίου καὶ τοῦ κυμαίνω τὸ ταράσσω. Τὸ Α μετὰ τοῦ Λ. (᾿Αρσενικόν.) ᾿Αλαόσ. ὁ τυφλὸς η ὁ πλανώμενος. Ομηρος· ἀσπαίροντα λάων. ἀντὶ τοῦ βλέπων. η παρὰ τὸ ἀλῶ, τὸ πλανῶ, ἀλαὸς ὁ πλανώμενος. Αλαστε. ἀνεπίληστε. τέκνον ἐμὸν α λαστον–––. ᾿Αλαπαδνόσ. ὁ ἀσθενής· παρὰ τὸ ἀλαπάζω, ο σημαίνει τὸ ἐκκενῶ. ᾿Αλάστωρ. ὁ πικρὸς καὶ φονικὸς δαίμων. ὁ δὲ ἀνέγραψε πικρῶς καὶ παραστατικῶς, ἀλάστορας ἀποκαλῶν καὶ παλαιμναίους διὰ τῆς ἐπιalpha.117 στολῆς. η ἀλάστωρ ὁ α ξιος ἐλαύνεσθαι διὰ φόνον. η ἀπὸ τοῦ ἀλᾶσθαι, τοῦ πλανᾶσθαι. ᾿Αλαλαγμόσ. υ μνος ἐπινίκιος. η ἀλαλαγμός ἐστι φωνή τις α ναρθρος σύμφωνος, ἀλλήλοις τῶν ἐν πολέμοις συνασπιζόντων καὶ συνυπηχούντων. παρὰ τὸ τὴν ἀλαλὰν, ο σημαίνει τὸν θόρυβον, γίνεται ἀλαλάζω, καὶ ἐξ αὐτοῦ ἀλαλαγμὸς καὶ ἀλάλαγμα. Αλα. ἡ θάλασσα. ἡ εὐθεῖα ὁ α λς, τοῦ ἁλὸς, τῷ ἁλὶ, τὸν α λα.᾿Αλαζών. ὁ ἀπατεὼν, η κομπαστής· παρὰ τὸ ἐν α λῃ καὶ πλάνῃ ζῆν. η ὁ ἐκ τοῦ ἀλᾷν ζῶν, οὐκ ἐξ ἐπιτηδευμάτων, ἀλλ' ἐξ ἀπάτης. ᾿Αλαλητόσ. ὁ θόρυβος. ᾿Αλλάντοσ. ει δος ἐντέρου ἐσκευασμένου. καὶ ἀλλαντοπώλης ὁ ἐντεροπράτης. ἡ εὐθεῖα ὁ ἀλὰς, τοῦ ἀλαντός.᾿Αλβανοί. ο νομα ε θνους Γαλατῶν. τούτων φασὶ τὴν γῆν εὐδαίμονα καὶ καρποὺς ἐνεγκεῖν ου σαν ἀγαθὴν, οι νον πολὺν καὶ ἡδὺν ε χουσαν.᾿Αλγεινόσ. ὁ ἀλγεινόεις, ὁ λυπηρός. ᾿Αλαιεύσ. ο νομα δήμου.᾿Αλαινήσ. ὁ μαινόμενος.᾿Αλεεινόσ. θερινὸς, θερμός. ου τως Ξενοφῶν.᾿Αλεκινόσ. δυνατός. Αλεκτροσ. ἀκοίμητος.᾿Αλεξιτῆρα. βοηθὸν, σωτῆρα. ᾿Αλεξιβέλεμνον. τὸν τὰ βέλη ἀπερύκοντα. ἐν ἐπιγραφῇ· alpha.118 καὶ τὸν ἀλεξιβέλεμνον ἀπὸ στέρνοιο χιτῶνα. ᾿Αλεξίκακε. καθαρτικὲ τῆς κακίας, η



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποτρόπαιε· ὁ τὰ δεινὰ καθείργων. η ἀλεξίκακος ὁ σωτὴρ καὶ βοηθός.᾽Αλετρίβανοσ. οἱ μὲν δασέως παρὰ τὰς α λας τρίβειν, οἱ δὲ ψιλῶς παρὰ τὸ ἀλεῖν, τὸ ἀλήθειν. ᾽Αλείπτησ. ὁ πρὸς τοὺς ἀγῶνας ἐπασκῶν, καὶ ὁ ἀγωνοθέτης. φησὶ καὶ ὁ θεόλογος Γρηγόριος· ἀλεῖπται τῆς ἀρετῆς. γίνεται δὲ ἀπὸ τοῦ ἀλείφω. ο σα ὀνόματα ἀπὸ τοῦ ἀλείφω γινόμενα εἰ μὲν διὰ τοῦ ¯π¯τ ἐκφέρονται, φυλάσσουσι τὸν ¯ε¯ι δίφθογγον· οι ον ἀλείπτω, ἀλείπτης, α λειπτον φάρμακον· ἀνάλειπτος ὁ μὴ ἀλειφθείς. εἰ δὲ διὰ τοῦ ¯φ ἐκφέρονται σύνθετα ο ντα, οὐ φυλάσσουσι τὸν ¯ε¯ι δίφθογγον, ἀλλὰ διὰ τοῦ ¯ι γράφεται· οι ον νηλιφὴς, ἀνηλιφής· σημαίνει δὲ τὴν ναῦν τὴν μὴ ἀλειφθεῖσαν πίσσῃ. πρόσκειται σύνθετα διὰ τὸ α λειφα, ο σημαίνει τὸ α λειμμα. ἐκ δὲ τοῦ ἀλείπτης γίνεται φιλαλειπτῶ, ὡς· οὐκ ε στι πίστις ἀνδρὶ φιλαλειπτοῦντι.᾽Αλείτησ. ὁ ἁμαρτωλὸς, παρὰ τὸ ἀλῶ τὸ πλανῶ. γράφεται διὰ τῆς ¯ε¯ι διφθόγγου, διότι ἀνεφάνη τὸ ¯ο ἐν τῷ ἀλείτης· τὰ γὰρ ε χοντα τὸ ¯ο ἀναφαινόμενον ε χουσι τὸ ¯ε ἐγκείμενον· οι ον σπείρω, σπορὰ, ἀλείφω, ἀλοιφή. ᾽Αλήτης δὲ ὁ πλανήτης, ¯η. alpha.119 ᾽Αλεξίκακοσ. τὰ ἀπὸ ἐνεστώτων η μελλόντων γινόμενα ὀνόματα ἐν τῇ συνθέσει τρέπει τὸ ¯ω εἰς ¯ι· α ρχω, ἀρχιστράτηγος· αυ ξω, αὐξίφωτος· λύσω, λυσίκομος· ἀλέξω, ἀλεξίκακος.᾽Αλίβασ. ὁ νεκρὸς, παρὰ τὸ λιβάδα μὴ ε χειν, ο ε στιν ὑγρότητα. ῾Αλιγενήσ. ὁ ἐν θαλάσσῃ γεννηθείς.᾽Αλιγέρνησ. κύριον.᾽Αληθήσ. ὁ τὰ ο ντα ὡς ε χει λέγων. ᾽Αληθοεπήσ. ὁ ἀψευδής. ᾽Αλήϊοσ. ὁ πλανητικός. Αληξ. ποταμὸς ᾽Ιταλίας. Αληπτοσ. ὁ ἀκράτητος. εἰπεῖν τὴν αἰτίαν, δι' η ς α ληπτός ἐστι τοῖς ἐχθροῖς. α ληπτος καὶ ὁ ἀκατάληπτος. καὶ ἀλήπτως ἐπίῤῥημα ἀντὶ τοῦ ἀκαταγνώστως.῾Αλίαρτοσ. ὁ ἠρτυμένος α λατι.῾Αλιάρται. ἀπὸ᾽Αλιαρτίας χώρας.᾽Αλλίασ. ο νομα κύριον.᾽Αλίαστοσ. ὁ μὴ φεύγων. παρὰ τὸ λιάζω λιαστός. –ἀμφὶ δ' α ρα σφι λιάζετο κῦμα– ὁ μέλλων λιάσω, λελίακα, λελίαμαι, λελίασται. ῥηματικὸν ο νομα λιαστός. καὶ μετὰ τοῦ στερητικοῦ ¯α ἀλίαστος, ο ν οὐκ α ν τις ἐκκλίνῃ. καὶ τό· λιαζόμενον ποτὶ γαίην– τουτέστι κλινόμενον ἐπὶ τὴν γῆν. ω στε τὸ λιάζω δηλοῦν ποτὲ μὲν τὸ ἐκκλίνω, ποτὲ δὲ τὸ alpha.120 ἐκκλίνεσθαι. η παρὰ τὸ ἀλῶ, ἀλίζω, ἀφ' ου τὸ ἀλεύατο, ὡς φοιτῶ, φοιτίζω. ῾Αλίβρωτοσ. ὁ α λας ἐσθίων, η ὁ ὑπὸ τοῦ α λατος βεβρωμένος καὶ δεδασμένος.῾Αλιζῶνεσ. οἱ Βιθυνοὶ, ο τι ἡ γῆ αὐτῶν θαλάσσῃ διέζωται, καὶ οἱονεὶ χερσόνησός ἐστιν, ἀπὸ τοῦ Εὐξείνου τῆς Προποντίδος διεζευγμένη.῾Αληΐτορεσ. ἁλιεῖς καὶ ἁλεῖς οἱ αὐτοί. ῾Αλικαρνασόσ. πόλις Καρίας ἀπὸ τοῦ α λιον περιέχεσθαι τὴν Καρίαν. ὁ πολίτης῾Αλικαρνασεύς.᾽Αλιμούσιος·᾽Αλιμοῦσ. δῆμος ἐστὶ τῆς Λεοντίδος. Αλιοσ. ὁ θαλάσσιος. καὶ ὁ η λιος κατὰ τροπὴν δωρικήν. καὶ α λιος ὁ μάταιος. ᾽Αλιπλάγητοσ. ου τω καλεῖται ὁ Πάν· η ο τι ἐβοήθησεν τοῖς ᾽Αθηναίοις ἐν τῇ ναυμαχίᾳ, η ο τι τὸν Τυφῶνα δικτύοις η γρευσεν. η ο τι οἱ ἁλιεῖς τιμῶσι τὸν Πᾶνα, ὡς νόμιον θεόν. η ο τι μεγαλόφρων ἐν τῇ χορείᾳ, ὡς ἁλίβρομος. η ο τι τῆς᾽Ηχοῦς ἐρᾷ. πολύηχος ἡ θάλασσα. ᾽Αλήτησ. ὁ πλανήτης. ἀπὸ τοῦ α λη ἀλήτης, ὡς πέδη πεδήτης. ᾽Αλιτήριοσ. ἀνόσιος, ὁ ἐνεχόμενος μιάσματι καὶ ἐξημαρτηκὼς εἰς θεόν. ἀλιτήριοι δὲ ἐκλήθησαν ἀπὸ τοιαύτης ἱστορίας. λιμὸς κατέλαβε ποτὲ τοὺς ᾽Αθηναίους, καὶ οἱ πένητες τὰ τῶν ἀλούντων α λευρα διήρπαζον. ἀπὸ γοῦν ἐκείνων τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. παρέτεινε δὲ τὸ ο νομα καὶ ἐπὶ τῶν μετὰ βίας τὶ ποιούντων. alpha.121᾽Αλιτηρίουσ. ἀποτυχόντας, ἁμαρτάνοντας, ἀστοχήσαντας. οὐ μόνον ἀπράκτους παρεσκευάσας ἐπανελθεῖν, ἀλλὰ καὶ ἀλιτηρίους πάντων τῶν αὐτοῖς ἐντεταλμένων ἀπέδειξας. ᾽Αλιτήμων. ὁ ἁμαρτωλός. ἀλίτω βαρύτονον καὶ ἀλιτῶ περισπώμενον. ἀπὸ γοῦν τοῦ ἀλιτῶ ἀλιτήσω γίνεται ἀλιτήμων· ὡς φιλῶ φιλήσω, φιλήμων. ἀπὸ δὲ τοῦ ἀλιτῶ ἀλιταίνω, ἐξ ου καὶ τὸ ἀλιτρὸν, ἀλιτραίνω. ᾽Αλιφειρεύσ. ο νομα ποταμοῦ. Αλθαινοσ. ο νομα ποταμοῦ. ᾽Αλκμάν. ο ρνεον θρηνητικόν.᾽Αλκαμένης·᾽Αλκαῖος·᾽Αλκιβιάδης·᾽Αλκι μαχος καὶ᾽Αλκιδάμασ. ὀνόματα κύρια. ᾽Αλκίνοοσ. κύριον. καὶ ὁ δυνατός. ᾽Αλκμαιωνίδαι. γένος ἐστὶν ἐπιφανὲς ᾽Αθήνῃσιν, ἀπὸ᾽Αλκμάνος.᾽Αλκτῆρεσ. οἱ φύλακες. θείας ἀλκτῆρες ἱμερτῆς φιλότητος.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Αλογοι. ἐρανισταὶ, οἱ μήπω ἐξειλεχότες τὸ ἐπιβάλλον αὐτοῖς.᾿Αλλοδαπήσ. ὁ ξένος, ἀπὸ α λλου δαπέδου.᾿Αλοητόσ. ὁ καιρὸς τοῦ θέρους.᾿Αλλοθρόουσ. ἀλλοφώνους. ᾿Αλλοπρόσαλλοσ. εὐμετάβλητος, ἀνάρμοστος. Αλλοσ. ἀντὶ τοῦ ε τερος. –Διῒ δ' ἡμεῖς οι σομεν α λλον. Αλλοσ. προσώπου σημαντικὸν ε στιν η γουν ὑποστάσεως. οι ον α λλος καὶ α λλος, Παῦλος. α λλο δὲ τὴν κατὰ φύσιν διαφορὰν σημαίνει. οι ον· α λλο α νθρωπος καὶ α λλο ι ππος. τὸ δ' ἀλλοῖον ἐπὶ τῶν κατὰ συμβεβηκὸς διαφορῶν τίθεται· τὸ γὰρ ἀλλοῖον ποιεῖ. Αλλος α λλον. ἀντὶ τοῦ ἀλλήλους.᾿Αλλότριοσ. ξένος. ἀλλοόριος, καὶ κατὰ συγκoalpha.122 πὴν ἀλλόριος, *ὁ α λλων ὁρίων ὑπάρχων. καὶ κατὰ πλεονασμὸν τοῦ ¯τ ἀλλότριος.* Αλλοσ. ἀπὸ τοῦ α λαλος καὶ συγκοπῇ α λλος· ἀναιρετικὸν γάρ ἐστι τῶν ὡρισμένων προσώπων. οι ον· α λλος, οὐκ ἐγὼ, α λλος, οὐ σύ. ἰστέον, ο τι τὸ α λλος κλητικὸν οὐκ ε στιν, οι ον α λλε, ἡ γὰρ φύσις τῆς κλίσεως μάχεται τῷ σημαινομένῳ τοῦ ὀνόματος. ἡ γὰρ κλητικὴ πρὸς παρόν ἐστι πρόσωπον καὶ γνωριζόμενον· τὸ δὲ α λλος ἀγνοούμενόν ἐστι καὶ ἀπόν. ὁμοίως καὶ αἱ κλητικαὶ τῶν πυσμάτων, τοῦ· ποῖος· τίς· πόσος· ἐκλελοίπασιν, ἐπειδὴ τὰ πύσματα περὶ ἀπόντων καὶ ἀγνοουμένων γέγονε προσώπων, αἱ δὲ κλητικαὶ παρόντων εἰσὶ καὶ ἐγνωσμένων προσώπων κλίσεις. Αλλοσ. ο νομά ἐστιν ἀντωνυμία. *εἰσὶ μὲν τινὲς λόγοι, μὴ ε λκοντες αὐτὸ ει ναι ἀντωνυμία καὶ μὴ ο νομα.* ἐπειδὴ ο ν τρόπον τὸ ἐκεῖνος καὶ ου τος ποιοῦσι τὰ οὐδέτερα αὐτῶν ἀποβολῇ τοῦ ¯ς, ἐκεῖνο καὶ τοῦτο, τὸν αὐτὸν τρόπον καὶ τὸ α λλο ἀποβολῇ τοῦ ¯ν ποιεῖ τὸ οὐδέτερον, σεσημειωμένον τὸ α λλο καὶ τοῦτο, καὶ τὰ ο μοια. ε τερος δὲ λόγος τοῦ μὴ ει ναι ἀντωνυμίαν, ἀλλ' ο νομα. ἡ γὰρ ἀντωνυμία ἀντὶ ὀνόματος παραλαμβάνεται. τὸ δὲ α λλος ἀόριστον, διότι καὶ ¯γ καὶ ¯β. τὸ ἐκεῖνος καὶ ου τος καὶ τὰ λοιπὰ η δεῖξιν σημαίνει, η ἀναφοράν· τὸ δὲ α λλος ου τε δεῖξιν σημαίνει, ου τε ἀναφορὰν, καὶ ε στιν ο νομα. ῾Αλμυρόσ. ὡς τὸ τόλμη τολμηρὸς, ου τω καὶ α λμη ἁλμυρός. καὶ ὡς τηρὸς, τύρος. κυρίως δὲ τίθεται ἡ λέξις ἐπὶ τῶν α λας μυρωμένων ποταμῶν, ο ἐστιν ἐκχεομένων. ᾿Αλοιμόσ. ἡ ἐπάνω τῆς τοῦ θαλάμου γανώσεως ἐνιεῖσα ἐπάλειψις, καθάπερ πετάλωσις alpha.123 ου σα ἐν αὐτῷ. ὡς ου ν λείπω λοιμὸς, ου τω ἀλείφω α λοιμος. Αλπισ. ο ρος μέγα τῆς Εὐρώπης, ἀφ' ου ῥεῖ ὁ Ιστρος· καὶ α λλο δυτικώτερον, ἀφ' ου ῥεῖ ὁ῾Ρῆνος ποταμός. Αλπις δὲ λέγεται ἀπὸ τινὸς Αλπιος, ὑπὸ τοὺς τόπους ἀνῃρημένου· η παρὰ τὸ α λτον, ο σημαίνει τὸν ὑψηλόν. Αλασ. ἡ θάλασσα. παρὰ τὸ α λες, τὸ συνεστραμμένον καὶ ἠθροισμένον.᾿Αλιάτησ. Λυδῶν βασιλεὺς, ο ς η ν τὰ πολέμια γενναῖος. τινὲς δύο ¯τ¯τ γράφουσι τὸ᾿Αλιάττης. ὁ οἰκήτωρ᾿Αλιαττηνός. καὶ ᾿Αλιάτα χώρα Βιθυνίας ἀπὸ᾿Αλιάττου.᾿Αλύδενοσ. ὁ κακὸς α νεμος.᾿Αλύδιμοσ. ὁ οἰκουρός.᾿Αλφειόσ. ποταμὸς τῆς᾿Αρκαδικῆς πόλεως, η κατὰ τὴν Πελοπόννησον κεῖται.᾿Αλφιτεῖσ. οἱ τὰ α λφιτα ποιοῦντες. ου τως῾Υπερίδης.᾿Αλφόσ. πάθος τὶ, παρὰ τὸ ἐναλλάσσειν τὴν χροίαν. ἀλλόφος τὶς ω ν, ὁ ἀλλοιοφανὲς τὸ χρῶμα ποιῶν. ᾿Αλωπόχρουσ. ὁ πολιός.᾿Αλώβητοι. ἀνύβριστοι, ἀβλαβεῖς, ἀμώμητοι.᾿Αλωτόσ. χειρωτός.᾿Αλφόσ. πάθος τὶ λευκόχρουν.᾿Αλιτρόσ. ὁ ἁμαρτωλός.᾿Αλφειόσ. ὁ ἐν Ηλιδι ποταμός. παρὰ τὸ τοὺς ἀλφοὺς θεραπεύειν. η παρὰ τὸ α λφειν, ο ἐστιν ὠφελεῖν· ὠφέλιμον γὰρ αὐτοῦ τὸ υ δωρ. τὰ διὰ alpha.124 τοῦ εἱς ¯ο¯ς τρισύλλαβα ἐπὶ ποταμῶν ὀξύτονα ο ντα δίφθογγον ε χει, οι ον· Πηνειὸς, Σπερχειός. πρόσκειται ὀξύτονα, διὰ τὸ Μηνιός. γράφεται γὰρ διὰ τοῦ ¯ι τρισύλλαβα διὰ τὸ Σαγγάριος. ᾿Αλαζόνασ. τοὺς ἐφ' οι ς οὐκ ε χουσιν αὐχοῦντας, ὡς ε χοντας. ου τως Παῦλος ὁ ᾿Απόστολος.᾿Αλλοτριοεπίσκοποσ. ὁ τὰς ἑαυτοῦ ἁμαρτίας ἀφεὶς, τὰς δὲ τῶν ἑτέρων περιεργαζόμενος. (Θηλυκόν.)᾿Αλαβαστροθήκη. μυροθήκη.᾿Αλάβανθα. πόλις Καρίας. ᾿Αλβανία. χώρα.᾿Αλάκατος καὶ ἠλάκατος καὶ ἠλακάτη. παρὰ τὸ α ζω, α ξω, γίνεται ο νομα ῥηματικὸν ἀκτὸς, τὸ θηλυκὸν ἀκτὴ, καὶ πλεονασμῷ τῆς ¯α¯λ συλλαβῆς, ω σπερ ει ωθε, γίνεται ἀλακάτη, ἡ α γουσα τὸ ε ριον η λίνον.᾿Αλαζονεία. ε ξις προσποιητικὴ τῶν μὴ ὑπαρχόντων.᾿Αλγεινή. ἡ χαλεπή.᾿Αλαοσκοπιή. ἡ τύφλωσις.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Αλγησις καὶ ἀλγηρά. ἡ λυπηρά.᾿Αλέασ. πόλις Θεσσαλονίκης. οἱ πολῖται᾿Αλεῖς. ᾿Αλεξιάρη. γῆ ἡ τοῖς ἀνδράσι βοηθοῦσα.᾿Αλεία. ἡ α γρευσις. ἀλία δὲ μόνον ¯ι.᾿Αλειτία. ἡ ἁμαρτία.᾿Αλεωρή. ἡ φυλακή. παρὰ τὸ τὴν ἀλέαν καὶ τὸ ὠρεῖν, τὸ φυλάσσειν.᾿Αλέα. ἡ θέρμη. alpha.125᾿Αλευρόττησισ. τὸ λεπτὸν τοῦ ἀλεύρου, η τὸ κόσκινον. σήθω, σήσω, σῆσις, καὶ τροπῇ τοῦ ¯ς εἰς ¯τ, τῆσις, καὶ πλεονασμῷ τοῦ ¯τ μετὰ τὸ α λευρον, ἀλευρόττησις. Αλη. ἡ πλάνη, παρὰ τὸ ἁλῶ, τὸ πλανῶ. τοῦτο παρὰ τὸ λῶ, τὸ θέλω, καὶ μετὰ τοῦ στερητικοῦ ¯α α λη. ᾿Αλληγορία. διαφορὰ νοημάτων πρὸς τὸ ὑποκείμενον· η τροπολογία, η α λλο τι παρὰ τὸ ἐνορώμενον ὑποδεικνύουσα. ᾿Αλάβαστρα. πόλις Φρυγίας. τὸ ἐθνικὸν᾿Αλαβαστρίτης.᾿Αλεκτρυών. ἐπὶ α ρσενος καὶ θηλείας· ἀλέκτωρ δὲ ἐπὶ μόνου ἀρσενικοῦ· ἀλεκτορὶς δὲ ἐπὶ θηλυκοῦ. ὁ ἐκ τῶν λέκτρων, τοῦτ' ε στι τῶν κοιτῶν, ἡμᾶς διεγείρων. τοῦ ¯α στερητικοῦ ο ντος, ὁ στερῶν ἡμᾶς τῶν λέκτρων. καὶ ὁ η λιος δὲ ἀλέκτωρ λέγεται.᾿Αλέα. ἡ θέρμη. η ὁ τόπος ὁ ὑπὸ τοῦ ἡλίου θερμαινόμενος. παρὰ τὸ α λιος· α λιος γὰρ ὁ η λιος. μεταφορικῶς δὲ καὶ πάντα τόπον θέρμην ε χοντα. η παρὰ τὸ ἀλῶ, τὸ πλανῶ. ῾Αλιζώνου. τῆς ὑπὸ θαλάσσης περιεζωσμένης. Λαΐδ' ε χω πολιῆτιν ἁλιζώνοιο Κορίνθου.᾿Αλίζωστισ. ει δος βοτάνης θαλασσίας.᾿Αλίμενον. τὴν τέλος μὴ ε χουσαν μηδὲ ο ρμον.῾Αλινηχέοσ. ἐν θαλάσσῃ νηχομένης. ἁλινηχέος ο ργανα τέχνης α νθετο. Αλλικα. χλαμύδα. κατὰ Θεσσαλούς. α λλικα χρυσείῃσιν ἐργομένην ἐνέτῃσιν. οἱ ἰδιῶται γάλλικα φασὶ ταύτην. alpha.126 ῾Αλιξάντοισ. τοῖς ὑπὸ τῆς ἁλὸς ξηραινομένοις. ἀκταίοις νησίδος ἁλιξάντοισι χοιράσιν. ᾿Αλιπαρῆ. ἀχμηράν· η λιπαρῆ. ἐξ η ς αὐτὸν λιπαρήσομεν.᾿Αλιτημόρου. παράφρονος γεγονυίας.᾿Αλλαρία. πόλις Κρήτης. τὸ ἐθνικὸν᾿Αλλαριώτης. Αλλιξ. ἡ χλαμύς. παρὰ τὸ ἀλλάσσω α λλαξ καὶ α λλιξ.᾿Αλληλουχία. ἡ συνέχουσα καὶ συγκρατοῦσα ἀλλήλους.᾿Αλειπήσ. πηγὴ ἐν ᾿Εφέσῳ.᾿Αλήθεια. ἀπόφασις λέγουσα τὸ ὑπάρχον ὡς ὑπάρχον καὶ τὸ μὴ ὑπάρχον ὡς μὴ ὑπάρχον.᾿Αλκαῖα. κυρίως ἡ οὐρὰ τοῦ λέοντος, διὰ τὸ εἰς ἀλκὴν αὐτὴν προτρέπειν. ᾿Αλκή. δύναμις, βοήθεια. ἀρκή τίς ἐστι τροπῇ τοῦ ¯ρ εἰς ¯λ. η παρὰ τὸ ἀκμὴ, ο σημαίνει τὴν ἡλικίαν.᾿Αλλεπάλληλοι. συνεχεῖς.᾿Αλινθήδρα. ὁ τόπος, ἐν ῳ τιθέντες ἑαυτοὺς οἱ ι πποι κυλίονται.᾿Αλκιμάχη. ἡ᾿Αθηνᾶ.᾿Αλκμήνη. κύριον. ὡς μέση, μεσήνη· πύλη, πυλήνη· ἀκμὴν, ἀκμήνη· ου τως καὶ τὸ ἀλκὴ ἀλκήνη, καὶ πλεονασμῷ τοῦ ¯μ ἀλκμήνη.᾿Αλθαία. κύριον ο νομα.᾿Αλθηφίασ. ἡ α μπελος ἀπὸ᾿Αλθηφίου τινός. καὶ ἀνθηδονίας καὶ ὑπερίας ἡ α μπελος ἐπὶ᾿Ανθηδόνος καὶ῾Υπέρου. χρησμός· alpha.127 Πῖνε οι νον τρυγίας, ἐπεὶ οὐκ᾿Ανθηδόνα ναίεις οὐδ' ἱερὰν῾Υπέραν, ο θι τ' α τρυγον οι νον ε πινες.᾿Αλκυών. θαλάσσιον ο ρνεον. παρὰ τὸ ἐν ἁλὶ κύειν.᾿Αλκυονίδαι. ἡμέραι εὐδιειναί. Αλμη. παρὰ τὸ ἁλὸς, α λη, καὶ πλεονασμῷ τοῦ ¯μ α λμη. Αλξ. ἡ δύναμις. ἀπὸ τῶν εἰς ¯κ¯η θηλυκῶν κατὰ ἀφαίρεσιν τοῦ ¯η καὶ τροπῇ τοῦ προκειμένου ¯κ εἰς ¯ξ γίνεται α λξ, ὡς Φοινίκη, Φοίνιξ, φρίκη, φρὶξ, κρόκη, κρὸξ, ου τως ἀλκὴ, α λξ.῾Αλμάδεσ. αἱ κολυμβηταὶ ἐλαῖαι.᾿Αλογία. ἡ ἀφροντισία.῾Ηρόδοτος· ὁ δὲ κατάσκοπος εὑρὼν τοὺς Λακεδαιμονίους ἀλογίης τὲ ἐνεκύρησε πολλῆς.᾿Αλογία. ἡ ἀταξία. ταχὺ δὲ τοῦ λόγου διαδοθέντος εἰς τὸ πλῆθος, οὐκ ε τι συνέβαινε γίνεσθαι τὴν ἀλογίαν η τὴν ἀταξίαν. Αλογος ο ρεξισ. ὀργὴ καὶ ἐπιθυμία. Αληξ. ἡ αυ λαξ, τὸ μετ' ἀρότρου, η τὸ ἀλώνιον. παρὰ τὸ αυ λαξ ἐλλείψει τοῦ ¯υ καὶ τροπῇ τοῦ ¯α εἰς ¯η α ληξ.῾Αλώπη. χώρα ἡ καλουμένη Χία πρὸς τῇ᾿Εφέσῳ. ἀπὸ τοῦ ἐν τῷ παραλίῳ αὐτῆς πρῶτον αὐτομάτως α λας πηχθῆναι.῾Αλλόνησοσ. νησύδριον ἐν τῷ Αἰγαίῳ πελάγει. ῾Αλοσύδνησ. τῆς θαλάσσης. παρὰ τὸ ἁλὸς γενικὸν ἁλόσυνος καὶ τὸ θηλυκὸν ἁλοσύνη, καὶ alpha.128 πλεονασμῷ τοῦ δ ἁλοσύδνη, ὡς παρὰ τὸ γηθόσυνος γηθοσύνη.῾Αλουργοπωλική. ἡ πορφυροπωλικὴ λεγομένη. ου τως᾿Ισαῖος.᾿Αλουργίσ. πορφυρᾶ χλανίς. ἐκ τοῦ α λς, ἁλὸς, καὶ τὸ ε ργον. ἡ ἀπὸ τοῦ θαλασσίου κόχλου γινομένη. ἀλουργὴς δὲ ἡ αἰσθὴς ¯η, καὶ κλίνεται τῆς ἀλουργοῦς, τῇ ἀλουργεῖ. Αλοχοσ. κυρίως ἡ ἐκ παρθενείας ἑτέρου λέχους α πειρος. καὶ μετὰ τοῦ ¯α ἀντὶ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

ὁμοῦ σημαίνοντος η  α μα, γίνεται α λοχος, οἱονεὶ ὁμόλοχος τὶς ου σα ἡ μετέχουσα τῆς κοίτης τοῦ ἀνδρός.᾿Αλοχεύτου. ἀσπόρου. ἐξ ἀλοχεύτου προελθὼν καὶ λοχευθεὶς τὴν πλευρὰν πλαστουργέμου.᾿Αλίσαρνα. πόλις Τρωάδος. ὁ πολίτης᾿Αλισαρναῖος. ᾿Αλλοδαπή. ἡ ξένη. ᾿Αλλοτρίωσισ. χωρισμὸς οἰκείων. ᾿Αλλοίωσισ. ἡ ἀπὸ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον τροπή· μεταβολὴ δὲ, ἡ ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον· ἡ ἀπὸ τοῦ μέσου δὲ ἐπὶ τὸ χεῖρον, η  ἐπὶ τὸ κρεῖττον, τροπὴ λέγεται.  Αλπεισ. οἱ ἐν στενοχωρίᾳ δίοδοι.  Αλυσισ. παρὰ τὸ λύω, λύσω. α λυτος γάρ ἐστιν. η  α λλη α λλης ἐξήρτηται.  Αλυξισ. ἀπόπτωσις, φυγή.᾿Αλυκτοπέδη. δεσμὸς α φυκτος. ἀλυτοπέδη τίς ἐστι καὶ πλεονασμῷ τοῦ ¯κ ἀλυκτοπέδη.᾿Αλυκτοσύνη. φυγὴ, ε κκλισις.᾿Αλύβη. ο νομα στήλης. alpha.129᾿Αλφεσίβοια. εὑρετικὴ βοῶν.᾿Αλφή. ἡ τιμή.  Αλωσισ. ἐρήμωσις, πόρθωσις.᾿Αλωπεκόννησοσ. πόλις ἐστὶ μία τῶν ἐν Χεῤῥονήσῳ.᾿Αλωή. ἡ ἀμπελόφυτος γῆ. παρὰ τὸ τὴν α λσιν, ο  σημαίνει τὴν αυ ξησιν. α λδω, ἀλοὴ, ἀλωή. ᾿Αλυπία. ε ξις, καθ' η ν ἀνέκπτωτοι ἐσμὲν πρὸς λύπην.᾿Αλωπεκία. πάθος ψιλωτικὸν τῶν τριχῶν καὶ τῶν γενείων. ἡ μεταφορὰ ἀπὸ τῆς ἀλώπεκος, η τις, ε νθα α ν οὐρήσῃ, τὸν τόπον α καρπον ποιεῖ, ξηραίνουσα καὶ τὴν προϋπάρχουσαν βοτάνην, καὶ ἑτέραν ἀναβλαστῆσαι οὐ συγχωρεῖ. τινὲς δὲ λέγουσιν ἀλωπεκία ἡ περικεφαλαία· ἀλωπέκεια δὲ ἡ νόσος ἡ περὶ τὴν κεφαλὴν, η  καὶ διὰ διφθόγγου γράφεται.  Αλωσ. τὸ ἀλώνιον. παρὰ τὴν τῶν ἀσταχύων ἀλοίησιν καὶ συντριβήν.᾿Αλώπηξ. καὶ κλίνεται ἀλώπεκος. σεσημείωται, ο τι ε τρεψε τὸ ¯η εἰς ¯ε ἐν τῇ γενικῇ, καὶ ε στιν εἰπεῖν, ο τι τὰ εἰς ¯η¯ξ θηλυκὰ οὐ φαίνεται παραληγόμενα τὸ ¯ω· οι ον πήληξ, ἀντίπηξ· τὸ γὰρ σκώληξ παραληγόμενον τῷ ¯ω οὐκ ἀντίκειται· ἀρσενικὸν γάρ ἐστιν. ἐπεὶ ου ν τὸ ἀλώπηξ θηλυκόν ἐστι παραληγόμενον τὸ ¯ω εἰκότως ὡς παρήλλαξαν κατὰ τὴν παραλήγουσαν, παρήλλαξε καὶ κατὰ τὴν κλίσιν. λέγεται καὶ ὁ ἀλώπηξ. alpha.130 ᾿Αλεωρήν. φυγήν.῾Ησίοδος· –λιμοῦ τ' ἀλεωρήν. (Οὐδέτερον.)  Αλα. τὰ κόπρια.  Ομηρος ἐν᾿Οδυσσείᾳ· οὐ σύγ' ἐξ οι κου σῷ ἐπιστάτῃ οὐδ' α λα δοίης.  Αλαστα. τὰ κακά· ἀνεπίληστα τινὰ ο ντα, ἀπὸ τοῦ ἀλαστῶ, ἀλαστήσω, τὸ χαλεπαίνω. ᾿Αλάβαστρον. μυροθήκη, ψήφινος η  λίθινος. ἀλάβαστόν τι ο ν, πλεονασμῷ τοῦ ¯ρ, ου  λαβέσθαι διὰ λειότητα ἀδύνατον.᾿Αλλαρίοισ. σιτηρεσίοις.᾿Αλαπαδνόν. τὸ ἀσθενές.  Αλλαγμα. ἀντεισαγωγή.  Αλγεα. λυπηρὰ, κακά.  Αλγοσ. λύπη, θλίψις. ἀπὸ τοῦ ἀλέγω τὸ φροντίζω. τὰ γὰρ πολυπαθῆ φροντίδος α ξια. η  α  μὴ λέγοι τὶς, μὴ δὲ ὀνομάζοι. τὸ δὲ ἀλέγω παρὰ τὸ λέγω, τὸ φροντίζω, ἀφ' ου  λόγος ἡ φροντὶς, καὶ ἀλέγω, ἀλεγεινὸς, οὐ δὲ ἀπὸ τοῦ ἐλεῶ, ἐλεεινὸς, ἐπεὶ ω φειλε γράφεσθαι διὰ τοῦ ¯ι. τὰ γὰρ εἰς ¯ν¯ο¯ς ὀξύτονα, μὴ ο ντα παρώνυμα, διὰ τοῦ ¯ι γράφεται· οι ον τάχα ταχινὸς, ἀλήθεια ἀληθινὸς, χθὲς χθεσινὸς, πύκα πυκινὸς, ἀλλὰ ἀπὸ τοῦ α λγος ἀλγεινὸς καὶ ε λεος ἐλεεινὸς, καὶ γράφεται διὰ τῆς ¯ε¯ι διφθόγγου ὡς παρώνυμον.  Αλεκτρα καὶ α νυμφα. ἀντὶ τοῦ παράνομα καὶ οὐ νενομισμένα διὰ τὴν μοιχείαν. τουτέστι δύσλεκτρα καὶ κακόνυμφα. Σοφοκλῆς· α λεκτρ' alpha.131 α νυμφα γὰρ ἐπέβη μιαιφόνων γάμων ἁμιλλήματα.  Αλειον. τὸ τοῦ ἡλίου ἱερὸν κατὰ῾Ροδίους. σημαίνει δὲ καὶ τὸ υ δωρ.  Αλιον δὲ, τὸ μάταιον, ¯ι. παρὰ τὸ α λς, ἁλὸς, α λιον, ὡς πτὺξ, πτυχὸς, πτύχιον, οἱονεὶ τὸ εἰς θάλασσαν ῥιπτόμενον καὶ ἀφανιζόμενον. ῾Αλουργίσ. χρῶμα τὸ πορφυροῦν η τοι ὀξύ.  Αλιπτα. αἰολικῶς παρὰ τὸ ἀλείφω, α λιμμα καὶ α λιπτα.῾Αλίπλοα. ἐν τῇ θαλάσσῃ πλέοντα.  Αλειφαρ. τὸ α λειμμα, καὶ κατὰ ἀποκοπὴν α λειφα, καὶ κλίνεται ἀλείφατος. ἐν δ' ὠτειλὰς πλῆσεν ἀλείφατος–.  Αλεισον. τὸ ποτήριον. παρὰ τὸ α λες, ο  ἐστι τὸ ἀθρόον· ἐξ ου  ἀθρόως πίνειν ἐστίν· η  παρὰ τὸ λεῖον γέγονεν α λεισον, κατ' ἐπένθεσιν τοῦ ς, τοῦ ¯α ἐπιθετικοῦ ο ντος η  στερητικοῦ, τὸ μὴ ο ν ὁμαλὸν, ἀλλὰ περιφερές. ψιλοῦται δὲ, ἐπειδὴ τὸ ¯α, η  στερητικὸν ο ν η  ἐπιτατικὸν, ψιλοῦται.᾿Αληθέσ. τὸ ἀντιδιαστελλόμενον τῷ ψεύδει. α ληθες δὲ ἀντὶ τοῦ ο ντως. α ληθες, ω  παῖ τῆς ἀρουραίας θεοῦ– ὁ Αἰσχύλος φησὶν πρὸς τὸν Εὐριπίδην.᾿Αλήϊον. πεδίον Κιλικίας. τὸ ἐθνικὸν᾿Αλήϊος. καὶ ἀλήϊος ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλανητικός. Αλημα. παραλογιστικὸν πανούργημα η ἐπίτριμμα. ω τέκνον Λαερτίου κακοπινέστατ' α λημα στρατοῦ. alpha.132 ᾿Αλείατα. τὰ α λευρα. Αληκτον. ἀκατάπαυστον. ᾿Αλισγημάτων. μιασμάτων, ἐκ μυσαρᾶς θυσίας τῶν εἰδώλων. ᾿Αλλεπάλληλον. πυκνόν· συνεχές.᾿Αλληλέγγυον. ἡ ἐξ ἀμφοτέρων πίστις.῾Αλίπεδον. τὸ παραθαλάσσιον πεδίον.᾿Αλίαστον. τὸ ἀκατάπαυστον, ο οὐ δύναταί τίς ἐκφυγεῖν. ᾿Αλιτόμηνον. τὸ ἁμαρτάνον τῶν ἐννέα μηνῶν. ἀλιτόμηνα βρέφη.᾿Αλείαρ. τὸ ὑπὸ τῶν πυρῶν α λευρον· τὸ γὰρ ἀπὸ κριθῆς α λφιτον λέγεται. ᾿Αλεξιφάρμακον. θεραπευτικὸν βοήθημα.᾿Αλίγκιον. ο μοιον.῾Αλιῤῥόθιον. κῦμα θαλάσσιον.᾿Αλληλούϊα. αι νος θεοῦ ἑρμηνεύεται. ε στι τὸ μὲν ἀλληλοῦ, αι νος, τὸ ι α, θεός. διότι καὶ ἀντὶ τοῦ, αἰνεῖτε τὸν κύριον, ο τι ἀγαθὸν ψαλμὸς, ἀλληλούϊα, ο τι ἀγαθὸν ψαλμὸς, ὁ Σύμμαχος τέθεικεν. Αλας. τὸ ἐσθιόμενον. παρὰ δὲ τῷ εὐαγγελίῳ ἡ φρόνησις, η ς ε μπλεως ὁ ἀποστολικὸς λόγος. ο ν τρόπον α νευ ἁλὸς ου τε α ρτος, ου τε ο ψον ἐδώδιμον. ὡς τό· ὑμεῖς ἐστὲ τὸ α λας τῆς γῆς. γῆν καλεῖ τὰς ψυχὰς τῶν ἀνθρώπων· ψυχὴ γὰρ μὴ ἡλισμένη τῷ ἁγίῳ πνεύματι σέσηπται. Αλκαρ. δύναμις, σωτηρία, βοήθημα. παρὰ τὸ ἀλκή. alpha.133᾿Αλαλκτήρια λιμοῦ. τὰ δυνάμενα ἀλαλκεῖν καὶ ἀπείργειν τὸν λιμόν.᾿Αλλόβριθεσ. ε θνος δυνατώτατον Γαλατικόν. Πολύβιος. διὰ τοῦ ¯ι γράφεται τὸ᾿Αλλόβριθες.᾿Αλόγιστα παροίσομεν. ἀδιήγητα τὰ κακὰ βαστάζομεν. Σοφοκλῆς· ἐν πυμάτῳ δ' ἀλόγιστα παροίσομεν–.᾿Αλογίας δίκη. α ν φεύγουσιν οἱ α ρχοντες τὸν λόγον οὐ διδόντες τῶν τῆς ἀρχῆς διοικημάτων.᾿Αλλοδαπά. ξένα, παντοῖα.᾿Αλήρια. ὀστᾶ.᾿Αλλόκοτον. ξένον. παρὰ τὸ ἀλλαχοῦ κεῖσθαι καὶ μὴ κατὰ τὸ αὐτό. ἀλλόκοτον καὶ τὸ ἀνόμοιον.῾Αλμυρόν. δριμύ.῾Αλυκόν. δριμύ. –ἁλυκὸν δέ οἱ ε κπεσε δάκρυ.᾿Αλυκρά. χλιαρά. –γέντο δ' ἀλυκρά–. Αλυκτον. ο οὐ δύνατάι τις φυγεῖν. Αλφιτα. τὰ ἀπὸ τῆς κριθῆς α λευρα. Αλσοσ. δάσος, σύνδενδρος τόπος. παρὰ τὸ α λδω, α λσω, α λσος· η παρὰ τὸ α ρδω, ὁ μέλλων α ρσω, καὶ ἐξ αὐτοῦ α λσος. ᾿Αλυσιτελέσ. ἀσύμφορον, βλαβερόν.῾Αλώσιμον. τὸ ληφθῆναι δυνάμενον.᾿Αλύαττα. πόλις Βιθυνίας.῾Αλώνητα. τὰ βάρβαρα ἀνδράποδα. τοὺς γὰρ α λας διδόντες τοῖς Θρᾳξὶν ὠνοῦντο τὰ ἀνδράποδα. Αλωα. τὰ παρὰ τὴν σελήνην νεφελώδη.᾿Αλώϊον. πόλις Θεσσαλίας. Αλπειον. ο ρος. καὶ Αλπιον, καὶ Αλπεινον. Alpha. τὸ στοιχεῖον. παρὰ τὸ ἀλφῶ, τὸ εὑρίσκω· πρῶτον γὰρ τῶν α λλων στοιχείων εὑρέθη. alpha.134 η ἀπὸ τοῦ κατὰ ἀμοιβὰς πολιτεύεσθαι· α λφειν γὰρ τὸ ἀμείβειν.῾Αλίπεδον. τὸ ὁμαλόν. ου τως ευ ρον παρὰ τῷ Ψελλῷ. (῾Ρῆμα.)᾿Αλαλάξατε. ὑψώσατε φωνήν. καὶ ἀλαλάζειν παρὰ τὸ τὴν ἀλάλην, ο σημαίνει τὸν θόρυβον. ᾿Αλαλύκτημαι. τεθορύβημαι, πεπλάνημαι. παρὰ τὸ τὴν ἀλάλην, ο σημαίνει τὸν θόρυβον, ἀλαλῶ, ἀφ' ου ἀλαλύσσω, ῥηματικὸν ο νομα ἀλαλυκτὸς καὶ ἀλαλυκτῶ, καὶ ἀλαλύκτημαι. καὶ ε στι παρακείμενος. εἰ δὲ ἐνεστὼς, ἀλυκτῶ, ου παράγωγον τῶν εἰς ¯μ¯ι ἀλύκτημι· ου παθητικὸν αἰολικὸν ἀλύκτημαι. ἐκεῖνοι γὰρ ου τω λέγουσιν ποίημαι καὶ νόημαι. καὶ ἐν διπλασιασμῷ ἀλαλύκτημαι. πολλοῖς γὰρ χρῆται αἰολικοῖς ὁ ποιητὴς καὶ μάλιστα ἐν μετοχαῖς· οι ον ἀκαχημένος, ἀκαχμένος.᾿Αλαίνω. τὸ πλανῶμαι. παρὰ τὸ α λη, ἀλῶμαι, παραγώγως ἀλαίνω· ὡς ἱδρὼς ἱδραίνω.᾿Αλαπάξαι. ἐκπορθῆσαι. κυρίως δὲ ἐκκενῶσαι· κενωτικὸν γὰρ γαστρὸς ἡ λάπαθος βοτάνη. η παρὰ τὸ λίαν α ποθεν ἡμῶν ποιεῖν τὰ πάθη. η παρὰ τὸ ¯λ¯α ἐπιτατικὸν καὶ τὸ παθητικόν.᾿Αλαλκεῖν. ἀπείργειν, ἀποσοβεῖν, η τὸ βοηθεῖν. ἀόριστος δεύτερος καὶ μέλλων, ἀλάλκω, η λαλκον, ἀλαλκῶ καὶ ἀλαλκεῖν.᾿Αλαλκών. μετοχή ἐστι, δεύτερος ἀόριστος καὶ μέσος. ἀλάλκω γάρ ἐστιν. ὁ μέλλων ἀλάλξω. ὁ δεύτερος ἀόριστος η λαλκον, καὶ ἀλαλκὼν μετοχή. τὸ δὲ ἀλάλκω ἀπὸ τοῦ ἀλκὴ, ἀλκῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν ἀλαλκῶ. ᾿Αλλαξάμενοσ. προτιμήσας ὑπὲρ τοῦ κέρδους. ὁ Λακεδαιμώνων τὴν πήρωσιν ἀλλαξάμενος. ᾿Αλλάχθητε. ἀντὶ τοῦ διαλλάχθητε. ου τως Σοφοκλῆς. alpha.135᾿Αλλὰ χρή. ἀντὶ τοῦ· ε στω τοῦτο. δηλοῖ συγκατάθεσιν–οι ον. καὶ τὸ μάλα. ᾿Αλάλημαι. τεθορύβημαι. ἀπὸ τοῦ ἀλάλη.᾿Αλαστήσας. σχετλιάσας, δεινοπαθήσας.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

᾿Αλεείνων. ἐκκλίνων, φεύγων, οἱονεὶ εἰς τὴν θερμασίαν ἐκ τοῦ ψύχους ἀποφεύγων. ἀλέα γὰρ ἡ θερμασία.᾿Αλεαίνειν. τὸ θερμαίνεσθαι. οὐκ ἀλεαίνεσθαι.᾿Αριστοφάνης· ε πειθ' ι ν' ἀλεαίνοιμι, τοῦτ' ἠμπισχόμην. καὶ Μένανδρος· η δη ἀλεαίνῃ, πρὸς τὸ πῦρ καθημένη. ᾿Αλγύνει. λυπεῖ. ᾿Αλεξῆσαι. βοηθῆσαι. ᾿Αλέει. ἐκκλίνει. ᾿Αλέξασθαι. ἐπαμύνειν. Ξενοφῶν· πολὺ γὰρ διέφερεν ἐκ χώρας ὁρμωμένους ἀλέξασθαι.᾿Αλέξαι. βοηθῆσαι. ᾿Αλλέξαι. ἀντὶ τοῦ ἐπιλέξαι. ᾿Αλέξειν. ἀποτρέπειν. ᾿Αλείσ. ἀντὶ τοῦ συσταθείς. καὶ ἁλεῖς ἀντὶ τοῦ ἁλιεῖς.῾Αλεῖται. ἀντὶ τοῦ πηδήσει. καὶ χωλὸς ὡς ε λαφος ἁλεῖται. ᾿Αλδήσκω. τὸ αὐξάνω. παρὰ τὸ ἀλῶ, ἀλήσω, ἀλήσκω, καὶ πλεονασμῷ τοῦ ¯δ ἀλδήσκω. κατὰ μεταφοράν· τὸ γὰρ ἀληλεσμένον οὐκ αὐξάνει. η παρὰ τὸ α λλεσθαι, τοῦτ' ε στι πηδᾷν κατὰ αυ ξησιν.᾿Αλέξω. κυρίως παρὰ τὸ τῇ ἀλόχῳ γυναικὶ βοηθῆσαι. η ἀπὸ τοῦ α λκω, α λξω, καὶ πλεονασμῷ τοῦ ¯ε ἀλέξω. ᾿Αλεύειν. τὸ φυλάττειν. οἱ Ιωνες ου τω λέγουσι. καὶ παροιμία· α λευ' ἀπὸ μείζονος ἀνδρός. alpha.136᾿Αλεύατο. ἐξέφυγεν, ἐφυλάξατο. ει ρηται ἀπὸ τοῦ χεύω χεύατο, καὶ τροπῇ καὶ στερήσει ἀλεύατο. ω στε μεταφορικῶς α λευας. ἀλέω, ἀλεύω. τὸ δὲ ἀλέω παρὰ τὸ ἀλῶ, τὸ πλανῶ· οἱ γὰρ φεύγοντες πλανῶνται, ἡ μετοχὴ ἀλεύας. καί, – ἀλεύατο κῆρα μέλαιναν.᾿Αλέγοισ. βοηθοίης. καὶ τὸ φροντίζω.᾿Αληθίζω. τὰ ἀληθῆ λέγω.᾿Αλήθω. ω σπερ κνῶ κνήθω, ου τως ἀλῶ ἀλήθω.᾿Αληλιμμένοσ. ἐκ τοῦ ἀλείφω. ᾿Αλήμεναι. συναθροισθῆναι. ω σπερ παρὰ τὸ βῆναι γίνεται βήμεναι, ου τως καὶ παρὰ τὸ ἀλῆναι ἀλήμεναι.᾿Αλᾶτο. ἀντὶ τοῦ ἐπλανᾶτο. ἀλάω, ἀλῶ, ἀλάομαι, ἀλῶμαι, ἠλαόμην, ἠλώμην, ἠλάου, ἠλῶ, ἠλάετο, ἠλᾶτο καὶ τροπῇ ἀλᾶτο.᾿Αλθαίνω. τὸ θεραπεύω. παρὰ τὸ α λθω, ἀλθαίνω. η παρὰ τὸ α λδω, ἀλδαίνω.῾Αλιβδύειν. τὸ καταδύνειν εἰς θάλασσαν. μεταφορικῶς δὲ καὶ τὸ κρύπτειν καὶ ἀφανίζειν. παρὰ τὸ τὴν α λα καὶ τὸ δύειν, αἰολικῷ πλεονασμῷ τοῦ ¯β. ὡς σίδη, σίβδη. ου τως ἁλιδύειν, ἁλιβδύειν. είρκτῆς ἁλιβδύσασα λυγαίας δέμας.῾Αλισθεῖεν. συναθροισθεῖεν. ὁ δὲ Πεισίστρατος ἐπιτεχνᾶται, ο πως ἁλισθεῖεν ε τι οἱ᾿Αθηναῖοι.᾿Αλινδεῖσθαι. κυλίεσθαι. –ε στι κυλίω καὶ τροπῇ τοῦ ¯υ εἰς ¯α καὶ ἀποβολῇ τοῦ ¯κ ἀλίω, ἀλίσω, η λισα, ἀλίσαι.᾿Αριστοφάνης· α παγε τὸν ι ππον ἐξαλίσας οι καδε. ἀντὶ τοῦ κυλίσας. τὸ δὲ ἀλίω γίνεται ἀλίνδω, ὡς κυλίω κυλίνδω, καὶ ἐν περισπωμένῃ τάσει ἀλινδῶ, ἀλινδήσω, ἀλινδήθρα, ὡς κολυμβῶ koalpha.137 λυμβήσω, κολυμβήθρα. τὸ δ' ἀλινδήθρα σημαίνει τὴν κυλίστραν.᾿Αλητεύω. πλανητεύω.᾿Αλίσασ. συναθροίσας. ᾿Αλισγημένον. μεμολυσμένον.᾿Αλδήσκω. τὸ ποτίζω καὶ αυ ξω. καὶ ἀλδαίνω ὁμοίως. ᾿Αλιάζειν. τὸ μὴ ἐκκλίνειν. ε στι καὶ ἀλεάζειν.᾿Αλισγηθείσ. σπιλωθείς.῾Αλίωσεν. ἐματαίωσεν. Αλμενοσ. ἐξαλλόμενος, κατὰ συγκοπήν. τὸ θέμα α λλω, τὸ πηδῶ. ᾿Αλογίσαι. ἀφροντίσαι, παραλογίσασθαι. ᾿Αλογεῖν. ἀφροντιστεῖν. ὁ δὲ τάλλιγης ο πλων μὲν καὶ μαχίμων ἀνδρῶν, ε κρινεν ἀλογεῖν.᾿Αλοκίζειν. ἀρότρῳ τέμνειν τὴν αυ λακα.᾿Αριστοφάνης· ἐγὼ δ' ἀλοκίζειν ἐδεόμην τὸ χωρίον.᾿Αλοστατεῖ. στρατεύεται. ᾿Αλλοτριονομοῦντεσ. ἐναλλαγὴν ὀνομάτων ποιοῦντες· η ο λως τισὶ τινὰ μὴ προσηκόντως διανέμοντες.᾿Αλλοτριοπραγεῖν. αἰσχρῶς βουλεύεσθαι. ἐσημειοῦντο μηδὲν αὐτὸν ἀλλοτριοπραγεῖν μὴ δὲ καινοτομεῖν.᾿Αλοφάζω. σκιρτῶ, παροινῶ. ῾Αλλόμενοσ. πηδῶν. ἀλώμενος δὲ ὁ πλανώμενος· μέγα. ᾿Αλογήσαντεσ. καταφρονήσαντες. alpha.138᾿Αλογευσαμένουσ. η τοι τοῖς ἀλόγοις συμφθαρέντας ζώοις. ῾Αλοῦσ. κρατηθείς. ᾿Αλοιοῦν. τύπτειν. *ἀλοίω τὸ τύπτω.* ἐξ ου καὶ πατραλοίας, ὁ τὸν πατέρα τύπτων. Αλοιτο. κινοῖτο, ὁρμοῖτο. σκηνήτης μαλακοὺς κισσὸς α λοιτο πόδας.῾Αλοίη. κρατηθείη. ἁλῶ, γίνεται α λωμι, ἁλώσω, ὁ δεύτερος ἀόριστος η λων. ἁλοὺς, ἁλόντος. τὸ εὐκτικὸν ἁλοίην, ἁλοίης, ἁλοίη. Αλτο. α λλω τὸ πηδῶ, ὁ μέλλων ἀλῶ, ὁ ἀόριστος η λα, ὁ μέσος ἡλάμηυ, η λω, η λατο, καὶ συγκοπῇ καὶ τροπῇ η λτο.᾿Αλύειν. ἀδημονεῖν. στερήσει τοῦ ¯α. τὸ μὴ λύσιν εὑρίσκειν τῶν κακῶν. ἀλύειν καὶ τὸ χαίρειν, παρὰ τὸ α γαν λελύσθαι καὶ διακεχύσθαι.᾿Αλύσσω. ἀλισθαίνω, τὸ ἀδημονῶ. παρὰ τὸ ἀλῶ, τὸ πλανῶ, ἀλύσσω, ὡς ὀρύσσω· ἐξ ου καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

α λυς, ἡ ἀδημονία, καὶ ἡ πλάνη τῆς διανοίας. τὸ δὲ ἀλύω, τὸ ἀδημονῶ, ὡς πλήθω πληθύω.᾿Αλυκτεῖν· ἀλυκταίνειν. δυσφορεῖν, ἀγανακτεῖν.᾿Αλυσκάζω. τὸ ἐκκλίνω. ᾿Αλφάνει. εὑρίσκει. *καὶ ἀλφῶ τὸ εὑρίσκω.*᾿Αλφάζω. τὸ προνοῶ. Αλφειν. τὸ εὑρίσκειν. ἀλφῶ τὸ εὑρίσκω, ἐξ ου καὶ α λφα.᾿Αλῶ. τὸ πλανῶ. καὶ ἁλῶ, τὸ συλλαμβάνω.῾Αλῴη. κρατηθῇ. ε χει τὸ ¯ι προσγεγραμμένον ἐν τῇ παραληγούσῃ· ε στι γὰρ, ἐὰν ἁλῷ, ἐὰν alpha.139 ἁλῷς, καὶ πλεονασμῷ τοῦ ¯η γίνεται ἁλῴη. ω σπερ ἐὰν στῶ, στῇς, στῇ, στήῃ. στήῃ ἐπ' ὠκυῤῥόῳ ποταμῷ. καὶ ἐὰν φῶ, φῇς, φῇ, φήῃ. δύναται καὶ τὸ ἁλῴη μὴ ε χειν τὸ ¯ι κατὰ τὴν παραλήγουσαν, ἀλλὰ κατὰ τὴν λήγουσαν· ι να ει πωμεν αὐτὸ ἀπὸ τρισυλλάβου, ἀπὸ τοῦ ἐὰν ἁλώω, ἐὰν ἁλώῃς, ἐὰν ἁλώῃ. ἁλῶ τὸ συλλαμβάνω. ο περ Ομηρος ε φη· η κεν ἁλώω. παράγεται ἀπὸ τούτου καὶ τὸ ἁλίσκω. ει ρηται παρὰ τὸ τὴν α λα, ἀπὸ τῶν κατὰ θάλατταν λαμβανομένοις πρῶτον ἁλίσκεσθαι νομιζόντων.᾿Αλέντεσ. συγκλεισθέντες.᾿Αλίσασ. ἀντὶ τοῦ κονίσας. καὶ ἀλίζειν τὸ ἀλείφεσθαι, η α λας ἐπιπάττειν. ου τως ευ ρον παρὰ τῷ Ψελλῷ. ᾿Αλδαίνειν. μεμηνέναι. τοῦ Ψελλοῦ· α γγουρος τὸ μελίπηκτον, ἀλδαίνειν μεμηνέναι. (᾿Επίῤῥημα.)᾿Αλλά. ἀντὶ τοῦ ο ταν δὲ, καὶ ἀντὶ τοῦ ¯γ¯ε. ου τος ὁ σύνδεσμος δοκεῖ προκειμένοις τισὶν ἐπιφέρεσθαι, οι ο· οὐκ ἐγὼ ταῦτ' ει πον, ἀλλ' ὁ δεῖνα. καὶ ἐν τῷ· οὐ μὴν ἀλλ' ε γωγε. ἀρχὴ δὲ λόγου ὁ ἀλλὰ σύνδεσμος, θαυμαστὸν τινὰ καὶ ε κπληξιν εἰσάγει, οι ον· ἀλλ' ε μοιγε δοκεῖ–. * Αλλως τε. μάλιστα.*᾿Αλείπτωσ. ἀνενδεῶς. ἀλήπτως δὲ ἀντὶ τοῦ ἀδώρως, ¯η. Αληθεσ. ἀντὶ τοῦ ο ντως.᾿Αλληνάλλωσ. ὡς ε τυχεν. Αληκτον. ἀντὶ τοῦ ἀλήκτως. α ληκτον ὑμνεῖ τὸν κενούμενον λόγον. ε στι δὲ μεσότητος ἐπίῤῥημα· μετάγεται δὲ ἀπὸ τοῦ ὀνόματος ὡς ἐπίῤῥημα. Αλισ. ἱκανῶς, ἀρκετῶς, αὐτάρκως. alpha.140᾿Αλλοτρίωσ. πολεμίως. φησὶ καὶ Δαβίδ· ἐπ' ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου, τοῦτ' ἐστὶ τῶν πολεμίων. Αλλυδισ. ἀντὶ τοῦ ἀλλαχοῦ, ἀπὸ τοῦ α λλος.᾿Αλωπεκῆθεν. ἀπὸ τῆς᾿Αλωπεκῆς. ε στι δὲ᾿Αλω πεκὴ δῆμος᾿Αντιοχίδος. Αλλωσ. ἀντὶ τοῦ ματαίως. παρὰ τὸ η λος, τὸ μάταιος. οι ον· δαιμόνιε φρένας ἠλέ– καὶ διπλασιασμῷ τοῦ ¯λ καὶ συστολῇ τοῦ ¯η α λλως. εἰώθασι γὰρ οἱ Δωριεῖς διπλασιάζοντες τὸ ἀμετάβολον, συστέλλειν τὰς ὑποκειμένας συλλαβάς.᾿Αλογίστωσ. α νευ λόγου καὶ τινὸς αἰτίας. τοῦ θεολόγου· μηδὲν εἰκῇ, μὴ δὲ ἀλογίστως, μὴ δὲ χαμερπῶς–. Τὸ Α μετὰ τοῦ Μ. (᾿Αρσενικόν.)᾿Αμαθέστερος καὶ ἀμαθήσ. ἀντὶ τοῦ ἀπαίδευτος καὶ ἀκόσμητος. ου τως Πλάτων. τάσσεται δὲ καὶ ἐπὶ τοῦ δυσμαθοῦς, καὶ ἐπὶ τοῦ μὴ μαθόντος, φύσει δὲ ἐπισταμένου.᾿Αμαθήσ. ἀδίδακτος, ἀμύητος. ὁ δὲ ἀκούει ταῦτα καὶ μὴ ω ν ἀμαθὴς οἰωνῶν τὸν παῖδα ἐπανάγει καὶ τρέφει ὡς γνήσιον. ὁ δὲ ᾿Ιουστῖνος ἀμάθητος η ν γραμμάτων ἁπάντων, καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος.᾿Αμαθί. ο νομα κύριον.᾿Αμάν. κύριον. ου τος προεστὼς η ν βασιλικῶν πραγμάτων Δαρείου.᾿Αμμανῖται. ο νομα ε θνους. σημαίνει δὲ καὶ τοὺς μύκητας. ῾Αμαξουργόσ. ὁ τὰς ἁμάξας κατασκευάζων.᾿Αμάξιτοσ. πολίχνιον τῆς Τρωάδος. ὁ πολίτης ᾿Αμαξιτηνός. alpha.141 ᾿Αμαρτυρήτουσ. ἀντὶ τοῦ ἀμαρτύρους. ου τως ᾿Αντιφάνης.῾Αμαρτίνουσ. ὁ κατὰ νοῦν ἁμαρτῶν. τὰ ἀπὸ περισπωμένου ῥήματος γινόμενα ῥήματα, η διὰ τοῦ ¯ο γίνεται, οι ον, μισῶ, μισογύνης, φιλῶ, φιλόθεος, η διὰ τοῦ ¯ι, οι ον, ἁμαρτῶ, ἁμαρτίνους, οἰδῶ, οἰδίπους. Αμαχοσ. ὁ μὴ μαχόμενος. ου τως Ξενοφῶν. καὶ ἀμάχητοι οἱ μήπω μεμαχημένοι. Αμασισ. ο νομα κύριον. ο ς ει λε Κύπρον πρῶτος ἀνθρώπων, καὶ κατεστρέψατο εἰς φόρου ἀπαγωγάς. ε στι δὲ καὶ Αμασις ο νομα πόλεως. *᾿Αμουργοί. λαμπτῆρες.*᾿Αμαλλοδετήρ. ὁ τὰ δράγματα συλλέγων. α μαλλα γὰρ ἡ δέσμη τῶν ἀσταχύων.῾Αμαρτοεπήσ. ὁ ἐν τῷ λέγειν ἁμαρτάνων.᾿Αμάλθακτοσ. ἀνένδοτος.῾Αμαρτωλοί. οἱ ἑκουσίως ἁμαρτάνοντες, καὶ μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας.᾿Αμαιμάκετος καὶ ἀμαιμακέτησ. ὁ μακρὸς, ὁ ἀκαταγώνιστος, ὁ ἀκαταπόνητος. παρὰ τὸ μῆκος, μάκετος. οι ον· ἱστὸν ἀμαιμάκετον. καὶ διπλασιασμῷ μαμάκετος· καὶ πλεονασμῷ τοῦ ¯ι καὶ ἐπιτάσει τοῦ ¯α ἀμαιμάκετος, ὁ ὑπερφυής. τὸ δὲ –πνείουσ' ἀμαιμάκετον πῦρ παρὰ τὸ μαιμῶ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

μαίμακα, ο καὶ μαιμάων φησὶν Ομηρος. –ὡς δ' ἀναμαιμάει– ᾿Αμβλυωπίασ. ὁ ἀμυδρῶς ὁρῶν.᾿Αμβολιεργόσ. ὁ τὸ ε ργον ὑπερτιθέμενος.῾Ησίοalpha.142 δος· ἀεὶ δ' ἀμβολιεργὸς ἀνὴρ α τησι προσπαλαίει. Αμβων. ὁ ὑψηλὸς τόπος. παρὰ τὸ βῶ, βῶν, καὶ ἀνάβων, καὶ κατὰ συγκοπὴν α μβων. κυρίως δὲ α μβων τὸ χεῖλος τῆς λοπάδος, παρὰ τὸ ἐν ἀναβάσει ει ναι. οι ον· πολλῶν η δη λοπάδων τοὺς α μβωνας παρειλείξειας. Αμβατοσ. ἀναβατός. ἐκ τοῦ βαίνω, βανῶ, βέβακα, βέβαμαι, βέβαται, βατὸς, ἀναβατὸς, καὶ κατὰ συγκοπὴν α μβατος.᾿Αμβλύσ. ἀσθενὴς, βραδύς. ἀμβλὺς καὶ ὁ μὴ ὀξὺς σίδηρος. παρὰ τὸ μῶλος, ο ε στιν ἐγχρονισμὸς τῆς μάχης, γέγονε μωλὺς, ὡς ι ππος, ἱππύς· καὶ κατὰ στέρησιν ἀμωλὺς, ὁ μὴ ἐπὶ μῶλον καὶ πόλεμον ἐπιτήδειος· καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ ¯β ἀμβλύς.᾿Αμέγαρτος. ὁ μὴ φθόνου α ξιος. παρὰ τὸ μεγαίρω, τὸ φθονῶ. οι ον· –ἀμέγαρτε συβῶτα– πόνος γὰρ τοῖς εὐτελέσιν οὐ προσγίνεται. δηλοῖ καὶ τὸ πολύ. ὡς τό· –πόνον δ' ἀμέγαρτον ο φελλε. κατ' ἐπίτασιν τοῦ ¯α. τὰ γὰρ μεγάλα φθονεῖτε.᾿Αμενηνόσ. ὁ ἀσθενής. παρὰ τὸ μένος α μενος, καὶ πλεονασμῷ τῆς ¯ν¯η συλλαβῆς ἀμενηνός. ὡς πέτω, πετηνός. καὶ ἀμενηνῶ ῥῆμα. γράφεται καὶ δίφθογγον, τὸ πετεινός. Αμητοσ. καιρὸς θερισμοῦ, η ἡ θερισθεῖσα χώρα.᾿Αμητὸς δὲ, τὸ ε ργον τοῦ θερισμοῦ.᾿Αμηχάνητοι. ἀντὶ τοῦ πολλοί. ου τως Ξενοφῶν.᾿Αμισηνόσ. ἀπὸ τόπου.᾿Αμιτροχίτων. ὁ μὴ χρώμενος μίτρᾳ, ο ε στι ζώνη πολεμική. alpha.143᾿Αμίσγαλοσ. ὁ δυσάρεστος, ὁ μὴ α λλῳ μισγόμενος. καὶ ἀμίσαλλος. οι ον· –ἀμίσαλλοί τε γέροντες. κατ' ε νδειαν τοῦ ¯γ. Αμναμοσ. ἀπόγονος. κυρίως ἐπὶ τῶν προβάτων. παρὰ τὸ ἀμνός.᾿Αμνειόσ. ὁ ποταμός. καὶ ἀμνίς· καὶ ἀμνός. Αμνησ. ο νομα ο ρους. ᾿Αμνηκών. προβατώδης. μωρός· εὐήθης. τοιαῦτα γὰρ τὰ πρόβατα. καὶ σκοπεῖς γε τῶν πολιῶν ο στις ἐστὶν ἀμνήκων πλούσιος.᾿Αριστοφάνης τοῦτο φησίν. ᾿Αμνόν. τὸν ἐνιαύσιον α ρνα. τρεῖς γὰρ ἡλικίαι· ἀμνὸς, ἀρνὸς καὶ ἀρνειός. ἀμνὸς, παρὰ τὸ μένος α μενος, η παρὰ τὸ μνοῦς, ο σημαίνει τὴν ἐκ γενετῆς αὐτοῦ μαλακὴν τρίχα, ἐξ ου μνούδην, γίνεται ἀμνὸς, οἱονεὶ ὁ ἐστερημένος τῶν νηπίων τριχῶν. ᾿Αμνών. ο νομα κύριον. ᾿Αμμοάτιν. ει δος ο φεως. ᾿Αμόγητοι. ἀκακοπάθητοι.῾Αμορβὸς καὶ ἀμορμός. ὁ α μα τινὶ ὁρμῶν.᾿Αμοῦσ. κύριον.᾿Αμνισόσ. ποταμὸς Κρήτης. τὸ ¯μ¯ν¯ι ἰῶτα. τὰ εἰς ¯ο¯ς τρισύλλαβα, ἐπὶ ποταμῶν, ὀξύτονα, εἰ μὲν καθαριεύουσι, διὰ τῆς ¯ε¯ι διφθόγγου. οι ον᾿Αλφειὸς,᾿Ολμειός. εἰ δὲ μὴ, διὰ τοῦ ¯ι. οι ον ᾿Αμνισὸς, Κηφισὸς, ᾿Ιλισός. πρόσκειται ὀξύτονα, διὰ τὸ μονιός. τὸ δὲ Δαρδάνειος, ε στιν ο νομα ποταμοῦ, καὶ ὑπὲρ τρεῖς συλλαβάς. ἀλλ' ου ν ὀξυνόμενον, ἠκολούθησε τὸ ᾿Αλφειός. πρόσκειται τρισύλλαβον, διὰ τὸ Σαγγάριος. ᾿Αμολγῷ. μεσονυκτίῳ. alpha.144 Αμβροτοσ. α φθαρτος, θεῖος.᾿Αμόσ. ἡμέτερος. ὡς ἀπὸ τοῦ σφέτερος σφὸς δωρικῇ διαλέκτῳ, ου τω καὶ ἀπὸ τοῦ ἁμέτερος ἁμός.᾿Αμυκλαῖοσ. ἀπὸ τόπου.᾿Αμύμων. α ψογος, ἀγαθός. παρὰ τὸ μύω τὸ καμμύω· ὁ μέλλων μύσω, ἐξ ου ῥηματικὸν ο νομα μύμων, καὶ ἀμύμων, ὁ μὴ κεκαμμυμένος.᾿Αμύντωρ. ὁ βοηθὸς, η καὶ ὁ τιμωρητικός. ᾿Αμφίβολοι. πανταχόθεν βαλλόμενοι, η ἀπορούμενοι, η διαφόροις συνεχόμενοι λογισμοῖς. ᾿Αμύητοσ. ἀδίδακτος, ἀμαθὴς, μὴ μετασχὼν μυστηρίων.᾿Αμφίβροχοσ. τουτέστι μεθύων. ἡδὺ μέθυ βλύζων ἀμφίβροχος ει ματα βάκχῳ.῾Αμφίδοξον. τὸ ἀμφίβολον. –οἱ δὲ οὐκ ῳ οντο δεῖν εἰς ἀμφίδοξον ἀγῶνα συγκαταβαίνειν, δυναμένοις προδήλως νικᾷν.᾿Αμφίδυμοι. πανταχόθεν κατάδυσιν ε χοντες καὶ σκέπην. οι ον ἀμφίδυνοι, ἀπὸ τοῦ δύνον τὸ σκεπόμενον. λέγεται δὲ καὶ ὁ λιμὴν τῆς Κυζίκου ἀμφίδυμος, δισσὰς ἐξόδους ἐξ ἑκατέρου μέρους ε χων, *καὶ εἰσόδους.*᾿Αμυδρόσ. παρὰ τὸ μυδρὸς, ο σημαίνει τὸν πεπυρακτωμένον σίδηρον. ἀμυδρὸς ὁ ἀλαμπής. ᾿Αμφιθαλήσ. ἑκατέρωθεν θάλλων. ᾿Αμφίκοιτοσ. ὁ τάπης. ᾿Αμφιμάσχαλοσ. χειριδωτὸν ἱμάτιον· οἱ δὲ δουλικὸν η μικρὸν χιτωνίσκον. η ν δὲ ἑτερομάσχαλος ὁ τῶν ἐργατῶν, ου τὴν μίαν μασχάλαν ε ραπτον.᾿Αμφιμήτωρ. ὁ ἑτερομήτωρ. alpha.145᾿Αμφιπάτωρ. ὁ ἐκ τοῦ αὐτοῦ πατρὸς, ἑτέρας δὲ μητρός. ᾿Αμφιῤῥῶγασ. πάντοθεν διεῤῥωγότας, ἠνεωγμένους, κολωβοὺς, ἀμφιῤῥῶγας. Αμφισ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κωμικὸς,᾿Αθηναῖος. ἀμφὶς δὲ ἀντὶ τοῦ χωρίς.᾿Αμφορεαφόρουσ. τοὺς μισθίους. τοὺς τὰ κεράμια φέροντας.᾿Αμφούδησ. κύριον ο νομα.᾿Αμφικτύονεσ. τὸ κτῖσαι ἐπὶ τοῦ οἰκίσαι ε λαβον οἱ παλαιοί. ὡς Ομηρος· –εὐκτίμενον πτολίεθρον– ε στιν ου ν οἰκίζω, οἰκίσω, οἰκίων καὶ οἰκτίων, καὶ πλεονασμῷ τοῦ ¯τ καὶ τῆς ἀμφὶ ἀμφικτίων, καὶ τροπτῇ τοῦ ¯ι εἰς ¯υ ἀμφικτύων. ε στι δὲ συνέδριόν τι ἑλληνικὸν συναγόμενον ἐν Θερμοπύλαις. ὠνομάσθη δὲ ἀπὸ᾿ Αμφικτύονος τοῦ Δευκαλίωνος, ο τι αὐτὸς συνήγαγε τὰ ε θνη βασιλεύων. ταῦτα δὲ εἰσὶ ¯ι¯β, Ιωνες, Δωριεῖς, Περῤαιβοὶ καὶ λοιποί. ᾿Αμφιτάπητεσ. τὰ ἐπεύχια, τὰ ἀπὸ τῶν δύο μερῶν μεμαλλωμένα. τάπητες δὲ τὰ ἀπὸ τοῦ ἑνὸς μέρους ε χοντα μαλλούς.᾿Αμφίπολοσ. ὁ δοῦλος. τὰ παρὰ τὸ πολῶ καὶ χέω μὴ μετὰ προθέσεως συντιθέμενα πρὸ μιᾶς ε χουσι τὸν τόνον. οι ον· οἰνοπόλος, ὀνειροπόλος, οἰνοχόος. τὰ δὲ μετὰ προθέσεως προπαροξύνεται. οι ον· ἀμφίπολος, πρόπυλος. ε στι δὲ καὶ ἐπὶ θηλυκοῦ.᾿Αμφορεύσ. ὁ ἀσκὸς, η τὸ δίωτον σταμνίον, τὸ ἑκατέρωθεν αἰρόμενον. ἀμφερεὺς καὶ ἀμφορεύς.᾿Αμφορίσκοσ. ὁ λῶρος. σημαίνει δὲ καὶ ἀγγεῖον.᾿Αμφίδρυφοι. ἐξεσμένοι ἀμφοτέρωθεν. alpha.146 Αμφω μὲν η στην. ἀντὶ τοῦ, ἀμφότεροι μὲν ὑπῆρχον.᾿Αμφοῖν. τοῖς δυσὶν η τῶν δύο.᾿Αμφιπέρι. περὶ αὐτούς. ᾿Αμφ' ω μοισι. περὶ τῶν ω μων.᾿Αμφόνον. ἀναφόνον. τὸ τοιοῦτον σχῆμα ει δους ἐστὶ συγκοπή. Αμωμοσ. ὁ καθαρὸς καὶ ἀναίτιος. τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις α μωμον. ᾿Αμμωνιανός· ᾿Αμίδαος· ᾿Αμωντιανόσ. ὀνό ματα κύρια. ᾿Αμμώνιοσ. φιλόσοφος᾿Αλεξανδρεὺς, ὁ ἐπικληθεὶς Σάκκας. ου τος ἀπὸ χριστιανῶν γέγονεν ε λλην, ὥς φησὶ Πορφύριος. (Θηλυκόν.) ᾿Αμπαλίνωροσ. ὁ τὴν αὐτὴν ὁδὸν ἀναστρέφων. οι καδ', ω παῖ, α πιθι ἀμπαλίνωρος.᾿Αμπελεών. ἡ ἀμπελόφυτος γῆ. λιτός θ' ὁ σχεδὸν ἀμπελεών.᾿Αμπέλειοσ. βότρυς ὁ τῆς ἀμπέλου.᾿Αμπέλιος δὲ κύριον, ¯ι. Αμβρων. ἡ τῆς πέτρας ὀφρύς. ευ ρον τοῦτο καὶ α μβη. Αμμοροσ. ὁ κακοθάνατος. *λέγεται δὲ ὁ δύσμορος.*᾿Αμολγῷ. μεσονυκτίῳ η σκότει, ἐν ῳ τις παύεται τοῦ μολεῖν η τοῦ πονεῖν. Ομηρος· ο νειρον ἐπέσσυτο νυκτὸς ἀμολγῷ.᾿Αμαθία. ἀντὶ τοῦ ἀναισθησία. ου τως Πλάτων.῾Αμαξεία. ὁ τῶν ἁμαξῶν φόρτος.῾Αμαρτάδασ. ἀπὸ τῆς ἁμαρτὰς εὐθείας. alpha.147῾Αμαρτία. ἡ τοῦ καλοῦ ἐκτροπὴ, ει τε τοῦ κατὰ φύσιν, ει τε τοῦ κατὰ νόμον. καὶ ἡ τοῦ καλῶς ε χοντος ἐκτροπὴ, καὶ ἡ κατὰ σκοπὸν καὶ κατὰ γνώμην ε κπτωσις, καὶ ἡ τῆς προσηκούσης κράσεως ἀπόπτωσις. ε στι δὲ καὶ πρᾶξις παρὰ τὸν προσήκοντα λόγον πραττομένη. ἁμαρτία μοναχοῦ, ἡ πρὸς τὴν ἀπηγορευμένην ἡδονὴν τοῦ λογισμοῦ συγκατάθεσις.῾Αμαρτία γνωστικοῦ. γνῶσις ψευδὴς, αὐτῶν τῶν πραγμάτων τῆς θεωρίας τεχθεῖσα τινὸς, η ἐκ τοῦ μὴ δ' αὐτῷ καλῶς βασανίζεσθαι τὸ πρόβλημα.῾Αμαρτία. κυρίως ἡ ἀποτυχία. παρὰ τὸ μάρπτω, ἁμαρπτία, καὶ ἐλλείψει τοῦ ¯π ἁμαρτία. ε νθεν καὶ μάρτυς ὁ μάρψας καὶ εἰδὼς τὸ ἀληθές. η ἁμαρτία παρὰ τὸ ἀρτῶ τὸ ἁρμόζω, πόῤῥω ου σα τοῦ συνηρμόσθαι ο βούλεται, τῆς ἀπὸ προθέσεως τὸ α ποθεν δηλούσης.᾿Αμάρα. ὀχετὸς, η ὑδροῤῥόα. παρὰ τὸ α μα ῥεῖν τὸ υ δωρ. η ο τι τὰ φυόμενα πλησίον οὐκ ἐᾷ μαραίνεσθαι. η διὰ τὸ παρὰ τὰς αἱμασιὰς ῥεῖν. Αμαξα. παρὰ τὸ α γω, α μαξα. ε στι δὲ καὶ Αμαξα χωρίον Βιθυνίας. ὁ χωρίτης᾿Αμαξίτης.᾿Αμάσεια. πόλις Ποντικὴ, ἀφ' η ς Στράβων. ὁ πολίτης ᾿Αμασεύς. κατὰ δὲ Πίτωνα ᾿Αμασεώτης. πειστέον α ρα Στράβωνι, ὡς πολίτῃ. Αμαστρισ. ἡ πρότερον Κρῶμα. Κρῶμάν τ' αἰγιαλόν τε– ἀπὸ γυναικὸς Περσίδος ᾿Αμάστριδος, θυγατρὸς᾿Οξυάθρου τοῦ ἀδελφοῦ Δαρείου. τὸ ἐθνικὸν᾿Αμαστριανός. ὡς Φάσις, Φασιανός. τὰ γὰρ τοιαῦτα η ἀπὸ τῶν εἰς ¯ο¯ς εὐθειῶν, ὡς Βάκτριος, alpha.148 Βακτριανός. η ἀπὸ τῶν εἰς ¯ο¯ς γενικῶν, ὡς τοῦτο. η ἀπὸ τῶν διὰ τοῦ ¯ι¯α θηλυκῶν, ὡς᾿Ολβία,᾿Ολβιανὸς,᾿Ασία,᾿Ασιανός.᾿Αμαστριανή. ἡ γυνή.῾Αματροχία. τὸ α μα τρέχειν καὶ μὴ ἀπολείπεσθαι· οι ον ὁμοδρομία τὶς ου σα. τροχοὺς γὰρ τοὺς δρόμους ε λεγον. ὀξύνεται δὲ ὡς φυλαλία.᾿Αμαξοτροχία. ὁ τόπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ.᾿Αμαξιτόσ. ἡ δημοσία ὁδός. Αμαθοσ. ἡ μεσόγειος α μμος, ἀπὸ τοῦ ψάμαθος ἀποβολῇ τοῦ ψ. η α μυθος τὶς ου σα τίς ἐστιν ἀνεπίγνωστος, η ν οὐκ ε στιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀριθμῆσαι. ψάμμος δὲ λέγεται ἡ περὶ τὴν θάλασσαν.᾿Αμαξίσ. ει δος πλακοῦντος. η κοπτὴν φαμέν.᾿Αμαρυγή. ἡ λαμπηδών.᾿Αμαρυλλίσ. ἡ πορνεία.᾿Αμάλλα. ἡ δέσμη τῶν ἀσταχύων. ᾿Αμάμυξισ. ἡ ἀναδενδρὰς ἡ συνδεδεμένη, παρὰ τῆς ἀμύξεως. συνδεσμοῦνται γὰρ αἱ ἀναδενδράδες. α μυξις καὶ πλεονασμῷ καὶ τροπῇ ἀμάμυξις. ᾿Αμβολία. ἡ ὑπέρθεσις.᾿Αμβροσία. θεῖα, η τοι θαυμασία, η ἀθανασία. Αμβασισ. ἡ ἀνάβασις.᾿Αμβροσία. τροφὴ θεία, η ς οἱ βροτοὶ οὐ μετέχουσι, η η ς οὐχ οι όν τε βροτοῖς α ψασθαι.᾿Αμβολάσ. ἡ ὑπὸ τοῦ ὀρύγματος ὑψωθεῖσα γῆ.᾿Αμάλθεια. ἡ τροφὸς τοῦ Διός. ει ναι γὰρ αὐτὴν φασὶν ἀμαλακιστίαν, ο θεν καὶ πεπλᾶσθαι τὸ ο νομα, παρὰ τὸ μὴ μαλάττεσθαι. διὰ τοῦτο καὶ τὸν῾Ηρακλέα καρτερικώτατον γενόμενον ε χειν αὐτῆς τὸ κέρας ἐμυθολόγησαν. alpha.149 Αμβη. ἡ τῆς πέτρας ὀφρύς. Αμη. ἡ δρεπάνη.᾿Αμηχανία. ἀπορία.᾿Αμαιμακέτην. φοβεράν. παρὰ τὸ μαιμάων, μαιμάκετον, ἐξ ου τὸ θηλυκὸν ἀμαιμακέτην. η παρὰ τὸ τὴν μάχην, ἀμαιμάχετος καὶ ἀμαιμάκετος. Αμισοσ. πόλις. ὁ πολίτης᾿Αμισηνός. Αμιλλα. ὁ ἀγὼν, η ε ρις καὶ δρόμος ἀγωνιστικός.᾿Αμίσ. τὸ οὐροδόχον ἀγγεῖον. παρὰ τὸ ὀμιχῶ, τὸ οὐρῶ. η παρὰ τὸ α μη, ἀμὶς, ὡς σκάφη, σκαφίς.᾿Αμνηστεία. ἡ ἀγαμία.᾿Αμνηστία δὲ, ἡ λήθη.᾿Αμοργία καὶ ἀμόργη καὶ ἀμοργίας. ἡ λινοκαλάμη, η ἡ τοῦ ἐλαίου ὑποστάθμη, η ἡ τρυγία. ᾿Αμόργεια. χρώματος βυσσίνου ει δος. ἀπὸ νήσου᾿Αμοργοῦντος, ὡς θήρεια ἀπὸ Θήρας νήσου. καὶ ἀμοργίνα.᾿Αμοιβή. ἡ ἀντικαταλλαγὴ, ἀνταπόδοσις. Αμπωτισ. ξηρασία. καὶ ἀνάπωσις. ο που ἀναδίδωσι τὸ υ δωρ, καὶ πάλιν ἐπανέρχεται. τοῦτο δὲ γίνεται κατὰ Βρεττανίαν καὶ τὴν ἐπὶ τὰ Γάδειρα ἑσπερινὴν θάλασσαν, καὶ εἰς τὴν ε ρημον ευ ριππον. ἐκ τοῦ πῶμι, πώσω, πῶσις, ἀνάπωσις, καὶ α μπωσις κατὰ συγκοπὴν, καὶ τροπῇ α μπωτις. ᾿Αμπνοάσ. ἀντὶ τοῦ ἀναπνοάς. alpha.150 Αμπυξ. γυναικεῖον ἀνάδεσμα, η τὸ κεφαλοδέσμιον. παρὰ τὸ ἀμφέχειν α μφυξ καὶ α μπυξ. η παρὰ τὸ πυκάζειν καὶ ἀνέχειν τὰς τρίχας. Αμπελοσ. ἀνάπηλός τις ἐστὶν, ἡ μὴ ε χουσα ἐν αὐτῇ τὸν πηλὸν η γουν τὸν οι νον. η παρὰ τὸ πάλλειν καὶ σείειν ἡμᾶς, πίνοντας αὐτόν. ᾿Αμυγδαλή. τὸ δένδρον. ἀμυγδάλη δὲ, ὁ καρπός. καὶ δειλαὶ δάκνεσθαι ἀμυγδαλαί. παρὰ τὸ ἐν τῷ κελύφει τὸ μετὰ τῶν ε ξω χλωρὸν πολλὰς ἀμυχὰς ε χειν.᾿Αμύκλαι. πόλις Λακωνική. ε στι δὲ καὶ κόσμιόν τι, ο περ ἐν ποσὶν ε χειν᾿Εμπεδοκλῆς. ει χε γὰρ χρυσοῦν στέμμα ἐπὶ τῆς κεφαλῆς, καὶ ἀμύκλας ἐν τοῖς ποσὶ χαλκᾶς καὶ στέμματα Δελφικὰ ἐν ταῖς χερσίν. Αμη. ἡ δρεπάνη. παρὰ τὸ α μα καὶ ὑφ' ε ν πολλὰ ε λκειν. ᾿Αμπεχόνη. ἱμάτιον, παλλίον. καὶ γὰρ η ν αὐτῇ ἱμάτια καὶ περιζώνια καὶ ἀμπεχόνια δύο. ἰστέον, ο τι ἡ ἀμφὶ πρόθεσις λέγεται καὶ ἀμπὶ παρὰ τοῖς Αἰολεῦσιν, οι ον· ἀμπεχόνη, ἀμπίσχουσα, ἐκ τοῦ ε χω ι σχω. Αμυνα. ἡ ἐπὶ ἀμοιβῆς καὶ ἐπὶ εἰσπράξεως δίκη.᾿Αμυχή. ἡ μὴ εἰς βάθος πληγή. ἐπιπόλαιον ε λκος, η τοι μετρία τομὴ, ὁρωμένη ἐπὶ τοῦ δέρματος. παρὰ τὸν μυχὸν, μυχὴ καὶ ἀμυχή. η παρὰ τὸ ἀμύσσειν, ο περ ἐκ τοῦ αἱμάσσειν γίνεται.᾿Αμετρία. ὑπερβολή. alpha.151᾿Αμφασία. ἀφωνία.᾿Αμφίβασισ. ὑπερμάχησις. κυρίως ἡ περὶ τοῦ νεκροῦ μάχη.᾿Αμφιδέασ. ἁλύσεις. παρ῾Ηροδότῳ. οἱ δὲ ψέλια η περισκελίδας.᾿Αμφιδήριτον. ἰσοστάσιον, ἀμφίδοξον. συνέβη γενέσθαι τὴν μάχην ἀμφιδήριτον.᾿Αμφιετηρίσ. ἡ κατ' ε τος γινομένη ἑορτὴ καὶ θυσία.᾿Αμφίθετον φιάλην. κατὰ πᾶν μέρος αὐτῆς τιθεμένης, ἀπύθμενον. οὐ τὸ παρ' ἡμῶν ποτήριον, ἀλλὰ γένος λέβητος ἐκ παντὸς μέρους δυνάμενον ε δραν ε χειν.᾿Αμφιλύκη. σκοτεινὴ νύξ. η λυκόφωτον. λυγαῖον γὰρ τὸ σκοτεινόν. παρὰ τὸ λύειν τὴν αὐγὴν καὶ μὴ ἐᾷν στῆναι αὐτήν. ἐξ αὐτοῦ γίνεται λύγη, καὶ τροπῇ τοῦ ¯γ εἰς ¯κ λύκη, καὶ ἀμφιλύκη. ου τως᾿Ωρίων. Αμφοδοσ. ἡ ῥύμη.᾿Αμφιορκία. ἐπειδὰν ο , τε διώκων καὶ ὁ φεύγων ὀμνύωσι, κλοπῆς ε γκλημά τισιν ἐπιφέροντες.᾿Αμφιπλήξ. ἡ ἀμφοτέρωθεν ἐλασία. ᾿Αμφίπρυμνεσ. ει δος πλοίων. ε μπαλιν διελθεῖν παρεσκεύασε τὸν Ιστρον ἐν ταῖς ἀμφιπρύμναις τῶν νεῶν.᾿Αμφίπολισ. ἡ δούλη.᾿Αμφιῤῥύτη. κύκλῳ περιῤῥεομένη. Αμφισα. πόλις τῆς Λοκρίδος. ὠνομάσθη δὲ Αμφισα διὰ περιέχεσθαι τὸν τόπον ο ρεσιν.᾿Αμφισβήτησισ. οἱ ε ξω φασίν· ἡ ἀμφισβήτησις κρίσει ἀναρτάσθω, ἡ δὲ κρίσις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοὺς ἐλέγalpha.152 χους βασανιζέσθω, ἡ δὲ βάσανος τὸ δέον ὁριζέσθω, ὁ δὲ ο ρος γεγράφθω, τὰ δὲ γεγραμμένα κυρούσθω, τὰ δὲ κυρωθέντα βεβαιούσθω τοῖς ε ργοις, καὶ πᾶσα ἀψιμαχία οἰχέσθω, καὶ πάλιν φιλία χορευέτω· καὶ οὐ δεῖ ἀπερισκέπτως ποιεῖσθαι τὰς κρίσεις. ᾿Αμφίσβαινα. ζῶον. ᾿Αμφιστεφέεσ. πάντοθεν πλήρεις, περιπεπλεγμέναι ἀλλήλαις.᾿Αμφίστομοσ. αυ τη ἡ φάλαγξ καλεῖται, ἡ τοὺς ἡμίσεας τῶν ἐν τοῖς λόχοις ἀνδρῶν ἀπεστραμμένους ἀπὸ σφῶν ε χουσα, ὡς ἀντινώτους ει ναι.᾿Αμφιτρίτη. ἡ θάλασσα. η γὰρ παρὰ τὸ ῥεῖν ε στιν, ἡ περιῤῥεομένη, η παρὰ τὸ τρεῖν· φόβον γὰρ ἐμποιεῖ. καὶ ω φειλε δίφθογγον ει ναι ἐκ τῆς ἐτυμολογίας. ἀλλὰ τὰ εἰς ¯τ λήγοντα θηλυκὰ βαρύτονα ὑπὲρ μίαν συλλαβὴν ἑνὶ φωνήεντι θέλουσι παραλήγεσθαι. οι ον, ἐρέτη, μελέτη, ᾿Αφροδίτη, ᾿Αμφιτρίτη. ᾿Αμφίφαλλον. ἀμφοτέρωθεν φαλλοὺς ε χουσαν. φαλλοὶ δὲ, οἱ ἀσπιδίσκοι. ἀμφίφαλλον ἀσπίδα. ᾿Αμφῶες καὶ ἀμφωτίδες καὶ ἀμφωτίδων. τῶν δύο ω τα ἐχουσῶν. καὶ παροιμία· μέχρι τῶν ἀμφωτίδων. ἐπὶ τῶν α γαν πεπληρωμένων, ἀντὶ τοῦ μέχρι τῶν ω των, αι τινες η σαν χαλκᾶ τινὰ, καὶ περιετίθεσαν οἱ παλαισταὶ τοῖς ὠσίν. ἀμφῶες δὲ παρὰ τὸ ου ας, ἐλλείψει τοῦ ¯υ ο ας, ὡς ου δας, ου δος. ὡς γένος, εὐγενὴς, ου τως α μφω, ἀμφῶες. ᾿Αμοιβαίασ. ἀνταλλαττομένας. ᾿Αμηχανίαν. ἀπορίαν, ἀδυναμίαν. alpha.153 ᾿Αμελέτητοσ. ἀθέλητος, ἀζήτητος, α πρακτος. τοῦ ἁγίου Μαξίμου. φησὶ γάρ· ἀμελέτητος πᾶσα καθέστηκε μέθοδος, τοῦ, δι' ο πέφυκεν, ἐξανυσθέντος. η ἀνυσθῆναι δόξαντος. (Οὐδέτερον.) Αμματα. δέσματα, σχοινία. λέγεται δὲ καὶ ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους, ἀπὸ τῶν ἐν᾿ Ακασίῳ Πηλουσιωτῶν, οι φυσικῇ τέχνῃ α μματα ε πλεκον, δοκοὺς ἐπὶ δοκοῖς συνάπτοντες. Αμαχον. τὸ δυσκαταμάχητον. Πίνδαρος· α μαχον δὲ κρύψαι τὸ συγγενὲς η θος. Αμανον. ο ρος πρὸς τῇ Κιλικίᾳ. ἐκλήθη δὲ Αμανον ἀπὸ τοιαύτης ἱστορίας.᾿Ορέστης ἀπὸ Ταύρων σὺν᾿ Ιφιγενείᾳ τὴν Αρτεμιν κομίσας, ἐν τῷ τοιούτῳ ο ρει τῆς μανίας λύσιν ευ ρεν.᾿Αμαράντινον. ἀειθαλές. ᾿Αμαυρόν. τὸ σκοτεινόν.᾿Αμάρυγμα. λαμπηδών. καὶ ἀμαρυγαὶ, αἱ τῶν ὀφθαλμῶν ἐκλάμψεις. σημαίνει καὶ τὰς τοῦ προσώπου ῥυτίδας, αι τινες ει ρηνται διὰ τὸ ἀμαυρὸν ἀλαμπεῖς ει ναι καὶ ἀμυδραί· η παρὰ τὸ ἀμάραις ἐοικέναι. ὡς γὰρ ἐκεῖναι τὸ υ δωρ, ου τω καὶ αυ ται τὸν ἱδρῶτα μετάγουσι παρ' ἑκάτερα μέρη τῆς κεφαλῆς. αἱ δὲ ἐκλάμψεις ει ρηνται παρὰ τὸ μαίρω, τὸ λάμπω, ἐξ ου καὶ τὸ μαρμαίρω καὶ μαρμαρυγὴ καὶ μάρμαρον. ἀφ' ου alpha.154 κύριον ο νομα. ἐκ τοῦ μαρῶ μέλλοντος γίνεται μάρων, ἐξ ου μαρύσσω, καὶ πλεονασμῷ τοῦ ¯α ἀμαρύσσω, καὶ ἀμάρυγμα, η μαρυγμαὶ, ἀμαρυγμὴ καὶ ἀμάρυγμα. ᾿Αμβλίσιον. τὸ μάννα. ᾿Αμειδέσ. στυγνὸν, σκυθρωπὸν, ἀγέλαστον.᾿Αμείλικτον. σκληρὸν, ἀπότομον, μὴ πραϋνόμενον. Αμεινον. κρεῖττον, βέλτιον, κάλλιον.᾿Αμερβέσ. τὸ μεσονύκτιον. παρὰ τὸ τὴν ο ρφνην, καὶ ἐκλείψει τοῦ ¯ν καὶ τροπῇ τοῦ ¯φ εἰς ¯β ἀμερβές. ὡς ἐν τῷ κύφος, κύβος, φερενίκη, βερενίκη. καὶ ἀμορβὸς καὶ ἀμορβὴς, ο ἐστιν ἀκόλουθος, ὁ α μα τινὶ ἀκολουθῶν. τροπῇ τοῦ μ εἰς ¯β. καὶ Αμοργος νῆσος.᾿Αμόριον. πόλις᾿ Ιταλίας, ὡς῾ Ρήγιον. τὸ ἐθνικὸν᾿ Αμηρῖνος.᾿Αμήστρατοσ. πόλις Σικελίας. ὁ πολίτης᾿ Αμηστρατίνος.᾿Αμήρυτον. πολὺ, ἐκτεταμένον, ἀτέλεστον. ᾿Αμήχανον. ὑπὲρ λόγον, η ἀνεπιχείρητον, η ἀδύνατον. τοῖς δὲ῾ Ρωμαίοις ἀμήχανος ἡ χαρὰ παρέστη πρὸς τὸ πάθος.᾿Αμιγέσ. καθαρὸν, α δολον.᾿Αμίστυλον. τὸ μὴ κεκομμένον. Αμνιον. τὸ αἱμαδόχον ἀγγεῖον. παρὰ τὸ αι μα αι μνιον καὶ α μνιον. alpha.155᾿Αμόργιμον. ο μοιον βύσσῳ, πολυτελές. Αμουσα. ἀτερπῆ, ἀηδῆ, ἀπαίδευτα. Αμοτον. ἀπλήρωτον, ἀκόρεστον. παρὰ τὸ μένω γίνεται μοτὸς καὶ α μοτος. οι ον· α μοτον μεμαῶτι μάχεσθαι. ἐπιτάσει τοῦ ¯α. η μότα λέγει τὰ πληρωτικὰ τῶν πληγῶν. καὶ α μοτον κατὰ ἀπόφασιν τὸ μὴ πεπληρωμένον. ἀπὸ μεταφορᾶς τῶν μὴ πεπληρωμένων τραυμάτων, τουτέστι τῶν μότων. η ἀπὸ τοῦ μετρῶ, α μετρον καὶ α μοτον. Αμπαυμα. ἀνάπαυμα. καὶ κατὰ συγκοπὴν α μπαυμα. ἀμπνύνθη. ἀναπνύω, ἀναπνύσω, ἀνέπνυκα, ἀνέπνυμαι, α μπαυμα ἀνεπνύσθη. καὶ πλεονασμῷ τοῦ ¯ν ἀμπνύνθη, ὡς τὸ ἀρτύνθη.᾿Αμπλάκημα. ἁμάρτημα. ἐκ τοῦ πλέκω,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλακῶ, πλάκημα, καὶ ἀμπλάκημα. η παρὰ τὸ ἀναπλέκεσθαι ἡμᾶς. Αμπρον. σχοινίον, ο περ διὰ τῶν ζυγῶν διατείνει. η σχοινίον, μεθ' ου εἰώθασιν ε λκειν, η τοι παρακομίζειν μεγάλα φορτία.᾿Αμυχρὸν καὶ ἀμυχνόν. τὸ καθαρὸν καὶ ἀμύσκαρον. ᾿Αμύθητον. α λεκτον, ἀνεκδιήγητον.᾿Αμυντήριον. ξίφος, η βάκλον, η ῥάβδος, η ἀξίνη, η α λλό τι τῶν πληττόντων.᾿Αμβλωθρίδιον. τὸ ἀμβλωθὲν βρέφος, τουτέστι τὸ α ωρον, τὸ μὴ ἐννεαμήνως γεννηθέν. ἐκ τοῦ ἀμβλῶ, καὶ τοῦ θορῶ, τὸ πηδῶ. ᾿Αμφίγυια. τὰ ἑκατέρωθεν χωλά. Ομηρος ἐπὶ τῶν δοράτων λέγει· –ε γχεσιν ἀμφιγυίοισιν. οἱονεὶ ἑκατέρωθεν γυιῶσαι δυνάμενα, ο ἐστι χωalpha.156 λῶσαι καὶ πλῆξαι διὰ τῆς ἐπιδορατίδος καὶ τοῦ σαυρωτῆρος. οι ον· γυιώσωμεν σφῶϊν. ᾿Αμφίβληστρον. τὸ δίκτυον. ἀπὸ τοῦ ἀμφοτέρωθεν βάλλειν. η παρὰ τὸ βάλλω, βαλῶ, βλήσω, βλῆτρον, καὶ μετὰ τῆς ἀμφὶ, πλεονασμῷ τοῦ ¯ς, ἀμφίβληστρον.᾿Αμφιδεέσ. περιδεές.᾿Αμφίδορον. τὸ πανταχόθεν περιέχον. καὶ σκῦτος ἀμφιδόρου στηκτὸν ἀχαϊνέω. τουτέστιν ἐλάφου δέρμα.᾿Αμφίδρομον. ἑλικοειδές. ἰδέσθέ μ' οι ον α ρτι κῦμα φοινίας ὑπὸ ζάλης ἀμφίδρομον κυκλεῖται. ἑλικοειδὲς, ο βαπτίζει τὰς ναῦς. ᾿Αμφίθυμον. διπλοῦν, η τὸ ε χον κατάδυσιν σκεπτόν.᾿Αμφιθέατρον. τόπος πανταχόθεν περισκοπούμενος. ὁ δὲ τῶν Φράγγων ἡγεμὼν εἰς ἀμφιθέατρόν τι ἀνήρχετο. Αμφηκεσ. ξίφος δίστομον, ἀμφοτέρωθεν ἠκονημένον, η ἀπὸ τοῦ η κω, τὸ ε ρχομαι, η κης καὶ ἀμφήκης, καὶ τὸ οὐδέτερον α μφηκες.᾿Αμφίκλαστον. τὸ πανταχόθεν κεκλασμένον. λείψανον ἀμφίκλαστον ἁλιπλανέος σκολοπένδρης. ᾿Αμφήριστον. ἀμφίλογον, ἀμφίβολον. ἐκ τοῦ ἐρίζω γίνεται η ρισμαι, η ρισαι, η ρισται, ἠριστὸν καὶ ἀμφήριστον.᾿Αμφίκρημνον. ἑκατέρωθεν ἐπικίνδυνον.᾿Αμφίβιον. τὸ δυνάμενον ἐν γῇ καὶ υ δατι ζῆν. Αμφιον. τὸ ε νδυμα. τὸ ἱμάτιον. alpha.157 ᾿Αμφηρεφέσ. ἑκατέρωθεν ἐστεγασμένον.᾿Αμφίδεα. ψέλια, βραχιόνια.᾿Αμφιλαφέσ. τὸ κατάσκιον. ἀμφιλαβὲς τὶ ο ν. τὸ ἑκατέρωθεν ληπτόν. τροπῇ τοῦ ¯β εἰς ¯φ. η παρὰ τὸ τὴν ἁφήν.᾿Αμφίσβατα. τὰ ἀμφισβητήσιμα. ου τως Ἑλλάνικος.᾿Αμφὶ τὸ λυκόφωσ. περὶ τὴν αὐγήν.᾿Αμφίχυτον. περικεχωσμένον.᾿Αμφόδοντα ζῶα. οι ον α νθρωπος, ι ππος, ο νος καὶ ο σα οὐκ ἐνηλλαγμένους τοὺς ὀδόντας ε χει· οι ς συμβέβηκε πιμελὴν, ἀλλ' οὐ στέαρ ε χειν.᾿Αμφορείδιον. ὁ μικρὸς ἀσκός.᾿Αμφοτερόπλουν. ο ταν τις ναυτικὸν δανείσῃ δάνειον, ἐπὶ τῶν ἐνθένδε πνεῦσαι, ποιῶν κἀκεῖθεν ἐνθάδε, τοῦτο ἀμφοτερόπλουν καλεῖται. ου τως Δημοσθένης.᾿Αμφικύπελλον. ποτήριον. παρὰ τὸ κύφον, κύφελον, καὶ κύπελον, καὶ μετὰ τῆς ἀμφὶ, ἀμφικύπελλον, πλεονασμῷ ἑτέρου ¯λ, τὸ ἐκ περιφερείας κύφον. ο θεν καὶ τὰ πρὸς ἡμᾶς κάτω νεύοντα νέφη κύφελα λέγονται. η παρὰ τὸ χέω, χύπελλον, ο που ὁ πηλὸς η γουν ὁ οι νος χεῖται.᾿Αμώριον. πόλις τῆς μεγάλης Φρυγίας. ὁ πολίτης᾿Αμωριαεύς. ὡς Κοτυαεύς· Δορυλαεύς. Αμπρον. τὸ σχοινίον τὸ ε λκον τοὺς βόας.᾿Αμφίξουν. τὸ καλῶς ξέον. –ἀμφίξουν τὲ σκέπαρνον.᾿Αμέθεκτον. τὸ ἀκοινώνητον, τὸ ἀμέτοχον. alpha.158᾿Αμαλεῖον. ὁ δεσμὸς τῶν ἀσταχύων.᾿Αμαυρόν. τὸ α μα ταῖς αυ ραις φερόμενον. Ομηρος· –προσέφη ει δωλον ἀμαυρόν. (῾Ρῆμα.)᾿Αμαλδύνω. κυρίως τὸ διὰ πυρὸς ἀφανίσαι. ἀπὸ τοῦ μαίρω, τὸ λάμπω. ὁ μέλλων μαρῶ, ἀφ' ου τὸ μαραίνω, καὶ στερήσει τοῦ ¯α ἀμαρῶ, καὶ τροπῇ τοῦ ¯ρ εἰς ¯λ ἀμαλῶ καὶ κατὰ παραγωγὴν ἀμαλύνω, καὶ πλεονασμῷ τοῦ ¯δ ἀμαλδύνω. η τὸ ἁπλῶς ἀφανίσαι, η τὸ ὁμαλίσαι. παρὰ τὸ τὴν α μμον. οι ον α μμος, ἀμμῶ, ὡς δοῦλος, δουλῶ. ου τως᾿Ωρίων.᾿Αμᾷν. τὸ θερίζειν. *καὶ ἀμῶ ὁμοίως.* παρὰ τὸ ὁμοῦ ἐπισπᾷν, οι ον ἀμασπᾷν.᾿Αμαθαίνει. α γνωστός ἐστι. ᾿Αμαρύζω· καὶ ἀμαρύσσω. τὸ λάμπω.᾿Αμαθύνειν. τὸ ἀφανίζειν. καὶ κόνιν ποιεῖν. ᾿Αμβλύνω. τὸ ἐκκλύω. ὁ δὲ ἐπὶ πολὺ διῆγε τὸν πόλεμον ἀμβλύνων τὴν τοῦ πολέμου ὀξύτητα.᾿Αμβλυώττειν. τὸ τυφλώττειν. παρὰ τὸ ἀμβλὰ ε χειν τὰ ο σσε η τοι τοὺς ὀφθαλμούς.᾿Αμβλώσκειν καὶ ἀμβλῶσαι. τὸ ἀτελῶς γεννῆσαι, η τὸ εὐτελὲς βρέφος ἀποβαλεῖν. καὶ τὰ πρὸς τοῦτο φάρμακα ἀμβλωθρίδια καλοῦσιν οἱ ἰατροί. ἀπὸ μεταφορᾶς τῶν ἀμπέλων. ὁπόταν γὰρ αυ ται τοὺς λεγομένους ὀφθαλμοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποκαθεῖεν, λέγομεν αὐτὰς ἀμβλυώττειν. alpha.159̓ Αμβλίσκουσι καὶ ἀμβλώσκουσι. ἀντὶ τοῦ ἀποβάλλουσι.᾿Αμενήνωσεν. ἀσθενῆ ἐποίησεν.᾿Αμείβεσθαι. ἀποκρίνεσθαι. ᾿Αμειψόμεθα. ἀνταποδώσομεν. *᾿Αμείβω. τὸ διαβιβάζω.*᾿Αμείβοντα. ἀλλάσσοντα. ᾿Αμείψωμεν. ἀντὶ τοῦ καταλλάξωμεν.᾿Αμειψιρυσμεῖν. μεταμορφοῦσθαι.᾿Αμέλγει. ἐπισπᾶται τὸ γάλα. παρὰ τὸ α μα ε λκειν.̓ Αμέρδω. τὸ στερίσκω. –ο σσε δ' α μερδεν αὐγὴ χαλκείη–.᾿Αμπαύσασ. ἀναπαύσας. ὁ δὲ ἀμπαύσας αὐτοὺς, ο σον τὴν πρώτην φυλακὴν τῆς νυκτὸς προελθεῖν––.᾿Αμπίσχω. τὸ ἐνδύομαι. καὶ ἠμπισχημένος, καὶ ἀμπέχω, καὶ ἀμπέχομαι, ἠμπίσχετο. ἠμπειχόμην δὲ καὶ ἠμπείχετο, δίφθογγα. alpha.160᾿Αμοιρῆσαι. ἀποτυχεῖν.᾿Αμήσαντεσ. θερίσαντες.᾿Αμώντων. θεριζόντων. ῾Αμορμεύεσκε. συνοδοιπόρει. σὺν δ' ἡμῖν ὁ πελαργὸς ἁμορμεύεσκεν. ἀπὸ τοῦ ἁμορμεύειν, καὶ ὁρμᾷν καὶ πορεύεσθαι. ἁμορμεύειν δὲ ἀπὸ τοῦ α μα ὁρμᾷν. ᾿Αμπρεύοντεσ. παρακομίζοντες. α μπρον γὰρ τὸ σχοινίον τὸ ε λκον τοὺς βοῦς. ᾿Αμπρεύων. ὁ μὲν Καλλίμαχος κυρίως ἐπὶ τοῦ ε λκειν ε λαβε τὴν λέξιν· ὁ δὲ Λυκόφρων ἐπὶ τοῦ κακοπαθεῖν. α λλοι δὲ φασὶν, ο τι ἀμπρεύειν ἐστὶ κυρίως τὸ μετὰ ἁμάξης πορεύεσθαι.̓ Αμύνεσθαι. Θουκυδίδης μὲν ἀντὶ τοῦ ἀμείβεσθαι· Σιμωνίδης δὲ ἀντὶ τοῦ χάριτας ἀποδοῦναι· Σοφοκλῆς δὲ ἀντὶ τοῦ ἀπαλεξῆσαι. ἐπὶ τῶν προηδικηκότων τάσσουσιν οἱ ῥήτορες τὸ ἀμύνεσθαι, ο τε οἱ κακόν τι παθόντες ἀντιπράττουσι τοὺς προδιατιθέντας. ᾿Αμύνειν. τὸ βοηθεῖν. παρὰ Θουκυδίδῃ. alpha.161 ᾿Αμύνεσθαι. τὸ κολάζειν. ᾿Αμυνόμενοι. τοὺς κακόν τι πράξαντας ἀντιδιατιθέντες. οἱ δὲ̔ Ρωμαῖοι ε θος ει χον, μὴ α ρχοντες φαίνεσθαι χειρῶν ἀδίκων, ἀλλ' ἀεὶ δοκεῖν ἀμυνόμενοι.᾿Αμύνω σοι. βοηθῶ σοι.᾿Αμύνομαί σε δὲ, ἀντὶ τοῦ τιμωρῶ σε. ᾿Αμύνοντεσ. ἀνταποδιδόντες. ᾿Αμῦναι. ἀποσοβῆσαι η βοηθῆσαι. ᾿Αμιθρῆσαι. μετρῆσαι, ἀριθμῆσαι.᾿Αμπνύνθη. ἀνέπνευσεν.᾿Αμπρεύουσιν. ἐπὶ τοῦ κακοπαθεῖν. ὁ Λυκόφρων, οι ον· α χλαινον ἀμπρεύουσι νηλύποι βίον.̓ Αμπείραντεσ. τὸ διαπείραντες. πείρω γὰρ τὸ σουβλίζω καὶ κεντῶ.̓ Αμπεπαλών. μετοχὴ ἀορίστου πρώτου. οἱ γὰρ Ιωνες ἐν τοῖς ῥήμασιν καὶ ταῖς μετοχαῖς εἰώθασιν ἀναδιπλασιάζειν· λάχωσι, λελάχωσι, λάθῃ, λελάθῃ ... δ' ὀδυνάων.̓ Αμύσσω. ξέω, σπαράσσω.̓ Αμύξεις. λυπήσεις. ἀμύσσω, ἀμύξω. τὸ δὲ ἀμύσσω παρὰ τὸ μύω ἐπίῤῥημα γίνεται μύξω καὶ ἀμύξω. τὸ λίαν οἰμώζειν. τὸ δὲ ξ τρέπεται εἰς δύο ςσ αἰολικῶς, καὶ γίνεται ἀμύσσω. η ἀπὸ τοῦ μύξειν, ἐκθλίβειν τὴν ψυχήν. alpha.162̓ Αμφιαχυῖα. ὀδυρομένη. περὶ τῶν τέκνων ἀμφιαχυῖα. ᾿Αμφαγνοεῖ. ἀμφιβάλλει. * ᾿Αμφιέσαο. περιβάλλου.* ᾿Αμφεπονεῖτο. ε σπευδεν, ἠγωνίζετο, ἐνήργει. πονῶ γὰρ τὸ ἐνεργῶ.᾿Αμφιέννυται. ἐνδύεται. παρὰ τὸ ι ω τὸ ἐνδέδυμαι. παρὰ τὸ ε ω τὸ ἐνδέδυμαι. πλεονασμῷ τοῦ ¯ν ε νω, ἐνύω, ει νυτο. καὶ ἐπεὶ ε θος ε χουσιν οἱ Αἰολεῖς πρὸς τὸ ἐπιφερόμενον σύμφωνον τρέπειν, οι ον φθείρω, φθερῶ, τὸν αὐτὸν τρόπον τρέπουσι τὸ ¯ι εἰς τὸ ¯ν, καὶ γίνεται ἐννύων, καὶ ἀμφιεννύων· καὶ ἐξ αὐτοῦ παράγωγον ἀμφιέννυμι, καὶ τὸ παθητικὸν ἀμφιέννυμαι, ἀμφιέννυται. ᾿Αμφίσκουσιν. ἐνδύουσιν. ᾿Αμφισβητεῖν. ἀμφιβάλλειν.̓ Αμφισβητῶ καὶ σοὶ καὶ σοῦ.̓ Αμφισβητεῖν καὶ παρακαταβάλλειν. ο ταν τελευτήσας τὶς α παις ει ναι δοκεῖ, φάσκει δέ τις ἑαυτὸν ἐκείνου υἱὸν, ου τος ἀμφισβητεῖν τοῦ κλήρου λέγεται. εἰ δὲ παῖδα μὲν τοῦ θανόντος ἑαυτὸν μὴ εἰσάγει, λέγει δὲ α λλως κατὰ γένος ἑαυτῷ προσήκειν τὸν κλῆρον, παρακαταβάλλειν αὐτὸν οἱ νόμοι κελεύουσι. πλὴν ἀμφότερα ἐπ' ἀντιλογίας τάσσεται. alpha.163 ᾿Αμφισβητοῦντεσ. ἀμφιλογοῦντες. ἀπὸ τοῦ ἀμφὶς καὶ τοῦ βάζειν. πολλάκις δὲ πλεονάζει τὸ β. ὡς ἐν τῷ· α δηρον, α βδηρον· καὶ σίδαι, σίβδαι. η παρὰ τὸ ἀμφὶς ἐπίῤῥημα, τὸ κεχωρισμένως βαίνειν. τοιοῦτοι γὰρ οἱ διστάζοντες.᾿Αμφίσταται. περιΐσταται. ἀμφίσταται διαπρύσιος ο ττοβος.᾿Αμφέχανε. καταπέπωκε. –τοὺς δ' ὁ μέλας ἀμφέχανε θάνατος. ᾿Αμφιανακτίζειν. τὸ προοιμιάζειν, διὰ τὸ ου τω προοιμιάζεσθαι. Περίανδρος· ἀμφί μοι αυ τις α νακτα.᾿Αμφέχυτο. τὸ παράγωγον χῦμι, χῦμαι, ἐχύμην, ε χυσο, ε χυτο, καὶ ἀμφέχυτο. ᾿Αμφιδέδηε. περιειλεῖται,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περιορίζει. η καὶ ἀμφοτέρωθεν περιεκύκλωσεν. ἀπὸ τοῦ δέω μέσου παρακειμένου. * ᾿Αμύσσω. ξέω, σπαράσσω.*᾿Αμφιειμένοσ. ἐνδεδυμένος. παρὰ τὸ ε ω τὸ ἐνδύομαι. ὁ μέλλων ε σω, ὁ παρακείμενος ει κα, ὁ παθητικὸς ει μαι. εἱμένος ἡ μετοχὴ, οι ον –εἱμένος ω μοιϊν νεφέλην– καὶ ἐν συνθέσει, ἀμφιειμένος.᾿Αμφαφόωσα. ψηλαφῶσα. Ομηρος· –κοῖλον λόχον ἀμφαφόωσα.᾿Αμφισβητῶ. τὸ ἐξετάζω. καὶ ἀμφισβητία. (᾿Επίῤῥημα.) ᾿Αμέλει. διὰ τοῦτο. βεβαιωτικῶς. ᾿Αμελητί. χωρὶς βραδυτῆτος καὶ ὑπερθέσεως. ᾿Αμεταστρεπτί. χωρὶς ἐπιστροφῆς. ᾿Αμελεϊστί. χωρὶς βραδυτῆτος. ᾿Αμερμηρεὶ καὶ ἀμερμαρεί. χωρὶς φροντίδος. alpha.164 Αμα. Δημοσθένης ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ε ταξε, παρὰ τὸ θαμὰ, καὶ ἀποβολῇ τοῦ θ α μα. τὸ γὰρ πυκνῶς γινόμενον κατὰ τὸν αὐτὸν ἀποτελεῖται χρόνον. τὸ δὲ θαμὰ, ε στι θαμὸς, ἐξ ου τὸ θαμειὸς, ὡς ἀδελφὸς, ἀδελφειός. τὸ θηλυκὸν θαμειά. τὸ οὐδέτερον θαμά. ἡ εὐθεῖα τῶν πληθυντικῶν θαμὰ, καὶ τὸ ἐπίῤῥημα θαμά· οὐ γὰρ ἀπὸ τοῦ θαμὺς, θαμειὸς, ἀφ' ου τὸ, θαμέες γὰρ α κοντες.῾Αμαρτῇ. ὁμοῦ, καὶ κατὰ τὸ αὐτό. καὶ ὁ μὲν᾿Αρίσταρχος χωρὶς τοῦ ¯ι λέγει γράφεσθαι αὐτὸ, ο τι ἀπὸ τοῦ ἁμαρτάδην κατὰ ἀποκοπήν. ᾠ τινι οὐ συνᾴδουσι τὰ τῆς παραδόσεως. ἡ γὰρ παράδοσις σὺν τῷ ¯ι οι δε γράφειν αὐτό. ῾Ηρωδιανὸς δέ φησι σύνθετον ει ναι, ἀπὸ τοῦ α μα καὶ τοῦ ἀρτῶ, καὶ γίνεται ἀπὸ ἀμφοτέρων ἐπίῤῥημα, ἁμαρτῆ καὶ ὁμαρτῆ. ἰστέον δὲ, ο τι τὰ ἀπὸ δοτικῆς γινόμενα ε χουσι τὸ ¯ι. οι ον· ταύτῃ ἐπίῤῥημα.᾿Αμενητί. χωρὶς τοῦ ἐπιμεῖναι.᾿Αμετρί. χωρὶς μέτρου. καὶ παροιμία· ἀμετρὶ μάζαν ε δοντες.᾿Αμήν. πεπεισμένως, ἀληθῶς. η ἀντὶ τοῦ γένοιτο. *ε στι τὸ ἀμὴν ἀντὶ τοῦ ναί. βεβαιωτικὸν γὰρ ἐστίν.* Αμμιγα. ἀναμεμιγμένως. ει νεκεν εὐμαθίης πινυτόφρονος, η ν ὁ μελιχρὸς η σκησεν Μουσῶν α μμιγα καὶ Χαρίτων.᾿Αμισθί. χωρὶς μισθοῦ.᾿Αμοιβαδόν. κατ' ἐναλλαγήν.᾿Αμοιβηδίσ. ἐκ τοῦ ἀμείβω, ἀμοιβὴ καὶ ἀμοιβηδίς. alpha.165᾿Αμόθεν. ἀντὶ τοῦ πόθεν.᾿Αμοχθεί. χωρὶς κόπου.᾿Αμυδρῶσ. σκοτεινῶς, λεπτῶς, ἀσαφῶς.᾿Αμυστί. ἀντὶ τοῦ ἀπνευστὶ καὶ α νευ τοῦ ἀναπαύεσθαι πίνειν. Αμυδισ. ἀντὶ τοῦ ὁμοῦ. παρὰ τὸ α μα, τροπῇ τοῦ ¯α εἰς ¯υ. τὰ ἀπὸ δασέων μετασχηματιζόμενα ψιλοῦται, οι ον· ἡμέρα, η μαρ, ἡδονὴ, η δος, ο σημαίνει τὸ ο φελος, α μα, α μυδις.᾿Αμογητί. χωρὶς βίας η κακοπαθείας. ᾿Αμβλήδην. μεγάλως βοῶσα. ᾿Αμβολάδην. ἀναβολικῶς. ἐκ τοῦ ἀναβάλλω, ἀναβολάδην. καὶ ἀμβολάδην. ᾿Αμυχί. ἐπιπολαίως. ᾿Αμφαδόν. φανερῶς. φαίνω, φανδὸν, καὶ ἀμφαδὸν, καὶ ἀμφαδίην.᾿Αμφὶ περί. ἐξ ἑκατέρου μέρους.᾿Αμφίσ. ἀντὶ τοῦ χωρίς. τοῦτο οὐ συγκοπὴ, ἀλλὰ μετασχηματισμός. ἀπὸ γὰρ τοῦ᾿Αμφιάραος, Αμφις. ὡς παρ' Αἰσχύλῳ. ω σπερ ἀστράγαλις α στρις, καὶ᾿Ιφιάνασσα Ιφις, καὶ Θρασυκλῆς Θράσυλλος, καὶ Βαθυκλῆς Βάθυκλος. ὑποκοριστικά. ταῦτα μετασχηματισμοὶ καλοῦνται. ἀλλ' οὐδὲ πάλιν δυνάμεθα ἀποκοπὴν, ἐπεὶ τὸ ¯ς ε χει τῆς τελευταίας συλλαβῆς. ο που γὰρ τῆς τελευταίας συλλαβῆς τηρηθῇ τὸ στοιχεῖον, οὐ λέγομεν ἀποκοπὴν, ω στε μετασχηματισμός ἐστι.᾿Αμφοτέρωθεν. ἐκ τῶν δύο μερῶν. τὰ εἰς ¯θ¯ε¯ν ἐπιῤῥήματα ἀπὸ ὀνομάτων γινόμενα διὰ τοῦ alpha.166 ¯ο μικροῦ γράφεται, οι ον· κυκλόθεν,᾿Ιλιόθεν, πλὴν τοῦ ἀμφοτέρωθεν, ἑκατέρωθεν, ἑτέρωθεν.᾿Αμωσγέπωσ. ο θεν δήποτε. ε στι δὲ ῥῆμα ἡ λέξις. ε στιν ου ν ο νομα ἀμὸς, ἰσοδυναμοῦν τῷ τὶς, δωρικῶς. ὡς φησὶν Ομηρος· –τῶν ἀμόθεν γε, θεά– ἀντὶ τοῦ ἀπὸ τινὸς μέρους. ω σπερ παρὰ τὸ καλὸς γίνεται ἐπίῤῥημα καλῶς, ου τω καὶ ἀπὸ τοῦ ἀμὸς γίνεται ἐπίῤῥημα ἀμῶς. καὶ ἐν συνθέσει ἀμωσγέπως. ἀπὸ δὲ τοῦ ἀμὸς γίνεται ἀμόθεν, ἐξ ου τὸ οὐδαμῶθεν ἐπίῤῥημα. καὶ ω σπερ ἀπὸ τοῦ καλῶς γίνεται ἐπίῤῥημα καλὰ, ου τως καὶ ἀπὸ τοῦ οὐδαμῶς, οὐδαμὰ, ἀπὸ τοῦ οὐδαμῶς. *᾿Αμέσωσ. μὴ διὰ μέσων τῶν τόπων, ἀλλ' ἀθρόως κατὰ τὴν πρώτην ἐπιβολήν. *᾿Αματαρί. τὸ καλούμενον παρ' Ελλησι τάφρος, παρὰ῾Ρωμαίοις φοσάτον, τοῦτο παρ'῾Εβραίοις ἀματαρί. Τὸ ¯¯Α μετὰ τοῦ ¯¯Ν. (᾿Αρσενικόν.)᾿Αναβαθμοί. αἱ ἀναβάσεις. λέγουσι δὲ τὴν ἀπὸ Βαβυλῶνος τοῦ λαοῦ ἐπάνοδον.᾿Αναβολεύσ. ὁ ἐπὶ τὸν ι ππον ἀνάγων. –ὁ δὲ βασιλεὺς τὸν ἀναβολέα καλεσάμενος, καὶ ταχέως ἀναβαίνων ἐπὶ τὸν ι ππον, ῃ τησε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πιεῖν. –λέγεται καὶ ἡ σκάλα παρὰ ̔Ρωμαίοις. ὁ alpha.167 δὲ Μασσάλιος γηράσας, ι ππου χωρὶς ἀναβολέως ἐπέβαινεν.᾽Αναγεῖσ. διὰ μὲν τοῦ ¯α τοὺς ἀνάγνους, διὰ δὲ τοῦ ¯ε τοὺς ἐνόχους α γει καὶ μιάσματι. ου τως Αἰσχίνης.᾽Ανάγωγοσ. ὁ ὑβριστὴς, η ὁ μὴ τυχὼν τῆς δεούσης ἀναγωγῆς. η ὁ φιλήδονος καὶ ἐκλελυμένος. ᾽Αναδιπλασιασμόσ. ο ταν τὸ ἑξῆς τῆς λέξεως τὸ αὐτὸ σύμφωνον ε χῃ, οι ον· τέτυφα. Ανα. ἀντὶ τοῦ ω βασιλεῦ.᾽Ανάδοχον, οὐκ ἀναδοχέα λέγουσιν. Ανακτεσ. οἱ θεοὶ καὶ οἱ βασιλεῖς. α ναξ δὲ ει ρηται ἀπὸ τοῦ α νω τάξιν ε χειν. η ὁ α νω ἀΐσσων. η πρὸς ο ν πάντα ἀναφέρομεν. σημαίνει δὲ τὸν βασιλέα καὶ τὸν οἰκοδεσπότην. καὶ αὐτὸς ποιητής· αὐτὸς ἐγὼ οι κοι α ναξ ε σομαι– σημαίνει δὲ καὶ τὸν φύλακα.᾽Ανακυκλήϊον. τὸ ὀρθόν.᾽Ανακοί. οἱ Διόσκουροι παρὰ ᾽Αττικοῖς. παρὰ τὸ ἀνάσσω, ἀνακός, ὡς φυλάσσω, φυλακός, μαλάσσω, μαλακός. η ο τι ἀνακῶς, ο ἐστι φιλανθρώπως, ἐχρήσαντο τοῖς᾽Αθηναίοις. η ο τι τοὺς πλέοντας σώζουσιν ἀστέρες ο ντες, α νω καὶ ἑκὰς alpha.168 ἡμῶν ο ντες. καὶ τὸ α νω δὲ συνθέτως εἰώθασιν οἱ᾽Αττικοὶ ἀνακῶς λέγειν. ᾽Αναλλοίωτοσ. ὁ α τρεπτος, ὁ μηδέπω ἀλλοιούμενος η τρεπόμενος. ᾽Ανάλωτοσ. ὁ ἀπόρθητος.᾽Ανὰ οὐλαμόν. κατὰ α θροισμα. η ἀνὰ θόρυβον.᾽Ανάρσιοι. ἐχθροί· α δικοι· ἀνάρμοστοι· ἀπὸ τοῦ ἀρῶ τὸ ἁρμόζω. ὁ μέλλων αἰολικῶς α ρσω, ἐξ ου α ρσιος καὶ ἀνάρσιος. ὁ μὴ συναιρόμενος μὴ δὲ συναντιλαμβανόμενος. ᾽Αναπόδραστοσ. ὁ μὴ δυνάμενος φυγεῖν.᾽Ανάσιλλοσ. ὁ ἀναφαλαντίας, ο ἐστι φαλακρός.᾽Ανάσιμοσ. ὁ α μορφος.᾽Ανάστατοσ. κατεστραμμένος, η ὁ πεπορθημένος. ει ρηται δὲ καὶ ἐπὶ πόλεων ἑαλωκυιῶν, καὶ οι κων ἐξερημωθέντων.᾽Ανατιναγμόσ. μετάστασις, μετακίνησις. Αναυδοσ. ὁ α φωνος. *αὐδὴ γὰρ ἡ φωνή.*᾽Ανάπται. δημοεγέρται.᾽Ανάπλεωσ. ἐκ τοῦ πλέως, ὁ πεπληρωμένος. καὶ μετὰ τοῦ στερητικοῦ ¯α α πλεως ὁ ἐνδεής. καὶ μετὰ προσθήκης ἑτέρας στερήσεως καὶ πλεονασμῷ τοῦ ¯ν ἀνάπλεως· η τις ἐν τοῖς τοιούτοις alpha.169 προστιθεμένη καὶ ἀναδιπλουμένη κατάφασιν, ἀλλ' οὐ στέρησιν δηλοῖ.᾽Αναφήσ. ἀψηλάφητος.᾽Αναφορεύσ. ὁ ἀνέχων καὶ ἀναβαστάζων.᾽Αναφαλαντίαν, οὐκ ἀναφάλαντον λέγουσι. σημαίνει δὲ τὸν φαλακρόν.᾽Αναφλασμόσ. τὰ ἀφροδίσια. καὶ ἀναφλᾶν τὸ μαλάττειν τὸ αἰδοῖον. ᾽Αναφλύστιοσ. δῆμος᾽Αττικῆς τῆς᾽Αντιοχίδος.᾽Ανάχαρσισ. ὁ Σκύθης. παρὰ τὴν ἀνὰ πρόθεσιν, καὶ τὴν χάρσιν, ο σημαίνει τὴν χάριν η τὴν χαράν.᾽Ανδραποδισμόσ. ἡ αἰχμαλωσία. ᾽Ανδραποδιστήσ. ὁ τοὺς ἐλευθέρους ἀεὶ καταδουλούμενος. ᾽Ανδροκάπηλοσ. μεταβολεὺς ἀνδραπόδων. ᾽Ανδραποδώδεισ. δουλοπρεπεῖς, δουλογνώμονας.᾽Ανδρεών. ὁ μέγας οι κος παρ' ̔Ηροδότῳ.᾽Ανδρών. οι ος περιεκτικὸς ἀνδρῶν, ε νθα εἰώθασιν οἱ α νδρες συναθροίζεσθαι.᾽Ανδρεῖος ἀνήρ. α φοβος. ἁμαρτάνει ου ν ὁ λέγων τὴν ἀνδρείαν ἐγκράτειαν φόβων. Ανδριοι. ἐκ τῆς Ανδρου. ᾽Ανδροβόρων. ἀνθρωποφάγων. alpha.170 ἀνδροβόρων ὁμότεχνε κυνῶν αι λουρε κακίστη, τῶν ᾽Ακταιονίδων ἐσσὶ μία σκυλάκων. ᾽Ανδρόδομοσ. ὁ τρίκλινος. ᾽Ανδροκόβαλοσ. ὁ κακοῦργος.᾽Ανδροφόνοσ. ου τως λέγεται, κᾳ ν γυναῖκα τὶς κτείνῃ. ᾽Ανδρείκελοσ. ο μοιος ἀνδρί. ἀνδριΐκελος δὲ ¯ι.᾽Ανδριφόντησ. ὁ φονεύων τοὺς α νδρας.᾽Ανδρογύνων. ἀσθενῶν. γυναικῶν καρδίας ἐχόντων. Ανδρα. ἀντὶ τοῦ μνηστῆρα, ὡς τό· τὸν α νδρα Μαρίας.᾽Αναίτιοσ. ὁ ἀγέννητος πατὴρ, ὁ θεὸς, ὡς μὴ ε χων τινὰ τῆς ὑπάρξεως αι τιον. Ανδραγχοσ. δήμιος, ὁ τοὺς α νδρας α γχων, ο ἐστὶ πνίγων.᾽Ανδίκτησ. ει δος παγίδος. παρὰ τὸ δίκειν τὸ βάλλειν. ε νθα καὶ δίσκος, ὁ ῥιπτούμενος.᾽Ανδρόμεοσ. ἀπὸ τοῦ ἀνδρὸς ἀνδρόμεος. ὡς ἀπὸ τοῦ Διὸς δίημος, ὁ πατὴρ ̔Ηρακλέους. καὶ ἐν ἑτέρᾳ παραγωγῇ κτητικὸς, ἀνδρόμεος, πλεονασμῷ τοῦ ¯ε. Αναιτοσ. ἀβλαβὴς, ἀναίτιος. Σοφοκλῆς· πόλις δέ σοι κακῶν α ναιτος τῶνδ' ἀπαλλαχθῇ χθονός. ᾽Ανέγρετον. ἀνυπόστροφον. alpha.171 ᾽Ανελεύθεροσ. ὁ μικρολόγος, η ὁ ἐκτὸς τῆς ἀληθείας ποιῶν τί–ἀγενῆ καὶ ἀνελευθέραν ἐποιήσαντο τὴν ἀναχώρησιν.᾽Ανέμβατοσ. δυσπειθὴς, δυσχερῶς δεχόμενος.᾽Ανεμοκοῖται. οἱ κοιμίζοντες τοὺς ἀνέμους. γένος δὲ φασὶ τοιοῦτον ὑπάρχειν ἐν Κορίνθῳ. Ανεωσ. ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

α φωνος. ε στιν ι α ἡ φωνή. καὶ πλεονασμῷ τοῦ ¯ο ἰὸν, διὰ τὸ ἐπὶ πᾶσαν ἀκοὴν ἰέναι. ἐξ αὐτοῦ γίνεται ι ς, καὶ α νιος ὁ α φωνος, καὶ μεταθέσει τοῦ ¯ι εἰς ¯ε γίνεται α νεος. καὶ ἀττικῶς α νεως. η ἀπὸ τοῦ αυ ω, τοῦ σημαίνοντος τὸ φωνῶ, γίνεται ο νομα ῥηματικὸν αυ ος καὶ α ναυος. ὡς αὐδῶ α ναυδος. καὶ κατ' ἀποβολὴν τοῦ ¯υ α ναος καὶ ἀττικῶς α νεως. ὡς ναὸς νεώς. Ανετοσ. παρὰ τὸ ι ημι, ε τος καὶ α φετος καὶ α νετος.᾿Ανέστιοσ. ὁ α οικος. ἑστία δὲ ἡ οἰκία.᾿Ανεξέλεγκτοσ. ἀβασάνιστος, ἀδόκιμος. ᾿Ανείμονεσ. οἱ α νευ ἱματίων. Ανεμοσ. κίνησις ἀέρος, η ἀναθυμίασις ξηρὰ, η πλῆθος ξηρᾶς ἀναθυμιάσεως, η ῥεῦμα ἀέρος, ταῖς τῶν τόπων ἐξαλλαγαῖς, ο θεν ῥεῖ, τὰς ἐπωνυμίας ἀμείβων.᾿Ανήλιποσ. ὁ ἀνυπόδητος.᾿Ανήλατοσ. ὁ μηδέπω δαμασθεὶς ὑπὸ ζυγίων, alpha.172 η ἐλασθεὶς, η ὁ ἀπειθής. ἐλαύνω, ἐλάσσω, η λακα, η λασμαι, η λασται, ἠλαστὸς καὶ ἀνήλατος, κατὰ ἀποβολὴν τοῦ ¯ς.᾿Ανήριθμοσ. ἐν οὐδενὶ ἀριθμῷ ταττόμενος, ἀλλὰ περιεῤῥιμένος.᾿Ανηρίναστοσ. ὁ μὴ κρατῶν α ε χει, ἀλλ' ἀποβάλλων. ἀπὸ τῶν συκῶν τῶν μὴ κρατουσῶν τὸν καρπὸν, διὰ τὸ μὴ ἐπιβληθῆναι αὐταῖς τοὺς ὀλύνθους τοὺς ἀπὸ τῶν ἐρινεῶν, ο ἐστιν ἀγρίων συκῶν. *᾿Ανειμένοσ. ἐστὶν ὁ ἀμελὴς καὶ ῥάθυμος.*᾿Ανήλιπτοσ λέγουσιν, οὐχὶ ἀνήλιφος, οὐδὲ ἀνάλιφος. ᾿Ανήρεισ. ἀνάνδρους. ἐκ τοῦ ἀνύω τὸ πράττω.᾿Ανήρ. ἀπὸ ἐτῶν ¯λ¯ε ε ως ἐτῶν ¯μ¯ . ᾿Ανήνυτοσ. ὁ ἀπλήρωτος. Ανηβοι. οἱ ¯ι¯β ἐτῶν ο ντες, οἱ μήπω φθάσαντες τὴν νενομισμένην ἡλικίαν.᾿Αννίβασ. κύριον.᾿Ανιγρόσ. φαῦλος, βλαβερὸς, λυπηρός. παρὰ τὸ ἀνία ἀνιαρὸς, καὶ κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ ¯γ ἀνιγρός. παρὰ δὲ τὸ ἀνία ἀνιαρὸς, τὸ ἀνιῶ ῥῆμα.᾿Ανίψαλλον. ἀβλαβῆ.᾿Αννίκερισ. κύριον. ο ς᾿ Επικούρειος ἐγένετο φιλόσοφος ω ν καὶ Κυρηναῖος. alpha.173᾿Ανιωχμόν. καταδίωξιν. παρὰ τὸ διώκω, διώξω, δεδίωγμαι, διωγμὸς, καὶ τροπῇ τοῦ ¯γ εἰς ¯χ διωχμός. ἐκ γὰρ τοῦ διώκω γίνεται διωκὴ καὶ κατ' ἀποβολὴν τοῦ ¯δ ἰωκή.᾿Αννίτης καἳ Αννιάνοσ. ἀπὸ τοῦ Αννια η ἀπὸ τοῦ Αννα, η τις ἐστὶ πόλις τῆς᾿ Ιουδαίας.᾿Ανθερεών. ὁ ἀπὸ τοῦ γενείου τόπος. διὰ τὸ θορεῖν τὸ πνεῦμα δι' αὐτοῦ, η ο τι κατὰ τὴν ε νθεσιν τῆς τροφῆς κινεῖται ἐν τῷ καταπίνειν· ἐνθερεὼν τὶς ω ν. οἱ δὲ παρὰ τὴν α νθησιν τῶν τριχῶν. ο θεν κατηγοροῦσι τοῦ Εὐφορίωνος εἰπόντος· τέκνον μὴ σύ γε μητρὸς ὑπ' ἀνθερεῶνος ἀμήσῃς.᾿Ανθέρικεσ. αἱ προβολαὶ τῶν ἀσταχύων. καὶ ἀνθέρικος. παρὰ τὸ α νθος παράγωγον α νθερος καὶ ἀνθέρικος.᾿Ανθοσμίασ. οι νος εὐώδης. ὁ ἀνθέων ὀσμὴν ε χων. Ανθραξ. πῦρ γεῶδες μετὰ τὴν τῆς φλογὸς πάροδον τῇ παχυτέρᾳ καὶ γεωδεστέρᾳ υ λῃ ἐναπομεῖναν· μετὰ γὰρ τὸ παρελθεῖν τὸ ἀνθηρὸν τῆς φλογὸς ἡ περὶ τὴν παχεῖαν υ λην τοῦ πυρὸς ὁμιλία α νθρακες ὀνομάζονται. παρὰ τὸ θέρω, τὸ θερμαίνω, θέραξ, καὶ ἐν συγκοπῇ α νθραξ. alpha.174 Ανθρωποσ. ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. τί ἐστι ζῶον; οὐσία ε μψυχος αἰσθητική. τί ἐστιν οὐσία; υ παρξις αὐθυπόστατος. διὰ τί ει πε ζῶον; διὰ τὰ ζωόφυτα. διὰ τί ει πε λογικόν; διὰ τὰ α λογα. διὰ τί ει πε θνητόν; διὰ τὰ ἀθάνατα. η α νθρωπος ἐστὶ ζῶον λογικὸν, θνητὸν, ὀρθοπεριπατητικὸν, πλατυόνυχον, γελαστικόν. η ζῶον ἐξ ἐναντίων οὐσιῶν ὁμόχρονος καὶ α ῤῥητος σύνθεσις. η ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. ζῶον· κατὰ ἀφορισμὸν τῆς ἀψύχου κτίσεως. λογικόν· κατὰ ἀφορισμὸν τῆς ἀλόγου οὐσίας. θνητόν· κατὰ ἀφορισμὸν τῆς ἀθανάτου τῶν ἀγγέλων ὑπάρξεως. νοῦ καὶ ἐπιστήμης δεκτικόν· ὡς ἐν εἰκόνι θεοῦ κατὰ χάριν ὑπάρχον. η α νθρωπος ἐστὶ ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. νόησιν δὲ ἐνταῦθα τὴν μάθησιν ει πε· διὸ καὶ ἐπήγαγε· καὶ ἐπιστήμης. η ζῶον λογικὸν, θνητὸν, καὶ τῶν ἐναντίων, ἀνὰ μέρος, δεκτικόν. η ἐκ ψυχῆς ἀθανάτου καὶ σώματος θνητοῦ συνεστός. –α νθρωπος δὲ παρὰ τὸ α νω ἀθρεῖν τὴν ω πα, η γουν α νω ὁρᾷν τοὺς ὀφθαλμοὺς, η γουν ἀναλογίζεσθαι α ει δε καὶ η κουσε, τῶν ἀλόγων ζώων μὴ λογιζομένων καὶ προνοουμένων. οὐ alpha.175 γὰρ α ν ἰχθὺς εἰς κύρτον εἰσῆλθεν, ὁρῶν α λλον κρατούμενον. η παρὰ τὸ α νω ἀθρεῖν, η παρὰ τὸ ε ναρθρον ε χειν τὴν ω πα. τετραχῶς δὲ λέγεται ὁ α νθρωπος ἐν τῇ γραφῇ· α νθρωπος ὁ θεὸς, καὶ ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

α γγελος, καὶ ὁ ἐντὸς καὶ ὁ ἐκτὸς ἡμῶν α νθρωπος. ἰστέον, ο τι ὁ α νθρωπος καὶ τοῖς ἀψύχοις κοινωνεῖ καὶ τῆς τῶν ἀλόγων μετέχει ζωῆς, καὶ τῆς τῶν λογικῶν μετείληφε νοήσεως. κοινωνεῖ γὰρ τοῖς μὲν ἀψύχοις κατὰ τὸ σῶμα καὶ τὴν ἀπὸ τῶν τεσσάρων στοιχείων κρᾶσιν· τοῖς δὲ φυτοῖς κατὰ ταῦτα καὶ τὴν θρεπτικὴν η γουν γεννητικὴν δύναμιν· τοῖς δὲ ἀλόγοις καὶ ἐν τούτοις μὲν, ἐκ συμμέτρου δὲ καὶ κατὰ τὴν ο ρεξιν η γουν θυμὸν καὶ ἐπιθυμίαν, καὶ κατὰ τὴν αι σθησιν, καὶ κατὰ τὴν καθ' ὁρμὴν κίνησιν, η τοι τὸ ἀπὸ τόπου εἰς τόπον μεταβατικὸν καὶ ἀναπνευστικόν. ταῦτα γὰρ ἐν ἡμῖν ἐστὶ ποιεῖν *καὶ μὴ ποιεῖν.* συνάπτεται δὲ διὰ τοῦ λογικοῦ ταῖς ἀσωμάτοις καὶ νοεραῖς φύσεσι, λογιζόμενος καὶ νοῶν καὶ κρίνων ε καστα, καὶ τὰς ἀρετὰς μεταδιώκων. διὸ καὶ μικρὸς κόσμος ὁ α νθρωπος ἐστίν.᾿Ανευθέτου. ἀχρήστου. ᾿Ανάπηρον. βεβλαμμένον, μὴ ὑγιῆ. ᾿Ανίεροσ. βέβηλος, αἰσχρός. ᾿Αννουμῖνοσ. ἀπογραφὴ ὀνομάτων παρὰ῾Ρωμαίοις. οἱ δὲ ἀδνούμιον φασίν. Ανομοι. οἱ παντελῶς ξένοι τῶν θείων νόμων, οἱ ἀποστατήσαντες αὐτῶν. alpha.176᾿Ανούτατοσ. α τρωτος. ᾿Ανούστατοσ. μωρὸς, ἀσύνετος.᾿Ανόστιμοσ. παρὰ τὸ νόστος. τοῦτο παρὰ τὸ νέω τὸ πορεύομαι· καὶ μετὰ τοῦ στερητικοῦ ¯α ἀνόστιμος.᾿Αντιγραφεύσ. ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ω στε ἀντιγράφεσθαι αὐτά. ᾿Αντιστρόφουσ. ἀντὶ τοῦ ἰσοστρόφους.᾿Αντίχειρ. ὁ μέγας τῆς χειρὸς δάκτυλος. η ο τι ἀντίκειται τοῖς α λλοις, η ο τι τὸ ι σον δύναται τῇ ο λῃ χειρί. ᾿Αντίθρονοσ. ὁ ἀντικαθήμενος. καὶ ἀντικαθήμενος ὁ ἀντίθρονος, ὁ ἀντιποιμαίνων. ᾿Αντίβιοσ. ὁ ἐναντίος. ᾿Αντίθεοσ. ὁ τῷ θεῷ ἀντιπράττων. ᾿Αντίδικοσ. παρὰ τῇ θείᾳ γραφῇ ὁ διάβολος, καὶ ἡ ἡμῶν συνείδησις ἡ ἀντικειμένη τῷ κακῷ ἡμῶν θελήματι. κατὰ γὰρ τὸν᾿Απόστολον· ἐὰν ἡ συνείδησις ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ε χομεν πρὸς τὸν θεόν.᾿Αντίδικόσ μοι καθέστης, καὶ ἀντίδικός μοι καθέστηκεν.᾿Αντίπαλοσ. ὁ κατὰ πάλον, τουτέστι κλῆρον, ἐναντιούμενος.᾿Αντήρεισ. ἀνθηρμοσμένους. η τὸ εἰς ο ἐπερείδεταί τις. παρὰ τὸ ἐρείδω, ἐρείσω, καὶ ἐξ αὐτοῦ ἀντήρεις. τροπῇ τοῦ ¯ε εἰς ¯η, καὶ ἀποβολῇ τοῦ ¯ω. οὐχ ευ ρηται δὲ ἡ εὐθεῖα αὐτοῦ ἐν alpha.177 χρήσει. αἱ δὲ α λλαι πτώσεις ὡς ἀπὸ τῆς ὀξυτόνου μακρᾶς καὶ εἰς ¯ι¯ς ληγούσης τὴν κλίσιν ε χουσιν ἀντηρίδος. ᾿Αντυγωτόσ. συνδεδεμένος· ἐπειδὴ αἱ α ντυγες καταδέονται. παρὰ τὸ ἀντυγῶ ῥῆμα. ᾿Ανύπηνοσ. ἀγένειος. Ανυμφοσ. ὁ μὴ ε χων γυναῖκα. ᾿Ανυμέναιος δὲ, ἡ μὴ ε χουσα α νδρα. ᾿Ανυπόδητος, οὐχὶ ἀνυπόδετος λέγεται. ᾿Ανυπαίτιοσ. ὁ ἀναίτιος. ᾿Ανυπόκριτοσ. ὁ α δολος. ᾿Ανυπέρβλητοσ. ὁ προέχων. ᾿Ανώλεθροσ. ἀθάνατος.᾿Ανελεήμονασ. τοὺς ἀκαμπεῖς καὶ ἀνενδότους πρὸς ε λεον. ᾿Ανυπόκριτοσ. ὁ μὴ ἐν πλάσματι ἀγαπῶν η περιπατῶν. καὶ ὁ᾿Απόστολος· ἡ ἀγάπη ἀνυπόκριτος· καὶ μὴ πλάσμα ἀγάπης ε στω. (Θηλυκόν.) Αναια. χώρα καὶ τόπος ἀντικρὺ Σάμου. ἐκλήθη γὰρ Αναια ἀπὸ γυναικὸς μιᾶς ου σης τῶν᾿Αμαζόνων γυναικῶν. alpha.178᾿Αναίδεια. παρὰ τὸ ἀναιδής. τοῦτο παρὰ τὸ αἰδῶ, αἰδής, ἀαιδὴς καὶ ἀναιδής.᾿Αναβάσεισ. αἱ προκοπαί. οἱ εὐσεβεῖς λογισμοὶ περὶ θεόν. φησὶ γὰρ ὁ Δαβίδ· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο. εἰς τὸ ἐναντίον δὲ αἱ καταβάσεις. ᾿Αναβολή. ἐνοχή. Αἰλιανός· Λοξίας καὶ Ζεὺς πατὴρ ἀναβολὴν θανάτου ἐψηφίσαντο Φαλαρίδι.᾿Αναβολαί. αἱ βραδυτῆτες. λέγεται δὲ καὶ τὰ προοίμια, καὶ αἱ ἀνακρούσεις καὶ αἱ ἀρχαί. ᾿Ανάγγελον. μὴ δὲ α γγελον καταλειφθῆναι. ε νθα μάχην ε τλημεν ἀνάγγελον, α λλος ἐπ' α λλον πίπτοντες–.᾿Αναγκαία τράπεζα. ἡ εὐτελὴς καὶ πενιχρά. Σοφοκλῆς· ω δέσποτ' Αι αν τῆς ἀναγκαίας τύχης. τῆς βίας φησί· τουτέστι τῆς δυστυχίας.᾿Ανάγκη. παρὰ τὸ α γω, α γη, καὶ πλεονασμῷ τοῦ ¯κ ἀνάγκη. η παρὰ τὸ ἀνάσσω, ἡ πάντων ἀνάσσουσα. ᾿Ανάγνωσισ. κατὰ φιλοσόφους ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις η ἀνάπεισις. ου τως῾Ηρόδοτος. alpha.179 ᾿Αναγωγή. ὁ τῶν νηῶν ε κπλους. καὶ γίνεται ἀναγωγὴ τῶν νεῶν. ᾿Αναγωγία. ἡ ἀπαιδευσία. –ὁ δὲ δι' ἀναγωγίαν ταῦτα ε πασχεν. ε χων στρατὸν ὑπὸ μέθης καὶ ἀναγωγίας ἠμελημένον καὶ διεφθαρμένον.᾿Ανάζαρβα. πόλις Κιλικίας. ἀπὸ Ζάρβα τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κτίσαντος αὐτήν. ὁ πολίτης Ἀναζαρβεύς· ὡς Καρυανδεύς. ἀφ' ἡς Διοσκορίδης ἰατρὸς χρηματίζων· καὶ Ἀσκληπιάδης ὁ Ἀναζαρβεύς. Ἀνάβλησισ. ὑπέρθεσις καὶ ἀναβολή. Ἀνάδικοι κινήσεισ. αἱ ἄνωθεν δικαζόμεναι. ὅταν ἁλῶσιν οἱ μάρτυρες ψευδομαρτυροῦντες. Ἀναδομή. ἀναδασμός. ἐγὼ δὲ λέγω ἀνάκτισις. Ἀναδρομαί. ἀναβάσεις. ἀναδρομὴ γίνοιτο κοὺ σφαλλόμεθα. Ἀναζυγαῖσ. ἀναστροφαῖς, στρατοπεδίαις, ἀναλύσεσι τῶν στρατοπεδευμάτων. Πολύβιος· ὁ δὲ Φίλιππος οὐδενὶ κόσμῳ ποιησάμενος τὴν ἀναζυγὴν καὶ τὸν ἀνάπλουν δευτεραῖος εἰς Κεφαληνίαν κατῆρεν. Ἀνάεδνον. ἄπροικον. Ἀνάθεσισ. ὑπέρθεσις. τὰ χρήματα δώσειν ὑπέσχοντο, τριῶν ἡμερῶν ποιήσαντες ἀνάθεσιν. Ἄννα. πόλις τῆς Ἰουδαίας. ὁ πολίτης Ἀννίτης.* Ἀνωμαλίαν. νόσον ἢ ἀσθένειαν.* Ἀνία. θλίψις, λύπη, παρὰ τὸ ἰῶ, ὃ σημαίνει ὑγιάζω καὶ θεραπεύω, γίνεται ἀϊῶ κατὰ στέρησιν, καὶ πλεονασμῷ τοῦ ¯ν ἀνιῶ· ἡ γὰρ ἀνία alpha.180 ἐστέρηται τῆς ἰάσεως. τὰ διὰ τοῦ ¯ν¯ι¯α μακρὸν ἔχει τὸ ¯α, μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ¯ε¯υ¯ω, διὰ τοῦ ¯ι γράφεται. οἷον, μανία, πενία, ῥοδωνία, ἰσωνία, ἡ ἴση πρᾶσις· οὕτω καὶ ἀνία. πρόσκειται μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ¯ε¯υ¯ω, οἷον ἑρμηνεύω, ἑρμηνεία, σαλακωνεύω, σαλακωνεία· σημαίνει δὲ τὴν βλακείαν. πρόσκειται μακρὸν ἔχοντα τὸ ¯α, διὰ τὸ σαφήνεια, εὐγένεια, ἀπήνεια. τὸ μνεία δὲ οὐκ ἀντίκειται, ἐπεὶ οὐκ ἔστιν ἀπὸ τοῦ μνεύω. Ἀνακάθαρσισ. ἐπίλυσις, διακρίνησις. Ἀνάκαια. δῆμος φυλῆς τῆς Ἱπποθωοντίδος. Ἀνακαίνησισ. ἡ ἀνανέωσις. λέγεται δὲ καὶ ἀνακαίνωσις. Ἀνάκλησισ. ἡ προσφώνησις. διὰ δὲ τοῦ ¯ι ἡ ἀνάπαυσις. Ἀνακτορίαν. δεσποτείαν. Ἀνακεφαλαίωσισ. ἡ ἐξ ἀρχῆς ἔρευνα. Ἀνάκρισισ. ἡ ἐξέτασις. Ἀνάκρησις δέ, ἡ ἀνάκρασις, ¯η. Ἀνάληψισ. ἡ ἀνάῤῥωσις. σπουδὴν ἐποιεῖτο ὑπὲρ ἀναλήψεως καὶ θεραπείας τῶν ἀνδρῶν. Ἀνάλυσισ. ἐξάπλωσις. ὅρος γάρ ἐστι λόγος κατὰ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος τοῦ ὁριστικοῦ κεφαλαιωδῶς. καὶ ἄλλως· ἀνάλυσις ἡ ὑπὸ σχήματος ἐπὶ σχῆμα· τῶν τρόπων ἀνακύκλησις. Ἀναλογία. τὸ λέγειν· ὃν λόγον ἔχει ὁ δύο ἀριθμὸς πρὸς τὸν τέσσαρα, τοῦτον ὁ τρία πρὸς alpha.181 τὸν ἕξ, ἀμφότερα γὰρ διπλάσια. ἢ ἀναλογία ἐστὶν ἡ τὸ πολυσχεδὲς τῶν ἀνθρώπων φθέγμα συντόνως παραδιδοῦσα. Ἀνάμνησισ. μνήμης ἐξιτήλου γενομένης ἀνάτησις. ἢ εὕρεσις φαντάσματος. ἀρξαμένη γὰρ ἀπὸ τῆς ψυχῆς διαβαίνει ἐπὶ τὸ ἐζωωμένον σῶμα. ἀναμνησθέντες γὰρ φοβεροῦ τινὸς ἡμῖν γενομένου ὠχριάσαμεν, καὶ τοῦ πλοῦ ἀναμνησθέντες ἐναυτιάσαμεν. Ἀναπειστηρίαν. δυναμένην πείθειν τοὺς ἀκούοντας. Ἀνάπειρα. ἡ εἰρεσία. –ταῖς ἀναπείραις καὶ ταῖς εἰρεσίαις ἐγύμναζεν. Ἀναμπλάκητοι. αἱ εἰς μηδὲν ἁμαρτάνουσαι, ἀλλὰ πάντων κρατοῦσαι. ἢ ἄφυκτοι, ἀπλάνητοι, ἀπροσπέλαστοι. Ἀναπνοή. εἴσοδος ἀέρος, ὑπὸ μετεωρισμοῦ πνεύμονος, δι' αὔξησιν τοῦ ἐν ἡμῖν θερμοῦ. alpha.182 Ἀνάπαυλα. ἡ ἀνάπαυσις. Ἀναῤῥῶγασ. τὰς ἐν τῷ μεγάρῳ διόδους· ἵν' ᾖ τὸ ἀνάῤῥηγμα τοῦ τείχους. ἢ τὰς ῥαγάδας. Ἀναροίβδησισ. ἡ ἀναφορὰ τῶν ὑδάτων. Ἀνάῤῥησισ. στέφανος, ἢ ἀνακήρυξις. ἀνάῤῥυσις δέ, ἡ ἐλευθερία, ψιλόν. Ἀνασύνταξισ. τὰ διαγεγραμμένα τιμήματα ταῖς συμμορίαις. ὅταν δόξῃ τῷ δήμῳ χρήζειν προσθήκης ἢ ἀφαιρέσεως, καὶ ἕλωνται τοὺς τοῦτο πράξαντας, τοῦτο ἀνασύνταξιν καλοῦσιν. Ἀνακομιδή. ἐπάνοδος. Ἀνάρτησισ. ἡ ἀνακρέμασις. Ἀνακωχή. ἡ ἀνάπαυσις, ἡ πρὸς μικρὸν εἰρήνη ἐν τῷ πολέμῳ. παρὰ τὸ ἄνω τὰς ἀκωκὰς ἔχειν. Ἄνασσα. ἡ βασίλισσα. Ἀναξυρίσ. τὸ βρακίον. Ἀναστροφή. πολιτεία, διαγωγή. alpha.183 Ἀνάστασισ. τοῦ πεπτωκότος ἔγερσις. ἀνάστασις δέ, ἡ τῶν διαζευχθέντων στοιχείων κελεύσει τοῦ κτίσαντος πρὸς ἑαυτὰ συνδρομή. Ἀνάστασις Χριστοῦ. ἡ μετάθεσις τῆς λογικῆς φύσεως ἐκ φθορᾶς πρὸς τὴν ἀφθαρσίαν, καὶ ἐκ τῆς ἀγνοίας πρὸς τὴν ἀπλανῆ γνῶσιν. Ἀνατάσεισ. ἐπαπειλήσεις ὑπερηφάνους. τὰ μὲν φιλάνθρωπα παρεσιώπων, τὰς δὲ ἀνατάσεις καὶ ἐπαπειλήσεις ἔλεγον. Ἀνάτασισ. ἡ μετὰ πικρίας καὶ θρασύτητος ἀπειλή. Πολύβιος· οἱ μὲν οὖν περὶ Μητρόδωρον καταπλαγέντες τὴν ἀνάτασιν Φιλίππου τοῦ βασιλέως, ἐπανῆλθον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

᾿Ανατάσεσιν. ἀναγωγαῖς, ἀναπλώσεσιν. ου τως ὁ τὰ θεῖα μέγας Διονύσιος.᾿Ανατρητὰς ἐμβάδασ. τὰ διατετριμμένα καὶ κατακεκομμένα ὑποδήματα. ᾿Ανατύπωσισ. ἡ διανόησις.᾿Αναίρεσισ. φόνευσις, καὶ ἡ ἀνάληψις. ὁ δὲ τὴν πανοπλίαν ε ῤῥιψεν εἰς ἀναίρεσιν τὸ βουλόμενον.᾿Ανάχυσισ. φυρμὸς, σύγχυσις, η καὶ ε κλυσις.᾿Αναψυχή. παραμυθία.᾿Ανδανία. πόλις Μεσήνης. τὸ ἐθνικὸν᾿ Ανδανιεύς.᾿Ανδρεία. ἡ τῶν ἀνδρῶν ἡλικία. ου τως᾿ Αντιφῶν.᾿ Ανδρία. οὐχ ἡ πολιτικὴ ἀρετὴ, ἀλλ' ἡ μείζων ταύτης, τῷ αὐτῷ ὀνόματι χρωμένη, περιγενομένη τοῦ θυμοῦ τῆς ψυχῆς. ἀνδρεία δὲ ψυχὴ, δίφθογγον, ἀπὸ τοῦ ἀνδρεῖος. Ανδροσ. νῆσος μία τῶν Κυκλάδων. ἀπὸ Ανδρου τοῦ Εὐρυμάχου. alpha.184᾿ Αναλογία. ἡ τῶν λεγομένων ὁμοιότης. οι ον· ὡς τόδε πρὸς τόδε, ου τως καὶ τόδε πρὸς τόδε. ὡς ἀπὸ λόγων νόημα πρὸς τὴν ἁπλῆν φωνὴν, ου τω καὶ σύντομον νόημα πρὸς σύνθετον φωνήν. η ὁμοίωσις ἑτέρου πρὸς ε τερον κατά τι. οι ον· ὡς ε χει ἐπὶ ποιμένος προβάτων καὶ ἐπισκόπου, ὡς ἐπὶ ποδῶν κραββάτου καὶ ἐπὶ ποδῶν ἀνθρώπου. ἀμφότερα γὰρ ο λον τὸ σῶμα βαστάζουσι. γίνεται δὲ παρὰ τὸ λόγος λογία, ἀλογία καὶ ἀναλογία. αἱ γὰρ δύο στερήσεις ὁμοῦ ου σαι κατάθεσιν ποιοῦσιν· ὡς πυστὰ, α πυστα καὶ ἀνάπυστα, τὰ περιβόητα· καὶ α πηρον καὶ ἀνάπηρον, τὸ πεπηρωμένον.᾿ Ανδραγαθία. τρόπαιον.᾿ Ανδροκτασία. ἀνδροφονία. ἐκ τοῦ κτῶ, τὸ φονεύω, παράγωγον κτῆμι, κτήσω, ε κτηκα, ε κτημαι, κτάσις, κτασία, καὶ μετὰ τῆς ἀνδρὸς γενικῆς, ἀνδροκτασία.᾿ Ανδενάκην. ἐνταῦθα τὸ ¯α¯ν ἀντὶ τοῦ ἀνὰ κεῖται. κατὰ συνέμπτωσιν. ἡ νάκη, τῆς νάκης· σημαίνει δὲ τὸ δέρμα.᾿ Ανδροτῆτα. ἀνδρείαν. ἀπὸ τῆς τοῦ ἀνδρὸς γενικῆς.᾿ Ανειλήθυιαν. α τοκον.᾿ Ανεμώνη. τὸ α νθος. διὰ τὸ τὸ φύλλον ἀνευδιάσειστον ει ναι παντὶ ἀνέμῳ.᾿ Ανθηδών. ἡ μέλισσα, παρὰ τὸ τὰ α νθη ε δειν.᾿ Ανθήνη. πόλις Λακωνική. ὁ πολίτης᾿ Ανθηνεύς.᾿ Ανθήλιοσ. ἡ σελήνη, καὶ τὸ ἀποσκίασμα τῆς τοῦ ἡλίου φωταυγείας. ἐνίοτε δὲ καὶ τὸ μίμημα, η ἀντάλλαγμα· ὡς Θεόπομπος. σημαίalpha.185 νει δὲ καὶ τὰ ἐπισκοτοῦντα τῷ ἡλίῳ νέφη, α καὶ ἀνθήλια καλεῖται. Ανθη. ἡ α νθησις.᾿ Ανθιππασία. ὁ ἱππικὸς ἀγών.᾿ Ανθρακία. οἱ πεπυρακτωμένοι α νθρακες. Ομηρος· ἀνθρακιὴν στορέσας ὀβελοὺς ἐφύπερθε τάνυσσεν.᾿ Ανθυποφορά. ἡ ἀνταπόκρισις.᾿ Ανίσχαδον. τὴν α τοκον καὶ ἀθήλαστον. ᾿Αντανάκλασις. ἡ ἀπό τινος ἐπί τι κίνησις, καὶ ἐξ ἐκείνου πάλιν ἐξ ου προῆλθεν ἡ ὑποστροφὴ, ὡς ἐπὶ τῆς σφαίρας.᾿ Αντάρεια. ἡ ἐξ ἐναντίας α ρσις.᾿ Αντιάνειρα. ἡ ἐναντιουμένη τοῖς ἀνδράσι τῇ οἰκείᾳ δυνάμει. τὸ γὰρ ἀντὶ τὸ ι σον καὶ τὸ ἐναντίον σημαίνει.᾿ Αντίληψισ. ἡ βοήθεια, καὶ ἡ ἐπίληψις. παρὰ Πλάτωνι.᾿ Αντισήκωσισ. ἡ ἀνταπόδοσις, διόρθωσις, ἰατρεία. Αντισα. μία πόλις τῶν ἐν Λέσβῳ.᾿ Αντωμοσία. γραφὴ κατά τινος ε νορκος, περὶ ω ν ἠδικεῖσθαι φασίν. διωμοσία δὲ, ὁ ἑκατέρωθεν γινόμενος ο ρκος ὑπὸ τῶν διαδικαζομένων, τοῦ μὲν, ὡς πράξαντα διώκειν, τοῦ δὲ, ὡς οὐκ ε πραξεν. ἐξωμοσία δὲ, α ρνησις σὺν ο ρκῳ. ὑπωμοσία δὲ, ο ταν τις σκήπτηται κάμνειν η τι τοιοῦτον. ᾿Αντωνυμία. λέξις ἀντὶ ὀνόματος παραλαμβανομένη. παραλαμβάνεται δὲ ἀντὶ κυρίου καὶ ἀντὶ alpha.186 προσηγορικοῦ. ἀντὶ κυρίου, ὡς τὸ εἰπεῖν, Νικηφόρος λέγω ἐγώ. ἀντὶ προσηγορικοῦ, ὡς τὸ εἰπεῖν, α νθρωπος λέγω ἐγώ. ᾿Αντίφασισ. ἀντικειμένων κατάθεσις καὶ ἀπόφασις. η μάχη καταφάσεως· μέσον λαμβανομένη τῆς καταφάσεως καὶ ἀποφάσεως, μίαν ἀληθῆ ποιεῖ, τὴν δὲ α λλην ψευδῆ. Αντυξ. ἡ ἀνωτάτη περικεφαλαία τοῦ ῥαματίου δίφρου. λέγεται καὶ ἡ ἐσχάτη περιφέρεια τῆς ἀσπίδος, παρὰ τὸ α νω τετύχθαι η κατασκευάζεσθαι. ἡ δὲ εἰς τὰ κάτω τετυγμένη λέγεται καταῖτυξ. ἀμφότερα δὲ ἀπὸ τοῦ τεύχω, τεύξω, τεὺξ καὶ τὺξ, καὶ ἐν συνηθείᾳ α ντυξ καὶ καταῖτυξ. –εἰδέναι δὲ δεῖ, ο τι τὰ μετὰ προθέσεως συντιθέμενα ῥήματα, εἰ ἀλλοιοῦνται τῷ σημαινομένῳ, ε σωθεν κλίνεται, βάλλω, καταβάλλω, κατέβαλλον. εἰ δὲ τηροῖντο ἐν ταύτῃ, ε ξωθεν κλίνονται, μύω, καμμύω, ἐκάμμυον, ευ δω, καθεύδω, ἐκάθευδον. τὸ δὲ η θελον, η μελλον, ἀττικὰ, καὶ τὰ ο μοια· φιλοῦσι γὰρ μακρὰν ποιεῖν τὴν ἀρχὴν τῶν παρῳχημένων.᾿ Αντολή. ἡ ἀνατολή.᾿ Αντιτυπία. ἀνένδοτος, ἀνύπεικτος ἐναντίωσις, σκληρότης. λαμβάνεται δὲ καὶ ἐπὶ ὠμότητος.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοιοῦτον ε νστασις προσαγορεύεται. ἡνίκα δὲ πάλιν προτείνομεν εἰς ζήτησιν, α ρά γε ἡ ψυχὴ ἀθάνατός ἐστι, καλεῖται πρόβλημα. ο τε δὲ ἐκ προτάσεως συνάγεται, καλεῖται συμπέρασμα.᾿Απαξίωσισ. καταφρόνησις. ὁ δὲ Φίλιππος ἐδυσχέραινεν ἐπὶ τῇ τῶν Κερκυρέων ἀπαξιώσει– καὶ ἀπαξιῶν ἀντὶ τοῦ ἀνάξιον ἡγούμενος.᾿Απάρσεωσ. ἀναχωρήσεως. τῆς δὲ ἀλόγου ταύτης ἀπάρσεως––.῾Απληγίσ. τὸ ἁπλοῦν ἱμάτιον, ο περ  Ομηρος ἁπλοΐδα καλεῖ. παρὰ τὸ ἁπλῆ ἁπλη̈ὶς καὶ ἁπληγίς.᾿Αποφράδεσ. αἱ ἀπηγορευμέναι ἡμέραι, α ς οἱ παλαιοὶ καὶ ἀπεικάδας καλοῦσι. φθίνοντος τοῦ μηνὸς τετράδα τρίτην ἡμέραν. η  τὰς ἡμέρας, ἐν αι ς τὰς φονικὰς δίκας ἐδίκαζον, διὰ τὸ οι ον alpha.241 ἀποφράττεσθαι τὸ τῆς σελήνης φῶς ἐν αὐταῖς. καὶ τοὺς πονηροὺς δὲ ἀποφράδας ἐπιθετικῶς ἐκάλουν. οι ον· α νθρωπος ἀποφρὰς καὶ βλέπων ἀπιστίαν. παρὰ τὸ φῶ ῥῆμα, φράζω, ὁ μέλλων φράσω, ἀποβολῇ τοῦ ¯ω φρὰς καὶ ἀποφράς.᾿Απορία. ἡ καθ' ὑπεροχὴν ἑτέρου ἀσθενείας υ παρξις.᾿Απόγνωσισ. ἐλπίδος στέρησις.᾿Απόνοια. ἡ χωρίζουσα τοῦ δέοντος, καὶ ἀποστασίαν ποιοῦσα τοῦ νοῦ.᾿Απάθεια. οὐ *τὸ μὴ πολεμεῖσθαι ὑπὸ δαιμόνων,* τὸ μὴ λυπεῖσθαι ὑπὸ δαιμόνων. ἐπεὶ α ρα ὀφείλομεν κατὰ τὸν᾿Απόστολον ἐξεληλυθέναι ἐκ τοῦ κόσμου· ἀλλὰ πολεμουμένους ὑπ' αὐτῶν ἀπολεμήτους μένειν.᾿Απάθειά ἐστιν α νθος τοῖς πρακτικοῖς· πρακτικὸν δὲ συνίστησιν ἡ τήρησις τῶν τοῦ χριστοῦ ἐντολῶν· τούτων δὲ φύλαξ ὁ φόβος αὐτοῦ. ε ργον δὲ ἀπαθείας ἡ ἀγάπη. ἀπάθεια ἐστὶ κατάστασις ψυχῆς λογικῆς ἐκ πραότητος καὶ σωφροσύνης συνισταμένη.᾿Αποτίμησισ. τὸ ἀποτίμημα, καὶ τὸ τέλος, καὶ ὁ φόρος.᾿Απήχεια. ἀντὶ τοῦ ἀπέχθεια. ου τως Λυσίας καὶ Δείναρχος. alpha.242᾿Αππία. ὁδὸς ου τως καλεῖται ἀπὸ᾿Αππίου῾Ρω μαίου τιμητοῦ, ο ς λιθομυλίᾳ ταύτην κατέστρωσε καὶ υ δατος ὀχετοὺς κατεσκεύασεν.᾿Απιστία. ἡ ἀσέβεια καὶ ἡ ἀπείθεια. ου τως Πλάτων.῾Απλᾶσ φησὶ Καλλίστρατος τὰ μονοπέλματα τῶν ὑποδημάτων.᾿Απόγνοια. ἀπόγνωσις. Θουκυδίδης· ἐνέπρησαν δὲ τὰ πλοῖα, ου τως ἀπόγνοια η .᾿Απὸ γραμμῆσ. οι ον ἀπ' ἀρχῆς. ἐκ μεταφορᾶς τῆς τῶν δρομέων ἀφετηρίας, καὶ γραμμῆς, η ν καὶ α φεσιν καὶ βαλβίδα καλοῦσιν.᾿Απογραφή. ἐπειδάν τις λέγει τινὰ ε χειν τὶ τῶν τῆς πόλεως, ὁ ἐναγόμενος ἀπογραφὴν ποιεῖται, δηλῶν ο σα τὲ ε χει καὶ ο θεν τὰ χρήματα.᾿Απὸ δόξησ. ἀπὸ εἰκασμοῦ.᾿Αποθήκη. καὶ ἡ ἀποστροφή. ου τως Φίλιστος.᾿Αποκαραδοκία καὶ ἀποκαραδοκῶν. ὁ προσδοκῶν. ὁ δὲ καθῆστο ἐν τῇ παρεμβολῇ ἀποκαραδοκῶν, ο πη καὶ τύχης χωρήσοι τὰ πράγματα.᾿Απώλεια. τὰ διὰ τοῦ ¯ε¯ι¯α προπαροξύτονα, ε χοντα ἐνεστῶτα ἀντὶ παρακειμένου, δίφθογγον ε χει· οι ον· ἀνθῶ, α νθεια· θαλῶ, θάλεια· χαιρῶ, χαίρεια· κρατῶ, κράτεια· μήδω, μήδεια. ἐπὶ γυναικὸς τῆς ἡρωΐδος· ἐπὶ δὲ τῆς χώρας διὰ τοῦ ¯ι· ἐπὶ τῆς πόλεως μίδεια. προπαροξυτόνως, καὶ κατὰ τὴν παραλήγουσαν διὰ τοῦ alpha.243 ¯ι. τὰ δὲ διὰ τοῦ ο λλω ἐκτείνουσι τὸ ¯ω· ἐξώλεια, προώλεια.᾿Αποκλήρωσισ. διανομὴ, μερισμός· μέρος εἰς ἀμείνονα λῆξιν. λῆξις δέ ἐστι μερὶς, παῦσις. κληρονομία.᾿Απόκρισισ. ἡ ἀπολογία. ου τως Λυσίας,᾿Αντιφῶν καὶ Δημοσθένης.᾿Απομαγδαλία. τὸ σταῖς, ῳ  ἀπομάττονται οἱ μάγειροι, ο περ ἐκάλουν χειρόμακτρον, ο  μετὰ τὴν ἐργασίαν ἀπέῤῥιπτον τοῖς κυσίν. η  ἡ τῶν κυνῶν τροφή.᾿Απολλωνίτισ. χώρα. οι μαι δὲ καὶ ἐπὶ ἀρσενικοῦ γράφεται.᾿Απὸ πεντόζοιο. πεντακλάδου.῾Ησίοδος· –μὴ δ' ἀπὸ πεντόζοιο ...... αυ ον ἀπὸ χλωροῦ τάμνειν αι θωνι σιδήρῳ. πεντάκλαδος ἡ χείρ. μὴ ὀνυχίσῃς, φησὶν, ἐν ἑορτῇ ξηρὸν ο νυχα. χλωρὸν δὲ τὸ ζωτικὸν αι μα. ἀσεβὲς γὰρ τὸ ὀνυχίζεσθαι ἐν ἑορτῇ θεῶν. κλίνεται δὲ ἡ πέντοζος, τῆς πεντόζου.᾿Αποῤῥῶγεσ. ἐξοχαὶ ἀπεσχισμέναι, ἀπεῤῥηγμέναι, ἀπ' ἀλλήλων ἀπεσπασμέναι. ἀπὸ τοῦ ¯ρ¯ω ῥὴξ, καὶ τροπῇ ῥὼξ, καὶ κλίνεται ῥωγὸς καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀποῤῥώξ. alpha.244᾿Απόνοια. α νοια, υ βρις.᾿Αποπληξία. θλίψις, μανία, α νοια, η  πλῆθος ἰχῶρος τὲ καὶ πνεύματος, ἐπισχόντος τὴν ἀναπνοήν.᾿Αποπομπή. ἡ ἀποτροπή.᾿Αποπορεία. ἡ ἐπαναχώρησις, ἡ ἐπαναστροφὴ, ἡ ἐπάνοδος. ἐπιταχύναι τὴν ἀποπορείαν.᾿Απορησία. ἀντὶ τοῦ ἀπορία. ου τως Ευ βουλος.᾿Απόῤῥησισ. ἡ ἀπαγόρευσις. ὁ δὲ οὐκ η νεγκε τὴν ἀπόῤῥησιν, ἀλλὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θυμοῦ πληρωθεὶς ε φη·– σημαίνει δὲ καὶ τὴν ἀποκήρυξιν.᾿Αποῤ̔ροῆσ. σταγόνος. Απορος χώρα. ἀντὶ τοῦ ἀπόρευτος.᾿Αποσκευή. ἡ τῶν ἐπιτηδείων κομιδή. τὸ παρ' ἡμῖν λεγόμενον τοῦλδον. τὰ σαγμάρια. συνέταξε δὲ τούτοις καὶ τὴν ἀποσκευήν. ᾿Αποστολαί. δῶρα, ἀποπέμψεις.᾿Αποστολικὴ πολιτεία. τουτέστιν ὀφθαλμῶν ἀκρίβεια, γλώσσης ἐγκράτεια καὶ τὰ ο μοια.᾿Αποστροφή. ἀντὶ τοῦ καταστροφή.᾿Απόταξισ. τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους εἰς τὸ ὑπηρετεῖν τὸν ὡρισμένον φόρον. ου τως᾿ Αντιφῶν. alpha.245᾿Απροτίμαστοσ. α ψαυστος η α θικτος, ἡ μὴ ἐπιζητηθεῖσα πρὸς μίξιν. παρὰ τὸ μάω, *μῶ,* τὸ ζητῶ, η παρὰ τὸ μαστεύω, ο σημαίνει τὸ ζητῶ.᾿Απτήν. ἡ μηδέποτε πτᾶσα, ἡ μὴ πετομένη. καὶ κλίνεται ἀπτῆνος. παρὰ τὸ πέτω πετὴν καὶ ἀπτὴν, ἡ μὴ ι πτασθαι δυναμένη διὰ σμικρότητα. Απρωσ. θηλυκόν· πόλις δέ ἐστι Θρᾄκης. ὁ πολίτης᾿Απραῖος. ἐγὼ δέ φημι᾿Απρηνὸς, καὶ τὸ Απρως μηκιστογραφῶ, ὡς τὸ Αθως.᾿Απρόσκλητοσ. ἡ μὴ τυχοῦσα τῶν καλουμένων κλητόρων κατὰ τὸν νόμον. ᾿Απότριψισ. μέλλησις· ἀπάγγελσις· ἀγώνισις, προάγγελσις· τέκμαρσις, κάθεξις.᾿Απουρία. ἡ ἐξ ἀνίσων γάμων σπορὰ, οι ον ἀπὸ δούλης η ἀπὸ δούλου.᾿Απόφασισ. Δημοσθένης. τὸ ἀποφαίνειν διὰ γραμμάτων κατὰ μέρος, ὁπόσην οὐσίαν ε χει, ο περ ἐν ταῖς ἀντιδόσεσι μάλιστα γίνεται. καλεῖται δὲ αὐτὸ καὶ ἀπογραφή.᾿Απραγμοσύνη. ἡ καταφρόνησις, ἡ ἀμέλεια. ὁ δὲ᾿Ιουστινιανὸς α δικον αὐτῶν ἀπεκάλει τὴν ἐς κουτριγούρους ἀπραγμοσύνην. καὶ ἀπραγμοσύνη, ει δος α νθους. μίλακος ο ζων καὶ ἀπραγμοσύνης. alpha.246᾿Αποίκησισ. ἡ μετοίκησις. ᾿Απφά. ἀδελφῆς καὶ ἀδελφοῦ ὑποκόρισμα.᾿Απανάστασισ. ἀποικία, μετανάστασις. ᾿Απέχθεια. μῖσος.᾿Απέλεθρον. ἀμέτρητον καὶ πολλὴν δύναμιν· πέλεθρον γὰρ καὶ πλέθρον μέτρον γῆς.᾿Απειλή. ἡ μετ' ὀργῆς ἐπίπληξις. παρὰ τὸ α ποθεν ει ναι ἐλέους, η παρὰ τὸ ἀπείλλειν, ο ἐστιν ἀπείργειν· ὁ γὰρ ἀπειλῶν τὸν θέλοντά τι πράττειν ἀπείργει. η παρὰ τὴν ἀπὸ καὶ τοῦ εἰλῶ, ἡ ἀποκλείουσα τῶν δεόντων. ε στι γὰρ ἀπειλὴ λόγος συστρέφων τὸ δέον, η λόγος ἀπείργων τῶν ἁμαρτημάτων. σημαίνει δὲ τρία· τὸ καυχῶμαι, ὡς τό· –ποτ' ἀπειλήσει– ἐπὶ δὲ εὐχῆς· –οὐδ' ἠπείλησεν α νακτι– ἐπὶ δὲ ὀργῆς· –αι ψα δ' ἀναστὰς ἠπείλησε μῦθον– τὸ δὲ ευ χομαι, παρὰ τὸ ἀπέλλας, τὰς φιάλας, δι' ω ν σπένδοντες. εὐχόμεθα. τὰ εἰς ¯η λήγοντα θηλυκὰ, παραλήγοντα ἑνὶ τῶν δασέων η ψιλῶν, η ε ν τινι τῶν μέσων, οὐδέποτε τῇ ¯ε¯ι διφθόγγῳ παραλήγουσι, πλὴν τοῦ πείνη, ὠτειλὴ, ὀφειλὴ καὶ ἀπειλή. alpha.247᾿Απήνη. ἡ α μαξα. παρὰ τὸ α νω τὸ ἀνύω, α νη καὶ ἀπάνη, καὶ τροπῇ τοῦ ¯α εἰς ¯η ἀπήνη. Απυστοσ. ὁ ἀνήκουστος. ἀπὸ τοῦ πεύθω, πευστὸς καὶ α πυστος.᾿Απαισόσ. πόλις κατὰ τὴν Τρωάδα. λέγουσι καὶ δίχα τοῦ ¯α. ο ς ῥ' ἐνὶ Παισῷ. ὁ πολίτης᾿Απαισηνὸς καὶ Παίσιος.᾿Απάμεια. πόλις Συρίας. ἀπὸ τῆς᾿Απύνας, τῆς Σελεύκου μητρός. ὁ πολίτης ᾿Απαμεύς.᾿Απαιόλη. ἀπατητική.᾿Αποφοίτησισ. χωρισμὸς η ἀναχώρησις.᾿Αποῤ̔ροή. ἡ ἀπὸ σταγόνος τινὸς ῥέουσα.᾿Απόμοιρα. μερὶς, κλῆρος.᾿Απογραφή. ἡ ἀρίθμησις. ᾿Απραγμάτευτοσ. ἡ μηδένα κόπον ε χουσα, ἡ ἀπολυπραγμόνητος.᾿Απαρτία. ὁ κατὰ τὸν οι κον κόσμος, η τοι τὰ λεγόμενα ε πιπλα. ε στι καὶ ἀπαρτῶ, παράγωγον ἀπαρτίζω· τὸ ἀρτίως ο ἐστιν εὐαρμόστως συμπληρῶ. *᾿Απηνή. ἡ ἀναιδὴς, καὶ ἀπάνθρωπος, καὶ ἀσεβής.* alpha.248᾿Απαρκτίαισ. ταῖς ἀπὸ τῆς α ρκτου πνοαῖς. καὶ ἀπαρκτίας α νεμος, ὁ ἀπὸ τῆς α ρκτου πνέων.᾿Απάγεια. ἡ μήπω συμπαγεῖσα.᾿Απίησ. ξένης. –ἐξ ἀπίης γαίης–.᾿Αποσφήλωσισ. ἡ ἀποπληξία.᾿Απεμπολὴ καὶ ἀπεμπόλησισ. ἡ μετὰ ἀπάτης πρᾶσις καὶ ἐμπορία.᾿Αποπληξία. τὸ μετὰ ἀναισθησίας καὶ παρέσεως πάθος.᾿Απαγωγάσ. αἰχμαλωσίας.᾿Απανθρωπία. ἡ κακία. ο ταν γάρ τις μὴ κατὰ α νθρωπον ποιῇ, τοῦτο ἀπανθρωπία.᾿Αποκαραδοκία. προσδοκία, ἐλπίς.᾿Απάθεια τοῦ νοῦ. ἀπὸ τῆς κτίσεως ἀποδημία.᾿Απαράτρωτοσ. ἀπαρασάλευτος.᾿Απὸ κοπρίασ. ἀπὸ πειρασμοῦ.᾿Αποκοπή. ἡ ἐκ τοῦ τέλους α ρσις. οι ον· κυκεῶνα, κυκεῶ· ἱδρῶτα, ἱδρῶ. ᾿Απήχησισ. ὁ η χος καὶ ἡ προφορὰ καὶ ἡ ἐκφώνησις. alpha.249᾿Απόστροφοσ. σημεῖον ἐκθλίψεως φωνήεντος *η φωνηέντων,* οι ον· ω ς ε φατ' εὐχόμενος– ἀπόστροφος δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διὰ τὸ νεύειν ἐπὶ τὰ ε σω κάτω. τίθεται δὲ ἀντὶ τεσσάρων· ἀντὶ τοῦ ¯α· ἀντὶ τοῦ ¯ε· ἀντὶ τοῦ ¯ι, καὶ ἀντὶ τοῦ ¯ο.᾿Απειροκαλία. ἡ φιλοδοξία. καὶ ἀπειρόκαλοι. ει ρηται δὲ ἀπὸ τοῦ ἀπείρους ει ναι τοῦ καλοῦ, η τοι τῆς ταπεινώσεως. η οἱ ἀμέτρως καλλυνόμενοι. τοιοῦτοι δὲ οἱ τῆς νεανικῆς ἡλικίας.᾿Απόμοιρα. τὸ ἀπὸ τῶν οἰκείων κτημάτων ἀφιερωθὲν εἰς ἐκκλησίαν η εἰς μοναστήρια, η εἰς γηρωκομεῖα.᾿Αποβολή. ἡ πρόσκρουσις. καὶ ὁ ᾿Απόστολος· εἰ γὰρ ἀποβολὴ αὐτῶν–. (Οὐδέτερον.) ᾿Απαρεμπόδιστα. ἀπλανῆ.᾿Απατούρια. ἑορτὴ δημοτελής· η γετο δὲ παρ᾿ Αθηναίοις ἐπὶ τρεῖς ἡμέρας. Απεδα. τὰ ἰσόπεδα. alpha.250᾿Απείκασμα. ὁμοίωμα.᾿Αποβράσματα. τὰ πίτυρα. παρὰ Καλλιμάχῳ· τῆς οὐδὲν ἀπέβρασας φαῦλον ἀλετρίς.᾿Απόθετον. τὸ ἀποτεθησαυρισμένον.᾿Αποθύμια. λυπηρὰ, τὰ μὴ καταθύμια.᾿Απόκριμα. κατάκριμα. ᾿Απὸ κυανέων. ἀπὸ κυανὸς, κυάνειος, καὶ ἀποβολῇ τοῦ ¯ι κυάνεος, τὸ κυάνεον, τὰ κυάνεα, τῶν κυανέων.᾿Αποπορευτέα. ἀγαθά. τοιγαροῦν ἀποπορευτέα αὐτῷ δοκεῖ. ᾿Απὸ στόματος. α νευ γραμμάτων. ὁ δὲ κελεύει ἀπὸ στόματος φράζειν τοῖς ἡγεμόσι τῶν Μάρσων. Απρακτα. ἀνεκδίκητα, ἀτιμώρητα. ἀλλὰ ταῦτα μὲν οὐχ οι α τὲ ει ναι α πρακτα γενέσθαι.᾿Απροστασίου. ει δος δίκης, κατὰ τῶν μετοίκων τὸν προστάτην μὴ νεμόντων. ᾑρεῖτο δὲ ε καστος αὐτῶν τινὰ τῶν πολιτῶν, ο ν η θελε, προστάτην, alpha.251 τὸν ἐπιμελησόμενον τῶν ἰδίων καὶ τῶν δημοσίων ὑπὲρ αὐτοῦ ω σπερ ἐγγυητὴν ο ντα.᾿Απροβούλευτον. τὸ μὴ πρότερον εἰς τὴν βουλὴν, ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσαχθὲν ψήφισμα. ου τως Δημοσθένης.᾿Απρόσωπον. κακόμορφον, δυσειδές. – ἀπρόσωπον μὲν, ο σα ἰδεῖν–. ᾿Απαιδοτρίβητον. ἀγύμναστον. ᾿Απέραντον. ἀτελεύτητον.᾿Απερίτρεπτον. τὸ μὴ περιτρεπόμενον.᾿Απέριττον. τὸ εὐτελές.᾿Απεοικός. ἀνόμοιον. ᾿Απεικός. μὴ πρέπον. ᾿Απευκτόν. μισητόν. ᾿Απήμαντον. ἀβλαβές. ᾿Απηχέστατον. ἀηδές. ου καὶ αὐτὸν τὸν η χον ἀποστρεφόμεθα. ᾿Απηνέμοις. γαληνοτάτοις. Απλετον. πολὺ, ἀπλήρωτον.῾Απλοῦν. τὸ μὴ συντεθειμένον. λέγει δὲ καὶ τὸ ἀκακούργητον. Απλαστον. ἀληθινόν. Απλωτον. α πλευστον.᾿Απόῤῥητον. α φραστον, μὴ δυνάμενον ῥηθῆναι. Αποσον. τὸ ποσότητι η μέτρῳ οὐχ' ὑποπίπτον. ᾿Απαραποίητον. α πλαστον. Απιος. ἡ ὀπώρα. καὶ α πιον. τὸ δὲ α πιος ἐπὶ θηλυκοῦ. ᾿Απόλεκτον. ἐκλεκτόν. Αποπτον. ὑψηλόν. alpha.252 ᾿Απώμοτον. τὸ ε ξω ο ρκου γινόμενον. Αποιον. ἀνήδονον. Αποινα. τὰ δῶρα καὶ τὰ λύτρα τὰ ὑπὲρ φόνου διδόμενα. ε στιν ου ν φόνος, καὶ κατὰ στέρησιν α φονος, καὶ πλεονασμῷ τοῦ ¯ι α φοινος, καὶ τὸ οὐδέτερον α φοινον καὶ α ποινον, τουτέστι τὰ ὑπεξαιρούμενα τοῦ φονικοῦ ἐγκλήματος. η ἐκ τοῦ ποινὴ, ἡ τιμωρία, γίνεται α ποινος καὶ α ποινον. ᾿Απερικτύπητον. ἀτάραχον, ἀνενόχλητον. ᾿Αποδεκτόν. ἐπαινετόν. ᾿Απόπτυστον. μισητόν.᾿Απρόσκοπον. ἀσκανδάλιστον.᾿Απρόσβλητον. γενναῖον.῾Απτόν. ψηλαφητόν. ᾿Απαύγασμα. ἡ ἀκτὶς τοῦ ἡλίου.᾿Απρόσιτον. ἀθεώρητον. *᾿Αποξενώμενον. η θος βάρβαρον καὶ α γριον. *᾿Απαγούσ. τὸ μὴ βεβηκὸς εἰς τὴν πίστιν μὴ δὲ πάνυ ἑδραῖον.* ᾿Απέννιον η ᾿Απέννινον. ο ρος διὰ μέσης ᾿Ιταλίας τεταμένον.᾿Αποπάτημα. τὸ ἀνθρώπινον σκύβαλον.᾿Απόλεκτον. τὸ ε κκριτον καὶ ἐκλελεγμένον.᾿Απαίσιον. ἀπρεπές.᾿Απόλεκτον. οὐχὶ τὸ φαῦλον καὶ ἀπόβλητον, ἀλλὰ τὸ ε κκριτον, καὶ ἐκ πλειόνων ἐξειλεγμένον. καὶ στρατιώτας ἀπολέκτους.᾿Απίναιον. ο ρος. alpha.253 ᾿Απλῆκτον. τὸ κατάλυμα.᾿Απλῆκτα. πολλά.᾿Απόκλιμα. τὸ ε κνευμα τῶν ὀρῶν. ᾿Απερίγραπτον. ἀπεριόριστον. ἡ μοναδικὴ ὑπόστασις τῶν πάντων περιεκτική. δυάδα γὰρ η τριάδα ἀπερίγραπτον ἀδύνατον λέγειν. ἐν τῇ περιγραφῇ τῆς μονάδος γνωρίζεται δυάς. ἡ δὲ ἁγία ἐκκλησία τρεῖς ὑποστάσεις ἀπεριγράπτους ὁμολογεῖ. ἀπερίγραπτον καὶ τὸ ἀπερίσκοπον.᾿Απάργματα. α εἰς τοὺς τάφους ἐνέβαλον ἐναγίσματα η τοι θυσίας. παρὰ τὸ α ρχω α ργμα καὶ α παργμα. Ομηρος· –α ργματα θῦσε θεοῖς ἀειγενέτῃσιν.᾿Απαιόλημα. ἀπάτημα.᾿Απερείσια. πολλά. παρὰ τὸ α πειρος, ἀπειρέσιος καὶ καθ' ὑπερβιβασμὸν ἀπερείσιος, καὶ τὸ οὐδέτερον ἀπερείσιον καὶ ἀπερείσια. Απυον. τὸ μὴ ε χον ε λκος.᾿Απειρόκαλον. α γνωστον, ἀμαθές.᾿Απηχήματα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ᾠδαὶ ἀπατηλαί.᾿Απομόργματα. σφραγίδων ἐκτυπώματα.῾Απαξάπαντα. ἀπὸ μικροῦ ε ως μεγάλου.᾿Απείραστον. ἀδοκίμαστον.᾿Αποθύμια. λυπηρὰ, τὰ μὴ καταθύμια. ἀπὸ τὸν θύω, θυμὸς καὶ ἀποθύμιον.᾿Αποφώλια. ἀπαίδευτα. Ομηρος· η δη α λιτρος ε σσι καὶ οὐκ ἀποφώλια εἰδώς. alpha.254 πῶς ου ν ἁμαρτωλός τε καὶ ἀπαίδευτος; ἀλλὰ λέγει· πάνυ η μαρτες καὶ οὐκ ω ν ἀπαίδευτος, ὡς ει ωθε λέγειν· θαυμάζω, πῶς σοφὸς ω ν, η μαρτες. γέγονε δὲ παρὰ τὸ φωλεόν· φωλεοὶ γὰρ τὰ παιδευτήρια, παρὰ τὸ ἐν αὐτοῖς φωλεύειν καὶ διατρίβειν. η παρὰ τὸ φῆλος, ο σημαίνει τὸν ἀπατεῶνα, φήλιος καὶ ἐν συνθέσει ἀποφήλιος καὶ τροπῇ ἀποφώλιος. ἀποφωλίους τοὺς ἀπαιδεύτους ἐκάλουν.῾Απλοῦν. ἀπερίεργον. καὶ ἁπλότης ε ξις ἀπερίεργος, τὸ πιστὸν ἑτοίμως ε χουσα. η τὸ μηδὲν μετ' ἐπινοίας ἐξ αὐτοῦ πλάττον η λαλοῦν.᾿Απαθές. τὸ πάσης υ λης χωρίς. καὶ ὑπὸ ταύτης οὐδαμῶς ο ἐστι νοηθῆναι δυνάμενον, η τὸ πάθους χωρὶς καὶ πάσης ἁφῆς ἀνώτερον. *᾿Αποδρευθέντα. ἐκτμηθέντα.* (῾Ρῆμα.) ᾿Απεμφαίνει καὶ ἀπεμφαίνοντα. τὰ ἀπεοικότα καὶ ἀνάρμοστα.᾿Αποπερατοῦσαν. συμπληροῦσαν, συμπεραίνουσαν.᾿Απεσκολλυμένοσ. κυρίως ἐκτεταμένος· κόλλυς γὰρ ἡ ἐπὶ τοῦ α κρου θρὶξ, η ν ἐφύλαττον ἀκούρευτον, θεοῖς ἀνατιθέντες. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ γεγυμνωμένου.᾿Απεξενωμένη. ἀλλοτρία. alpha.255 Απαγε. παῦσαι, μὴ γένοιτο. η ἀντὶ τοῦ· χρῶ τῇ ἀπαγωγῇ. ου τως Δημοσθένης. καὶ παροιμία· α παγε ξένον ἐν χειμῶνι. ἐπὶ τῶν ὀχληρῶν.᾿Απάγειν. ἐφηγεῖσθαι, γράφεσθαι, δικάζεσθαι. τούτων ε καστον ἐπὶ τῶν ἑτέρως κατηγορούντων λέγεται. ἀλλ' ἐὰν μὲν πρὸς διαιτητὴν ἡ δικασία γίνεται, καλεῖται δικάζεσθαι.᾿Απάγοντεσ. ἀπωθοῦντες, ἀπελαύνοντες. τὸν α νδρα ἀπάγοντες.᾿Απαγορεύει. ἀποτρέπεται, ἀρνεῖται. ἀπαγορεύουσι τῷ Φιλίππῳ, καὶ τὸν Δέκιον ἀναγορεύουσιν–.᾿Απαλλάξασ. ἀντὶ τοῦ πείσας ἀποστῆναι. ου τως Κρατῖνος, Δημοσθένης καὶ α λλοι.᾿Απαλλάξαι καὶ ἀπαλλάξωμεν. ἀντὶ τοῦ ἀφανίσωμεν. Ξενοφῶν· τῶν α λλων σκευῶν τὰ περισσὰ ἀπαλλάξωμεν. καὶ ἀπαλλάξαι ἀντὶ τοῦ φυγαδεῦσαι. προσωτάτω ᾿Αρμενίας ἀπαλλάξαι. alpha.256᾿Απαλλάξειεν. μετακινήσειεν. πῶς καλῶς αὐτῶν ἀπαλλάξειεν α ν μετόρχιον.᾿Απαλλαξείοντεσ. ἐπιθυμίαν ε χοντες ἀπαλλαγῆναι.᾿Απαλγήσαντασ. ἀντὶ τοῦ παυσαμένους ἀλγεῖν, ω σπερ καὶ τὸ ἀπολοφυράμενοι.᾿Απαλγοῦντεσ. ἀπογινώσκοντες. ἀπαλγοῦντας δὲ αὐτοὺς ὑπὸ τοῦ πολλοῦ ῥίγους ἐπεῤῥώννυεν. ᾿Απαλέξασθαι. ἀντιτάξασθαι. Σοφοκλῆς· οὐδὲν σθένομεν πρὸς ταῦτ' ἀπαλέξασθαι. ᾿Απαλεξῆσαι. κωλῦσαι. καὶ ἀπαλέξαντες ὁμοίως.᾿Απαληθεύειν. τὸ ἀληθὲς ἐξευρίσκειν. καὶ ἀπαληθεύω τὸ τὴν ἀλήθειαν ἐκφαίνω. καὶ ἀπαληθεύοντι, τούτου τὸ δολερὸν ἀναφαίνεται.᾿Απαμυνεῖ. ἀποτρέψει.᾿Απαντᾷν καὶ συναντᾷν λέγουσιν ἑκατέρως τὸ παραγίνεσθαι ει ς τινα τόπον.᾿Απαντήσαντοσ. γενέσθαι φθάσαντος. ᾿Απαντωμένων. συμβαινομένων, γινομένων. οὐ μὴν ἀλλὰ τοιούτων ἀπαντωμένων οὐδὲν ἱκανὸν η ν πρὸς τὸ κωλύειν τὴν ὁρμὴν τῶν῾Ρωμαίων. alpha.257᾿Απαξιῶν. ἀνάξιον ἡγούμενος.᾿Απαρνοῦντα. ὑποχωρήσαντα. –ἀν' ἑκάστην ἡμέραν ἀπαρνοῦντα τὸν στόλον εἰς τὴν οἰκείαν.᾿Απαρτῆσαι. τὸ κρεμάσαι. τὸ δὲ τελειῶσαι, ¯ι.᾿Απῆμεν. ἀπὸ τοῦ ει ω, τὸ πορεύομαι, ὁ μέσος παρακείμενος ει α, καὶ τροπῇ τοῦ ¯ε εἰς ¯η η α, τὸ πληθυντικὸν η αμεν καὶ κατὰ συγκοπὴν η μεν. οι ον· προῄμεν τῇ βουλῇ. καὶ τὸ δεύτερον η τε καὶ ἀπῆτε. καὶ ταῦτα ὑπὸ τῶν ἐχθρῶν ἀπῆτε βεβουλευμένοι. τοῦ τούτου η α ὁ ὑπερσυντέλικος η ειν. ἐξ ου καὶ τὸ παρήειν, ἐξήειν. τὸ πληθυντικὸν, η εισαν, καὶ κατὰ συστολὴν ἀπήεσαν.᾿Αποτυμπανίσαι. οὐχ ἁπλῶς τὸ ἀποκτεῖναι, ἀλλὰ τυμπάνῳ ἀποτυμπανῶ. ε στι δὲ ξύλον, ο περ σκυτάλην καλοῦσι. τὸ γὰρ παλαιὸν ξύλοις ἀνῄρουν τοὺς πολεμίους· υ στερον δὲ τῷ ξίφει, κα ν τε δοῦλος ει η, κα ν τε ἐλεύθερος.᾿Αποφηληκίζει. βιάζεται. ἀπὸ τῶν ὠμὰ σῦκα τρωγόντων. καὶ ἐπὶ τὰ α λλα μετῆκται. ἀπὸ τοῦ φήληξ, φήληκος. τοῦτο παρὰ τὸ σφάλλω· σφήληξ καὶ φήληξ· η παρὰ τὸ φῶ τὸ ἀπατῶ.᾿Απαρυστέον. ἀφαιρετέον. ἀπὸ τοῦ ἀρύω. alpha.258 ᾿Απάρχεσθαι. τὸ τοῖς ἀγύρταις ἀργύριον ἐμβαλεῖν.᾿Απαυθημερίζειν. αὐθήμερον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπανέρχεσθαι. Ξενοφῶν· ω στε ἀπαυθημερίζειν ἐπὶ τὸ στράτευμα. ᾿Απαυτοματισθεῖσα. οὐκ ἀφ' ἑαυτῆς τελειωθεῖσα.᾿Απαυχενίζειν. ἀφηνιᾷν, ἀτακτεῖν, η τὸν αὐχένα συντρίβειν. ᾿Απαιθριάζει. ἀντὶ τοῦ εὐδίαν α γει. ᾿Αριστοφάνης· ἀπαιθριάζει τὰς νεφέλας η ξυνεφεῖ. ἀντὶ τοῦ συνάγει τὰ νέφη. Απαιρε. ο οἱ πολλοὶ ᾳ ρον λέγουσιν.᾿Απαίρειν. ἀντὶ τοῦ παραγενέσθαι.᾿Απαίροντεσ. μεθιστάμενοι. ου τως ᾿Αριστοφάνης. ᾿Απέβη. ἀπέθανεν. ᾿Απεβίω. ὁμοίως. ᾿Απεγένετο. ὡσαύτως. ου τως ᾿Αντιφῶν καὶ Θουκυδίδης.᾿Απεγνωκώσ. ἀποδοκιμάσας. ου τως Δημοσθένης.᾿Απέδει. ἐνέλιπεν. ὁ δὲ Φιλοποίμην ᾿Αρκὰς ἀπέδει Πελοποννησίων οὐδενός. alpha.259 ᾿Απεδειλία. ἐδεδίει.᾿Απέδειξεν. ἀντὶ τοῦ παρέδωκεν. ου τως Ξενοφῶν.᾿Απεδημηκότεσ. ἀντὶ τοῦ ἀποδεδημηκότες. ου τως Ερμιππος. ᾿Απεδοκίμαζεν. ἀτίμως υ βριζεν, ἐξεφαύλιζεν. ἀπεδοκίμαζε μὲν τοὺς κοσμίους τοῖς η θεσι, τοὺς ἐν κύβοις δὲ καὶ μέθαις ἐτίμα καὶ προῆγεν.᾿Απέδοξεν. ἀντὶ τοῦ· πῶς οὐκ ε δοξεν.᾿Απεκάθετο. ἀντὶ τοῦ ἐκαθέζετο. ὁ δὲ Σκιπίων ἀπεκάθετο πρός τινι πυραμίδι, θεωρῶν τοὺς αὐτομόλους. ᾿Απεκάλει. ἀντὶ τοῦ ἐνεκάλει. Ξενοφῶν δὲ ἀντὶ τοῦ μετεπέμπετο.᾿Απέκνισεν. ε κοψε. ξύλα ἀπέκνισεν.᾿Απέλθοι. ἀντὶ τοῦ ἐπανέλθοι. Θουκυδίδης. Δημοσθένης δὲ ἀντὶ τοῦ ἀποπεράναι. ᾿Απελογίζετο. ἀπηριθμεῖτο. ὁ δὲ εἰσελθὼν ἀπελογίζετο τὰς αἰτίας. ᾿Απενιαυτίσαι. ἐνιαυτὸν φυγεῖν τὴν πατρίδα ἐπί τισιν ἀδικήμασιν. ἀπενιαυτίσαι εἰς τὸ τῶν Σκυθῶν ε θνος.᾿Απεπίστευον. η λπιζον. ἐν δὲ τοῖς ἐπιπέδοις καὶ ὑψηλοῖς ἀπεπίστευον. alpha.260 ᾿Απεσκευάζετο. τὴν στολὴν ἀπετίθει. κυρίως δὲ ἀποσκευάσασθαί ἐστι, τὸ ἀποῤῥίψαι τὰ σκεύη, καὶ τοῖς πολεμίοις ἀκολουθεῖν. μετὰ πλείστων ἀνθρώπων ἐκεῖσε ἀπεσκευάσατο. ᾿Απέσομαι. ᾿Αριστοφάνης ἀντὶ τοῦ ἀπέρχομαι. ᾿Απεσπούδαζεν. ἠμέλει, κατεφρόνει. οὐδὲν τῶν ᾿Επικούρου λόγων ἀπεσπούδαζεν ὁ ᾿Απολλώνιος. ᾿Απεσχοίνισεν. ἀπεχώρισεν. ᾿Απεσχοινισμένοσ. ὁ ἐστερημένος. Δημοσθένης δὲ ἀντὶ τοῦ ἀποκεκλεισμένος.᾿Απετιμήσαντο. ἀποτίμημα ε λαβον. ου τως Δημοσθένης. καὶ ἀποτίμησις τὸ ἀποτίμημα. ᾿Απετρίψαντο. ἀπελογίσαντο. οὐ μόνον ἀπετρίψαντο τὰς διαβολάς.᾿Απετρύετο. κατεδαπανᾶτο. καὶ παρὰ τὰς τῶν δείπνων παρασκευὰς τὸ πολὺ τῶν δημοσίων ἀπετρύετο. καὶ ἀπέτρυσεν ὁμοίως.᾿Απευήκασιν. ἀπεξηραμμέναι εἰσίν.᾿Απεφλαύριζεν. ἐκάκιζεν. ὁ δὲ τούτοις ἀντέπραττε καὶ ἀπεφλαύριζε τὰ λεγόμενα.᾿Απεχειρίσθη. τὴν χεῖρα ἀφαιρέθη. ο ς μετὰ πολλὰς αἰκίας καὶ στρεβλώσεις ἀπεχειρίσθη τὴν δεξιάν. alpha.261᾿Απέχω. ἀντὶ τοῦ ἀπέλαβον. ἀπέχομέν γε τὴν χάριν.᾿Απεχρᾶτο.῾Ηρόδοτος, ἀντὶ τοῦ ἀρκεῖν ἡγεῖτο. Θουκυδίδης δὲ, ἀπεχρῶντο ἀντὶ τοῦ ἀνήρουν. Απει. ἀντὶ τοῦ ἀπελεύσῃ.᾿Απεῖδεν. ἀντὶ τοῦ μετὰ δριμύτητος ἐθεάσατο. ὁ δὲ στρατηγὸς ἐπεὶ ἀπεῖδεν εἰς αὐτόν.᾿Απήρτα. ἐκώλυσεν, διατριβὴν παρεῖχεν. ἀπήρτα τὸν πλοῦν τῆς ὁδοῦ. ξυμπαρέπλει τῇ στρατιᾷ.᾿Απήχθη. ἀπεκομίσθη, η παρετράπη. ὁ δὲ ᾿Απολλώνιος τὴν γλῶτταν ἀττικῶς ει χεν, οὐ δὲ ἀπήχθη τὴν φωνὴν ὑπὸ τοῦ ε θνους.᾿Απηρκότοσ. ἀναχωρήσαντος. α ρτι δὲ ἀπηρκότος τοῦ Σοραίχον, ἡ Σιωνὶς ἐφίσταται. Απιμεν. ἀπερχόμεθα.᾿Απιστεῖν. τὸ ἀπιθεῖν. ου τως Πλάτων.᾿Αποβῆναι. τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην. ἀποβάτης δέ ἐστιν ἱππικὸν ἀγώνισμα.᾿Αποφλαυρίζοντεσ. ἐπιτωθάζοντες, ἐξευτελίζοντες, η ὡς πονηρὸν ἀποστρεφόμενοι. ἀεὶ γὰρ τὸ φλαῦρον ἐπὶ πονηροῦ τάττεται.᾿Απόστιχε. ἀπαλλάσσου, ἀναχώρει. στείχω, ε στιχον, ε στιχες, ε στιχε, καὶ ἀπόστιχε.᾿Απόερσεν. ἀπέπνιξε, διέφθειρε. παρὰ τὸ ε ῤῥω τὸ φθείρω, ὁ μέλλων ἐρῶ καὶ αἰολικῶς alpha.262 ε ρσω, ὁ ἀόριστος ε ρσα, ε ρσας, ε ρσε καὶ ἀπόερσεν.᾿Αποκαίνυμι. νικῶ. ἀπὸ τοῦ καίνω τὸ φονεύω, καίννυμι, ἐκαιννύμην, ἐκαίννυσο, ἐκαίννυτο. μεταφορικὴ δὲ ἡ λέξις. κυρίως γὰρ ἐπὶ τῶν φονευόντων καὶ νικώντων λαμβάνεται. η παρὰ τὸ αι νυμαι, τὸ λαμβάνω. ἀπὸ τοῦ αι νυσθαι καὶ λαμβάνειν α θλον τοὺς νικῶντας. ᾿Απολιχμῆσαι. ἀπολεῖξαι. λείχω, λειχῶ, καὶ λιχμῶ, λιχμήσω.᾿Απόχρη. ἀρκεῖ. ἀπὸ τοῦ χρῶ, τοῦ σημαίνοντος τὸ παρέχω, γίνεται ῥῆμα χρῆμι, χρῆς, χρῆσι καὶ κατὰ ἀποκοπὴν χρὴ, καὶ ἐν συνθέσει ἀπόχρη.᾿Αποβρίξειν καὶ ἀποβρίξας, ἀπονυστάξασ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρὰ τὴν βορὰν καὶ τὸ ι ζειν, ο ἐστι κατανεύειν, ω στε κυρίως ἀπὸ βορᾶς νυστάζειν. οἱ δὲ παρὰ τὸ ¯ρ¯ι ἐπιτατικὸν μόριον. βαρύνονται γὰρ οἱ ἐν υ πνῳ καταφερόμενοι. ʼΑποσαλεύσασ. ἀποφυγὼν ἐκ τοῦ λιμένος, καὶ σάλῳ ὁμιλήσας.ʼΑπὸ γὰρ ὀλοῦμαι. τοῦτο ὑπέρβατον λέγεται. ʼΑριστοφάνης· ἀπὸ γὰρ ὀλοῦμαι μὴ μαθὼν γλωττοστροφεῖν.ʼΑπογενέσθαι. η ὑποστερῆσαι σημαίνει η ἀποθανεῖν.ʼΑπογειῶσαι καὶ ἀπογεισσῶσαι. τὸ ἀποθεμελιῶσαι. alpha.263 ʼΑπογνούσ. ἀπελπίσας. ου τως Δημοσθένης. Δείναρχος δὲ, ἀντὶ τοῦ ἀποψηφισάμενος.ʼΑπογράψαι. τὸ γράψαι καὶ τὸ ὑπογράψασθαι, καὶ οι ον σημειώσασθαι δηλοῖ. ʼΑποδέχομαι. ὁμολογῶ. ʼΑποδιατρίψουσιν. ἐγχρονίσουσιν, χρονοτριβήσουσιν. ʼΑποδυσπετεῖ. ἀποδύρεται. δυσθετούμενοι τοῖς συμβαίνουσιν ἀποδυσπετεῖν ἀναγκάζονται.ʼΑποζῇν. τὸ εὐτελῶς ζῇν. ζῇν δὲ, τὸ μετὰ τρυφῆς καὶ πολυτελείας. τοσαῦτα ἀγαπῶν κεκτῆσθαι, ο σα ἀποζῇν ἀπ' αὐτῶν. ἀντὶ τοῦ μέτρια.ʼΑποθρέξεισ. συναποτροχάσεις. ου τως Πλάτων. ʼΑποθυννίζω. τὸ ἀποπέμπομαι καὶ παραλογίζομαι. ʼΑποκαθεύδουσιν. Ευ πολις. ἀποκοιτοῦσιν. η τοι γυναῖκα χωρίζεται ἀνδρὸς, καὶ ἀφίστασθαι.ʼΑποκαθιστῶν. διδοὺς, χαριζόμενος. σὺ ει ς ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου.ʼΑποκαραδοκῶν. προσδοκῶν, ἐλπίζων. ʼΑποκαταλλάξασ. φιλοποιήσας. ʼΑποκατέστη. ἀπεδόθη. ἀποκατέστη τοῖς περὶ τὸν ε βδομον χρόνον τὰ ὀφειλόμενα χρήματα. ʼΑποκεκλήκαμεν. ἀπηγορεύσαμεν. ἀποκεκλήκαμεν μηκέτι τὴν πόλιν διαπερᾷν. alpha.264 ʼΑποκεκρουσμένον. οι ον ἀποκεκλασμένον καὶ κεκολοβωμένον καὶ ἠκρωτηριασμένον. ʼΑριστοφάνης· δός μοι κυλίσκιον χεῖλος ἀποκεκρουσμένον. ποτήριον. ʼΑποκείλαντεσ. ἀποκλίναντες. ʼΑποκείραντες καὶ κείραντεσ. ἑκατέρως λέγουσιν. ʼΑποκεῖσθαι πόῤῥω. ἀτιμάζεσθαι. ου τως Κρατῖνος. ʼΑποκακήσαντεσ. ἀφροντιστήσαντες. Ομηρος. παρὰ δὲ Σώφρονι ἀποκακήσαντες.ʼΑποκακήσονται. τὴν λύπην ἀφαιρήσονται.ʼΑποκηρύττοντεσ. ἀντὶ τοῦ πιπράσκοντες. ου τως Δημοσθένης καὶ Πλάτων.ʼΑποκινεῖν. τὸ ἀπέρχεσθαι καὶ ἀποτρέχειν. λέγεται δὲ καὶ ἐπὶ πλοίων καταγομένων καὶ ὁρμιζομένων, ἀποκινεῖν ταῖς κώπαις.ʼΑποκοπῆναι λέγεται, ο ταν ἡ κύων μηκέτι εὑρίσκῃ τὰ ι χνη.ʼΑποκρινεῖται. λέγουσιν μᾶλλον η ἀποκριθήσεται. ʼΑπολαβόντεσ. ἐναποκλείσαντες. οἱ δὲ τὴν στρατιὰν αὐλῶσι στενοῖς καὶ δυσεμβόλοις ἀπολαβόντες, ἐς διαλλαγὰς ἐλθεῖν αἰσχρὰς ἠνάγκασαν. alpha.265ʼΑπολακτίζω. καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος, τουτέστιν ἀπέλαυσεν.ʼΑπολαύειν οὐκ ἐπὶ τῶν ἡδέων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἐναντίων τάττουσιν. ὡςʼΙσοκράτης· δέδοικα, μή τι κακὸν ἀπολαύσαιμι.ʼΑπολαχεῖν. τὸ διανείμασθαι τὰ πατρῷα καὶ α λλα κοινὰ δόντα πρός τινας καὶ ἀπολαβεῖν. διαλαχεῖν δὲ τὸ διανεμεῖσθαι οἱ ῥήτορες εἰρήκασιν.ʼΑντιφῶν· ὁπόταν α νθρωποι βούλοιντο χρήματα διαλαγχάνειν. ʼΑπολαχεῖν. ἀντὶ τοῦ διαλαχεῖν. ου τως Λυσίας, ʼΑριστοφάνης καὶ ʼΑντιφῶν. ʼΑπολεγόμενοσ. παραιτούμενος. ἀπολεγόμενος τὴν ἀρχήν. ʼΑπολέγοντα. ἀποτρέποντα, ἀπαγορεύοντα. γράμματά τε α ντικρυς ἀπολέγοντα τοῖς πρέσβεσιν ε γραψεν. ʼΑπολιβάξεισ. συντόμως ἀναχωρήσεις. λιβὰς alpha.266 γὰρ ἡ σταγὼν, η ς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν. ʼΑπολογίσασθαι. τὸ ἐπεξελθεῖν ε καστα. ου τως Δημοσθένης. ʼΑπολυόμενοσ. ὑπεραπολογούμενος. ὁ δὲ πρεσβείαν διεπέμπετο, ἀπολυόμενος τὰς διαβολάς. ʼΑπολύων. τῷ θανάτῳ παραπέμπων. Δαβίδ· κύριε, ἀπολύων ἀπὸ γῆς, διαμέρισον αὐτούς. ε τερος δὲ ἑρμηνεὺς, ἀπὸ ὀλίγων.ʼΑποθανεῖν. ἀποψύχειν. ἡ ἀπὸ πρόθεσις ἐνταῦθα χωρισμὸν δηλοῖ. καθὰ χωρίζονται οἱ ζῶντες ἀπὸ τῶν τεθνεώτων. καὶ ἀπέρχεσθαι τὸ χωρίζεσθαι τινὰ ἀπερχόμενον. ʼΑποσκυδμαίνω. σκύζω. γίνεται ἐξ αὐτοῦ ο νομα ῥηματικὸν σκύδνος ἡ λοιδορία. η ὡς παρὰ τὸ ο ζω γίνεται ὀζαίνω, ου τω καὶ παρὰ τὸ σκύζω σκυζαίνω, καὶ τροπῇ τοῦ ¯ζ εἰς ¯δ σκυδαίνω, καὶ ἐπενθέσει τοῦ ¯μ σκυδμαίνω. alpha.267ʼΑποτμήξαντα. ἀποκόψαντα. τμῶ, παράγωγον τμήγω. τὸ δὲ τμῶ ἀπὸ τοῦ τομή.ʼΑποπτανέουσι. *ἀποβλέπουσιν.* πετῶ, πεταίνω, καὶ συγκοπῇ πταίνω, καὶ κατὰ ἀναδιπλασιασμὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

παπταίνω, παπτανῶ, παπτάνουσι, καὶ πλεονασμῷ τοῦ ¯ε παπτανέουσιν. ᾿Αποπτάμενοσ. πετάσας. πέτω καὶ συγκοπῇ πτῶ, καὶ πτῆμι ἐξ αὐτοῦ· τὸ παθητικὸν πτᾶμαι, πτάμενος. ἐκ δὲ τοῦ πέτω γίνεται πετῶ, ἐξ ου τὸ ἀμφεπετᾶτο, καὶ πετάζω, ἐξ ου τὸ ἐπετάσθη, καὶ πεταννύω, καὶ πετάννυμι, καὶ πτῆμι.᾿Απογαλακτίζω. ἡ ἀπὸ ἀπόπαυσιν καὶ ἀποπλήρωσιν σημαίνει. γάλακτος, γαλακτίζω.᾿Αποδρᾷν. τὸ ε ξω τῆς δεσποτίας γενέσθαι τοῦ δεσπότου. δρῶ τὸ ὑπηρετῶ. ο θεν καὶ δρηστῆρες οἱ ὑπηρέται. ᾿Απολυμαίνεσθαι. ἀποκαθαίρειν. λύματα λέγουσι τὰ καθάρματα. ει τε καὶ αὐτὸ τὸ ῥύπος παρὰ τὸ λυμαίνειν τὸ ὑποκείμενον. ἀπὸ γοῦν τοῦ λύμα λυμαίνω καὶ ἀπολυμαίνω. φύσει δὲ alpha.268 τὸ υ δωρ τῆς θαλάσσης καθαρτικὸν, ο τι καὶ τὰ περιττώματα εἰς τὴν ἀπέριττον θάλασσαν βάλλεται. τὸ δὲ λύμα ἐκ τοῦ ῥύπτω, αἰολικῶς ῥύσσω, ε ρυμαι, ῥύμα καὶ λύμα.᾿Απόφασθε. ει πατε. φημὶ τὸ λέγω, φήσω, πέφηκα, πέφαμαι, ἐφάμην, ε φασο, τὸ προστακτικὸν φάσο, φάσθω, φᾶσθε καὶ ἀπόφασθε. ᾿Αποθρίξασθαι. ἀποθερίζω, ἀποθρίζω. * ᾿Απομάττεσθαι. ἀναλαβεῖν, μιμεῖσθαι καὶ ἀποτυποῦν.*᾿Απομάττων. ἀντὶ τοῦ ἀποψῶν, η ἀντὶ τοῦ περιπλάττων πηλὸν καὶ τὰ πίτυρα.᾿Απομώμοκα. ἀντὶ τοῦ ὁρκωμοσίαν πρὸς γυναῖκας πεποίηκα. ᾿Απόνειμαι. ἀπόδος. ἀπόνεμε δὲ ψιλόν.᾿Απονοστήσει. ἐπανελεύσεται.᾿Απονυχιῶ. ἀντὶ τοῦ ἀφαιρήσομαι, ἀπὸ μεταφοσρᾶς τῶν ὀνυχιζομένων.᾿Απονυχίσαι λέγουσι μᾶλλον η ὀνυχίσαι. alpha.269 ᾿Αποξυστροῦνται. ἐπικάμπτονται, ἐπιστρέφονται. ᾿Αποπεπόνηκασ. τῶν πόνων ε ληξας.᾿Αποπεφασμένον. ἀπειρημένον, η ἀντὶ τοῦ ἀποδεδειγμένον καὶ πεφανερωμένον. ου τως Δείναρχος, Λυσίας καὶ Δημοσθένης. ᾿Αποπεφοίτηκεν. ἀπῆλθεν.᾿Αποπορευτέον. ἀντὶ τοῦ ἐπανακτέον, ὑποστρεπτέον. ᾿Αποπρεσβεύει. ἀπαγγέλλει πρεσβείαν. ᾿Αποπταίη. πετασθῇ. ᾿Αποῤῥέξαντεσ. ἀπομερίσαντες, ἀπόμοιραν δόντες.᾿Αποῤῥηθέν. ἀπαγορευθέν.᾿Αποῤῥηθῇ. ἀντὶ τοῦ ἀποκηρυχθῇ. ου τως Πλάτων. ᾿Αποῤῥιπτεῖ. ἀποβάλλει. ᾿Αποροῦντι. ἐρωτῶντι. ἀποροῦντι δὲ αὐτῷ, τίνι μηχανῇ ἀνεβίω, τόνδε φάναι–.᾿Αποσαλεύσασ. Θουκυδίδης· ἀποφυγὼν ἐκ τοῦ λιμένος εἰς τὸν ἀλίμενον τόπον, ε νθα σάλος γίνεται.᾿Αποσάξαντα. Δείναρχος ἀντὶ τοῦ φράξαντα τὸ τρῆμα. alpha.270᾿Αποσιμῶσαι. τὸ ἐπικύψαι καὶ τὴν πυγὴν προσθεῖναι γυμνήν. ου τως Φίλιππος. Θουκυδίδης δὲ, τὸ μετεωρίσαι τὰς ναῦς. ᾿Αποθευσούμεθα. ἀποδραμούμεθα. ἐπὶ πλοῦ λέγεται.᾿Αποδιοπομπῶ. ἀποτρέπομαι. ἀπὸ τοῦ ἀποτροπαίου Διός. πρώτης συζυγίας, διοπομπῶ, διοπομπήσω. τοῦτο δὲ ἀπὸ τῆς Διὸς γενικῆς καὶ τοῦ πομπός.᾿Απούρασ. ἀφελόμενος. αὐρῶ τὸ ἀπολαύω, ὁ μέλλων αὐρήσω, ὁ ἀόριστος ηυ ρησα, ἡ μετοχὴ αὐρήσας, καὶ κατὰ συγκοπὴν αυ ρας, καὶ τροπῇ τοῦ ¯α εἰς ¯ο, καὶ ἐν συνθέσει, ἀπούρας. οἱ δὲ ἀπὸ μεταφορᾶς τῶν ἀποσπώντων τοὺς ο ρους. ἀπουρήσας καὶ ἐν συγκοπῇ ἀπούρας.᾿Αποφθίσθω. φθίω, φθίσω, ε φθικα, ε φθιμαι, ἐφθίμην, ε φθισο.᾿Απεσφακέλισεν. αἰφνίδιον ἀπέθανεν. οἱ μὲν γραμματικοὶ ἐσάπη φασίν.᾿Αριστοφάνης ἀντὶ τοῦ ω κλασεν. οἱ δὲ ἰατροὶ τὴν ἐκ σήψεως μελανίαν λέγουσιν.᾿Αποσφήλειε. μέγα δὲ σφέας ἀποσφήλειε πόνοιο. οἱονεὶ σφαλῆναι καὶ ἀποτυχεῖν ποιήσει τοῦ ε ργου. σφάλλω, σφαλῶ, ε σφαλκα καὶ ε σφηλα alpha.271 ὁ ἀόριστος, ἡ μετοχὴ σφήλας, σφήλαντος, τὸ εὐκτικὸν σφήλαιμι, σφήλαις, σφήλαι καὶ σφήλειε. ᾿Αποσμιλέουσι. τῇ σμίλῃ ξαίνουσιν καὶ ἐκκαθαίρουσιν. ᾿Αποσπάδοντεσ. ἀποκοπέντες.᾿Αποσπεύδοντασ. κωλύοντας. ἀποσπευδούσης δὲ τῆς γυναικὸς καὶ τῶν παίδων–.᾿Αποσπουδάζων. παυόμενος τῆς σπουδῆς, ἀμελῶν. ᾿Αποστατήσω. ἀποχωρισθῶ.᾿Αῤῥιανός· ἀποστατήσω οὐδὲ ἐγὼ τοῦ ε ργου.᾿Αποστέγειν. οι ον ἐπερύκειν καὶ κωλύειν.᾿Αποσταίην. μακρὰν γενοίμην.᾿Αποστέρξασ. καρτερικῶς ὑπομείνας. ἀλλ' ἀποστέρξας εὐγενῶς τὸν βίον κατέστρεψεν.᾿Αποστησάμενον. ἀντὶ τοῦ πρὸς σταθμὸν παραλαβόντα. ου τως Δημοσθένης. καὶ ἀποστήσωνται, οι ον σταθμὸν λάβωσιν ι σον. καὶ ἀποστήσασθαι, ἀποδοῦναι χρέος.᾿Αποστοματίζειν. ἀπὸ μνήμης λέγειν.᾿Αποστομοῦν. ἀποφράττειν. προέθετο τὰς διώρυγας ἀποστομοῦντας τὰς ἐπιφανεστάτας.᾿Αποσυκάζειν. συκοφαντεῖν. δοκιμάζειν. η τὸ τὰ πέπειρα σῦκα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαλέγειν. alpha.272 Ἀποσφαλμήσασ. ἀποπηδήσας, ἀποσκιρτήσας. Πολύβιος· ὁ δὲ ι ππος ἀπὸ τῆς πληγῆς ἀποσφαλμίσας, ἐφέρετο ῥύδην διὰ τοῦ μεταξὺ τόπου τοῦ στρατοπέδου. η ἀντὶ τοῦ σφαλεὶς, καὶ ἐσφάλμησεν. Ἀποσχεδιάζειν. εἰκῆ καὶ παραχρῆμα λέγειν. Ἀποσχεδιάσασ. συντομεύσας η ψευσάμενος. Ἀποσχῆναι. ἀπενεχθῆναι. Ἀποσχοινίσαντεσ. ἀποστερήσαντες. Ἀποταυρούμενοσ. θρασυνόμενος. Ἀποτεθρίακεν. ἀντὶ τοῦ ε τιλλεν η ψιλὸν ἐργάσατο. κυρίως δὲ συκᾶς ἀπεφύλλισε· θρία γὰρ τὸ φύλλα τῆς συκῆς. Ἀριστοφάνης· τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν; Ὀδόμαντες δὲ ε θνος θρᾳκικὸν, οι τινες ἀπέτιλλον τὰ αἰδοῖα καὶ ἀποσεσυρμένα ει χον αὐτά. φασὶ δὲ αὐτοὺς Ἰουδαίους ει ναι. Ἀποτεθρυωμένοι. ἀπηγριωμένοι. ἐκ μεταφορᾶς τῶν τεθρύων, α περ εἰσὶν α γρια καὶ α γονα φυτά. Ἀπώνατο. ὠφελήθη. ὀνῶ, ὀνήσω, ω νησα, ὠνησάμην, ὠνάμην, ω νου, ω νατο καὶ ἀπώνατο. Ἀποτείνεται. ἐκτείνεται, φιλονεικεῖ. Ἀποθρασύνεται. θρασύνεται. alpha.273 Ἀποτριβόμενοσ. ἐμποδίζων, ἀπείργων. ὁ δὲ Ἀννίβας ἐν κακοῖς ω ν ε μεινε τοὺς πολεμίους ἀποτριβόμενος. Ἀπουρώσαντασ. μὴ χρωμένους οὐρίῳ πνεύματι. Ἀπόφημι. ἀποφαίνομαι. Ἀποφθεγγόμενοσ. μαντευόμενος. Ἀποφοιτᾷν. ἀποπηδᾷν, ἀναχωρεῖν. Ἀποχετεύονται. μεταφέρονται. Ἀποψηφίζονται. ὁ Δείναρχος ἀντὶ τοῦ καταδικάζουσιν αὐτὸν μὴ ει ναι πολίτην. καὶ τὸ πρᾶγμα δὲ Δημοσθένης ἀποψήφισιν καλεῖ. καὶ ἀποψηφισμένος. Ἀποψοφεῖν. τὸ πέρδεσθαι εὐσχημόνως λέγων. εὐσχημονέστερον δὲ ἀποπνεῖν καὶ διαπνεῖν. Ἀποψύχειν. τὸ ἀποθνήσκειν. ου τως Θουκυδίδης. Ἀπουσιάσει. τῆς οὐσίας μέρος δώσει. ὁ δὲ εἰς τὴν αὐτοῦ θυγατέρα ἀπουσιάσει. Ἀπολλύμην. παρατατικός. Ἀπωξύνθαι. Ἀπραγούντων. μηδὲν ἐνεργούντων. Ἀποικίσαι. κτίσαι πόλιν ἐν ἐρήμῳ. Ἀποικοδομεῖσ. ἀντὶ τοῦ ἀποφράττεις. ου τως Δημοσθένης. Ἀποίσετε. ἀπενέγκατε. alpha.274 Ἀπελευθερῶσαι. τὸ ἀφεῖναι ἐλεύθερον. Ἀπέδραν καὶ ἀπέδρα χρὴ λέγειν, οὐχὶ ἀπέδρασα καὶ ἀπέδρασεν. ε λυσα ἐμαυτὸν, ει τ' ἀπέδραν μόνος– καὶ Πλάτων· ὁ γάρ τοι παῖς με ὁ Σάτυρος ἀπέδρα. Ἀπεφῄνατο. ἀντὶ τοῦ ει πεν. Ἀπέφῃνε δὲ, ἀντὶ τοῦ ὑπέδειξεν. Ἀπεροῦντεσ. κωλύοντες. Ἀποδέουσα. ὑστεροῦσα, λείπουσα. Ἀποχρῶσα. ἀρκοῦσα. Ἀποχρῆν καὶ ἀποχρᾶν. τὸ ἀπαρέμφατον ῥῆμα λέγουσιν ἑκατέρως. Δημοσθένης· ἀποχρῆν οι μαι τὴν δύναμιν. Λυσίας· Φιλίππῳ δὲ μὴ οι εσθαι ταῦτ' ἀποχρᾷν. Ἀποπτύω. ἀπὸ τοῦ πέτω, πετύω καὶ ἐν συγκοπῇ πτύω, τὸ ἀποπεταννύμενον. Ἀπολιβάζω. ἀπέλθω, ἀποδράμω. παρὰ τὴν λιβάδα. η τὸ ἀποῤῥίπτω. Ἀπομηνίσασ. ὀργισθείς. μηνίω, μηνίσω, ἐμήνισα, ἀπὸ τοῦ μῆνις. Ἀποπροσποιεῖσθαι. οὐδεὶς λέγει Ελλην. οὐ μέντοι οὐδ' ου τω λέγουσιν, οι ον· ο τι προσποιεῖται μὴ ἀκούειν. Ἀπᾴδοντεσ. ἀπαρέσκοντες. alpha.275 Ἀπᾴδει. ἀπαρέσκει, ἐναντιοῦται, οὐ συμφωνεῖ. Ἀπαυτομολήσει. φεύξεται. Ἀπεξεσμένον. τετορευμένον, γεγυμνασμένον. Ἀπείργω. τὸ κωλύω. Ἀπεσκοτωμένα. ἐσκιαγραφημένα· κεχρωσμένα. τὰς γὰρ χρίσεις σκότη καλοῦσιν οἱ ζωγράφοι. Ἀπαχθῆναι. ἀπενεχθῆναι. Ἀπαμφιάσαι. γυμνῶσαι. Ἀπαυδῆσαι. ἀπαγορεῦσαι. Ἀπαρτίζει. πληροῖ, τελειοῖ. Ἀπαίρει. ἀποδημεῖ, ἀναχωρεῖ. Ἀπάρχου. ἀπαρχὰς πρόσφερε, η ἀπαρχὴν ποίει. Ἀπονοσφισθέντεσ. ἀποχωρισθέντες. Ἀποσκιῤῥωθέντεσ. σκληρυνθέντες. σκίῤῥος γὰρ ὁ γύψος. Ἀπαυθαδιάζειν. τὸ μέγα φρονεῖν, ἑαυτῷ ἀρέσκειν. αὐτοαδὴς τίς ἐστιν ὁ ἑαυτῷ ἀρέσκων. Ἀπαυθαδιάζω. ἀπὸ τοῦ αὐθάδης αὐθαδιάζω καὶ ἀπαυθαδιάζω. Ἀπαλθήσεσθαι. ἰαθήσεσθαι. καὶ ἀπαλθήσεσθον ὁμοίως. ἀλθέω, ἀλθῶ, πρώτης συζυalpha.276 γίας τῶν περισπωμένων, ὁ μέλλων ἀλθήσω, ἀλθήσομαι, ἀλθήσῃ, ἀλθησόμεθα, ἀλθήσεσθον. τὸ δὲ α λθω παρὰ τὸ α λδω. Ἀπαφῶ. τὸ ἀπατῶ. παρὰ τὸ φῶ τὸ λέγω. καὶ μετὰ τοῦ ¯α τοῦ σημαίνοντος τὸ κακὸν ἀφῶ καὶ ἀπαφῶ. τὸ δὲ ἀπατῶ ἐκ τοῦ ἀπαφῶ. Ἀπαγορεύειν. ἡ ἀπὸ πρόθεσις ἐνταῦθα τὸ χωρίζεσθαι δηλοῖ. τὸ γὰρ ἀπαγορεύειν ἐκτὸς γίνεται τοῦ λέγειν. ἀπὸ τοῦ ἀγορῶ. Ἀπαμείρεται. ἀποκεχώρισται. ἐκ τοῦ μείρω τὸ μερίζω. καὶ μετὰ τοῦ ¯α ἀμείρω καὶ ἀπαμείρω. Ἀπαιωρήσασ. κρεμάσας, κουφίσας.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκ τοῦ αι ρω, τὸ κουφίζω, πλεονασμῷ τοῦ ¯ω αἰωρῶ καὶ αἰωρήσω.᾿Απαυρῶ. ἀφαιρῶ. ἐκ τοῦ αι ρω τροπῇ τοῦ ¯ι εἰς ¯υ καὶ μεταθέσει τοῦ τόνου αὐρῶ καὶ ἀπαυρῶ. ᾿Απανθρακίζομεν. ἀντὶ τοῦ α νθρακα ἐσθίομεν. ε στι δὲ ει δος ἰχθύος, ο παροπτῶντες ἐσθίουσιν. η α νθρακας πυροῦμεν.᾿Απαρτίζω. εὐαρμόστως συμπληρῶ.᾿Απαινύμενοσ. ἀφαιρούμενος.᾿Απαφίσκω. ἀπατῶ.᾿Απαληθεύειν. τὸ ἀληθὲς ἐξευρίσκειν. alpha.277 ᾿Απαγορεύει. ἀποφαίνει.᾿Απηνήνατο. παρῃτήσατο. ἀναίνω, ἀνῶ, α νηνα, ἠνηνάμην, ἠνήνω, ἠνήνατο.᾿Απηύρων. παρὰ τὸ ἀπαυρῶ, ἀπαυρήσω, ὁ ¯β ἀόριστος ἀπηύρων. ᾿Απῆκτο. ἀπηνέχθη. ᾿Απηλγηκέναι. ἀναισθητῆσαι. * ᾿Απήλαχεν. ἀπώλεσεν.* ᾿Απηνεώθη. ἐξεπλάγη, α φωνος ἐγένετο.᾿Απήλασεν. ἐδίωξεν.᾿Απήεσαν. παρῆλθον· παρέδραμον.᾿Απηλοίησεν. ἀπέκοψεν. ἀπὸ τοῦ ἀλοίω, ἀλοιήσω, ἠλοίησα, ο θεν καὶ πατραλοίας ὁ τὸν πατέρα τύπτων.᾿Απῆρκεν. ἀπέκοψεν.᾿Απριάτην. α νευ τιμῆς ε δωκαν. πρίημι, τὸ παθητικὸν πρίαμαι· τὸ ἐπίῤῥημα ἀπριάδην, καὶ τροπῇ τοῦ ¯δ εἰς ¯τ ἀπριάτην. ᾿Απεμπολήσασ. πεπρακώς. alpha.278 ᾿Απεμπολῶ. τὸ ἀγοράζω, τὸ κερδαίνω, ο περ ἀντικείμενον ο ν τοῦ ἐμπωλεῖν τὴν διάπρασιν σημαίνει. ᾿Απετίννυον. ἀπεδίδουν. Απεισιν. ἀπέρχεται.᾿Απεβίω. ἀπέθανεν.᾿Απέσβη. ἐσβέσθη. ᾿Απέδοτο. παρέδωκεν.᾿Απετείχιζον. ἐκώλυον.᾿Απένειμεν. ἐδικαίωσεν, ἀπεκλήρωσεν. ᾿Απειπάμεθα. ἀπέγνωμεν.᾿Απέβλυσεν. ἀφείλετο. ἡ μεταφορὰ ἀπὸ τῶν κηρίων η ἀπὸ τῶν γάλα ἀμελγόντων. ὁ δὲ Ἀριστοφάνης ἀντὶ τοῦ ἐξέρασεν.᾿Απέκτατο. ἐφονεύετο. κτῶ τὸ φονεύω. παράγωγον κτῆμι, ε κταμαι, ἐκτάμην, ε κτασο, ε κτατο καὶ ἀπέκτατο.᾿Απεμυθήσω. ἀπελογήσω.᾿Απεμυθεόμην. ἀπηγόρευον, ἐκώλυον. μυθέω μυθῶ. alpha.279᾿Απεσπούδαζεν. ἠμέλει, κατεφρόνει.᾿Απερύκω. κωλύω.᾿Απέβριξεν. ἐφύπνωσεν.᾿Απεστυφέλιξεν. ε σεισεν, ἐκίνησεν.᾿Απέθρισε καὶ ἀπεθέρισεν. ἀπέκειρε καὶ ἀπέκοψεν.᾿Απεκαίννυτο. ἐνίκα. καίνω, καινύω, καίννυμι, καίννυμαι, ἐκαίνου, ἐκαίννυτο.᾿Απεκορύφου. προφανῶς ε λεγεν.᾿Απεκράνιξεν. ἀπεχώριζε τῆς κάρας, ἀπέκοψεν. ᾿Απέδοσθε. ἀπεμπολήσατε. ᾿Απείρηται. ἀπηγόρευται. ᾿Απειρηκώσ. ἀπαγορεύσας.᾿Απεσκληκώσ. κακοπαθήσας.᾿Απενεγκάμενοσ. κτησάμενος.᾿Απέδρα. ἀπέφυγεν.᾿Απεοικέναι. μὴ ὁμοιοῦσθαι.᾿Απείπῃ. ἀπαγορεύσει, ἀτονήσει.᾿Απεμόρξατο. ἀπεπίασεν. ἐκ τοῦ ἀμέλγω. ἀμέλξω, η μελξα, ἠμελξάμην, ἀμέλξατο, καὶ alpha.280 τροπῇ τοῦ ε εἰς τὸ ο καὶ τοῦ λ εἰς τὸ ρ ἀπεμόρξατο.᾿Απεστύπαζον. τύπτω, ἀπετύπαζον, καὶ πλεονασμῷ τοῦ ¯ς ἀπεστύπαζον.᾿Απεβήσετο. βῶ, βῆμι, βήσω. ει τα μετάγεται εἰς ἐνεστῶτα. ὁ παθητικὸς βήσομαι, ἐβησόμην, ἐβήσετο καὶ ἀπεβήσετο. ᾿Απέκτονεν. ἐφόνευεν. κτείνω, κτενῶ, ὁ μέσος παρακείμενος ε κτονα καὶ ἀπέκτονεν. ᾿Απεπίστευον. η λπιζον.᾿Απέχθηαι. ἀπέχθω, ἀπήχθων. ἐὰν ἀπέχθω, ἐὰν ἀπέχθωμαι, ἐὰν ἀπέχθηται, καὶ ἀποβολῇ τοῦ ¯τ ἀπέχθηαι.᾿Απέφθιθον. ἀπὸ τοῦ φθίθω. ὁ παρατατικὸς ε φθιθον καὶ ἀπέφθιθον.᾿Απενίζοντο. ἐκαθαίροντο. ἀπὸ τοῦ νίπτω, καὶ κατὰ τροπὴν δωρικὴν γίνεται νίζω. οἱ γὰρ Δωριεῖς τὰ εἰς ¯π¯τ¯ω ῥήματα τότε μὲν εἰς δύο ¯ς¯σ, τότε δὲ εἰς ¯ζ τρέπουσι. alpha.281᾿Απένεικασ. ἐνέγκω, τροπῇ τοῦ ¯γ εἰς ¯ι ἐνείκω, η νεικας καὶ ἀπένεικας.᾿Απεχθήρω. ἐχθαίρω, τὸ μισῶ, ἐχθαρῶ, η χθηρα, ἐὰν ἐχθήρω, καὶ ἀπεχθήρω.᾿Απειλήτην. ἠπείλησαν. ἀπειλῶ, ἀπειλήσω, ἠπείλησα, ἠπειλησάτην καὶ κατὰ συγκοπὴν τῆς ¯σ¯α συλλαβῆς ἀπειλήτην. η ἀπὸ τοῦ ἀπειλῶ ἠπείλουν, τὸ δυϊκὸν ἠπείλητον, ἠπειλήτην καὶ συστολῇ τῆς ἀρχῆς καὶ τροπῇ τῆς ¯ε¯ι διφθόγγου εἰς ¯η ἀπειλήτην. ᾿Απετρύετο. κατεδαπανᾶτο. ᾿Απερωήσειασ. ὁρμήσειας η κωλύσειας.᾿Απεπλίξατο. εὐχερῶς καὶ μετὰ ῥαστώνης ἀπεσείσατο καὶ ἀπέφυγε· πλὶξ γὰρ τὸ βῆμα, καὶ πλίγματα τὰ πηδήματα.᾿Απεγραψάμεθα. ἀπείπαμεν η ἀπηριθμήσαμεν. ᾿Απεψύχοντο. πρὸς τὸ πνεῦμα ἐξηραίνοντο. ᾿Απέκρινον. ἀπεδοκίμαζον.᾿Απεσάλευε. τοῦτο ἐπὶ νηῶν λέγεται καὶ ἐπὶ ἀνθρώπων. σημαίνει δὲ ἡ λέξις, τὰς ἐλπίδας ἐπὶ τούτοις ει χεν. alpha.282᾿Απληκεύω. μένω.᾿Αποῤῥυήτω καὶ ἀπεῤῥύητο, ¯η. πτεροῤῥυείτω δὲ δίφθογγον. * Απρω. ὁλονύκτως η ἀπρωϊτῶς.* * ᾿Απαρκέσαι. διαφυγεῖν.*᾿Απόστιχε. ἀναχώρει.᾿Αποσκαρίζειν. διακεχυμένως γελᾷν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

᾿Απογυιώσεισ. βλάψεις τὰ μέλη. γυῖα γὰρ τὰ μέλη.᾿Αποβλύζων. ἀπεμῶν.᾿Αποίσονται. κομίσουσιν.᾿Αποφαίνειν. ἀποδεικνύειν.᾿Αποφορτίσασθαι. ἀποῤῥίψασθαι.᾿Αποκναίω. τὸ λυπῶ. ᾿Απόχρη. ἀρκεῖ. ᾿Απόνασθαι. ἀπολαῦσαι. ᾿Αποστυγοῦντεσ. μισοῦντες. ᾿Αποσεμνύνει. μεγαλύνει.᾿Αποσκυθίσαι. κυρίως τὸ ἀποτεμεῖν τὸ παρὰ τὴν κεφαλὴν δέρμα σὺν θριξί· καταχρηστικῶς δὲ, τὸ ἀποκεῖραι.᾿Αποφάσκει. ἀπαγορεύει. alpha.283 ᾿Απομάττεται. ἀποτυποῖ. ᾿Αποσοβεῖ. ἀπελαύνει, ἀποδιώκει. ᾿Απολυσάμενοσ. ἀπολυτρωσάμενος. ᾿Απότρεχε. ἀναχώρει. ᾿Αποσκορακίζει. ἐξορίζει, ἀποδιώκει. ᾿Αποβουκολῆσαι. ἐκβαλεῖν, ἀπατῆσαι, ἀποδιῶξαι, ἀποπλανῆσαι. ᾿Αποκριθῆναι. διαζυγῆναι, διαχωρισθῆναι.᾿Αποκοτταβίζειν. τὸ λειπόμενον πόμα τοῦ πόματος τοῦ ποτηρίου ἐκχεῖν ου τως, ω στε ψόφον ποιεῖν· κότταβος γὰρ ὁ η χος.᾿Αποσχεδιάσασ. ψευσάμενος.᾿Απάγου. ἀντὶ τοῦ, πρὸς αὐτὸν α παγε.᾿Αποδρύφω. ἐκδέρω.᾿Απόκριναι. ἀποκρίθητι. ἀπόκρινε δὲ ἀντὶ τοῦ διαχώρισον· ψιλόν.᾿Απαρκέσαι. ἀποσκευάσασθαι. ᾿Απινύσσω. τὸ ἀσυνετῶ. ᾿Απῳκισμένοσ. μεμακρυσμένος. ᾿Απῶσμαι. ἀπέῤῥιμμαι. ᾿Αποδρᾶν. φεύγειν· τὸ ε ξω τῆς ὑπηρεσίας γενέσθαι τοῦ δεσπότου. alpha.284 ᾿Αποψύχειν. ῾Ησίοδος· μηδὲν ἀποψύχειν. σημαίνει δὲ τὸ ἀφοδεύειν η ἀποπνευματίζειν. ᾿Αποθησαυρίζοντασ. ἀποτιθεμένους. ᾿Απόστολος· ἀποθησαυρίζοντας ἑαυτοῖς–.᾿Απέχῃσ. ἀπολαύῃς. ἀποστολικὴ ἡ λέξις. ι να αἰώνιον αὐτὸν ἀπέχῃς. (῾Επίῤῥημα.)᾿Απαρτί. παρὰ τὸ ἀπηρτισμένον καὶ πλῆρες. Φερεκράτης. καὶ τοὺς σώφρονας ἀπαρτὶ πλουτῆσαι ποιήσω.᾿Απαταγί. α νευ ψόφου.᾿Απαλάμνωσ. ἀσθενῶς. ᾿Απαρεμφάτωσ. α νευ δηλώσεως προσώπου. ᾿Απαισίωσ. βλασφήμως, ἀπρεπῶς.᾿Απαρεμποδίστωσ. ἀνεμποδίστως.᾿Απάτερθεν. μακρὰν η χωρίς. ἀπὸ τοῦ α τερ, α τερθεν καὶ ἀπάτερθεν.᾿Απάνευθεν. ἀντὶ τοῦ χωρίς. ἀπὸ τοῦ α νευ, α νευθε καὶ ἀπάνευθεν. Απαξ. ἀντὶ τοῦ ο ντως καὶ βεβαίως. ὡς τό· α παξ ω μοσα ἐν τῷ ἁγίῳ μου. ᾿Απαραγγέλτωσ. ἀκελεύστως. alpha.285 ᾿Απαραιτήτωσ. ἀσυγχωρήτως. ᾿Απερισκέπτωσ. α νευ βουλῆς καὶ σκέψεως. ᾿Απεχθῶσ. ἐχθρωδῶς, μισητῶς. ᾿Αποχρώντωσ. ἱκανῶς, ἀρκούντως.᾿Απηλεγέωσ. σκληρῶς, ἀποτόμως. παρὰ τὸ ἀλέγω τὸ φροντίζω, ἀλεγὴς καὶ ἀπηλεγὴς, καὶ ἀπηλεγέως καὶ ἀπηλεγῶς.᾿Αποσταδόν. πόῤῥωθεν, ἐκ διαστήματος. ἐκ τοῦ ι στημι τὸ παθητικὸν ι σταμαι, σταδὸν καὶ ἀποσταδόν.᾿Απόπροθι. χωρὶς, μακράν.῾Απλῶσ. χωρὶς προσθήκης. ἀντὶ τοῦ ἐξ ἀνάγκης· η ὡς πρῶτον.᾿Απραγμόνωσ. ἐλευθέρως, α νευ τινὸς ἐξετάσεως.᾿Ιάμβλιχος· ει τα ἐάσατε ου τως ἀπραγμόνως ἀποθανεῖν. ᾿Απροσδιορίστωσ. ἀορίστως. ᾿Απροόπτωσ. ἀπροοράτως.᾿Απρίξ. τὸ ἰσχυρῶς κρατεῖν ο λῃ δυνάμει. ε στι πρίζω, πρίσω καὶ δωρικῶς πρίξω, καὶ ἐξ αὐτοῦ ἐπίῤῥημα ἀπρίξ.᾿Απροτίοπτα. κρύφα, λάθρα. ἀπὸ τοῦ ο πτω τὸ βλέπω. *᾿Απαισίωσ. ἀπρεπῶς.* *᾿Απαπαί. συγκαταθετικὸν ἐπίῤῥημα.*᾿Απῳδόν. ἀναρμόστως, καὶ α ποθεν τῆς ᾠδῆς.῾Απλῶσ. η κυρίως, η καθόλου, η μοναχῶς. alpha.286 Τὸ Α μετὰ τοῦ Ρ. (᾿Αρσενικόν.)᾿Αράσιμοσ. καταράσιμος.᾿Αραχναῖος μῖτοσ. ὁ λεπτότατος.᾿Αράχνησ. τὸ ζωΰφιον. ἀράχνη δὲ θηλυκῶς τὸ υ φασμα. παρὰ τὸ ἀραιὰ ι χνη ε χειν λέγεται ἀράχνης. Αραινοσ. ο νομα ποταμοῦ. Αῤῥαιστοσ. α φθαρτος.᾿Αραφέλ. γνόφος, ὁμίχλη, η ο νομα στερεώματος. ᾿Αράξησ. ποταμός. παρὰ τὸ ἀράσσειν, ο τι ἀπὸ Καυκάσου καταῤῥήγνυται.᾿Αργαλέοσ. χαλεπὸς, δεινός. παρὰ τὸ τὸν α ρην, τὸν πόλεμον, ἀραλέος, καὶ πλεονασμῷ τοῦ ¯γ ἀργαλέος. η παρὰ τὸ α λγος, ὁ λύπας καὶ κακὰ ἐμποιῶν. παράγονται δὲ τὰ τοιαῦτα ὀνόματα ἀπὸ τριῶν μερῶν τοῦ λόγου· ἀπὸ ὀνόματος, ἀπὸ ῥήματος καὶ ἀπὸ ἐπιῤῥήματος. ἀπὸ ὀνόματος, ὡς τὸ δίψα, διψαλέος· ἀπὸ ῥήματος, ὡς τὸ θαρσῶ, θαρσαλέος· ἀπὸ ἐπιῤῥήματος, ὡς ῥίμφα, ῥιμφαλέος. τὸ δὲ ἀργαλέος παρὰ τὸ α λγος, μεταθέσει τοῦ ¯λ εἰς ¯ρ. ο μοιον τὸ ὑδρηρὸς, ὑδρηλὸς, ὑψηρὸς, ὑψηλός.᾿Αργεόσ. ὁ λαμπρός. *᾿Αράμ. κύριον. ἑρμηνεύεται δὲ μετέωρος.*᾿Αργιόδοντεσ. λευκοὶ τοὺς ὀδόντας η μεγάλοι. Αῤῥαβεσ. ε θνος. alpha.287 Αραβοσ. κτύπος. κυρίως ἡ ἐν α ρει βοή. ἀράβοος καὶ α ραβος.᾿Αργόσ. λευκὸς καὶ ὁ ῥάθυμος. κατὰ ἀντίφρασιν καὶ ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταχύς. παρὰ τὸ ἀρκῶ ἀρκὸς καὶ ἀργὸς, ὁ ἐπαρκεῖν τοῖς ποσὶ δυνάμενος. ᾿Αργυρώνητοσ. ἀργύρῳ ἀγορασθείς.᾿ Αργόλαι. ει δος ο φεων, ου ς η νεγκε Μακεδὼν ὁ ᾿Αλέξανδρος ἐκ τοῦ Αργους τοῦ πελαγικοῦ εἰς᾿ Αλεξάνδρειαν, καὶ ἐνέβαλεν εἰς τὸν ποταμὸν πρὸς ἀναίρεσιν τῶν ἀσπίδων, ο τε μετέθηκε τὰ ὀστᾶ Ιερεμίου τοῦ προφήτου ἐξ Αἰγύπτου εἰς᾿ Αλεξάνδρειαν, ου ς ὁ αὐτὸς προφήτης ἀπέκτεινεν. ἀργόλαι ου ν ἐκ τοῦ Αργους λαιοί. ᾿Αργίποδεσ. ταχεῖς, ὀξύποδες. ᾿Αργυρογνώμων. ὁ δοκιμαστής. ᾿Αργιλλώδησ. ὁ ῥυπαρός.᾿ Αργᾶσ. δεινότατος, θηριώδης τὸν τρόπον. ἀργᾶν τὸν ο φιν ἐκάλουν οἱ᾿ Αργεῖοι.᾿ Αργυραμοιβόσ. χρυσοχόος, η καὶ ὁ καταλλάκτης.᾿ Αργυροδίνησ. λευκόρειθρος. ἀπὸ τοῦ α ργυρος καὶ τοῦ δίνειν. καὶ ἀργυρὶς ἡ ἀργυρᾶ φιάλη. τὸ ¯δ¯ι ἰῶτα διατί; τὰ διὰ τοῦ ¯ι¯ν¯η η διὰ τοῦ ¯ι¯ν¯η¯ς ἀποστρέφονται τὴν ¯ε¯ι δίφθογalpha.288 γον. οι ον Αἰσχίνης, Λεπτίνης. τὸ δὲ νεοπείνης ἀπὸ τοῦ πείνα. ἀργυροδίνης δὲ παρὰ τὸ α ργυρον, ο σημαίνει τὸ λευκόν.᾿ Αργυρότοξοσ. ὁ λαμπρὸν τόξον ε χων. ἐκ τοῦ ἀργὸν, τὸ καθαρὸν η τὸ λευκόν.᾿ Αρδμόσ. ὁ ποτισμός. καὶ ἀρδεία, ὁ ποτισμός. *καὶ ἀρδεύω, τὸ ποτίζω.*᾿ Αρεόβινθοσ. κύριον.᾿ Αρεστήρ. πόπανον. τὸ ἐν ταῖς θυσίαις ἐπιτιθέμενον. παρὰ τὸ ἀρεστόν. ᾿Αῤῥενωπόσ. φοβερὸς, α θικτος, ἀθήλυντος, ἀνδρεῖος. ἀπαρέγκλιτος ὑφέσει πάσῃ. γράφεται καὶ ἐπὶ οὐδετέρου ἀῤῥενωπόν. ἰστέον, ὡς ἐπὶ γυναικῶν ἀνδριζομένων η ἀῤῥενοφανῶν ει ρηται. ᾿Αρείων. ὁ βελτίων. ει ρηται παρὰ τὸ α ρης, ι ν' ῃ κυρίως ὁ κατὰ πόλεμον καλλίων. * ᾿Αρείδηλοσ. ὁ φανερός.* Αρειος πάγοσ. δικαστήριον᾿ Αθήνῃσιν ου τω καλούμενον. οἱ δικασταὶ ἀρειοπαγίται. ἐκλήθη δὲ α ρειος πάγος, η ο τι αἱ᾿ Αμαζόνες ἐπὶ τὸν τόπον ἐκεῖνον ἐστρατεύοντο, Αρεως ου σαι· η ο τι ἐν πάγῳ ἐστὶ καὶ ἐν υ ψει κεῖται τὸ δικαστήριον· α ρειος δὲ, ἐπειδὴ δικάζει ὁ Αρης τὸν φόνον. πάγος δὲ ὁ λόφος, ὡς καὶ Ομηρος· –πάγος δέ οἱ ἀντεβόλησεν. alpha.289 η ο τι ε πηξεν ἐκεῖ τὸ δόρυ ὁ Αρης Ποσειδῶνος κατηγορήσαντος διὰ τὸν φόνον τοῦ υἱοῦ αὐτοῦ ῾Αλιροδίου, ο τε ἀπέκτεινεν αὐτὸν βιασάμενον ᾿Αλκίππην. ᾿Αρηΐφατοσ. ἐν πολέμῳ ἀνῃρημένος. ᾿Αρηϊθέων. γενναίων, πολεμικῶν. Αρησ. κυρίως ὁ σίδηρος. βαψαμένη κοίλων ἐντὸς α ρει λαγόνων. σημαίνει δὲ καὶ τὸν πόλεμον, παρὰ τὴν ἀρὰν καὶ τὴν βλάβην· τὴν ἐκ τοῦ πολέμου γενομένην. ἰστέον, ο τι τετραχῶς αὐτῷ κέχρηται ὁ ποιητής. ἐπὶ μὲν τοῦ πολέμου· –ο φρά κεν ἐγείρομεν ὀξὺν α ρηα. ἐπὶ δὲ τοῦ σιδήρου· αι ματος αυ αι α ρηα– ἐπὶ δὲ τοῦ θεοῦ· Αρες, Αρες βροτολοιγέ– ἐπὶ δὲ τῆς πληγῆς· ε νθα μάλιστα γίνεται α ρης ἀλεγεινός.᾿ Αρητήρ. εὐχητὴς, ἱερεύς. ἀπὸ τὴν ἀρὰν καὶ τὴν εὐχὴν τηρεῖν. ε στι δὲ καὶ ἀρὰ ἡ κατάρα. η παρὰ τὸ τὰς ἀρὰς ποιεῖσθαι, ο ἐστι τὰς εὐχάς. η παρὰ τὸ αι ρειν εἰς υ ψος τὰς χεῖρας. η παρὰ τὸ ἀρέσκειν θεῷ. alpha.290᾿ Αρήσιοσ. κύριον. ᾿Αρειμάνιοσ. ὁ ἐν τῷ α ρει καὶ τῷ πολέμῳ μαινόμενος. α ρης γὰρ ὁ πόλεμος.᾿ Αρθμόσ. ἡ φιλία καὶ ἡ ἁρμονία τῆς ψυχῆς. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, η ρμαι, ἁρμός· ὡς κείρω, κορμός· καὶ πλεονασμῷ τοῦ ¯θ ἀρθμός· ὡς πείρω, πορμὸς καὶ πορθμός. η ἀπὸ τοῦ ἐρῶ τὸ λέγω· οἱ γὰρ ἐν φιλίᾳ ο ντες διαλέγονται ἀλλήλοις.᾿ Αρειανοί. ἐκ τοῦ᾿ Αρείου. ου τοι ε λεγον κτίσμα τὸν υἱὸν τοῦ θεοῦ καὶ οὐχὶ ὁμοούσιον τῷ πατρὶ πεφυκότα, ο ἐστι διαίρεσις. ᾿Αριήκοον. ὀξυήκοον, εὐπειθῆ. ᾿Αρίσημοσ. φανερὸς ἐν πολέμοις. ᾿Αρίσταινος καὶ ᾿Αρίσταιχμοσ. ὀνόματα κύρια. ᾿Αριστόχειρ. ὁ γενναῖος περὶ τὰ ἀριστεῖα. καὶ ἀριστόχειρ ἀγών.᾿ Αρίφρων. ὁ κακῶς φρονῶν. ᾿Αριστεύσ. πρόμαχος, κάλλιστος.᾿ Αριπρεπήσ. ἐπίσημος, ε νδοξος.᾿ Αρίγνωστοσ. διάδηλος, φανερὸς, ἀπὸ τοῦ ἀρι ἐπιτατικοῦ μορίου καὶ τοῦ γνωστὸν, ο δηλοῖ τὸ γνώριμον. alpha.291᾿ Αριθμόσ. σημεῖον γνωριστικὸν τοῦ πόσου τῶν ὑποκειμένων. η ἀριθμὸς ὁρίζεται σωρεία μονάδων, η μονάδος σύνθεσις, η χύμα μονάδων, οὐχὶ διαίρεσις μονάδων. ᾿Αριδείκετοσ. ὁ α γαν ε νδοξος. παρὰ τὸ δείκω τὸ δεικνύω. ἐξ ου παράγωγον δεικνύω, καὶ δείκελον τὸ δεικνύον τὴν ὁμοιότητα. ὡς ου ν ἀπὸ τοῦ ε χω ε χετος, ἐμῶ ε μετος, ου τως δείκω δείκετος καὶ ἀριδείκετος. Αριστοσ. ὁ ἐν πολέμοις ἀνδραγαθῶν. παρὰ τῷ α ρει τῷ πολέμῳ. Αρκτοσ. τὸ ζῶον καὶ τὸ ἀεικίνητον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

ἀστροθέτημα.᾿Αρκτῷοσ. τόπος. η τοι τὸ ἀρκτῷον μέρος, ἐν ῳ οἱ ἑπτὰ ἀστέρες κατανοοῦνται· ο περ καλεῖται ἀρκτοῦρος. λέγεται δὲ καὶ α μαξα.᾿Αρκτοῦροσ. ὁ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος λαμπρὸς ἀστὴρ, ἀπὸ τοῦ κατὰ τὴν οὐρὰν α ρκτου. ᾿Αρκείσιοσ. ὁ πάππος ᾿Οδυσσέως.῾Αρμαθαίμ. τόπος.῾Αρμοσταί. οἱ ἀπὸ βασιλέως στελλόμενοι εἰς ε θνη.῾Αρματηλάτησ. ὁ ἡνίοχος, ἀπὸ τοῦ ἐλαύνειν τὸ α ρμα.῾Αρμόσ. παρὰ τὸ α ρω. ὁ μέλλων ἀρῶ, ὁ παρακείμενος η ρκα, ὁ παθητικὸς η ρμαι, ἁρμός. *τῆς δασείας προελθούσης, ὡς ει ρω ἁρμός.* Αρνεσ. οἱ τῶν προβάτων ἀμνοί. alpha.292 ᾿Αρνευτήρ. ὁ κυβιστής. ει ρηται μεταφορικῶς ἀπὸ τῶν ἀρνῶν, οι τινες εἰώθασιν ἐπὶ κεφαλὴν α λλεσθαι ω σπερ τὸν ἀέρα κυρίττοντες.᾿Αρνῳδοί. οἱ ῥαψῳδοί· ο τι α ρνα ἐλάμβανον.᾿Αροτῆρεσ. οἱ ἀροτριῶντες.᾿Αροτρεύσ. ἐκ τοῦ α ροτρον.῾Αρπαλέοσ. ἐπιθυμητικός. Αρπυσ. ὁ ε ρως. ἀπὸ τοῦ ἁρπάζειν τὰς φρένας.᾿Αῤῥαβών. ἡ ταῖς ὠναῖς παρὰ τῶν ὠνουμένων διδομένη πρώτη καταβολὴ ὑπὲρ ἀσφαλείας. παρὰ τὸ ῥαιβὸς ῥαιβὼν καὶ προσθέσει τῆς ¯α στερήσεως καὶ ἀποβολῇ τοῦ ¯ι ἀῤῥαβὼν, ὁ μὴ συγχωρῶν ῥαιβὴν γενέσθαι τὴν πίστιν τῶν συναλλαττομένων. Αρσην. ἀπὸ τοῦ α ρδω, α ρσην, ὁ α ρδων τὴν θήλειαν. καὶ γὰρ διὰ τοῦτο πόσις λέγεται ὁ ἀνὴρ, παρὰ τὸ ποτίζειν τῇ γονῇ. η παρὰ τὸ α ρδω τὸ πράττω, ὁ μέλλων α ρσω καὶ α ρσην ἐξ αὐτοῦ, τουτέστιν ὁ πρακτικός. Αρταμοσ. ὁ μάγειρος. παρὰ τὸ διαρτάσαι, ο ἐστι μερίσαι η συναρμόσαι. Αρτημοσ. ὁ τελαμών. ο ἐστι λῶρος, ἐξ ου η ρτηται τὸ βαλάντιον, η τὸ σκουτάριον, η ε τερόν τι.᾿Αρτεμίσιοσ. ὁ μάϊος μήν. τὰ διὰ τοῦ ι σιος ἀρσενικὰ, καὶ ἰσία θηλυκὰ, καὶ ι σιον οὐδέτερα, ἀποστρέφονται τὴν ¯ε¯ι δίφθογγον, οι ον, ἀφροδίσιος, ἀφροδισία, ἀφροδίσιον. σεσημείωται τὸ᾿Αρκείσιος, Σιμοείσιος, διότι ἀνεφάνη τὸ ¯ε ἐν τῷ alpha.293᾿Αρκείσιος καὶ Σιμόεντος, καὶ ἀπερείσιος καὶ ἀπειρέσιος,᾿Αλείσιον, ο νομα πεδιάδος, ἀπὸ τοῦ ἀλῶ ἀλέσω, τὸ πλανῶ. ἀνθεμοείσιος, ἀπὸ τοῦ ἀνθεμόεις. τὸ δὲ ἡμερήσιος, οἱ μὲν α λλοι διὰ τῆς ¯ε¯ι διφθόγγου καὶ ι σως ἀπὸ τοῦ ἡμερεύω· ἡ παράδοσις διὰ τοῦ ¯η, ὡς᾿Ιθάκη᾿Ιθακήσιος.᾿Αρτίφρων. ὁ ὑγιὴς καὶ α ρτιος τὰς φρένας.᾿Αρτιεπήσ. ἀπηρτισμένος ἐν τῷ λέγειν.᾿Αρτίστομοσ. σαφὴς καὶ ὁ ἡδὺ φθεγγόμενος. ου τως Διονύσιος· ὁ δὲ η ν κάτοινος η δη καὶ οὐκ ἀρτίστομος ε τι.᾿Αρτίτομοσ. ὁ νεωστὶ τεμνόμενος. ἀρτιτόμος δὲ ὁ νεωστὶ τέμνων.᾿Αρτιδαεῖ. ἀρτιμαθεῖ. δαίω γὰρ τὸ μανθάνω. Αρτιοσ. ὁ ὁλόκληρος.᾿Αρτήρ. γένος ὑποδήματος. ᾿Αρτίπουσ. ὁ ὑγιὴς καὶ α ρτιος τοὺς πόδας. Αρτοσ. παρὰ τὸ αι ρειν, ο ἐστι καθ' ἑκάστην προσφέρειν. Αῤῥυθμοσ. ἀδιατύπωτος, ἀκανόνιστος. ῥυθμὸς γὰρ ὁ τύπος. alpha.294᾿Αρύβαλλοσ. πλεκτόν τι βαλάντιον. η μαρσίπιον. παρὰ τὸ ἀρύειν καὶ βάλλειν.᾿Αρύστιχοσ. σκευάριόν τι.᾿Αρχαιότυποσ. παλαιὸς νόμος.᾿Αρχέπλουτον. α ρχοντα πλούτου.᾿Αρχέτυποσ. ὁ τὴν ἀρχὴν διδούς.᾿Αρχισυνάγωγοσ. ὁ ἀρχηγός. ᾿Αρχίκλοποσ. ὁ ἀρχαῖος κλέπτης.᾿Αρχιμάγειροσ. ε φορος τῆς βασιλικῆς τραπέζης. ᾿Αρχηγέτησ. ὁ α ρχων. ἀρχιγέτης δὲ ὁ α ρχων τοῦ Γετῶν ε θνους, ι.᾿Αρχόσ. ὁ ἡγεμών. σημαίνει δὲ καὶ τὸ ε ντερον τὸ προσκείμενον τῷ καλουμένῳ δακτύλῳ, πέρας ο ν τῶν ἐντέρων πάντων· ει ρηται δὲ παρὰ τὸ α ρχειν τῶν ἐντέρων κάτωθεν.᾿Αρωγόσ. βοηθὸς, λυτρωτής.᾿Αῤῥίχουσ. κοφίνους. ἀπὸ τοῦ αι ρειν τὸν χοῦν.᾿Αρέτασ. κύριον. ο ς η ν πενθερὸς῾Ηρώδου. ὁ ἐθνάρχης᾿Αρέτα τοῦ βασιλέως.᾿Αριμαθαῖοσ. ἑρμηνεύεται αι ρων.᾿Αρίζηλοσ. πολυτίμητος. alpha.295 (Θηλυκόν.)᾿Αρόσιμοσ. ἠροτριασμένος τόπος. καὶ ἀρόσιμος γῆ.᾿Αρά. ἡ κατάρα. λέγεται καὶ ἡ εὐχή. παρὰ τὸ αι ρειν τὰς χεῖρας εὐχομένους. η παρὰ τὸ ἀρύειν, τὸ ἐπικαλεῖσθαι, ἀρά. η ἀπὸ τοῦ Αρεως βλαπτικοῦ ο ντος.᾿Αραιήν. ἀσθενῆ, ἀδύνατον. ἀραιὴν χεῖρα. παρὰ τὸ ῥαίω τὸ φθείρω. καὶ μετὰ τοῦ ἐπιτατικοῦ ¯α ἁραιή. ο θεν καὶ δασύνεται. ἀπὸ ου ν τοῦ ῥαίω γίνεται ῥαιὸς, καὶ πλεονασμῷ τοῦ ¯α ἁραιὸς καὶ ἁραιὴ, μετελθούσης τῆς δασείας τοῦ ¯ρ εἰς τὸ ¯α. ὡς καὶ ἐπὶ τοῦ ῥέζω, ε ρδω.᾿Αράχνη. τὸ υ φασμα.᾿Αραχωσία. χώρα. Αρβηλα. ο νομα τόπου. καὶ ἀραβήλοις᾿Αθηναίοις. alpha.296῾Αρβύλη. ει δος ὑποδήματος. παρὰ τὸ ἁρμόζεσθαι τοῖς ποσὶν, ἁρμύλη καὶ ἁρβύλη.᾿Αργεννῇσι. λευκαῖς. Αργαλα. οι κημα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Μακεδονίας, ο θερμαίνοντες ἐν αὐτῷ λούονται. ᾿Αργίνη. ο νομα πόλεως. ᾿Αργίννουσα. ο νομα νήσου. Αργουσα. πόλις τῆς Εὐβοίας ἐν τῇ Χαλκιδικῇ κειμένη. ᾿Αργυρόπεζα. ἡ ἀργυροῦς πόδας ε χουσα. πέζα γὰρ ὁ πούς.᾿Αργυρᾶν. οὐκέτι ἀργυρῆν λέγομεν. σιδηρᾶν δὲ ὡς ἀργυρᾶν.᾿Αργολογία. πᾶν ῥῆμα μὴ συντελοῦν πρὸς τὴν προκειμένην ἐν Χριστῷ χρείαν, ἀργόν ἐστι.᾿Αργώ. ἡ ναῦς, ἀφ' ου καὶ᾿Αργοναῦται. ει ρηται δὲ, ο τι Αργος αὐτὴν κατεσκεύασεν, η ο τι ἐν Αργει τῇ πόλει κατεσκευάσθη. alpha.297᾿Αρδεία. ποτισμός. Αρδισ. ἡ ἀκὶς τοῦ βέλους, η τὰ ἐκ χειρὸς ο πλα. καὶ α ρδεις πληθυντικὸν τὰς φαρέτρας. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, η ρμαι, η ρται, α ρτης· ου τως καὶ α ρτις καὶ α ρδις. η παρὰ τὸ α ρης, ο σημαίνει τὸν σίδηρον, α ρης καὶ α ρδις καὶ α ρδεις.᾿Αρέθουσα. ο νομα πηγῆς.᾿Αρετή. διάθεσις ὁμολογουμένη, καὶ αὐτὴ δι' αὐτὴν ου σα αἱρετὴ, οὐ διά τινα φόβον η ἐλπίδα, η τὶ τῶν ε ξωθεν ἐν αὐτῇ. η ἀρετή ἐστιν ἡ τῶν ἀποκειμένων ἐν ἡμῖν παρὰ Θεῷ φυσικῶν ἀγαθῶν κατ' ἐντολὴν καὶ ἀρέσκειαν αὐτοῦ χρῆσις. *καὶ κακία ὁμοίως.* η ἀρετὴ ἐστι διάθεσις βελτίστη η ε ξις ἀρίστη ψυχῆς λογικῆς, καθ' η ν δυσκίνητος γίνεται πρὸς κακίαν. ει ρηται δὲ παρὰ τὸ ἀρέσκειν τῇ ἀληθείᾳ τὸ γινόμενον.᾿Αρζανηνή. ο νομα τόπου.᾿Αρήνη. ο νομα πηγῆς.᾿Αρετή. παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ ἐρατὴ, καὶ κατὰ μετάθεσιν τῶν στοιχείων ἀρετὴ, ἡ ἐπέραστος κτῆσις, η ν ἐροῦνται πάντες. η παρὰ τὸ ἀρῶ, ἀρέσκω, ἀρεστὴ καὶ ἀρετὴ, ἡ πάντας ἀρέσκουσα. λέγεται καὶ ἀρετὴ ἡ κατὰ πόλεμον δύναμις, παρὰ τὸ α ρην, ο σημαίνει τὸν πόλεμον. ᾿Αραρυίαισ. ἠσφαλισμέναις. ᾿Αῤῥητουργία. ἡ αἰσχρουργία. alpha.298᾿Αριστοκρατία. ἡ κράτησις τῶν ἀρίστων.᾿Αριστοτόκεια. ἡ ἀρίστους γεννῶσα.᾿Αριστονομία. ἡ εὐνομία, ἡ τῶν ἀρίστων διανομή.᾿Αρίσβη. πόλις Τρωϊκή.᾿Αρήνη. πόλις τῆς Μεσσήνης. παρὰ τὸ α ρω᾿Αρήνη· εὐαροτρίοστος γάρ. ὡς ου ν ἀπὸ τοῦ σάσσω σασσήνη, καὶ λάμπω λαμπήνη, ου τως καὶ α ρω ᾿Αρήνη. ᾿Αρισκυδήσ. ἡ α γαν ὀργιζομένη. σκύζω γὰρ τὸ ὀργίζομαι.᾿Αριστερά. ἀπὸ τοῦ α ριστος, ἀριστερὸς, ἀριστερὰ, ὡς φόβος, φοβερὸς, φοβερά. ε στι δὲ καὶ κατ' εὐφημισμὸν, ω σπερ καὶ εὐώνυμος λέγεται ἡ αὐτή.᾿Αριστεραὶ χεῖρες παρὰ τῷ ἁγίῳ εὐαγγελίῳ οἱ σαρκικοὶ λογισμοὶ, δεξιὰ δὲ χεὶρ τὸ α γιον πνεῦμα. ὡς τό· μὴ γνώτω ἡ ἀριστερὰ, τί ποιεῖ ἡ δεξιά σου. τὰ γὰρ δεξιὰ μέρη τοῦ ἁγίου πνεύματος οὐδὲν τούτων φροντίζουσι, πιστεύοντα τῇ δεσποτικῇ φωνῇ· ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. Αρκειος κεφαλή. ἡ τῆς α ρκου. καὶ α ρκειον κρέας, δίφθογγον. α ρκιον δὲ τὸ ἱκανὸν καὶ ὠφέλιμον, ¯ι. Αρκυσ. δεσμὰ, δίκτυα. παρὰ τὸ ἁρπάζω α ρπυον καὶ α ρκυον. ἐπιτήδειον γὰρ ε στι πρὸς τὸ alpha.299 ἁρπάζειν. η παρὰ τὸ ε λκω, ε λκυον καὶ τροπῇ τοῦ ¯ε εἰς ¯α καὶ τοῦ ¯λ εἰς ¯ρ α ρκυον. Αρκευθοσ. ει δος φυτοῦ ἀκανθώδους, ου τὴν ὀδμὴν πάντα τὰ ἑρπετὰ ἀποστρέφονται. παρὰ τὴν ἀρὰν, ο ἐστι τὴν βλάβην, κεύθειν ἀράκευθος καὶ α ρκευθος. η διὰ τὸ ε χειν τὰς ἀκάνθας κεκρυμμένας. Αρκοσ. παρὰ τὸ ἀρκῶ α ρκος, ἡ ἐπαρκοῦσα ἑαυτῇ. φασὶ γὰρ αὐτὴν διαζῆν τὸν χειμῶνα ἐκτὸς ἐπεισάκτου τροφῆς. ῾Αρματωλία. ἡ τῶν ἁρμάτων ἡνιοχεία.῾Αρμογή. εὐταξία. μαθόντες δὲ τὴν τῶν πολεμίων ἁρμογήν.῾Αρμονία. συμφωνία.῾Αρμαλία. ἡ τροφή. παρὰ τὸ τῇ ψυχῇ ἁρμόζειν. ἀρῶ γὰρ τὸ ἁρμόζω. η παρὰ τὸ αι ρειν τὰ σώματα γίνεται ἁρμός. καὶ ὡς καθαίρω καθαρμὸς, ου τως καὶ ε ρω ἁρμὸς, ἀφ' ου καὶ παρωνύμως ἁρμία καὶ πλεονασμῷ τοῦ ¯λ ἁρμαλία. η τὸ δίκην α ρματος φέρειν τὰ σώματα γίνεται ἁρμός. ᾿Αρνακίσ. τὸ μετὰ τῶν ἐρίων δέρμα τοῦ ἀρνοῦ. Αρνη. πόλις Βοιωτίας. Αρουρα. κυρίως ἡ γῆ, ἡ πρὸς σπορὰν ἐπιτηδεία γῆ. παρὰ τὸ ἀροῦν. η παρὰ τὸ ἀραιοῦσθαι τὴν γεωργουμένην γῆν. alpha.300 Αρπη. ἡ δρεπάνη, καὶ ει δος ὀρνέου. παρὰ τὸ ἁρπάζω. ῾Αρπεδόεσσα. κατὰ συγκοπὴν ἡ λέξις, παρὰ τὸ

ἀρι συγκειμένη· πέπονθε δὲ, ι να μὴ σημαίνηται ἡ α γαν ὁμαλὴ ὁδός· ὁδοῦ γάρ ἐστιν ἐπίθετον. τινὲς δὲ φασὶν ἡ α γαν πεδινή. πέπονθε δὲ ὁμοίως τὸ ε ρθυρις· ἐρίθυρις γὰρ ἡ μεγάλη ὁδός.῾Αρπεδόνη. ἡ διὰ σπαρτίου θήρα. Αρπυιαι. δαίμονες ἁρπακτικαὶ, η



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θύελλαι καὶ συστροφαὶ ἀνέμων. Αρσεων. βασταγμάτων.᾿Αρτάβη. μέτρον Μηδικὸν σίτου·᾿Αττικὸς μέδιμνος.᾿Αρτυλία. διαθήκη. Αρτεμισ. ἡ σελήνη. παρὰ τὸν ἀέρα τέμνειν.᾿Αρτηρία. παρὰ τὸ τὸν ἀέρα τηρεῖν, τουτέστι τὸ πνεῦμα, ἀεροτηρία τὶς ου σα· πνεύματος γάρ ἐστι δεκτική.῾Αρπαγή. ἡ βιαία κυρίως ἀφαίρεσις.᾿Αρτιέπειαι. αἱ ἀπαρτισμένα καὶ τέλεια λέγουσαι.᾿Αρύταινα. χαλκοῦν σκεῦος, ἐν ῳ τὸ ε λαιον ἐγχέουσιν εἰς τοὺς λύχνους.᾿Αρχαιρεσία. ἡ περὶ ἀρχῶν ἐκλογή. καὶ ἀρχαιρεσίη τὸ πρὸς χάριν πολλῶν ζῆν, η τὸ alpha.301 ἐπιδόσεις χρημάτων ποιεῖσθαι. ου τως ῾Ηρόδοτος.᾿Αρχή. ἡ ἐξουσία καὶ ἡ τιμή. ὡς τό· ου ἡ ἀρχὴ ἐγεννήθη ἐπὶ τοῦ ω μου αὐτοῦ. ἀρχὴ ἡ μὲν φυσικὴ, ὡς λέοντος ἐν ζώοις καὶ ἀετῶν ἐν ὀρνέοις, ἡ δὲ χειροτονητὴ, ὡς ἐπὶ βασιλέως ἀνθρώπων.᾿Αρχήν. τὰ πρῶτα, παρευθύ. Ναρσῆν μὲν γὰρ οὐδὲ τὴν ἀρχὴν ὑποστήσεσθαι ῳ οντο.᾿Αρχή. τῶν γεγονότων αἰτία πάντων. ᾿Αρχιειρεσία. κωπηλασία.᾿Αῤῥωδία. φόβος. Αῤῥωδοσ. ο νομα πόλεως.῾Αρματοτροχία. ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ.᾿Αρχή. ἡ πρώτη κίνησις. ὡς· ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν δίκαια. ἀπὸ γὰρ τῶν δικαίων πράξεων πρῶτον κινούμεθα εἰς τὸν μακάριον βίον. (Οὐδέτερον.) Αῤῥατον. ἰσχυρὸν, στερεόν. ου τως Πλάτων.᾿Αράχνειον νῆμα καὶ ἀράχνιον. τὰ ὑφάσματα τῆς ἀράχνης. οι ον· alpha.302 ἠΰτ' ἀράχνια λεπτά–. παρὰ τὸ ἀραιὸν τὸ λεπτὸν, η παρὰ τὸ ἀράσσω ἀράχνιον, ὡς δέμνω δέμνιον. η τὸ ἐνηρμοσμένον. χνοῦς γὰρ ἐστὶν ὁ ἐνηρμοσμένος καὶ ὑφανθείς.᾿Αραιόν. ου τὰ μόρια διάστασιν τινὰ πρὸς α λληλα ε χει. πυκνὸν δὲ, ου τὰ μόρια ἐγγὺς ἀλλήλων κεῖται. τὸ δὲ ἀραιὸν οἱ πλείονες ψιλοῦσιν· οὐ δὲ δασύνεται, ὡς οι μαι.᾿Αργαριζεῖν. ε θνος. ᾿Αργαῖον. τὸ Καισαρείας ο ρος. Αργεμον. τὸ κατὰ πάθος γενόμενον λεύκωμα ἐν τῷ ὀφθαλμῷ. παρὰ τὸ ἀργὸν, ο σημαίνει τὸ λευκόν.᾿Αργυροκοπεῖον. ἐν ῳ κόπτονται τὰ νομίσματα, ο νῦν τινὲς ι μαντρον καλοῦσιν.᾿Αργύφεον. μέλαν η λαμπρόν. ᾿Αρδάνιον. κεράμιον, γάστρα, ο θεν τὰ θρέμματα πίνει.᾿Αργανθώνιον. ο ρος Κίου. ἀμφ'᾿Αργανθώνιον ο ρος προχοάς τε Κίοιο. alpha.303᾿Αργυρίδιον. διὰ τοῦ ¯ι γράφεται, διὰ τοιαύτην αἰτίαν. ἐμάθομεν, ο τι εἰσὶν παραγωγαὶ καὶ διὰ τοῦ διον καὶ ιδιον. καὶ εἰ μὲν τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ συμφώνου α ρχεται, διὰ τοῦ ιδιον γίνεται ἡ παραγωγὴ καὶ φυλάσσονται αἱ τρίται συλλαβαὶ αἱ τελευταῖαι συνεσταλμέναι, οι ον γνώμη, γνώμης, γνωμίδιον· ψυχὴ, ψυχῆς, ψυχίδιον· ξίφος, ξίφους, ξιφίδιον. εἰ δὲ ἀπὸ φωνήεντος α ρχεται, διὰ τοῦ διον γίνεται ἡ παραγωγὴ καὶ ἐκτείνεται ἡ τρίτη ἀπὸ τέλους συλλαβὴ, οι ον γραφεῖον, γραφείδιον· ἀγγεῖον, ἀγγείδιον. καὶ εἰ μὲν εὑρεθῇ τὸ ¯ε¯ι η τὸ ¯ο, τὸ ¯ι προσέρχεται· πόλεως, πολείδιον, ε ξεως, ἑξείδιον, βοὸς, βοείδιον.᾿Αρητόν. τὸ βλαπτικόν. ἀπὸ τοῦ ἀρὰ, ἡ βλάβη. Αρθρον. μέρος λόγου πτωτικὸν προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων, δι' ο τρανωτέρα ἡ λέξις πέφυκε γίνεσθαι. α ρθρου δὲ ι διον ἐστὶ τὸ τὴν δευτέραν γνῶσιν σημαίνειν· εἰ γὰρ ει πῃς, ναῦς η λθε, δοκεῖς ἀγνοεῖν ποία· εἰ δὲ σὺν τῷ α ρθρῳ τεθῇ, εἰς γνῶσιν παραλαμβάνεται ἡ ὑποκειμένη οὐσία τοῦ πράγματος. α ρθρον δὲ τὸ προτασσόμενον παρὰ τὰ ἐν ἡμῖν α ρθρα· ω σπερ γὰρ τὰ α ρθρα διορίζει τὰ ὑποκείμενα αὐτοῖς, ου τως καὶ ταῦτα χωρίζει τὰς διαφορὰς τῶν πραγμάτων, διάρθρωσιν ἐμφαίνοντα. doalpha.304 κεῖ γὰρ καὶ διαρθροῦν καὶ ποιεῖν τὸ ἐπιφερόμενον ο νομα φανερὸν, πότερον α ῤῥεν η θῆλυ, καὶ πότερον ἐφ' ἑνὸς η ἐπὶ πλειόνων. α ρθρα καὶ τὰ μέλη τοῦ σώματος. παρὰ τὸ αι ρω α ρτρον καὶ α ρθρον καὶ α ρθρα· ὑπὸ τούτων γὰρ βασταζόμεθα. η παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, παρὰ τὸ ἀρηρέναι ἀλλήλοις. Αρθμια. φιλία.῾Ηρόδοτος·᾿Αθηναίων μὴ ἐόντων ἡμῖν ἀρθμίων. τὸ ἐόντων δὲ ἀντὶ τοῦ ὑπαρχόντων.᾿Αρθρέμβολα καὶ ἀθρέμβολα. ἐργαλεῖα. ο ργανα τιμωρητικὰ τοῖς α ρθροις ἐμβαλλόμενα. Αργμα. ἡ ἀπαρχή. παρὰ τὸ α ρχω α ργμα. Αριμα. ο νομα ο ρους.᾿Αριστερά. τὰ μωρά. δεξιὰ δὲ τὰ συνετά.᾿Αριστεῖον. τὸ τοῖς ἀριστεῦσι διδόμενον ε παθλον.᾿Αριφραδέα. δῆλα καὶ φανερά. Αριστον. ἀόριστόν τι ο ν· ἀόριστον γάρ ἐστι κατὰ καιρόν. Αῤῥηκτον. α σχιστον, ἰσχυρότατον. Αῤῥητον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

α λεκτον.  Αρκιον. τὸ ἱκανὸν καὶ ὠφέλιμον.᾿Αῤῥεπές. ἀμετάκλιτον.᾿Αῤῥενωπόν. α θελκτον, ἀθήλυντον, ἀνδρεῖον, ἀπαρέγκλιτον ὑφέσει πάσῃ. ἰστέον, ο τι ὡς ἐπὶ γυναικῶν ἀνδριζομένων καὶ ἀῤῥενοφανῶν ει ρηται. alpha.305  Αρμενον. τὸ ἐν τῷ πλοίῳ. καὶ α ρμενον τὸ ἡρμοσμένον.᾿Αρού. ἐπίφθεγμα ναυτικόν.  Αρπεζον. τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον. ᾿Αρτεμίσιον. τὸ τῆς ᾿Αρτέμιδος α γαλμα καὶ ἀκρωτήριον τῆς Εὐβοίας.  Αρτιον. τὸ ὁλόκληρον.᾿Αρτοπώλιον. ὁ τόπος, ε νθα οἱ α ρτοι πιπράσκονται. ἀρτοπολεῖον δὲ τὸ μαγκιπεῖον, ἐν ῳ  οἱ α ρτοι γίνονται· μικρὸν καὶ δίφθογγον.᾿Αρτιθαλῆ. νεόφυτα.᾿Αῤῥυτίδωτον. μὴ ε χον ῥυτίδας η τοι ζαρώματα, αι  εἰσι γραμμαὶ γήρως σημαντικαί.᾿Αρχαϊκόν. ἁπλοῦν, ἀφελὲς, α δοξον.᾿Αρχαῖα. τὰ κεφάλαια τὰ τῶν χρεῶν. αὐτοί τε καὶ ἀρχαῖα καὶ τόκοι τόκων. ᾿Αρχαῖον τὸ κιθαρίζειν. ληρῶδες, ἀνόητον, οὐδὲν λόγου α ξιον. ᾿Αρχέτυπον. πρωτότυπον. ᾿Αρχεῖον. χαρτοφυλάκιον, ε νθα οἱ δημόσιοι χάρται κεῖνται, η  τὸ παλάτιον.  Αρινον. τὸν νάπυ. τοῦ Ψελλοῦ· ἡ μίνθη τὸ ἡδύοσμον, α ρινον δὲ τὸ νάπυ.  Αροτρον. παρὰ τὸ ἀρῶ τὸ ἀροτριῶ, ὁ μέλλων ἀρόσω καὶ ἐξ αὐτοῦ α ροτρον. *᾿Αρίζηλον. τὸ ἐν τῷ πολέμῳ ζηλωτόν.* alpha.306 (῾Ρῆμα.)  Αραρέ με. η ρεσέ με ταῖς φρεσὶν, η  η ρμοσται.  Αρασθαι. ἀπενέγκασθαι, η  λαβεῖν, φορτίσασθαι. μεῖζόν γε ο ν η  καθ' ἑαυτὸν α ρασθαι φορτίον. ᾿Αρασσόμενα. προσρηγνύμενα. κυρίως δὲ τὸ ἀράσσειν τὸ ἀποτέμνειν διὰ σιδήρου παρὰ τὸ α ρης, ο  ἐστι πόλεμος.  Αραρε. δέδοκται, κέκριται. ἀρῶ τὸ ἁρμόζω, ὁ μέλλων α ρω, αἰολικῶς α ρσω, ὁ παρακείμενος η ρκα, ὁ μέσος η ρα καὶ κατὰ ἀναδιπλασιασμὸν ἀττικὸν α ρηρα, ἡ μετοχὴ ἀρηρώς. –ο  τε φρεσὶν ῃ σιν ἀρηρώς. δωρικῇ τροπῇ τοῦ ¯η α ραρα καὶ α ραρεν. α ραρε γὰρ ο ρκος ἐκ θεῶν μέγας. ᾿Αράμενοι. ἐπάραντες.  Αρασ. ἐπάρας. ὡς ει δον τὸν νέκυν α ραντας᾿ Αχαιούς. ἀείρω, ὁ μέλλων ἀερῶ, ὁ ἀόριστος η ειρα, ω σπερ η γειρα, ἡ μετοχὴ ἀείρας, καὶ κράσει τοῦ ¯α¯ε εἰς ¯α μακρὸν γίνεται α ρας. καὶ μένει τὸ ι προσγεγραμμένον, καὶ μὴ ἐκφωνούμενον διὰ τὸ μέγεθος τοῦ ¯α.᾿Αράβησεν. η χησεν. κυρίως ἡ ἐπὶ τὴν ε ραν καὶ τὴν γῆν βοή. ε ραβος καὶ α ραβος, ἀραβῶ, ἀραβήσω. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ σιδήρου. παρὰ τὸ α ρεα καὶ τὸ βοή. alpha.307  Αραιτο. λάβοι, κομίσειεν. η ς οὐκ α ν α ραιτ' α χθος ἀνθρώπου φύσις.᾿Αρδαλῶσαι. μολύναι. εἰς οι ον ἐμπεπτώκασι τὸν α ρδαλον.  Αρδειν. ποτίζειν. ἀρδεύειν. ᾿Αραροίμην. ἁρμοσαίμην. ᾿Αραρίσκω. τὸ ἁρμόζω.᾿Αρέσκω. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. ὡς τελῶ τελέσκω, ου τως καὶ ἀρῶ ἀρέσκω. τὸ γὰρ ἀρέσκον καὶ ἁρμόδιον, καὶ τὸ ἁρμόδιον ἀρεστόν. ᾿Αρεσόμεθα. ἐξιλεασόμεθα, θεραπεύσομεν, φιλοφρονησόμεθα. παρὰ τὸ ἀρῶ ἀρέσω. ᾿Αρήγω. βοηθῶ. παρὰ τὸν α ρην, ο  σημαίνει τὸν πόλεμον. ω σπερ καὶ βοηθεῖν λέγεται τὸ ἐπὶ βοὴν θεῖν. βοὴ γὰρ καὶ ὁ πόλεμος ἀπὸ τοῦ παρεπομένου. ἀρήγω καὶ ἀρωγὸς, ω σπερ καὶ ῥηγμὸς καὶ ῥαγμός.᾿Αρημένοσ. βεβλαμμένος.᾿Αρήρει. ἐνήρμοστο.᾿Αρῆξαι. τὸ βοηθῆσαι. κυρίως δὲ τὸ πρὸς καιρὸν θεραπεῦσαι. ἰᾶσαι δὲ, τὸ παντελῶς θεραπεῦσαι. ᾿Αριστῶ. τὸ ἀρετῆς ἐπιμελοῦμαι. Προκόπιος· ἀμφότεροι δὲ οἱ μὲν θανατῶντες, οἱ δὲ ἀριστῶντες, ἐπὶ τοὺς πέλας πολλῷ ι εντο. ε στι δὲ καὶ ἀρεταίνω. alpha.308 ᾿Αρθμήσαντεσ. φίλοι γενόμενοι. καὶ ἀρθμῆσαι εἰς φιλίαν ἐλθεῖν. ᾿Αρκῶ. ἰσχύω, δύναμαι ὑπενεγκεῖν. καὶ τὸ βοηθῶ.᾿Αρκυωρεῖσθαι. φυλάσσειν τὰς α ρκυς.῾Αρμόζεται. συζεύγνυται, συνάπτεται.᾿Αρνεῖσθαι. ἀπὸ τοῦ αι ρειν τὰς χεῖρας. παρὰ τὸ αι ρω, ἀρῶ, καὶ πλεονασμῷ τοῦ ¯ν ἀρνῶ.᾿Αρνύμεθα. ἀντὶ τοῦ καταλλασσόμεθα, η  προδιδόαμεν· ἐπειδὴ διὰ τῶν ἀρνῶν καὶ τῶν α λλων ζώων τὰς ἀμοιβὰς ἐποιοῦντο οἱ ἀρχαῖοι. καὶ οὐ μόνον δι' ἀργυρίου τοῦτο ποιεῖν οι δεν  Ομηρος, ἀλλὰ καὶ δι' ἑτέρων, οι ον· α λλοι μὲν χαλκῷ, α λλοι δ' ἀνδραπόδεσσιν– ἀπὸ τοῦ μέρους τοῦ τετραπόδου τοῦ ἀρνοῦ τὴν λέξιν ἐπὶ τοῦ ἀμείβεσθαι ε ταττον. η  παρὰ τὸ αι ρω ἀρνῶ, ὡς ι κω ἱκνῶ, οι χω οἰχνῶ, α ρνυμι, α ρνυμαι καὶ ἀρνύμενος. ᾿Αροῦσιν. ὑψώσουσιν. ᾿Αροῦν. ἀροτριᾷν. ἀρόω, ἀρόσω, ὁ παρακείμενος η ροον, η ρουν, η ροες, η ρους, η ροε, η ρου, καὶ τὸ ἀπαρέμφατον ἀρόειν, ἀροῦν. παρὰ τὸν α ρεα, τὸν σίδηρον. σιδήρῳ γὰρ τέμνεται ἡ γῆ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

῾Αρπῶμαι. ἁρπάζω. δρεπάνῃ κέχρημαι.῾Αρπαλέσαι. ὁμιλῆσαι. alpha.309 Αρσαντεσ. ἁρμόσαντες η καὶ βαστάξαντες.᾿Αρτικροτεῖσθαι. συμφωνεῖσθαι. ἀρτικροτοῦνθ' οἱ γάμοι, φησὶ Μένανδρος. ᾿Αρτᾷ. ἐπικρέμαται. καὶ ἀρτῶ ὁμοίως. ᾿Αρτύναντεσ. παρασκευάζοντες.᾿Αρτύνω. ἁρμόζω η εὐτρεπίζω. –πυκινὴν ἠρτύνετο βουλήν. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. η ρμαι, η ρται, ἀρτὸς, καὶ ἀρτῶ, ἀρτύω, καὶ πλεονασμῷ τοῦ ¯ν ἀρτύνω, ὡς ὀρῶ, ὀρούω.᾿Αρυσάμενοσ. ἀντλήσας.᾿Αρύω. τὸ ἀντλῶ καὶ βάλλω. παρὰ τὸ ἀρῶ, ὡς πλήθω πληθύω, ἐρῶ ἐρύω καὶ ἐρύσω, α νω ἀνύω καὶ ἀνύσω· ου τως ἀρῶ ἀρύω καὶ ἀρύσω. –οὐκ ἀνύω φθονέουσα–.᾿Αρήρει. ἐνήρμοστο. ἀρῶ τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ, ὁ παρακείμενος η ρκα, ὁ παθητικὸς μέσος η ρα, καὶ ἀττικῶς α ρηρα, καὶ ὁ ὑπερσυντέλικος ἠρήρει, καὶ ποιητικῶς ἀρήρει.᾿Αρχαιρεσιάζειν. τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι α ρχοντα.᾿Αρῶ. ἐκτενῶ.᾿Αρήμενοσ. βεβλημένος. κατεχόμενος. Ομηρος· υ πνῳ καὶ καμάτῳ ἀρήμενος. alpha.310 (᾿Επίῤῥημα.) Αρα. συλλογιστικός ἐστι σύνδεσμος. καὶ ἀντὶ τοῦ δὴ, καὶ ὡς ε οικε, καὶ ὡς φαίνεται. ου τως Πλάτων. ᾿Αραρότωσ. ἁρμοζόντως η παγίως καὶ ἑδραίως.᾿Αραχὶ καὶ ἀρχί. ἐπιῤῥήματα.᾿Αρτίωσ. ὑγιῶς. ὁλοκλήρως. λέγεται δὲ καὶ πρὸ μικροῦ η ἀντὶ τοῦ νῦν.᾿Αρμοῖ που. ἀρτίως. νεωστί. ου τω Καλλίμαχος.᾿Αρχαιοτρόπωσ. τουτέστιν ἀρχαιοτέροις ὀνόμασι χρῆσθαι. ᾿Αρχαίωσ. ἁπλῶς καὶ ἀκάκως· τοιοῦτοι γὰρ οἱ ἀρχαῖοι. ου τως Δημοσθένης φησί. καὶ ἀρχαίως ἀντὶ τοῦ παλαιῶς. Αρα. καὶ ἀντὶ τοῦ τοιγαροῦν. τοῦ ᾿Αποστόλου· γινώσκετε α ρα, ο τι οἱ ἐκ πίστεως ου τοι εἰσὶν υἱοὶ ᾿Αβραάμ. Τὸ Α μετὰ τοῦ Σ. (᾿Αρσενικόν.) ᾿Ασαφήσ. μὴ φανερὸς, α δηλος, ἀνόητος. Ασβεστοσ. ὁ ἀκατάπαυστος.᾿Ασηρώθ. ο νομα κύριον. alpha.311᾿Ασηκόροσ. ὁ ἀκηδιαστὴς, ἀσινὴς, ἀβλαβής. Ασκευον. ἀντὶ τοῦ ἀπαράσκευον, α νευ ο πλων. καὶ ὁ θεολόγος· βίον α σκευον καὶ ἀπέριττον. *᾿Ασώδησ. ἀδημονώδης. ἰατρικὴ ἡ λέξις.*᾿Ασκάλαφοσ. ὁ λίαν σκληρὸς, παρὰ τὸ α γαν ἀσκελὲς τῆς ἀφῆς.᾿Ασκηθήσ. ὑγιὴς, ἀβλαβής. παρὰ τὸ σχέθω, κατὰ σύνθεσιν καὶ ε κτασιν καὶ τροπῇ ἀσκηθής. ἡ μεταφορὰ δὲ ἀπὸ τοῦ ἀσκοῦ. τὸ δὲ ἀσκὸς ὁ μὴ ἐσχισμένος. παρὰ τὸ σχῶ, σχήσω, ἀσχὸς καὶ ἀσκός.᾿Ασκάντησ. ἡ εὐτελὴς κλίνη. ἡ μὴ κάννην ε χουσα. ου τως δὲ ἐκάλουν τὴν ψάδον.᾿Ασκητήσ. ὁ ἐν τῷ κατὰ διάνοιαν κόσμῳ εὐσεβῶς καὶ δικαίως ἀναστρεφόμενος.᾿Ασκαλαβώτησ. ζωΰφιον ἐοικὸς σάβρᾳ ἐν τοῖς τοίχοις τῶν οἰκημάτων ἀνέρπων. η καὶ ὁ ποντικὸς, καὶ ἡ νυμφίτζα. παρὰ τὸ ἀκαλῶς, ο ἐστιν ἡσύχως, βαίνειν, πλεονασμῷ τοῦ ¯ς. Ασκαρμοι. ἀκοίμητοι.᾿Ασκληπιόσ. ἰατρός. παρὰ τὸ τὰ ἀσκελῆ τῶν νοσημάτων η πια ποιεῖν. τὸ δὲ ἀσκελὲς παρὰ τὸ σκέλω, τὸ α γαν σκληραίνω, ο θεν καὶ σκέλος. alpha.312᾿Ασμενέστατοσ. χαίρων καὶ α σμενος. η δω, τὸ εὐφραίνομαι, η σμαι, η σμενος ἡ μετοχὴ καὶ α σμενος.᾿Ασπασμόσ. ἡ εὐχή. παρὰ τῷ ᾿Αποστόλῳ· ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί.᾿Ασπαστοί. α σμενοι, θεοειδεῖς. παρὰ δὲ τῷ Καλλιμάχῳ ἀσπαστὺς ἀπαστύος, τουτέστι προσηγορία, φιλία.᾿Ασπόνδουσ. ἐχθροὺς, ἀγρίους, ἀδιαλλάκτους, μνησικάκους, ἀνελεήμονας, τοὺς ἀκαμπεῖς καὶ ἀνενδότους πρὸς ε λεον.᾿Ασπιστήσ. πεζὸς ὁπλίτης, πολεμιστής.᾿Ασπαλιεύσ. ὁ ἁλιεύς. παρὰ τὸ τὴν α λα ἀσπάζεσθαι, η παρὰ τὸ σπᾶν καὶ τὸ λίνον, τοῦ ¯α η πλεονασμὸν η ἐπίτασιν σημαίνοντος. Ασπετον. πολύ. ἀλλ' α σπετον χέασα. ε στι ῥῆμα σπῶ. ω σπερ παρὰ τὸ ε πω τὸ ἀκολουθῶ. ἐξ ου τὸ σπᾶσθαι καὶ ἐπίσπεσθαι ποσί. ῥῆμα ο νομα σπετὸς καὶ α σπετος, οι ον· –α σπετος αἰθήρ. οἱ δὲ παρὰ τὸ ε πω, τὸ λέγω, φασὶν ει ναι, α σπετα, τὰ ου τω πολλὰ καὶ μεγάλα, ω στε καὶ α ῤῥητα ὑπάρχειν. ᾿Ασταθμεύτουσ. ἀφορολογήτους. alpha.313 Αστομοι ι πποι. σκληρόστομοι. α στομοι ι πποι βίᾳ φέρουσιν.᾿Αστόργουσ. ἀσπλάγχνους, ἀπηνεῖς, ἀφίλους.᾿Αστικόσ. πολιτικός.᾿Αστόσ. θαυμαστὸς, πολίτης.᾿Αστεῖοσ. καλὸς, χαρίεις, τὸ η θος ἐπαινούμενος. *λέγεται καὶ ὁ εὐάρεστος.* Αστηνοσ. ὁ δυστυχὴς, ὁ πένης, ἀπὸ τοῦ στάσιν καὶ οι κησιν μὴ ε χειν. ᾿Αστυγείτων. ὁ πλησιόχωρος. Αστεκτοσ. ἀνυπομόνητος.᾿Αστράγαλος, ο ν ἐθεάσατο Βαλτάσαρ, ο ς η ν χεὶρ θεοῦ ζῶντος. ἀστράγαλος κυρίως τὸ σύνηθες λεγόμενον· καὶ ὁ σπόνδυλος τοῦ τραχήλου· καὶ βοτάνη ου τως καλουμένη. ἀστράγαλος δὲ ει ρηται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπὸ τοῦ ἀστραβῆ καὶ ὀρθῶς φυλάττειν τὴν βάσιν. ἐπὶ τοῦ ποδὸς καὶ τοῦτο. ἐπὶ δὲ τῶν α λλων ὀστέων παρὰ τὸ ἐμπεπάρθαι καὶ μὴ στρέφεσθαι μήτε κινεῖσθαι, στερήσει τοῦ ¯α.᾽Αστισμὸς καὶ ἀστεϊμόσ. πιθανολογία. ἀποστῆναι ῥητορικῆς καὶ ποιητικῆς καὶ ἀστισμῶν.᾽Αστρόβακοσ. ὁ ἀστρονόμος. alpha.314᾽Αστυβοώτησ. ὁ κήρυξ ἐπιθετικῶς. ἀπὸ τοῦ ἐν α στει βοᾶν. Ασταχυσ. στάχυς. α σταχυς σίταχυς τίς ἐστιν, ὁ τὸν σῖτον συνέχων. η στῶ, στήσω, α σταχυς.᾽Αστάνδαι. οἱ ἐκ διαδοχῆς γραμματοφόροι. ᾽Αστεμφήσ. ἀμετακίνητος, βέβαιος.᾽Αστραβήσ. α τρεπτος. παρὰ τὸ στρέφω στρεφὴς καὶ ἀστραβής.᾽Αστέρι ὀπωρινῷ. η γουν τῷ κυνάστρῳ.᾽Αστὴρ καὶ α στρον διαφέρει. ἀστὴρ γὰρ ὁ Κρόνος καὶ οἱ α λλοι πλάνητες· α στρον δὲ ὁ᾽Ωρίων, ο ς ¯κ¯β ἀστέρων ἐστὶ σύστημα. ει ρηται ἀστὴρ παρὰ τὸ μὴ ε χειν στάσιν, ἀστατὴρ καὶ ἀστήρ. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἀπλανῶν. ζητεῖται δὲ, διὰ τί, ω σπερ γίνεται κατὰ συγκοπὴν γαστρὸς, μὴ τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ ἀστὴρ ἀστέρος ἀστρός. καὶ ε στιν εἰπεῖν, ο τι αἱ συγκοπτόμεναι γενικαὶ μιμεῖσθαι θέλουσι τὰς ὀξυτόνους εὐθείας. ἐπεὶ ου ν ἡ ἀστέρος γενικὴ συγκοπτομένη οὐκ εὐθεῖα, ι να μιμήσηται, οὐ συγκόπτεται. εἰ δέ τις ει ποι, ἡ γαστέρος ω φειλε συγκοπῇ γενέσθαι γαστρός· οὐ γὰρ ε χει alpha.315 εὐθεῖαν, ι να μιμήσηται· ε στιν εἰπεῖν, ο τι τὸ γαστὴρ παραλόγως ὠξύνθη, τούτου χάριν παραλόγως ἀνεδέξατο τὴν συγκοπήν. διὰ τί δὲ, ω σπερ γίνεται θυγατέρα θύγατρα, καὶ ἀνέρα α νδρα, μὴ τὸν αὐτὸν γίνεται μητέρα μήτρα; καὶ ε στιν εἰπεῖν, τὸ μὲν μητέρα, ι να μὴ συνεμπέσῃ τῇ μήτρα εὐθείᾳ, ο σημαίνει τὴν πατρίδα. ᾽Ασύνθετοσ. ὁ ἀσύμφωνος, ὁ ταῖς συνθήκαις μὴ ἐμμένων.᾽Ασυνδύαστοσ. ἀσύζευκτος, ἀσύμπλοκος.᾽Ασύγκριτοσ. ὑπερέχων, μὴ συγκρινόμενος.᾽Ασυντελήσ. ἀχρήσιμος, ἀσύμφορος.᾽Ασύστατον. οὐ συνεστῶτα, οὐ δὲ πυκνὸν, ἀλλ' ἀραιὸν, ἐν τῇ ποιήσει καὶ κομπώδη. η ἀδιάθετον, ἀπιθάνως συντεθέντα.᾽Ασύφηλοσ. α δικος, μάταιος, ἀπαίδευτος, α τιμος, ἀδόκιμος, ἀνόητος. παρὰ τὸ σοφὸς γίνεται σόφλος, καὶ μετὰ τοῦ στερητικοῦ ¯α α σοφλος, καὶ μεταβολῇ τοῦ ¯ο εἰς ¯υ ἀσύφηλος. ὡς α γορις α γυρις, καὶ ο νομα ο νυμα.᾽Ασφάραγοσ. ὁ λαιμός. παρὰ τὸ ἀσπαίρω ἀσπάραγος καὶ ἀσφάραγος. τείνεται γὰρ ἐν τῷ λέalpha.316 γειν ὁ λάρυγξ. ὁ δὲ῾Ηρωδιανὸς λέγει παρὰ τὸ σφαραγεῖν, ο ἐστιν ἠχεῖν· δι' αὐτοῦ γὰρ ἡ φωνὴ φέρεται· καὶ κατὰ πλεονασμὸν τοῦ ¯α ἀσφάραγος. λέγεται δὲ καὶ τὸ ἐξ ἀκάνθων φυόμενον βλάστημα. ε στι δέ τι καὶ βοτάνης ει δος ἀσφάραγος πρὸς τὰς καθάρσεις ἐπιτήδειον. καὶ οἱ μὲν ᾽Αττικοὶ διὰ τοῦ φ τὴν λέξιν προσφέρουσιν, οἱ δὲ λοιποὶ, μὴ ἀκριβοῦντες, διὰ τοῦ π. ᾽Ασφάλαξ. παρὰ τὸ σπῶ γίνεται σπάλαξ, καὶ πλεονασμῷ τοῦ ¯α ἀσφάλαξ κατὰ μετάθεσιν τοῦ ¯π.᾽Ασφοδελόσ. ὁ λειμών.᾽Ασφόδελος δὲ, τὸ φυτόν. Ασχολοσ. ὁ μὴ εὐκαιρῶν. σχολὴ γὰρ ἡ ἐν τῇ λεγομένῃ συνηθείᾳ εὐκαιρία. Ασχετοσ. ὁ ἀκράτητος. παρὰ τὸ σχῆμι, ἀφ' ου καὶ ε σχηκα ὁ παρακείμενος, καὶ ἐσχέθην ὁ ἀόριστος, καὶ ὁ μέλλων σχήσω. ἐξ ου ἡ σχέσις. καὶ ὡς παρὰ τὸ τίθημι γίνεται θετὸς, ι ημι, ἑτὸς καὶ α φετος, δίδωμι, δοτὸς, ου τω σχῆμι, σχετὸς καὶ α σχετος.᾽Ασωπόσ. ποταμὸς Θηβαίων. alpha.317 Ασωτοσ. ἀκόλαστος, ἀσελγής. παρὰ τὸ σώζω, σώσω, σέσωκα, σέσωσμαι, σέσωσται, σωτὸς καὶ α σωτος.᾽Ασκάλων. πόλις Συρίας. ἀπὸ τοῦ᾽Ασκάλου ἀδελφοῦ Ταντάλου. ὁ πολίτης᾽Ασκαλωνίτης.᾽Ασυνέτουσ. τοὺς ἀσυνειδήτους λέγει ὁ ᾽Απόστολος. ω ν οὐδὲν ἀφρονέστερον.᾽Ασσύριοσ. ὁ Βαβυλώνιος. ἐξ ου καὶ᾽Ασσύριος φλόξ.᾽Ασιδηνόσ. ὁ ἀπὸ τῆς᾽Ασίδος.᾽Ασεβήσ. παρὰ τὸ σέβω, σεβὴς καὶ μετὰ τοῦ στερητικοῦ ¯α ἀσεβής. οἱονεὶ ὁ μὴ σεβόμενος τὸν θεόν. εἰς τὸ ¯α ψιλὴν διατί; τὸ στερητικὸν ¯α ψιλοῦται πλὴν τοῦ α λυσις καὶ α δης.᾽Ασαλήσ. ὁ ἀφρόντιστος. σάλη γὰρ ἡ φροντίς. (Θηλυκόν.)᾽Ασάμινθοσ. ἡ πύελος, ο ἐστι λεκάνη, καὶ ὁ τόπος, ἐν ῳ λούονται. παρὰ τὸ μινύθειν τὴν α σιν, η τοι τὸν ῥύπον τοῦ σώματος. alpha.318 ᾽Ασέλγεια. διάθεσις μὴ ε χουσα η μὴ φέρουσα α λγος ἀθλητικόν.᾽Ασέβεια. ἀδικία περὶ τὸ θεῖον. Ασισ. ἡ ἀκαθαρσία. καὶ α ση. ἀσὴ δὲ κατὰ τοὺς ἰατροὺς ἡ ἀνερμήνευτος ποιότης, ἡ προηγουμένη τοῦ ἐμέτου.᾽Ασία. πόλις Λυδίας, ἐν ῃ τρίχορδος εὑρέθη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κιθάρα. διὸ καὶ Ἀσία ἡ η πειρος, ἡ μὲν ἀπὸ Ἀσίου τοῦ Λυδοῦ, ἡ δὲ ἐκ τῆς Προμηθέως γυναικός. τὸ ἐθνικὸν Ἀσιεὺς καὶ Ἀσιανός.᾽Ασιάτησ. ἡ τρίχορδος κιθάρα ει ρηται, ο τι ἐν τῇ Ἀσίᾳ, πόλει τῆς Λυδίας κειμένῃ ἐν Τμώλῳ, πρῶτον εὑρέθη, η ἀπὸ Ἀσίου τινός. ᾽Ασίδα. στρουθοκάμηλον.᾽Ασιχίνη. κύριον.᾽Ασέλγη. πόλις, ο που κακῶς ε ζων οἱ α νθρωποι καὶ ἀλλήλοις ἐκοινώνουν. ᾽Ασκοπήρα. τὸ μαρσίπιον η τοι τὸ σακκοπάθνιον.᾽Ασκαμωνία. βοτάνη ἰατρική. alpha.319᾽Ασκέραι. ὑποδήματα ἀττικά. Ασκιος υ λη. δασεῖα. τὸ ¯α κατ' ἐπίτασιν.᾽Ασπίσ. θηρίον ὀφιοειδές. καὶ τὸ σκουτάριον. Ασπειστον ε χθραν. μῖσος α σπονδον.᾽Ασπασία. θαυμαστὴ, χαιρετιστική. ᾽Ασπάλαθοσ. ει δος ἀκάνθης. Νίκανδρος. ἐν γὰρ ο ρει ῥάμνοι τὲ καὶ ἀσπάλαθοι. ει ρηται δὲ παρὰ τὸ σπῶ· σπάλαθος καὶ ἀσπάλαθος.᾽Ασμωλή. ὀλίγη ἀναπνοή. οι μαι, ο τι ἀσθμωλὴ γράφεται.᾽Αστειότησ. φαιδρότης μετὰ λόγου.᾽Αστιβήσ. ὁδὸς ἀτριβὴς, ἀπάτητος, α βατος. στίβος γὰρ ἡ ὁδός.᾽Αστάρτη. ἡ θεὸς, ἡ Σελήνη. καὶ νῆσος Αἰθιοπίας. παρὰ τὸ α στρα ἀστράτη, η παρὰ τὸ τοὺς ἀστέρας, καὶ κατὰ συγκοπὴν, ἀστάρτη, ἀσταρταῖος, ἀστάρτης.᾽Αστέμβακτοσ. ἀκίνητος, η βεβαία, η τετιμημένη. ει ρηται δὲ κατὰ ἀπόφασιν τοῦ στεμβάξαι, ο ἐστιν ὑβρίσαι. alpha.320᾽Αστεροπή. ἡ ἀστραπή. παρὰ τὸ στερίσκειν τοὺς ω πας διὰ τῆς ἀντιλαμπούσης λαμπάδος. η παρὰ τὸ ο πτω, ο πτη, καὶ μετὰ τοῦ ἀστέρος ἀστεροπτὴ, καὶ ἀποβολῇ τοῦ ¯τ ἀστεροπή. ᾽Αστραπή. ῥῆξις πυρὸς ἐκ νεφῶν περιτρίψεως. τὸ γὰρ πνεῦμα μετὰ βίας ἐκραγὲν τῶν νεφῶν καὶ τὸν ψόφον ποιῆσαν ἐκπυρωθὲν διὰ τὴν κίνησιν φλογῶδες γίνεται. ἰστέον δὲ, ο τι ἡ αὐτὴ φύσις τοῦ πνεύματος, ἐν μὲν τῇ γῇ ε στι σεισμὸς, ἐν δὲ τοῖς νέφεσι βροντὴ, περὶ δὲ τὴν γῆν α νεμος· πάντα γὰρ ταῦτα ἀναθυμίασις ε στι ξηρά. ᾽Αστρατεία. ἡ εἰρήνη· ἐπεὶ ἐν εἰρήνῃ οὐ στρατεύονται.᾽Αστρονομία. ἡ τῶν α στρων διανομή. πρῶτον Βαβυλώνιοι ταύτην ἐφεῦρον διὰ Ζωροάστρου, μεθ' ω ν καὶ ᾽Οστάνης.᾽Αστυπάλαια καὶ Ἀστυπαλία. μοῖρα τῆς Σάμου. ει ρηται, ο τι Προκλῆς καὶ ᾽Επομβρίων ἀποικίαν στείλαντες εἰς Σάμον πρὸς τοὺς ἐνοικοῦντας Κᾶρας κοινωνίαν θέμενοι ῳ κησαν πρὸς alpha.321 τὸν Σχήσιον ποταμὸν, καὶ εἰς δύο φυλὰς τὴν πόλιν διένειμαν, ω ν τὴν μὲν Σχησίαν ὠνόμασαν, τὴν δὲ Ἀστυπαλίαν ἀπὸ τοῦ παλαιοῦ ἐκεῖσε ο ντος α στεος.᾽Ασυνθεσία. παράβασις συνθηκῶν.᾽Ασσυρίηθεν. ἀπὸ τῆς ᾽Ασσυρίας.᾽Ασφαλτῖτις λίμνη. ε νθα ἡ α σφαλτος γίνεται. α σφαλτος δὲ ξηρίον ἐστὶ πίττῃ ο μοιον. χρῶνται δὲ ταύτῃ καὶ οἱ ἰατροὶ, λέγουσι δὲ τὴν νάφθαν.᾽Ασφάλτωσισ. ἡ πίττωσις.᾽Ασφάλεια. ε γγραφος βεβαίωσις.᾽Αστράβη. τὸ σαγμοσέλλιον.᾽Αστάρτη. α γαλμα Ἀφροδίτης, τιμώμενον παρὰ Σιδωνίων. τοῦ α στρου δὲ τύπος· αὐτὸ τὸ α στρον ὁ ἑωσφόρος. ο περ Ἀφροδίτην ὀνομάζουσι. τὸ alpha.322 αὐτὸ καὶ παρὰ Μοαβιτῶν ἐτιμᾶτο. καὶ ὁ θεόλογος· τί φήσω πρὸς τοὺς Ἀστάρτην προσκυνοῦντας. η τὸ Χαμὼς βδέλυγμα Σιδωνίων. (Οὐδέτερον.) Ασσα. ο τε σημαίνει τὸ ο σα καὶ α τινα, δασύνεται· ο τε δὲ τὸ τινὰ, ψιλοῦται. Ασσαρ. ει δος λαχάνου, ῳ κέχρηνται οἱ ἰατροὶ εἰς θεραπείαν τῶν νοσούντων.᾽Ασήμαντα. τὰ λεγόμενα ἀσφράγιστα· καὶ γὰρ σημεῖα τὰς σφραγίδας ε λεγον. η καὶ τὰ ἀφύλακτα. Ασημον. ἀτράνωτον.᾽Ασήμιον. ὁ α ργυρος.᾽Ασυρῆ. ἀκάθαρτα.᾽Ασσάριον. πεντανούμμιον η δεκάνουμμον. alpha.323 Ασθμα. ἡ συνεχομένη πνοὴ καὶ συγκοπτομένη. παρὰ τὸ α ω τὸ πνέω.᾽Ασκελέσ. τὸ σκληρόν.᾽Ασκώματα. τὰ ἐπιῤῥαπτόμενα δέρματα ταῖς κώπαις ἐν ταῖς τριήρεσι, διὰ τὸ μὴ εἰσφέρεσθαι τὸ θαλάσσιον υ δωρ.᾽Αριστοφάνης· ἀσκώματα καὶ λίνα καὶ πίτταν διαπέμπων. καλοῦνται δὲ ου τως καὶ αἱ γνάθοι ἀπὸ μεταφορᾶς τῶν χαλκευτικῶν ἀσκωμάτων, α τινα φύσαι χαλκευτικαὶ λέγονται. ἐπὶ τῶν τριήρεων δὲ, ο τι ἀπὸ ἀσκῶν γίνονται.᾽Ασκήματα. κατασκευάσματα η καὶ τὰ παιδεύματα. ἀπὸ τοῦ α σκησις. Ασμα. υ μνος, ᾠδή. Ασπετον. πολύ. Αστυ. πόλις. Αστρον. σῶμα πύρινον ἐν τῷ οὐρανῷ πεπηγὸς καὶ τῇ κύκλῳ φορᾷ φερόμενον. η σύστημα πλειόνων α στρων, η τὸ ἐπί τινα χρόνον συνιστάμενον ἐν μετεώρῳ, ὡς κομήτης. ᾽Αστυφέλικτον. ἀτίνακτον.᾽Ασταγέσ. πολυσταγές. ἀσταγὲς υ δωρ. Αστικτον.᾽Αθηναῖοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

τὸ ἐλεύθερον χωρίον alpha.324 ἐκάλουν, καὶ μὴ ὑποκείμενον χρήστῃ. ει ρηται, ο τι τοῖς ὑποκειμένοις χρέεσι χωρίοις εἰώθασιν ἐγκαταπηγνύειν στήλην, η ν ἐκάλουν ο ρον, ἐν ῃ χρέος ἐγκεχάρακτο καὶ ὁ χρήστης, ι να μὴ πλανηθεὶς ε τερος ἐπὶ καθαρῷ δανείσῃ. Αστυ. παρὰ τὸ α νω ι στασθαι· οἱ γὰρ ἀρχαῖοι ἐφ' ὑψηλοῦ τόπου ᾠκοδόμουν τὰς πόλεις. ἐκ δὲ τοῦ α στυ ἀστεῖος. σημαίνει δὲ τρία· ὁ ἐν α στει διατρίβων, ὁ διὰ χρηστὸν η θος ἐπαινούμενος, ὡς ὁ Μωϋσῆς, καὶ ὁ γελωτοποιός. Αστρια. οἱ ἀστράγαλοι. Καλλίμαχος· δέκα δ' α στρι' αι νυτο λάτρον.᾿Ασπαστόν. τὸ ἐπιθυμητόν.᾿Ασύμβατον. πολέμιον. ἀφιλίωτον.᾿Ασύμφορον. τὸ μὴ συμφέρον καὶ ἐνδεχόμενον. ᾿Ασυμφυῆ. ἀνοίκεια, ἀνόμοια. ᾿Ασυνάρτητον. ἀσυνάρμοστον. ᾿Ασύνθετον. τὸ μὴ ἐκ μερῶν τὴν συμπλήρωσιν τῆς οὐσίας καθ' ὑπόστασιν ε χον. ᾿Ασύντακτον. τὸ μὴ τεταγμένον, τὸ μὴ ἡνωμένον καὶ σύμμικτον, ἀλλὰ διεσπασμένον καὶ διῃρημένον. Ασχετον. ἀκράτητον.᾿Ασχημάτιστον. ῳ μὴ πρόσεστι χαρακτὴρ ἐκ διατυπώσεως σώματος. alpha.325᾿Ασώματον. τὸ μὲν τῷ ἀριθμῷ, ὡς οἱ α γγελοι, οι ον Μιχαὴλ, Γαβριήλ· ἀριθμῷ γάρ· τὰ δὲ ου , ὡς τὰ καθόλου.᾿Ασσώριον. ο ρος Σάμου, καὶ πόλις Σικελίας. ὁ πολίτης᾿Ασσωρῖνος. (῾Ρῆμα.) Ασαι. κορέσαι. λέγεται δὲ καὶ τὸ δοξάσαι καὶ λέξαι.᾿Ασελγαίνειν. πορνεύειν, ἀκολασταίνειν. παρὰ τὸ λέχος λεχαίνειν, τὸ λέχους ἐπιθυμεῖν. καὶ κατὰ τροπὴν λεγαίνειν. ε νθεν᾿Αρχίλοχος· λέχαι δὲ γυναῖκες. ἀντὶ τοῦ ἀκόλαστοι. λεγαίνειν ου ν, καὶ πλεονασμῷ ἐλεγαίνειν· καὶ κατὰ σύνθεσιν τῆς ¯α ἐπιτάσεως, καὶ πλεονασμῷ τοῦ ¯ς, ἀσελγαίνειν. ε στι δὲ καὶ πόλις *ου τω* καλουμένη ᾿Ασέλγη, ο που κακῶς ε ζων οἱ α νθρωποι, καὶ ἀλλήλοις ἐκοινώνουν.᾿Ασθμαίνει. πνευστιᾷ, ἀναπνέει πυκνὰ καὶ ὀξέως.᾿Ασθμάζει. ἀντὶ τοῦ ἀσθμαίνει. ᾿Ασκούμενοσ. γυμναζόμενος. ᾿Ασκήσασα. μετ' ἐπιμελείας κοσμήσασα. ᾿Ασκαρίζειν. τὸ κινεῖσθαι. alpha.326᾿Ασκωλιάζειν. ἐφ' ἑνὸς ποδὸς ἐφαλλόμενος. κυρίως δὲ τὸ ἐπὶ τῶν ἀσκῶν α λλεσθαι. ε νεκα γὰρ τοῦ γέλωτα ποιεῖν εἰς ἀσκοὺς πεφυσημένους ἐνήλλοντο.᾿Ασμενίζει. χαίρει, ἀγαπᾷ, προθυμεῖται. καὶ α σμενος ὁ χαίρων. η δω τὸ εὐφραίνομαι, η σμαι, ἡσμένος ἡ μετοχὴ καὶ α σμενος.᾿Ασπάζεσθαι καὶ ὁ ἀσπασμὸς μάλιστα τὴν ἀγάπησιν καὶ φιλοφροσύνην δηλοῖ. χρῶνται δὲ καὶ ἐπὶ τοῦ προσαγορεύειν. ᾿Ασπαίροντεσ. σκαρίζοντες, κινοῦντες, ψυχοῤῥαγοῦντες. ᾿Ασπαλιεύειν. ἐκ τῆς ἁλὸς σπᾶν τοὺς ἰχθύας, ο ἐστιν ἁλιεύειν. παρὰ τὸ σπᾶν καὶ τὸ λίνον. τοῦ ¯α η πλεονασμὸν η ἐπίτασιν δηλοῦντος. ο θεν καὶ ἀσπαλιεὺς καὶ ἀσπαλιευτὴς, ὁ ἐκ τῆς ἁλὸς σπῶν τοὺς ἰχθῦς.᾿Αστεΐζεται. ὡραΐζεται, ψεύδεται. ᾿Αστειοῤῥημονήσωμεν. εὐμορφολογήσωμεν. ᾿Αστροπολοῦντασ. περὶ τὰ α στρα ἀναστρέφοντας τὴν διάνοιαν.᾿Αστραβαλίζειν. ὁμαλίζειν, ἀπευθύνειν. καὶ στράβη τὸ σαγμοσέλλιον. alpha.327᾿Ασυνετῶ. μωραίνω.᾿Ασφαλίσαι. φυλάξαι. ἀσφαλίζω γὰρ τὸ φυλάττω. ᾿Ασχάλλων. ἀδημονῶν, λυπούμενος, ὀλιγοψυχῶν, χαλεπαίνων. ὁ δὲ η σχαλεν ὡς παρευδοκιμούμενος. παρὰ τὸ α χω, ἀφ' ου α χομαι, γίνεται ἀχάλλω, ω σπερ α γω ἀγάλλω, ει δω εἰδάλλω καὶ ἰνδάλλω. καὶ πλεονασμῷ τοῦ ¯ς ἀσχάλλω. ἐκ δὲ τοῦ ἀσχάλλω γίνεται παράγωγον ῥῆμα ἀσχαλῶ, τὸ τρίτον πρόσωπον ἀσχαλᾷ καὶ πλεονασμῷ τοῦ ¯α ἀσχαλάα. η παρὰ τὸ σχῶ, σχάλλω καὶ ἀσχάλλω, ο ἐπέχειν οὐ δυνάμεθα.᾿Αστατοῦμεν. τουτέστι διωκόμεθα.᾿Αποστολικὴ ἡ λέξις· κολαφιζόμεθα καὶ ἀστατοῦμεν. ᾿Ασχημονήσωμεν. ὑπὲρ τὸ περιττὸν καλλωπισώμεθα. πᾶν γὰρ τὸ περιττὸν, ει τε ἐν λόγῳ, ει τε ἐν πράγματι, ἀσχημοσύνην καὶ φλυαρίαν καλεῖ ὁ Πλάτων. φησὶ καὶ ὁ θεόλογος· καὶ τοῖς μὲν ἀσχημονήσωμεν μᾶλλον η περ ἐμπρέψομεν. alpha.328 (᾿Επίῤῥημα.)᾿Ασμένωσ. μετὰ χαρᾶς· ἡδέως.᾿Ασπασίωσ. ἡδέως. περιχαρῶς.᾿Ασπερχέσ. ἀδιαλείπτως, παρὰ τὸ σπέρχω, *ο ἐστι σπουδάζω.*᾿Ασπουδεί. χωρὶς σπουδῆς.᾿Ασπονδεί. χωρὶς φιλίας η χωρὶς θυσίας.᾿Ασκελέσ. ἀδιαλείπτως. ᾿Ασκαρδαμυκτί. χωρὶς τοῦ μύειν. Ασσον. πλησίον, ἐγγύς.᾿Ασολοίκωσ. ἀφελῶς. ᾿Αστεμφέωσ. ἀμετακινήτως. παρὰ τὸ στέμβω, ο σημαίνει τὸ συνεχῶς κινῶ. η παρὰ τὸ στρέφω, ἀστρεφὴς καὶ ἐλλείψει τοῦ ρ καὶ πλεονασμῷ τοῦ μ ἀστεμφὴς, ο ἐστιν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμετακίνητος. ᾿Αστικῶσ. εὐσυνέτως, ἐμφρόνως. ᾿Αστενακτί. α νευ στενάγματος. ᾿Αστακτί. πολυδακρύτως. τὸν νεκρὸν παραπέμπων ἀστακτί. ᾿Ασυμφανῶσ. ἐπικεκαλυμμένως, ἀδήλως, αἰνιγματωδῶς. alpha.329᾿Ασυνδυάστωσ. ἀσυμπλόκως, ἀσυζεύκτως, η ἀσυναυλίστως. συνδυάζω γὰρ τὸ συναυλίζομαι, ὡς τό· οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτοῦ.᾿Ασφαδάστωσ. συντόμως. σφαδάζειν λέγεται τὸ σπᾶσθαι καὶ σφακελίζειν. Τὸ Α μετὰ τοῦ Τ. (᾿Αρσενικόν.)᾿Αταρνεύσ. πολίχνιόν τι καταντικρὺ Λέσβου κείμενον.᾿Ατάσθαλοσ. μωρὸς, φλύαρος, ἁμαρτωλὸς, α δικος, παράνομος. ἀπὸ τοῦ θάλλειν α ταις. παρὰ τὸ α τω τὸ βλάπτω, η παρὰ τὸ τὴν α την. ὡς ου ν δαίω, δαίδαλος, καὶ παρὰ τὸ αι θω, αι θαλος, ου τω καὶ παρὰ τὸ α τω ἀτάζω, καὶ τροπῇ τοῦ ζ εἰς θ ἀτάσθαλος.᾿Αταλάφρων. νήπιος. Αταλος η ἀταλόσ. ὁ νήπιος. παρὰ τὸ τλῆναι, ταλὸς καὶ ἀταλὸς, ὁ μηδέπω δυνάμενος alpha.330 κακοπαθῆσαι. ἐξ αὐτοῦ ἀτάλλειν, καὶ ἀτιτάλλειν κατὰ ἀναδιπλασιασμόν.᾿Ατάρβητοσ. α φοβος, ἀτρέμας. παρὰ τὸ τάρβος. η ἀθαρβωτὸς, ὁ μὴ θαῤῥῶν βοὴν ὑπομεῖναι.᾿Ατταγᾶσ. ει δος ὀρνέου.᾿Ατέλεβοσ. ἀκρίς τις.᾿Ατερμάτιστοσ. ἀβέβαιος, ἀθεμελίωτος.᾿Ατέχνοισ. πανούργοις, η ἀπείροις.᾿Ατέλεστοσ. ἀμύητος.᾿Ατάλαντι Αρηϊ. ὁμοίῳ· ἰσοστασίῳ· ἰσοταλάντῳ.᾿Αταρτηροῖσ. βλαβεροῖς.᾿Ατεράμων. οὐχὶ ἀτέραμνος. Ομηρος· –κῆρ ἀτέραμνον ε θηκε. παρὰ τὸ τέρεν τὸ ἁπαλὸν, τεράμων ὁ ἁπαλὸς, καὶ ἀτεράμων ὁ σκληρός· τὸ οὐδέτερον ἀτέραμον καὶ πλεονασμῷ τοῦ ¯ν ἀτέραμνον. Ατεγκτοσ. *α βροχος,* σκληρὸς, ἀμάλακτος. alpha.331 Ατεροσ. ε τερος, ὁ ει ς τῶν δύο.᾿Ατειρήσ. ὁ σκληρὸς, ὁ ἀδάμαστος, ὁ ἀκαταπόνητος. τέρω, ἀτερὴς καὶ ἀτειρής. η παρὰ τὸ τέρεν ἀτερὴς καὶ ἀτειρής.᾿Ατέραμνοσ. δυσέψανος. ου τως φησὶ Πλάτων.᾿Αττήλασ. κύριον. ου τος η ν ἡγεμὼν τῶν Σκυθῶν. Ατιμοσ. ἀνήκουστος· καί μ' ὁ Φοῖβος α τιμον ἐξέπεμψεν–.᾿Ατιμότεροσ. εὐτελέστερος, ἀτεχνότερος. ἐρεῖς δὲ α κοντος ἀτιμότερόν με θήσεις.᾿Ατιμώρητοσ. ἀβοήθητος, η θαυμαστός. ε στι δ' ο τε καὶ ὁ κακός. ᾿Ατιμάγελοσ. ὁ μὴ συναγελαζόμενος.᾿Ατίθασσοσ. ἀνήμερος, α γριος.᾿Αττικόσ. ὁ ᾿Αθηναῖος. παρὰ τὸ ἀκτὴ, ἀκτικὸς καὶ ἀττικός· ἀκτὴ γὰρ ἐκαλεῖτο ἡ᾿Αττικὴ, ο θεν καὶ ᾿Ακταῖοι οἱ Αθηναῖοι.᾿Ατμόσ. ἀνάδοσις. παρὰ τὸ α ω, τὸ πνέω, ὁ παρακείμενος η σμαι, ἀσμὸς καὶ ἀτμός. alpha.332 Ατολμοι. δειλοὶ, κατεπτηχότες. Οθ' ου νεκ' εἰσὶν ἀδρανέστατοι ζώων, ψυχὰς α τολμοι, μοῦνον εἰδότες φεύγειν.᾿Ατρεκέστατοσ. ἀληθέστατος.᾿Ατρέμασ. η συχος, α φοβος. Ατρυτοσ. ἀκαταπόνητος. ἀπὸ τοῦ τρύω τρυτὸς καὶ α τρυτος. Ατρωτοσ. ἀνίκητος, α πληκτος.᾿Ατραπόσ. τὸ ἀπόσταγμα τῆς σταφυλῆς, τὸ πρὸ τοῦ πατηθῆναι γινόμενον· τραπεῖν γάρ ἐστι τὸ πατῆσαι. ἀτραπὸς καὶ ἡ ὁδὸς ἐπὶ θηλυκοῦ. Ατρεστος καὶ α τρητοσ. ὁ α φοβος.᾿Ατρόμητοσ. α φοβος. – οὐδ' ᾿Ολύμπιος Ζεὺς ἀτρόμητος ει δεν–. *δηλοῖ δὲ τὸν α φοβον.* Ατρακτοσ. γυναικεῖον ἐργαλεῖον, ἐφ' ου τὸ νῆμα περιειλεῖται. ἀεὶ γὰρ ταράσσεται. η ο τι ἀτάρακτον τὸ νῆμα φέρει. ἀπὸ τοῦ ταράσσω ου ν γίνεται ἀτάρακτος καὶ α τρακτος. ε στι καὶ alpha.333 ἀτρακτυλὶς ει δος ἀκάνθης, ἀφ' η ς τοὺς ἀτράκτους ἐποίουν αἱ γυναῖκες τῶν ἀγροίκων. Ατλασ. ο ρος Λιβύης, καὶ ὁ μυθευόμενος τὴν γῆν καὶ τὸν οὐρανὸν βαστάζειν. –καὶ σιδηρέους Ατλαντος ω μους–.᾿Ατμήν. ὁ δοῦλος. παρὰ τὸ τιμὴ ἀτιμὴν καὶ κατὰ συγκοπὴν ἀτμήν· οι ον ὁ α τιμος. η πολυτίμητον τινὰ ο ντα ὑπὸ τῶν μαστίγων, ἐπιτάσει τοῦ ¯α. ἀπὸ δὲ τοῦ ἀτμὴν ἀτμῶ. Ατυπος νοῦσ. ὁ μηδὲν σωματικὸν κατὰ τὸν καιρὸν τῆς προσευχῆς φανταζόμενος. οὐδὲ γάρ ἐστι σῶμα θεός. ᾿Ατρεύσ. παρὰ τὸ τρεῖν τὸ φοβεῖσθαι. ω σπερ παρὰ τὸ τρέφω τροφεὺς, ου τω καὶ παρὰ τὸ τρέω γίνεται τρεὺς, καὶ μετὰ τοῦ στερητικοῦ ¯α ἀτρεύς.᾿Ατρείδησ. τὰ ἀπὸ τῶν εἰς ¯ν, ¯ξ, ¯ψ, ¯ρ, διὰ τοῦ ¯ι γινόμενα ἐν τοῖς εἰς ¯δ¯η¯ς πατρωνυμικῶν· Μέμνων, Μέμνονος, Μεμνονίδης· Φοίνιξ, Φοινικίδης· Πέλοψ, Πελοπίδης· Νέστωρ, Νεστορίδης. καὶ τὰ ἀπὸ τῶν εἰς ¯ο¯ς ληγόντων διὰ τοῦ ¯ι· Πανάριστος, Παναριστίδης· Βῆλος, Βηλίδης. τὰ ἀπὸ τῶν εἰς ¯ε¯υ¯ς διὰ διφθόγγου·᾿Ατρεὺς, ᾿Ατρείδης. τὰ ἀπὸ τῶν εἰς ¯ο¯ς ἀττικῶν· Νηλεὺς, Νηλέως, Νηλείδης. τὰ ἀπὸ τῶν εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

¯α¯ι¯ο¯ς᾽ Ελκαῖος,᾽ Ελκείδης. τὰ ἀπὸ τῶν εἰς ¯η¯ς ἐχόντων τὴν γενικὴν εἰς ¯ο¯υ¯ς, εἰ μὲν βραχείᾳ παραλήγεται, διὰ τοῦ ¯ι γράφεται· Εὐτυχὴς, Εὐτυχοῦς, Εὐτυχίδης· ᾽Αχαιμένης, ᾽Αχαιμένους, ᾽Αχαιμενίδης· εἰ δὲ μακρᾷ παραλήγεται, διὰ διφθόγγου· ῾Ηρακλῆς, ῾Ηρακλοῦς, ῾Ηρακλείδης, χωρὶς τριῶν, Θρασυμηδίδης, Διακηρίδης καὶ Θουκυδίδης· ταῦτα alpha.334 γὰρ μακρᾷ παραλήγονται. τὰ δὲ μὴ πατρωνυμικὰ διὰ τοῦ ¯ι· Λητοΐδης, ὁ τῆς Λητοῦς, Δαναΐδης, ὁ τῆς Δανάης, Νιοβίδης, ὁ τῆς Νιόβης. ο θεν τὸ Φιλομηλείδης κύριον λέγεται ει ναι· εἰ γὰρ η ν μητρωνυμικὸν, διὰ τοῦ ¯ι ἐγράφη α ν.᾽ Αταινίωτοσ. ἀστεφάνωτος. Ατυφοσ. ἀκενόδοξος. (Θηλυκόν.)᾽ Αταυρώτη. ἁγνὴ, α μικτος. ταῦρος γὰρ τὸ αἰδοῖον τοῦ ἀνδρός.᾽ Ατασθαλία. κυρίως ἡ περὶ τὴν θαλείαν η τοι τὴν εὐωχίαν α τη· ὡς παροινία ἡ περὶ τὸν οι νον ἀταξία. η παρὰ τὸ α τῃ θάλλειν καὶ αυ ξεσθαι. ᾽Αττάλεια. πόλις Λυδίας. ἀπὸ ᾽Αττάλου Φιλαδέλφου κτίσαντος αὐτήν. ᾽Αταλῆσιν. ἁπαλαῖς, νεογναῖς. ᾽Αττικάσ. στεριζούσας τοῦ καιροῦ. ᾽Ατεκνία. ἡ ἀπαιδία καὶ ἡ λήθη. Δαβίδ· καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. ὡς διὰ τῶν τέκνων φυλαττομένης τῆς μνήμης.᾽ Ατέλεια. ἀλειτουργησία.᾽ Ατημέλεια. καταφρόνησις. Ατη. ἡ βλάβη. παρὰ τὸ τῶ τὸ λαμβάνω. οι ον· Κύκλωψ, τῆ, πίε οι νον– ἐξ ου ο νομα ῥηματικὸν τῆ καὶ στερήσει τοῦ ¯α α τη. η ν οὐκ α ν τις λάβη. η παρὰ τὸ α ω τὸ βλάπτω. οι ον· α σαι με δαίμονος αι σα κακή– ὁ μέλλων α σω, καὶ ἐξ αὐτοῦ α ση ἡ βλάπτουσα τὴν ψυχήν.᾽ Ατμίσ. ἀναθυμίασις, α κρον πυρός.᾽ Ατροπία. ἀλογία, ἀβουλία. alpha.335᾽ Ατρακτυλίσ. ει δος ἀκάνθης, ἀφ' η ς τοὺς ἀτράκτους ἐποίουν αἱ γυναῖκες τῶν ἀγροίκων.᾽ Ατραπιτὸς καὶ ἀτραπὸς, ἡ ὁδόσ. παρὰ τὸ τρέπω, τρέψω, ὁ δεύτερος ἀόριστος ε τραπον, γίνεται ῥηματικὸν ο νομα τραπὸς, στερήσει τοῦ ¯α καὶ κατὰ μετάθεσιν ἀτραπὸς, ἐξ η ς ὁδοῦ οὐκ ε στι τραπῆναι. η ἡ πολύτροπος· εἰς πολλὰ γὰρ σχίζεται. γράφεται δὲ καὶ ἀταρπός.᾽ Ατραβατικάσ. ξηραμπελίνας τὸ χρῶμα. τὸ γὰρ μέλαν α τρον καλοῦσιν οἵ Ρωμαῖοι. η ο τι μετὰ τραβαίας ταύταις εἰώθεσαν χρῆσθαι· τραβαῖαι δὲ αἱ πολυτελεῖς χλαμύδες. ᾽Ατυφία. ἀκενοδοξία, ταπεινοφροσύνη. ᾽Ατρείδῃσι. πύλῃσιν. ε χουσι τὸ ¯ι κατὰ τὴν παραλήγουσαν. ε στι γὰρ ᾽Ατρείδαις ἀρσενικὸν καὶ πύλαις θηλυκόν. δεῖ δὲ γινώσκειν, ο τι παρὰ τῷ ποιητῇ πᾶσαι αἱ τοιαῦται δοτικαὶ τρέπουσι τὸ ¯α εἰς ¯η, ει τε ἐπεκτεταμέναι εἰσὶν, ει τε ἀνεπέκτατοι, οι ον· ἐν παλάμαις, ἐν παλάμῃσιν. ὁμοίως καὶ τὸ᾽ Ατρείδαισι, πύλαισι, κατ' ἐπέκτασιν γίνεται, καὶ κατὰ τροπὴν ἰωνικὴν τοῦ ¯α εἰς ¯η,᾽ Ατρείδῃσι καὶ πύλῃσι. Αττα. α τινα. Αττα. ἀπόφθεγμά τι τιμητικὸν νέων πρὸς παλαιοτέρους. παρὰ τὸ α ππα κατὰ Μακεδόνας, τροπῆς γενομένης τῶν δύο ¯π¯π εἰς δύο ¯τ¯τ. (Οὐδέτερον.)᾽ Αταμίευτον. ἀφύλακτον, ἀδιοίκητον.᾽ Ατάκτημα. ἀταξία. τοῦ μηδὲν ἀτάκτημα γενέσθαι περὶ τὴν ἀρχήν. alpha.336 ᾽Ατάρμυκτον. τὸ α φοβον. κυρίως δὲ τὸ μὴ μύον. Εὐφορίων· ἀτάρμυκτον τρέπεν ο μμα. ᾽Ατέκμαρτον. ἀτελείωτον. ᾽Ατερμάτιστον. ἀβέβαιον, ἀθεμελίωτον.᾽ Ατέραμνα. τὰ μὴ ἑψόμενα ο σπρια.᾽ Ατελεύτητον. οὐ πᾶν ἀτελεύτητον πάντως καὶ α ναρχον. οἱ γὰρ α γγελοι καὶ αἱ ψυχαὶ ἀτελεύτητοι μὲν, οὐκ α ναρχοι δέ. ᾽Ατηρόν. βλαβερόν. Ατλητον. τὸ ἀνυπομόνητον. τλητὸν γὰρ τὸ καρτερικόν. Ατοπα. πονηρὰ, ἀπρεπῆ. Ατομα. λεπτὰ, τὰ μὴ δυνάμενα τομὴν δέξασθαι. α τομον λέγεται τὸ μὴ τεμνόμενον, μὴ δὲ μεριζόμενον, ὡς ἡ στιγμὴ, καὶ τὸ νῦν, καὶ ἡ μονὰς, α τινα καὶ α ποσα λέγεται. α τομον καὶ τὸ δύστμητον, τουτέστι τὸ δυσχερῶς τεμνόμενον, ὡς ὁ ἀδάμας λίθος καὶ τὰ τοιαῦτα. α τομον λέγεται καὶ τὸ ει δος, ο περ οὐκ ε τι εἰς ε τερα ει δη τέμνεται, η τοι τὸ εἰδικώτατον ει δος, ὡς α νθρωπος, ι ππος καὶ τὰ τοιαῦτα. α τομον δὲ κυρίως λέγεται, ο περ τέμνεται μὲν κυρίως εἰς ψυχὴν καὶ σῶμα· ἀλλ' ου τε ἡ ψυχὴ καθ' ἑαυτὴν ε στιν α νθρωπος τέλειος, η Πέτρος τέλειος, ου τε τὸ σῶμα. περὶ τούτου παρὰ τοῖς φιλοσόφοις ὁ λόγος· ο περ δηλοῖ τὴν ὑπόστασιν. α τομον τὸ ἐξ ἰδιωμάτων συγκείμενον, ω ν τὸ α θροισμα οὐκ α ν ἐπ' α λλου ποτὲ λεχθείη. δηλοῖ δὲ τὴν καθ' αὐτὸ ὑπόσταalpha.337 σιν, οι ον· Πέτρον, Παῦλον, η τινὰ ε τερον τῶν κατὰ μέρος ἀνθρώπων. Ατρον. τὸ μέλαν παρὰ ῾Ρωμαίοις. (῾Ρῆμα.)



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

᾿Ατάλλων. τρέφων. παρὰ τὸ τλῶ, τλᾶς, καὶ α τλας, ἐξ αὐτοῦ ἀτάλλων.᾿Ατενίζει. α κρως προσέχει. Αττειν. ὁρμᾷν.᾿Ατέμβω. τὸ στερίσκω. παρὰ τὸ τέμω, ο ἐστι πρωτότυπον τοῦ τέμνω, γίνεται ἀτεμῶ καὶ ἐπενθέσει τοῦ ¯β ἀτεμβῶ τὸ οὐ βλάπτω. Ομηρος· οὐ γὰρ καλὸν ἀτεμβεῖν.᾿Ατίτηλλα. ἀνέθρεψα. καὶ ἀτιτάλλειν τὸ τιθηνεῖν, καὶ ἐκτρέφειν ἐκ νηπίου.᾿Ατιμαστέον. περιφρονητέον.᾿Αττικουργούμενον. τὸ κατὰ ἀττικὸν τρόπον εἰργασμένον.᾿Ατιμάζω. τὸ καταφρονῶ, τὸ ἀναδύομαι. ταῦτά τοι οἱ Διόσκουροι οὐκ ἀτίμασάν οἱ φανῆναι πάλιν.᾿Ατίζω. εἰ μὲν σημαίνει τὸ ὑπερορῶ, γίνεται παρὰ τὸ τίω, τὸ τιμῶ, καὶ ἀτίζω, πλεονασμῷ τοῦ ¯ζ. εἰ δὲ σημαίνει τὸ βλάπτω, παρὰ τὸ α τω, ἀτίζω.᾿Ατλητῶν. μὴ καρτερῶν, μὴ φέρων, δυσανασχετῶν. πάρειμ' ἀτλητῶν. alpha.338᾿Ατροφῆσαν. μὴ τραφέν.᾿Ατυζόμενοσ. αἰολικόν ἐστι· σημαίνει δὲ τὸ λυπούμενος, θορυβούμενος, ταρασσόμενος.᾿Ατύω καὶ ἀτύσω. τὸ ταράσσω. ᾿Ατυχθείσ. ὁ μὴ βουλόμενος τυχεῖν, ἀλλὰ ἀποστρεφόμενος εἰς τὸ διαμαρτεῖν. σημαίνει δὲ καὶ τὸ καταπλαγεὶς η φοβηθείς. καὶ Ομηρος· –ο ψιν ἀτυχθείς. τεύχω τὸ ἐπιτυγχάνω, ὁ μέλλων τεύξω, ὁ δεύτερος ἀόριστος ε τυχον, ἐτύχην, ἡ μετοχὴ ὁ τυχεὶς καὶ πλεονασμῷ τοῦ θ τυχθείς. ὡς χαμαλὸς χθαμαλός. καὶ μετὰ τοῦ στερητικοῦ α ἀτυχθείς.᾿Ατυχῆσαι. ἀντὶ τοῦ ἀποτυχεῖν. ου τως Πλάτων. (᾿Επίῤῥημα.)᾿Ατὰρ δή. δηλαδή. ὁμοίως. πλὴν ο μως καὶ ἀντὶ τοῦ δὴ η διὰ τοῦτο. ᾿Αταλαιπώρωσ. ἀκοπιάστως.᾿Αταρβήτωσ. ἀφόβως. *καὶ ἀταρβητὶ ὁμοίως.* καὶ ἀντὶ τοῦ ἀνειμένως. Σοφοκλῆς· ἐχθρῶν δ' υ βρις ἀταρβήτως ὁρμᾷ–.᾿Ατεχνῶσ. φανερῶς. ᾿Ατέχνωσ. ἀνεπιστημόνως. Ατερ. ἐκτὸς, χωρίς.᾿Ατενῶσ. ἀμεταστάτως.᾿Ατενέσ. εὐθὺ, συνεχὲς, παντελῶς, καθόλου, παραχρῆμα, α γαν, ἰσχυρῶς, ἀφελῶς η πάνυ προσεχῶς. alpha.339 Ατε. ἀντὶ τοῦ καθὰ, ἐπίῤῥημα· ψιλοῦται. alpha.33᾿Ατρεμεί. ἡσύχως.᾿Ατριβί. χωρὶς τριβῆς.᾿Ατρεκέως καὶ ἀτρεκεστάτωσ. ἀληθῶς. ἀπὸ τοῦ τρέχω, τρεχὴς καὶ ἀτρεκής. ο ν οὐδεὶς δύναται παραδραμεῖν, η ο οὐδεὶς δύναται παραδραμεῖν, εὐφρονῶν.᾿Ατημελήτωσ. ἀπρονοήτως, καταφρονητικῶς. Τὸ Α μετὰ τοῦ Υ. (᾿Αρσενικόν.) Αὐαλέοσ. ὁ κατάξηρος. παρὰ τὸ αυ ω τὸ ξηραίνω, αυ ος καὶ αὐαλέος. Αυ γαροσ.᾿Εδέσσης βασιλεὺς, ο ς ἐπὶ Τραϊανοῦ βασιλέως η ν καὶ δῶρα αὐτῷ προσῆξεν ἐκεῖσε ἀφιγμένῳ. Αὐγέασ.᾿Αθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ α γροικος ..... Αὐδώδ. κριτὴς τοῦ᾿Ισραὴλ ἐκ τῶν ἀλλοφύλων ἐν ἡμέρᾳ μιᾷ ἐν τῷ ἀροτροποδίῳ ἐπάταξεν α νδρας ἑξακοσίους. Αὐθάδησ. θυμώδης, θρασὺς, ἀλαζὼν, ἑαυτῷ ἁδῶν καὶ ἀρέσκων. αὐτοάδης καὶ αὐθάδης. καὶ κλίνεται αὐθάδεος καὶ ἡ κλητικὴ αὐθάδες· παράλογον δὲ τὸ αυ θαδες. Αὐταίρετοσ. αὐτόβουλος, η ὁ αὐτεπάγγελτος. Αὐθέκαστοσ. ἀκριβὴς καὶ σύντομος. ο θεν καὶ λόγους αὐθεκάστους τοὺς σαφεῖς καὶ συντόμους λέγομεν. τινὲς δὲ καὶ τὸν παῤῥησιαστὴν καὶ αὐθάδη καὶ φίλαυτον. alpha.340 Αυ θαιμοι. οἱ ἀδελφοί. ὡς ἀπὸ τοῦ αὐτοῦ αι ματος. Αὐθιγενήσ. γνήσιος· αὐτόχθων. Αὐθέντησ. φονεὺς η ὁ ἑαυτὸν κτιννύων. αὐτοέντης τίς ἐστιν. ὁ ἑαυτὸν βάλλων τοῖς ε ντεσιν, ο ἐστι τοῖς βέλεσι. τὸ δὲ ἐν τῇ συνηθείᾳ ε οικε παρὰ τὸ αὐτὸς καὶ τὸ ε ντης· ὁ ἑαυτὸν ἐπαφεὶς εἰς πάντα καὶ ω ν αὐτεξούσιος καὶ μὴ α λλου, ἀλλ' ἑαυτῷ ω ν. Αὐλικούσ. κιθαρῳδούς. Αὐλόσ. ὁ ἐπιμήκης φυσητήρ. αὐλὸν καμινευτῆρα τὸν φιλήνεμον. Αὐλῶνεσ. φάραγγες η τόποι πλατεῖς, η αὐλῶνες τὰ μεταξὺ φαράγγων στενὰ καὶ ἐπὶ μῆκος φερόμενα. Αὐλίκουρεσ. φύλακες. Αυ οσ. ξηρός. ε στιν υ ω ῥῆμα τὸ βρέχω, καὶ στερήσει τοῦ ¯α ἀΰω καὶ ἐν συναιρέσει αυ ω, ἐξ ου αυ ος. Αυ ροι. οἱ λαγωοί. Αὐρηλιανόσ. βασιλεὺς῾Ρωμαίων, τὰ πολέμια δεινῶς ἠσκημένος, ἀκάθεκτος δὲ τὴν γνώμην καὶ ὠμός. Αυ σονεσ. οἱ βασιλεῖς. παρὰ τὸ αυ σω τὸ τολμῶ. οἱ πάντα τολμῶντες τοῖς προστάγμασιν. Αὐσόνιος πόντοσ. ἡ Σικελικὴ θάλασσα. ἀπὸ Αυ σονος τοῦ ᾿Οδυσσέως καὶ Καλυψοῦς υἱοῦ ἐκεῖ βασιλεύσαντος. Αὐσονίων.᾿Ιταλῶν. Αὐτοτελήσ. τέλειος. Αὐτοῖσιν. ἀντὶ τοῦ αὐτοῖς. alpha.341 Αὐτολόχευτοσ. αὐτογέννητος. Αὐτόπτησ. ὁ θεατής. Αὐτόχειρεσ. οἱ ἑαυτοὺς φονεύσαντες αὐτοχειρίᾳ η τινάς. Αὐτεπάγγελτοσ. ὁ αὐτόκλητος. Αὐτόχθονεσ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολῖται γνήσιοι. λέγονται δὲ καὶ οἱ᾿Αθηναῖοι, η ἐπεὶ τὴν χθόνα, ο ἐστι τὴν γῆν, ἀργὴν ου σαν πρῶτοι εἰργάσαντο, η διὰ τὸ μὴ ει ναι αὐτοὺς ἐπήλυδας. Αὐτόνομοσ. ὁ αὐθαίρετος, ὁ αὐτόβουλος. Αὐτάρκησ. αὐτοβοηθός. παρὰ τὸ αὐτὸς καὶ τὸ ἀρκῶ τὸ βοηθῶ. Αὐτόμολοσ. πρόσφυξ. Αὐτόσιτοσ. οἰκόσιτος. Αὐτόστοιχοσ. αὐτὸς ἑαυτῷ προσέχων. ὁ βουλόμενος ἐν τῷδε τῷ βίῳ ἀβέβηλον βίον πολιτεύεσθαι, αὐτόστοιχος ἐθέλει ει ναι. Αὐτοσφαγῆ. τὸν ὑφ' ἑαυτοῦ ἀναιρούμενον. Αὐτήκοοι. οἱ μὴ ἐπιτασσόμενοι, αὐτοὶ δὲ ἑαυτῶν ἀκούοντες. Αὐτόδαξον. τρόπον αὐθάδη καὶ ὀργίλον, ἐπεὶ οἱ ὀργίλοι δάκνουσι τοῖς ὀδοῦσιν. Αὐτοκέλευστοσ. αὐθόρμητος. κρότος τὲ ἀθρόως οὐκ ἐκ παραγγέλματος, ἀλλ' αὐτοκέλευστος ὡρμήθη. Αὐτοκράτωρ. δεσπότης, α ρχων. ἑλληνικὴ ἡ φωνή. τάττεται δὲ ἐπὶ παντὸς τοῦ καταπολεμήσαντος καὶ κρατήσαντος τῶν πολεμίων. αὐalpha.342 τοκράτορα πάντα τὸν ἀνυπεύθυνον. παρὰ τὸ κρατῶ, κράτωρ καὶ αὐτοκράτωρ· η παρὰ τὸ κραίνω κράτωρ καὶ ἐν συνθέσει αὐτοκράτωρ. αὐτοκράτορες ἀντὶ τοῦ· τούτων τῶν δογμάτων κρατοῦντες. ᾿Αριστοφάνης· τούτων περὶ πάντων αὐτοκράτορες η κομεν. Αὐτολήκυθοσ. ὁ πένης. παρὰ τὸ φέρειν ἑαυτῷ τὰς ληκύθους εἰς τὰ βαλανεῖα. Αὐτόφωροσ. ὁ ὑφ' ἑαυτοῦ ἐξελεγχόμενος καὶ πεφανερωμένος ω ν. Αὐτόματοσ. αὐτόκλητος. παρὰ τὸ μαστεύω, τὸ ζητῶ, μαστὸς, καὶ αὐτόματος, ὁ αὐτοζήτητος καὶ μὴ παρ' ἑτέρου ζητηθείς. η παρὰ τὸ μένω, τὸ προθυμοῦμαι. μέμαμαι, μέμαται, ματὸς καὶ αὐτόματος. Αὐτοφορβόσ. ὁ αὐτοφάγος. ἠξίωσαν δὲ τινὲς βαρύνεσθαι διὰ τὴν αὐτὸς ἀντωνυμίαν, η τις βαρύνει τὰ εἰς ¯ο¯ς λήγοντα ἐν τῇ συνθέσει, ὡς αὐτόνομος. αὐτόνομος ει ναι βούλομαί σοι σύμμαχος. Αὐχμόσ. ξηρασία, ἀνομβρία. παρὰ τὸ αυ ξω αὐχμός. κατὰ ἀντίφρασιν ὁ μὴ ποιῶν τὶ αυ ξεσθαι. ὑγρότης γὰρ τρέφει. η παρὰ τὸ αυ ω τὸ ξηραίνω, ἐξ ου αυ ος καὶ αὐαλέος, γίνεται αὐχμός. Αὐχήν. ὁ τράχηλος. παρὰ τὸ ἀχμὴν, ὁ κατάξηρος τόπος τοῦ σώματος. η παρὰ τὸ ο χω, ὀχὴν καὶ αὐχὴν, ὑφ' ου ὀχεῖται ἡ κεφαλή. η alpha.343 παρὰ τὸ αὐχεῖν καὶ γαυριᾷν γίνεται αὐχήν. γαυριῶντες γὰρ καὶ ἐπαιρόμενοι ἀνατείνομεν αὐτόν. Αὐλόσ. τὸ φωνητικὸν ο ργανον σημαίνει, καὶ τὸν εἰς εὐθὺ ἀνακοντισμὸν τοῦ αι ματος. –αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς η λθεν αι ματος– σημαίνει καὶ περόνης μέτρον. αὐλοῖσι διδύμοισι πάροιθεν δαίδαλα η κεν. Αὐλόσ. καὶ τὸ στάδιον. Αὐθέκαστοσ. ὁ αὐστηρός. (Θηλυκόν.) Αὐαλέασ. καταξήρους. Αὐγή. ἡ λαμπρότης. παρὰ τὸ α γω, ἀγὴ καὶ αὐγή. δι' η ς ἀγόμεθα. Αὐδὴ, ἡ φωνή. παρὰ τὸ αὐγὴ, αὐδὴ κατὰ τροπήν. δι' η ς αὐγάζεται καὶ φωτίζεται τὰ τοῦ νοῦ. Αὐδήεσσα. ὀνομαστὴ, ε νδοξος, ὁμοιόφθογγος. Αὐθάδεια. θρασύτης· ἀλαζονεία, αὐταρέσκεια. καὶ αὐθαδία, διὰ τοῦ ἰῶτα. Αὐλῶπισ. ἡ περικεφαλαία, ἡ παρατεταμένους ε χουσα τοὺς ω πας. Αὐλαία. τὸ τῆς σκηνῆς παραπέτασμα. Αυ λαξ. ἡ ἐπιμήκης τομὴ τῆς γῆς ἐξ ἀρότρου. Αυ λισ. ἡ κοίτη. Αὐλαί. ἐπίνειον Κιλικίας πλησίον Ταρσοῦ. οἱ οἰκοῦντες Αὐλαιῶται. alpha.344 Αὐλή. τὸ νῦν ἀρχεῖον λεγόμενον, ο που ἀπήγοντο οἱ κατάκριτοι, καὶ τοὺς ἐκεῖσε ὑπηρέτας αὐλικοὺς ὠνόμαζον. Αὐλία. ἀντὶ τοῦ ε παυλις. ου τως Λυσίας καὶ Αἰσχίνης. Αυ λειοσ. ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας. Αὐλείουσ. θύρας. Αυ ξη. ἡ αυ ξησις. Αυ ξησισ. κίνησις περὶ τὸ τέλειον μέγεθος. Αυ ρα. λεπτὴ πνοή. παρὰ τὸ ἀὴρ, α ρα καὶ πλεονασμῷ τοῦ υ αυ ρα· παρώνυμον κατὰ ἀντιστροφὴν ἀπὸ ἀρσενικοῦ εἰς θηλυκόν· ὡς ξυστὴρ ξύστρα, γαστὴρ γάστρα. δύναται καὶ ἀὴρ, ἀέρος, ἀέρα, αυ ρα κατὰ κρᾶσιν. Αὐρόσχη. ἡ α μπελος. Αὐτάγητοι. αἱ ἑαυτὰς ἀγάμεναι. Αὐτάγγελοσ. ἡ ἀφ' ἑαυτῆς ἀπαγγέλλουσα. αὐτάγγελος γὰρ ἡ δρῦς, αὐτή σοι φράσει. Αὐτοδίκη. ο ταν αὐτὸς δι' ἑαυτοῦ τὶς δικάζεται. Αὐτονομουμένη πόλισ. ἡ τοῖς αὐτοῖς νόμοις χρωμένη καὶ οὐχ ὑπακούουσα ἑτέροις. Αὐτοκάβδαλοσ ναῦς, η αὐτοκάβδαλον σκάφος. αὐτοσχέδιον. κυρίως δὲ ἡ λέξις ἐπὶ τῶν ἀλφίτων ει ρηται· τὸ γὰρ, ὡς ε τυχε, φυραθὲν α λευρον αὐτοκάβδαλον λέγεται. alpha.345 Αὐτοτελὴς δίκη. ἀφ' η ς οὐκ ε στιν ἐκκαλέσασθαι ἐφ' ἑτέραν.᾿Αϋτή. ἡ βοή.᾿Αϋτμή. ἡ ἀναπνοή. Αὐλαῖαι. αἱ δέῤῥεις τῆς σκηνῆς. τοῦ θεολόγου· τῶν αὐλαιῶν μὴ φείσῃ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Αυ λαξ. παρὰ τὸ αὐλὸς γίνεται αυ λαξ. αυ λαξ γὰρ λέγεται ἡ ἐπιμήκης τομή. αὐλὸς δὲ, πᾶν τὸ εἰς ὀξὺ λῆγον. (Οὐδέτερον.) Αὐγουστεῖον. ὀψοπώλιον. Αὐγοειδέσ. ἀστροειδές τι καὶ ἀΐδιον. ε φασκε δὲ ὁ Ἰσίδωρος, ἐκεῖνο ἀκηκοέναι, ὡς ε χει ἡ ψυχὴ αὐγοειδὲς ο χημα. Αὐθαίρετον. αὐτοβούλητον. αὐτεπάγγελτον. Αὐθέκαστα. αὐτὰ καθ' ἑαυτὰ γινόμενα. η αὐτὰ τὰ γινόμενα, ἀκρίτως καὶ συντόμως καὶ ἀποτόμως. η τὰ ἁπλᾶ καὶ ἀληθῆ αὐτοακριβῶς. Αὐθύπαρκτον. τὸ ἐν ἑαυτῷ καὶ μὴ ἐν ἑτέρῳ ε χον τὴν υ παρξιν. Αυ ον. ξηρόν.῾Ησίοδος· αυ ον ἀπὸ χλωροῦ τέμνειν–. Αυ τανδρον. σὺν αὐτοῖς ἀνδράσιν. Αὐτογένεθλον. τὸ αὐτογέννητον. Αὐτοδαῆ καὶ αὐτομαθῆ. τὰ ἐκ φύσεως καὶ μὴ ἐκ διδαχῆς. καὶ τὰ ὀρχήματα η εν αὐτοδαῆ. alpha.346 Αὐτοκίνητον. αὐτοφυές. τῷ δὲ Ἑρμείᾳ τῷ φιλοσόφῳ τὸ αὐτοκίνητον οὐ προσήνθει τῇ πολυμαθείᾳ. Αὐτοφυέστατον. μὴ ἐπίπλαστον ε χον κάλλος. Αὐτόγυον. μέρος ἀρότρου. ε στιν ὁ γύης καὶ τὸ γύον. γίνεται δὲ παρὰ τὸ γαῖα, γύη, ι ν' η ἡ γύη, τῆς γύης, καὶ μεταχθείσης τῆς γενικῆς εἰς εὐθεῖαν, ὁ γύης. Αὐτόπρεμνον. αὐτόῤῥιζον. Αυ ταρκεσ. τὸ ἱκανῶς ἐξαρκοῦν. Αὐτόματον. αἰτία κατὰ συμβεβηκότος ἀόριστος, ἐν τοῖς ε νεκα τινὸς κατὰ προαίρεσιν γινομένοις συμβαίνουσα. τὸν γὰρ λίθον πεσόντα γενέσθαι καθέδραν ε τυχεν. Αὐτοκάβδαλον. μικρὸν σκάφος, ἀναυλόχητον· αὐτοσχέδιον, οὐδέπω ἐν ο ρμῳ καὶ λιμένι καταλεγόμενον. ναυλόχους γὰρ ε λεγον τοὺς λιμένας. Αὐτούργητον. αὐτοφυές. Αὐτεξούσιον. ψυχῆς φρόνησις, ε χουσα ἐπιτηδειότητα νεῦσαι πρὸς α ς βούλεται πράξεις. η αὐτεξούσιον, τὸ αὐτοδέσποτον· τὸ γὰρ ὑπὸ δεσπότην ο ν οὐκ ε στιν αὐτεξούσιον· ει γε αὐτεξουσιότης ψυχῆς νοερᾶς ἐστὶν ἡ ἀκώλυτος πρὸς ἀρετὴν η κακίαν τοῦ ἐπιθυμητικοῦ ἡμῶν ῥοπή τε καὶ κίνησις· ε νθα δὲ κακίας η ἀρετῆς προσβολὴ οὐ γίνεται, ἐκεῖ οὐδὲ ἡ αὐτεξουσιότης alpha.347 τῆς ψυχῆς γνωρίζεσθαι δύναται. πῶς γὰρ α ν καὶ φανήσεται ἡ αὐτεξουσίου προαίρεσις, ε νθα προσβολὴ ἐναντίου οὐ γίνεται; μόνος τοίνυν ὁ τοῦ Χριστοῦ νοῦς, καὶ ἡ παναγία αὐτοῦ ψυχὴ α γνωστος καὶ α δεκτος πάσης προσβολῆς πονηρᾶς γέγονε. μορφὴ γὰρ δούλου η ν χαλιναγωγουμένη καὶ δεσποζομένη ὑπὸ τοῦ καθ' ὑπόστασιν ἡνωμένου αὐτῇ θεοῦ λόγου. διόπερ καὶ ε λεγεν ὁ κατὰ τὸν σωτῆρα νοούμενος α νθρωπος· οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. ὑπὲρ γὰρ τοὺς ο ρους καὶ νόμους τῆς ἡμετέρας φύσεως ὑποστὰς ἀσπόρως ὡς θεὸς, σῶμα καὶ ψυχὴ ω ν τῇ τοῦ δεσπότου νεύσει ἑτοίμως ὑπετάττετο, ὡς θεωθείς. Αὐχήματα. σεμνολογήματα. καυχήματα, κομπάσματα. (῾Ρῆμα.) Αὐαίνεται. ξηραίνεται. Αὐθεντήσαντα. κύριον γενόμενον. μὴ ὀφείλειν αὐτὸν αὐθεντήσαντα τοὺς ὑπὸ ζώνην συνέχειν. Αὐλωνίζει. ἐν αὐλῶνι διάγει. Αὐλίζεται. κατασκηνοῖ. φυλάττεται. παρεμβάλλει. Αὐλιζόμενοι. ἀντὶ τοῦ κοιμώμενοι. ου τως Ἀντιφῶν. Αυ σω. τὸ τολμῶ. Αυ σασ. φωνήσας· βοήσας. Αὐδῶ. τὸ φωνῶ. Αὐτοβοᾷσ. αὐτὸς ἑαυτῷ μαρτυρεῖς. alpha.348 Αὐτοματίζουσιν. αὐτόματοι παραγίνονται. Αὐτομαχεῖν. τὸ δι' ἑαυτοῦ δικάζεσθαι καὶ μὴ δι' ἑτέρου. Αὐχμῶντεσ. ῥυπῶντες. Αὐχμεῖσ. αἰσχρῶς ῥυπαρὸς ει ναι δοκεῖς. Αυ ω. τὸ φωνῶ καὶ τὸ ξηραίνω. παρὰ τὸ α ω τὸ πνέω γίνεται αυ ω, κατὰ πλεονασμὸν τοῦ ¯υ. τὸ δὲ ξηραίνω, παρὰ τὸ υ ω τὸ βρέχω, μετὰ τοῦ στερητικοῦ ¯α, ἀΰω, καὶ κατὰ συναίρεσιν αυ ω· τὸ ἐξ ἀνομβρίας γινόμενον. σημαίνει δὲ καὶ τὸ καθεύδω. (᾿Επίῤῥημα.) Αὐθημερόν. αὐτῇ τῇ ἡμέρᾳ. Αυ θι. ἀντὶ τοῦ αὐτόθι. καὶ ἀντὶ τοῦ πάλιν. Αυ θισ. ἐξ ἀρχῆς· ἐκ δευτέρου. σημειωτέον, ο τι τὸ μὲν αυ θις ἀττικόν· τὸ δὲ αυ τις ὁμηρικόν. Αὐθωρόν. αὐτῇ τῇ ω ρᾳ. Αὐτῆμαρ. αὐτῇ τῇ ἡμέρᾳ. Αὐτίκα. μετ' οὐ πολὺ, εὐθέως, παραχρῆμα. τὸ δὲ αὐτίκα μάλα ἀντὶ τοῦ εὐθύς. Αὐτόθεν. ἀντὶ τοῦ οι κοθεν.᾿ Ιώσηπος· δῶρα δὲ αὐτόθεν μὴ πέμπειν τῷ βασιλεῖ. Αὐτόθι. ἐν αὐτῷ τῷ τόπῳ. Αὐτοπαθῶσ. οι κοθεν, ἐξ ἰδίας προαιρέσεως. Αὐτόσε. ἐκεῖσε. λέγεται καὶ αὐτοῦσε. διάβασις δὲ οὐκ ε στιν αὐτοῦσε ο τι μὴ τῷ ζεύγματι. Αὐτοῦ. ἐπὶ τόπου. Ομηρος· στῆτ' αὐτοῦ καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων. alpha.349 Αυ τε. πάλιν. καὶ αυ τε ἀντὶ τοῦ μετὰ ταῦτα. Αὐτομόλωσ. προδοτικῶς. Αὐτόχρημα. σχεδὸν εἰπεῖν. η αὐτὸ τὸ πρᾶγμα. Αὐτοβοεί.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Φύλαρχος δέ φησιν, ο τι οἱ ἐντὸς τοῦ Εὐξείνου Πόντου η σαν α πειροι τῆς γεωργίας· οἱ δὲ ἐκ τοῦ, ε μπειροι· διὸ καὶ Βόσπορος ἐκεῖνο τὸ μέρος τοῦ πελάγους, ο τι ἐσπείρετο. τινὲς δὲ τοὺς στενοὺς πορθμοὺς βοσπόρους εἰρῆσθαι λέγουσιν. η ο τι τὸ παλαιότως σχεδίας πηγνύντες καὶ βόας ὑποζευγνύοντες εἰς τὸ πέρας διεπεραιοῦντο. Βόστρυχοσ. ὁ πλόκαμος. παρὰ τὸ βόστρυχον βόστρυχος, ὁ βοτρυοειδής· μετὰ σχήματος γὰρ βοτρυοειδοῦς ἀπήρτηται. Βορόσ. πολυφάγος. Βοτῆρεσ. ποιμένες. Βούλιμοσ. ὁ ἐπιτεταμένος λιμός. Βούβρωσισ. ὁμοίως. ει ρηται δὲ, ο τι βοῦς λυμαίνεται, καὶ τοὺς βοῦς βρῶσιν ποιεῖ. Βουφάγοσ. πολυφάγος. Βοῦφοσ. ο ρνεον. βοῦφος ἐπιφοιτᾷ, ἐπὶ τῶν ἀσυνέτων καὶ παχυφρόνων ει ρηται. Βουργαών. ο ρος ἑσπέριον, ε νθα Βελισσάριος διαφόρους πολέμους διήνεγκε. Βουκόλοσ. ὁ τῶν βοῶν νομεὺς, βουκόνος τὶς ω ν. παρὰ τὸ κονεῖν περὶ τὰς βοῦς, ο ἐστιν ἐνεργεῖν καὶ διατρίβειν. η βουσὶ κεκλόμενος, ο ἐστιν ἐγκελευόμενος. η παρὰ τὸ κέλλω, ὁ α μα τοῖς βουσὶ κέλλων. Δίδυμος παρὰ τὸ κομεῖν εἰρῆbeta.398 σθαι· ι ν' ῃ βουκόμος, ὡς ἱπποκόμος, καὶ κατὰ τροπὴν βουκόλος. Βούτασ. ὁ τῶν βοῶν νομεύς. ἀττικῶς δὲ ει ρηται. Βουληφόροσ. ἡγεμών· α ρχων· βουλευτής. Βουγάϊοσ. ὁ μέγα ἐπὶ τῇ βοᾷ γαυριῶν. η ἀπὸ τοῦ βοῦ καὶ τοῦ γαία συνθέτου γίνεται βουγάϊος. η παρὰ τὸ γαίειν τὸ γαυριᾷν, ο περ καὶ αὐτὸ παρὰ τὸ γαῖα γέγονεν, ι ν' ῃ ἀπὸ τοῦ μεγέθους τῆς γῆς, ὁ μεγαλόφρων. Βουπλήξ. τὸ βούκεντρον. ἀπὸ τοῦ πλήσσειν τὸν βοῦν. Βουμολγόσ. ὁ τὰς βοῦς ἀμέλγων. Βουλυτόσ. ἡ δειλινὴ ὀψία, ο τε οἱ βόες ἀπολύονται τῶν ε ργων. Βούπαλοσ. ο νος. Βουνίτησ. ὁ βουκόλος, ὁ βοηλάτης. Βουνόσ. ὁ ὀρώδης καὶ γεώλοφος τόπος. Βουγάϊοσ. ὁ μεγαλόσωμος. Βουχανδήσ. ὁ λέβης. Βουπρῆσται. ο νομα ο φεων. Βουβών. τὸ πάθος, ο περ τινὲς βομβῶνα λέγουσι. ῾Ηρωδιανός· βουβὼν ἐπήρθη τῷ γέροντι. καὶ ῥῆμα βουβωνιῶ ει ρηται, ἀπὸ τοῦ ἐπαίρεσθαι, καὶ μεγάλως βαίνειν εἰς οι δημα. Βουκέφαλοσ. ὁ ι ππος τοῦ᾽Αλεξάνδρου, οὐχ ο τι βοὸς κέρατα ει χε· τοῦτο γὰρ ψευδές· ἀλλ' ο τι ου τω ἐν Θεσσαλίᾳ ἐκαλοῦντο οἱ ι πποι. Βοῦσ. παρὰ τὸ βῶ τὸ τρέφω. ὁ τρέφων ἡμᾶς ἐκ τῆς περὶ τὴν γῆν ἐργασίας. οὐ δυνάμεθα δὲ beta.399 λέγειν ἐπὶ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν τοὺς βόας, καὶ κατὰ κρᾶσιν βοῦς· τὸ γὰρ ¯α οὐ κιρνᾶται εἰς τὴν ¯ο¯υ, ἀλλ' εἰς τὴν ¯ω, κρείττονα κρείττω· ἀλλὰ λέγομεν, ο τι ὁμοφωνία γέγονε τῆς εὐθείας τῶν πληθυντικῶν καὶ τῆς αἰτιατικῆς· πᾶσα γὰρ εὐθεῖα πληθυντικῶν εἰς ¯ς λήγει, καὶ συναιρουμένη τὴν τελευταίαν συλλαβὴν, ε χει τὴν αἰτιατικὴν καὶ κλητικὴν ὁμόφωνον αὐτῇ. Βούσιρισ. ὁ τῆς Αἰγύπτου βασιλεὺς, ἀφ' ου καὶ ἡ πόλις καλεῖται. ι ν' ῃ ὁ ἰσχυρὸς, ὁ δυνάμενος βοῦς α γειν σειραῖς, ω στε δύνασθαι μόνον. τὰ δὲ εἰς ¯ρ¯ι¯ς βαρύτονα διὰ τοῦ ¯ι, οι ον· ε ρις, ι ρις, δῆρις, Σίρις, ο νομα πόλεως Φοινίκων, κίσιρις, ει δος ὀρνέου, Τίρις, ο νομα κύριον, Οσιρις, ὁ Διόνυσος παρ' Αἰγυπτίοις, καλάσιρις, ξίρις, ει δος φυτοῦ. πρόσκειται βαρύτονον, διὰ τὸ χειρὶς, τὸ χειρομάνικον. Βοώτησ. α στρον πλησίον τῶν α ρκτων. ὁ δ' αὐτὸς καὶ ἀρκτοφύλαξ καλεῖται. Βούπαισ. νέος ἀφῆλιξ. (Θηλυκόν.) Βότρυσ. παρὰ τὸ βῶ τὸ πατῶ. η παρὰ τὸ τοῖς ποσὶ τρίβεσθαι, πότρυς καὶ βότρυς. η παρὰ τὸ τὴν πόσιν ῥεῖν. Βοή. ἡ φωνή. παρὰ τὸ βέω τὸ βαίνω, ἡ διὰ τῆς ἀρτηρίας βαίνουσα. η παρὰ τὸ βέω, τὸ τρέφω, ἡ ἐκ τῶν τρεφομένων πνευμάτων πεμπομένη. Βολίσ. ἀκόντιον. Βόλοσ. ἡ δρόσος, καὶ τὸ δίκτυον. beta.400 †Βολένη. τὸ κρέας τὸ περὶ τὸ στόμα τῆς γαστρός.† †Βοῶτα. παρὰ Λάκωσιν ἡ ὀδύνη.† Βορά. ἡ τροφή. παρὰ τὸ βῶ τὸ τρέφω. Βόσισ. ἡ τροφή. Βόττεια. πόλις Μακεδονίας. Βούβοτοσ. ἡ πολλὴν τροφὴν ε χουσα. Βουχίλου. εὐτρόφου. –βουχίλου κράτορες᾽Αρκαδίας. Βουπρῆστισ. λαχάνου ἀγρίου γένος, ο μοιον τῷ σίνηρι. Βούδεια. πόλις ἐν Μαγνησίᾳ. Βοῦνισ. ἡ βουνώδης γῆ. παρὰ τὸ βουνός· βουνὸς δέ ἐστιν ὁ ὀρώδης καὶ γεώλοφος τόπος. Βουρδιγάλα. πόλις Κελτογαλατίας. Βουθία. πόλις᾽Ιωνίας. ὁ πολίτης Βουθαῖος. Βούκαια. πόλις Φωκίδος. Βουκάπη. ἡ φάτνη τῶν βοῶν, ἐν ῃ οἱ βόες κάπτουσιν. ἀπὸ γὰρ τοῦ κάπω τὸ ἐσθίω ἡ κάπη γίνεται. Βουλὴ ἁγίων. ὁ σύλλογος τῶν ἁγίων. βουλὴ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γνώμη καὶ βουλευτήριον. βουλὴ, ο ρεξις ζητητικὴ παρὰ τῶν ἐφ' ἡμῖν πρακτέων γενομένη· βούλεται γὰρ τὶς, εἰ ὀφείλει μετελθεῖν τοῦτο τὸ πρᾶγμα η ου . Βούλησισ. ποιὰ φυσικὴ θέλησις, η γουν φυσικὴ καὶ λογικὴ ο ρεξις τινὸς πράγματος. διαφέρει δὲ βούλησις καὶ προαίρεσις· προαίρεσις μὲν γὰρ οὐκ ε στι τῶν ἀδυνάτων, βούλησις δ' ε στι τούτων· οι ον ει τις ει ποι βούλεσθαι ἐν τῷ παρόντι αἰῶνι ἀποθανατισθῆναι· τοῦτο γὰρ ἡμῖν ἀρτίως beta.401 ἀδύνατον· καὶ ἡ μὲν βούλησις καὶ περὶ τὰ μὴ δι' ἡμῶν πραττόμενα, ω σπερ α ν ει τις ει ποι βούλεσθαι τόνδε τὸν ἀθλητὴν νικῆσαι· προαιρεῖσθαι δὲ οὐκ α ν τις ἐρεῖ τοῦτο· ἡ γὰρ προαίρεσις ἐπὶ τῶν δι' ἡμᾶς ἀεὶ πραττομένων λέγεται. ε τι ἡ μὲν βούλησις μᾶλλον ἐστὶ τοῦ τέλους, ἡ δὲ προαίρεσις τῶν περὶ τὸ τέλος, οι ον· ὑγιαίνειν βουλόμεθα, προαιρούμεθα δὲ τὰ δι' ω ν ὑγιανοῦμεν. †Βόστρα. ἡ πόλις.† *Βολίσ. ἀκόντιον. βολὶς καὶ ἡ ἀστραπή.* Βοή. ἡ μεγάλη φωνὴ καὶ ἡ μάχη. ὡς τό· βοὴν ἀγαθὸς Μενέλαος. Βοῶπισ. ἡ μεγαλόφθαλμος. βοῶπις Ηρα. Βόμβησιν. θρύλλησιν. τοῦ θεολόγου· καὶ τῆς μεγάλης ἐκείνης βομβήσεως. Βοιωτία. ἡ Ευ ριπος. καὶ Βοιωτεῖς. Βοανεργέσ. υἱοὶ βροντῆς. (Οὐδέτερον.) Βόεια. μεγάλα.᾿Αριστοφάνης· ῥήματ' α ν βόεια δώδεκ' ει πε. Βόλινον. κώμη τῆς᾿Αχαΐας πλησίον Πατρῶν. Βόλιτον. βόλβιτον δὲ οἱ Ιωνες. οἱ δὲ α λλοι καὶ ῾Ιππώναξ· βολβίτου κασιγνήτην. καὶ βολίτιον κατὰ παραγωγήν. ει ρηται δὲ οἱονεὶ βοὸς λιτὸν, τὸ ἁμάρτημα τὸ κοπρῶδες, καὶ πλεονασμῷ τοῦ ¯β βόλβιτον. Βομβύλον. σκεῦος στρογγυλοειδές. Βοίδιον. βοΐδιον. Βορόν. βρωτικὸν, ὀξύτατον. beta.402 Βοσόρ. παρ'῾Εβραίοις τὸ ἀπὸ κόκκου βεβαμμένον ἱμάτιον. Βοτά. τὰ πρόβατα. Βοτηρικὰ κύπελλα. ποτήρια ποιμενικά. Βούτορα. τὰ πλήττοντα τοὺς βόας. Βούδειον. τόπος. καὶ Βουδειανός. Βουκελάτου. α ρτου ἐλατοῦ, ο ς λέγεται κολλίκιον. Βούτομον. ει δος χόρτου. Βούτυρον. τὸ λιπῶδες τοῦ γάλακτος. Βουστάθμιον. τὸ βουστάσιον. Βουκόλημα. θέλγιστρον, ἀποπλάνημα, ἀπάτημα. Βούλευμα. τὸ ι διον. Βούλημα. τὸ δημόσιον. Βουλευτόν. οὐ τὸ τέλος, ἀλλὰ τὸ πρὸς τὸ τέλος, η ο τῶν πραττομένων ἐφ' ἡμῖν ε στι. Βούσυκον. εἰώθασι τῇ προσθήκῃ τοῦ ι ππου η τοῦ βοὸς τὸ μέγεθος τοῦ ὑποκειμένου δηλοῦν· ἀπὸ μὲν τοῦ βοὸς, βούσυκον, βούπαις, βούλιμος, ἀπὸ δὲ τοῦ ι ππου, ἱπποσέλινον, ἱππογνώμονα, τὸν μεγαλογνώμονα. (῾Ρῆμα.) Βοάδει. ὀκνεῖ. Βοηδρομεῖν. μετὰ σπουδῆς παραγίνεσθαι. Βοῇσ. ἀντὶ τοῦ βοᾷς. ε στι δὲ δωρικόν· καὶ μηδεὶς οἰέσθω ἀπὸ τοῦ βοᾷς γεγονέναι, ἀλλ' ἀπὸ τοῦ βοάεις κατὰ κρᾶσιν τοῦ ¯α καὶ ¯ε εἰς ¯η, ὡς γελῇς ἀπὸ τοῦ γελάεις, οὐκ ἀπὸ τοῦ γελᾷς. Βολβεῖται. μεγαλοῤῥημονεῖ. Βοράζειν. παρὰ τὸ βορὰ, βοράζω, βοράζειν. beta.403 Βόσκω. παρὰ τὸ βῶ τὸ τρέφω. ὁ μέλλων βόσω, καὶ πλεονασμῷ βόσκω· ὡς τιτρώσω, τιτρώσκω, θνήσω, θνήσκω. ἐξ ου βόσις, ἡ τροφὴ, καὶ συβώτης. Βομβάζειν. φθέγμα ἐπὶ τὸ διασύρειν καὶ τωθάζειν λεγόμενον. Βουκολήσασ. ἀπατήσας. Βουλιμιᾷ. λιμώττει, πεινῇ λίαν. Βουλεύσασ. ἀντὶ τοῦ βουληθείς. Βουλεύοντι. ἀντὶ τοῦ συμβουλεύοντι. Βουλομένῳ. γλιχομένῳ, ἐπιθυμοῦντι. Βουβωνιῶ. φλεγμαίνω τοὺς βουβῶνας. ἐγὼ μὲν ου ν εἰς τὸ βαλανεῖον βούλομαι ἀπελθεῖν· βουβωνιῶ γὰρ τὰ νεφρὰ ὑπὸ τῶν κόπων. Βοῶμεν. ὀμόσωμεν. Βοώμενον. ἐπικαλούμενον. Βοῷεν. βοάοιμι βοῷμι, τὸ τρίτον τῶν πληθυντικῶν βοάοιεν βοῷεν. (᾿Επίῤῥημα.) Βοτρυδόν. ἡ ἑτέρα τῆς ἑτέρας ἐχομένη, ὡς ῥάγες τῶν βοτρύων. Τὸ Β μετὰ τοῦ Ρ. (᾿Αρσενικόν.) Βραβεῖσ. οἱ ἐν τοῖς ἀγῶσι κήρυκες. Βραβευτήσ. διοικητὴς, κριτὴς, παροχεύς. βραβευτὴς δὲ οὐ πάνυ τι λέγεται, ἀλλὰ μᾶλλον βραβεύς. Πλάτων· ἐπιστάτας τὲ καὶ βραβέας. beta.404 ἐν δὲ τῷ Πρωταγόρᾳ· βραβευτὴν αἰσχρὸν ει η αἱρεῖσθαι. Βρασμὸς γῆσ. ο ταν καχλάζῃ μετὰ κινήματος. ἐκτιναγμὸς δὲ, ο ταν ἀναριπτῆται. Βραδύσ. ὁ ἀργὸς, ὁ μὴ ἀγχίνους. κάπιλήσμων καὶ βραδύς. παρὰ τὸ βάρος βαρὺς καὶ ἐν ὑπερθέσει τοῦ ¯ρ καὶ πλεονασμῷ τοῦ δ βραδύς. Βράσσων. ὁ βραδὺς καὶ βραχύς· ἑκάτερα γὰρ σημαίνει. Βραχίων. ο τι βραχύτερός ἐστι τοῦ λοιποῦ μέρους. βραχίων τροπικῶς καὶ ἡ δύναμις. Βραχύσ. κατὰ τροπὴν τοῦ ¯λ εἰς τὸ ¯ρ· παρὰ γὰρ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποβεβλῆσθαι μέρος καὶ ἐλάσσονα γενέσθαι. Βρεγμὸς καὶ βρέγμα. τὸ ὑπερμετώπιον μέρος, η τὸ τῆς κεφαλῆς α κρον κρανίον. τοῦτο γὰρ πρῶτον βρέχεται. Βριήπυοσ. μεγαλόφωνος. Βρινοί. οἱ βάτραχοι. Βριάρεωσ. ὁ ἑκατόγχειρ θεός. Βρίμοσ. δυνατὸς, ἰσχυρὸς, γενναῖος. Βριαροί. βαρεῖς, ἰσχυροὶ, στερεοί. Βριαρόχειρ. ὁ ἰσχυρὸς καὶ δυνατὸς τὴν χεῖρα. Βρόμιοσ. ὁ Διόνυσος. Βροτολοιγόσ. ἀνθρωποκτόνος. λοιγὸς γὰρ ὁ ο λεθρος. βροτολοιγὸς Αρης. Βροτόσ. ὁ α νθρωπος. παρὰ τὸ μείρω τὸ μερίζω γίνεται μορτὸς, καὶ καθ' ὑπέρθεσιν τοῦ ¯ρ beta.405 καὶ τροπὴν τοῦ ¯μ εἰς ¯β βροτὸς, ὁ μεμερισμένην ε χων τὴν φωνήν. Βρότοσ. τὸ μετὰ κονιορτοῦ αι μα τοῦ ἀνθρώπου, καὶ οὐκ α λλου ζώου· βροτὸς γὰρ ὁ α νθρωπος. Βρόμοσ. ὁ τοῦ πυρὸς η χος, ἀπὸ τοῦ βρέμω τὸ ἠχῶ. ε στι δὲ ποιὰ φωνή. βρῶμος δὲ τὸ φυτὸν, *καὶ ἡ δυσωδία·* μέγα. Βρόγχοσ. ὁ λαιμὸς, ο ν καὶ φάρυγα καλοῦμεν, καὶ ἐπὶ τῶν ἰχθύων τῶν τὰ βράγχη ἐχόντων. ει ρηται δὲ παρὰ τὸ βρέχω, βρέχος τὶς ω ν, ὁ ἐν τῷ σιτεῖσθαι καὶ πίνειν βρεχόμενος. καὶ ἡ μὲν συνήθεια βρόγχον λέγει· οἱ δὲ ἀρχαῖοι βράγχον· ο θεν καὶ βραγχιᾷν τὸ παθητικὸν ει ρηται. πεποίηται δὲ ἡ λέξις τοῦ βρόγχου ἀπὸ τοῦ γινομένου η χου ἐν τῷ καταπίνειν. Βρόχθοσ. τὸ ὀλίγον πόμα, καὶ ἡ φάρυγξ, δι' η ς καταπίνομεν. ει ρηται παρὰ τὸ βρέχω, βέβροχα. Βρόχοσ. τὸ τῆς ἀγχόνης σχοινίον. Ομηρος· ἁψαμένη βρόχου– κυρίως δὲ βρόχος τὸ εἰς τὰς ἀγκύρας καὶ εἰς τὰ ἀπόγεια σχοινίον, διὰ τὸ βρέχεσθαι. καὶ βρόχος ἡ ἀνάγκη παρὰ τῷ᾽Αποστόλῳ· οὐχ' ι να βρόχον ὑμῖν ἐπιβάλω. Βροῦχοσ. ἡ κάμπη, η ἡ νεογενὴς καὶ α πτερος ἀκρίς. βροῦχος δὲ παρὰ τὸ βρύκειν, ο σημαίνει τὸ ἐσθίειν. *Βρουμαχία. ἑλληνικὴ ἑορτὴ τοῦ Διονύσου.* Βρυγμόσ. ἡ σύντομος ἐδωδὴ, η τρισμὸς ὀδόντων, η μυλῶν ἀκόνησις. παρὰ τὸ βρύκω τὸ ἐσθίω. ὡς νύσσω νυγμὸς, ου τω βρύκω βρυγμός. beta.406 Βρωτόσ. ὁ βεβρωμένος. Βρῶμοσ. τὸ φυτόν. Βραβευτάσ. τοὺς τῶν ἀγωνιζομένων κριτὰς καλοῦσιν· ου τοι γὰρ τοῖς νικῶσι τῆς νίκης τὴν ψῆφον ὀρέγουσι. καταβραβεύειν δέ ἐστι τὸ ἀδίκως βραβεύειν. ὁ᾽Απόστολος· μηδεὶς ὑμᾶς καταβραβευέτω. (Θηλυκόν.) Βραχυμυθίασ. η τοι βραχυλογίας. Βρετανία. νῆσος περὶ τὸν ὠκεανόν. τινὲς δύο ¯τ¯τ γράφουσι. Βριαρά. βαρεῖα, ἰσχυρά. Βρούτιδεσ. γυναῖκες ου τω καλούμεναι. Βροντή. ἡ ὑπὸ πνεύματος ἐν τοῖς νέφεσι γενομένη ε κρηξις, η τις πρὸς τὴν τῶν νεφῶν πυκνότητα βίᾳ φερομένη ποιεῖ ἐν τῇ πληγῇ ψόφον· η ο ταν πνεῦμα ξηρὸν καὶ βίαιον κοιλότησι νεφέλης ἐναπολειφθὲν, καὶ ὑπὸ εὐτονίας τοῖς κοιλώμασι τῶν νεφῶν ἐνστρεφόμενον ζητεῖ διέξοδον πρὸς τὰ α νω. ἀντέχουσαι μὲν ου ν ἐπὶ τῆς α γαν πιλήσεως αἱ νεφέλαι, τὸν τραχὺν ἐκεῖνον ἐκ τῆς τοῦ πνεύματος παρατρίψεως ἀποτελοῦσιν η χον· ἐπειδὰν δὲ ω σπερ πομφόλυγες περιταθεῖσαι τῷ πνεύματι ἐπιπλέον ἀντέχειν καὶ στέγειν ἀδυνατήσωσι, βιαίως ἀποῤῥηγνύμεναι καὶ πρὸς τὴν ε ξω διαπνοὴν διεῖσαι τὸ πνεῦμα, τοὺς κατὰ τὰς βροντὰς ἀποτελοῦσι ψόφους, καὶ ἀστραπὴν ἐργάζεσθαι πέφυκεν. ει ρηται δὲ παρὰ τὸ βρόμον, ο σημαίνει τὸν τοῦ πυρὸς η χον· ε μπυρος γὰρ ἡ βροντή. beta.407 Βρώμησ. βρώσεως, τροφῆς. οι ον· – μνησθησώμεθα βρώμης. Βρύοικοσ. ἡ α γκυρα, ἡ τὸν βυθὸν οἰκοῦσα. (Οὐδέτερον.) Βραβεῖον. ἐπινίκιος ἀμοιβὴ, η ὁ παρὰ τῶν βραβευτῶν η μᾶλλον τῶν βραβέων διδόμενος στέφανος τῷ νικῶντι. Βράβηλλα. τὰ καλούμενα δαμάσκηνα. τὰ αὐτὰ καὶ κοκκύμηλα καὶ μάδρυα. βοράβηλα τινὰ ο ντα, τὰ τὴν βορὰν ἐκβάλλοντα· εἰσὶ γὰρ μαλακτικὰ τῆς γαστρός. Βραδύτερον, οὐ βράδιον λέγουσι, ο τι μὴ῾Ησίοδος μόνος ει ρηκε βράδιον συνεσταλμένως· –βράδιον δὲ Πανελλήνεσσι φαείνει. Βραχιόλια. α παρ' ἡμῖν χλιδόνες καλοῦνται. Βραχυτελέσ. σύντομον, μικρόν. Βραχύ. ὀλίγον. Βράκανα. α γρια καὶ δύσπλυτα λάχανα. Βρέβιον. ἡ ἐπίτομος καὶ σύντομος γραφή. βρεβίῳ γὰρ κατὰ Λατίνους τὸ τέμνω. *γράφεται καὶ τὸ βραχὺ καὶ ὀλίγον.* καὶ βρεβίτα ἡ συντομία. Βρέτασ. ει δωλον, α γαλμα. παρὰ τὸ βροτὸς βρέτας κατὰ τροπήν. κυρίως δὲ τὸ ἀπὸ ξύλου πεποιημένον ἀνθρώπου α γαλμα. Βρέχμα καὶ βρέγμα. τὸ ὑπερμετώπιον μέρος, ο περ ὁ ποιητὴς βρεχμὸν καλεῖ. λέγεται δὲ τὸ beta.408 τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κεφαλῆς α κρον κρανίον. ω σπερ παρὰ τὸ ε χω γίνεται ἐχμὸς καὶ συνεοχμὸς, οι ον· – καὶ αὐχένος συνεοχμῷ. ου τω παρὰ τὸ βρέχω βρεχμὸς καὶ βρέχμα· τοῦτο γὰρ πρῶτον βρέχεται. Βρέφοσ. παρὰ τὸ φέρβω τὸ τρέφω γίνεται φέρβος καὶ κατὰ μετάθεσιν τῶν στοιχείων βρέφος. Βρεντήσιον. πόλις περὶ τὸν᾽ Αδρίαν. Βριαρόν. ἰσχυρὸν, βαρύ. παρὰ τὸ βία βιαρὸν καὶ πλεονασμῷ τοῦ ¯ρ βριαρόν. ε νθεν τὸ Βριάρεως. η παρὰ τὸ βρίω, ἀφ' ου καὶ βρίθω. Βροτόεντα. ἡμαγμένα. βρότος γὰρ τὸ μετὰ κονιορτοῦ αι μα τοῦ ἀνθρώπου. Βρόνδον. ει δος διαλέξεως. Βροντήσιον. χώρα᾽ Ιταλίας. Βρόμιον πῦρ. ἠχητικόν. Βρύον. τὸ ἐκ τῆς θαλάσσης ἀχυρῶδες ἐκφερόμενον, καὶ τὸ προχεόμενον. Βρύτια. τὰ τῆς σταφυλῆς πιέσματα. παρὰ τὸ τοὺς βότρυς βρύτια. οἱ δὲ᾽ Αττικοὶ τὰ τῶν ἐλαιῶν ἀλέσματα. Βρύελλα. τὰ βροῦλλα καὶ βρύλλια. βρυλλίῳ δέδεται. Βρύχιον. βυθιζόμενον. Βρύχια υ δατα. τὰ ὑπὸ γῆν ἐφιγμένως διακείμενα, καὶ η χον α νωθεν ἀποτελοῦντα. Βρέφοσ. ἀπὸ γεννήσεως ε ως τεσσάρων ἐτῶν. beta.409 (῾Ρῆμα.) Βραβεύει. διανέμει. Βράσσω. τὸ ζέω. ο περ ἀναβράσσω λέγουσιν᾽ Αττικοὶ, ἐπὶ τοῦ ἀποτελέσματος λαμβάνοντες τὴν λέξιν.᾽ Αριστοφάνης· ἀναβράττω κίχλας. ἀντὶ τοῦ ἑψίω. ει ρηται παρὰ τὸ βάρος, η βαρῶ, βαράσσω, καὶ κατὰ συγκοπὴν βράσσω. Βραχυμυθεῖν. τὸ βραχυλογεῖν. Βρενθύεται. μεγαλοφρονεῖ, ἐπαίρεται, η προσποιεῖται ὀργίζεσθαι. βρένθυον γάρ ἐστι μῦρον· τοῖς ου ν ἀλαζόσι καὶ τρυφεροῖς ἀκολουθεῖ μύρῳ χρίεσθαι. ἀπὸ τούτου δηλαδὴ τοὺς θρυπτομένους βρενθυομένους λέγουσι. Βρέχειν. ἐπὶ τοῦ πίνειν λέγεται. καὶ ὑποβεβρεγμένος ὁ μέθυσος. τὸ δὲ βρέχειν ἀπὸ τοῦ η χου τοῦ υ δατος, ὀνοματοποιΐα ἡ λέξις. καὶ Ομηρος· –ἀμφὶ δέ οἱ βρέχεν. η παρὰ τὸ βάλλω, βαλλῶ, καὶ βρῶ, βρέχω. Βρίθει. βαρεῖ. Βριμάζει. λέοντος χρῆται φωνῇ. Βριμαίνω. τὸ ὀργίζομαι. καὶ βριμούμενος. Βριμήσαιο. ὀργισθείης. Βρίζοντεσ. νυστάζοντες, κοιμώμενοι. Βρίξαι. τὸ μετὰ βορὰν καὶ τροφὴν κατευδῆσαι. Βρυάζει. θάλλει καὶ τρυφᾷ. beta.410 Βρύει. τέθηλεν, ἀνθεῖ. Βρύχεται. μαίνεται. τοῦτο κυρίως ἐπὶ τῶν λεόντων. Βρυκάω. ἐσθίω. Βρύκουσα. τρώγουσα, κατεσθίουσα, τοὺς ὀδόντας τρύζουσα. Βρύττοντεσ. πυρέττοντες. ου τως οἱ᾽ Αθηναῖοι. παρὰ τὸν βρύχετον, ο σημαίνει τὸν πυρετόν. Βρωμᾶσθαι. ὀγκᾶσθαι. ἐπὶ ο νου δὲ λέγουσι τοῦτο. λέγεται καὶ ὀγκᾶσθαι ἐπὶ ο νου, ἀλλὰ σπάνιον τοῦτο. Βρωμούμενοι. βρῶμον ἐσθίοντες. Βρύλλων. ὑποπίνων. (᾽Επίρῥημα.) Βραχέωσ. δι' ὀλίγου. Βρεκεκεὲξ, κοὰξ, κοάξ. ἐφύμνιον ἐν βατράχοις. ου τως᾽ Αριστοφάνης. Τὸ Β μετὰ τοῦ Υ. (᾽Αρσενικόν.) Βύασ. ει δος ὀρνέου νυκτερινοῦ. Δίων· καὶ βύας ω φθη. καὶ βύαι ω φθησαν. Βύβλισ. ο νομα κύριον. ἀδελφὸς Κάννου, ἀμφότεροι δυστυχήσαντες. Βύβλοσ. ὁ πάπυρος, ἐξ ου καὶ βυβλία τὰ ξυλοχάρτια. καὶ Βύβλος πόλις Φοινίκης ἀρχαιοτάbeta.411 τη ει ρηται, ο τι τὰ ἐν αὐτῇ τιθέμενα βυβλία α σηπτα διαφυλάττεται. τὸ ἐθνικὸν Βύβλιος, καὶ Βυβλίας. Βύθιοσ. ὁ ἐν τῷ βυθῷ. Βυθόσ. τὸ βάθος, τροπῇ τοῦ ¯α εἰς ¯υ. η παρὰ τὸ βύζω, βυστὸς καὶ βυθός. Βύκτησ. ἠχητικός. καὶ Ομηρος· ε νθα βυκτάων ἀνέμων– παρὰ τὸ βύω, ε νθεν βεβυσμένος, ου παράγωγον βύζω, βέβυκται. παρὰ γοῦν τὸ βέβυκται βύκτης. Βυκανῆται. σαλπιγκταί. Βυρσάτονοσ. τοῦ τυμπάνου. Βυρσοδέψησ. σκυτοτόμος. παρὰ τὸ τὰς βύρσας δεψῆσαι, ο ἐστιν ἁπαλῦναι. Βυσαυχήν. ὁ τοὺς ω μους συνέχων ἐπὶ τὸν τράχηλον. Βυσσόσ. ὁ βυθὸς παρὰ᾽ Ηροδότῳ. τροπῇ τοῦ ¯θ εἰς ¯ς καὶ πλεονασμῷ ἑτέρου ¯ς βυσσός. ε στι δὲ βύσσος ει δος βοτάνης, ἐξ ου τὰ ἀπ' αὐτῆς βαπτόμενα βύσσινα λέγονται. (Θηλυκόν.) Βύζα. ἡ Κωνσταντινούπολις. Βυζάνη καὶ Βυζία. ὀνόματα πόλεων. Βυκάνη. ο ργανον μουσικόν. Βύρσα. παρὰ τὸ δέρω τὸ ἐκδέρω, ὁ μέλλων αἰολικῶς δέρσω, καὶ δέρση, ἡ βύρσα ἡ ἐκδερομένη τοῦ σώματος. η παρὰ τὸ ῥύω, ῥύσα, ἡ περιῤῥεομένη τῷ ἱδρῶτι. (Οὐδέτερον.) Βύσσινον. τὸ κόκκινον. beta.412 Βυβλίον καὶ βιβλίον διαφέρουσι. βυβλίον λέγεται τὸ ξυλοχάρτιον καὶ τὸ α γραφον, ὡς· ἐπὶ τῷ βυβλίῳ σου πάντες γραφήσονται. βιβλίον δὲ, τὸ γεγραμμένον, ¯ι. Βυζάντιον. ο τι τὸ Βυζάντιον Σεβήρου βασιλέως῾ Ρωμαίων τετείχιστο γενναίῳ τείχει πεποιημένῳ μυλίτῃ λίθῳ εἰς τετράγωνον εἰργασμένῳ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑπτὰ μὲν γὰρ η σαν ἀπὸ τῶν Θρᾳκίων πυλῶν πύργοι. Βύκηνον. ἡ σάλπιγξ. (Ῥῆμα.) Βυκηνίζω. σαλπίζω. Βύουσι. φράττουσι, καλύπτουσιν. ε νθεν καὶ ἀκρόβυστος, ὁ τὸ α κρον βεβυσμένον ε χων. Πισίδης· ἐρῶ δέ σοι νῦν, ει περ οὐ βύειν θέλεις. Βύσωσι. φράξωσι. Βυσσοδομοῦντεσ. ἐκ βάθους σκεπόμενοι. Βυσσοδομεύειν. τὰ κεκρυμμένα βουλεύεσθαι καὶ ἐνθυμεῖσθαι καὶ οἱονεὶ ἐν βυθῷ τινὶ οἰκοδομεῖν. Βύω. τὸ ἀσφαλίζω. (Ἐπίῤῥημα.) Βύζην. ἀθρόως, πυκνῶς, ἐπαλλήλως. ὁ δὲ τὰ φρέατα φορυτοῦ καὶ τῇ ἐπιτυχούσῃ υ λῃ βύζην ἐνέπλησε. καί· βύζην τὰς τριήρεις ὁρμίζοντες. Τὸ Β μετὰ τοῦ Ω. (Ἀρσενικόν.) Βῶλοσ. ο νομα κύριον. καὶ βῶλος τὸ βωλάκιον, καὶ βῶλος ἡ γῆ. παρὰ τὸ βῶ τὸ τρέφω, ο θεν καὶ βῶστρον, γίνεται βῶλος, ἐξ αὐτοῦ βῶλαξ, ὡς λίθος λίθαξ. η παρὰ τὸ ὑπὸ τῶν βοῶν beta.413 ἀλοᾶσθαι, κοπτομένη. η παρὰ τὸ πωλεῖσθαι, καὶ συνεχῶς περὶ αὐτὴν στρέφεσθαι. οι ον· ου τί ποτ' εἰς ἀγρὸν πολέσκετο. Βωμολόχοι. ἀπατεῶνες, πανοῦργοι, ἀσεβεῖς, ἱερόσυλοι· τινὲς γὰρ ἐν τοῖς βωμοῖς λοχῶντες καὶ ἐνεδρεύοντες τὰ τοῖς θεοῖς συναγόμενα ἀπεσύλων. κυρίως δὲ οἱ μετὰ κολακείας προσαιτοῦντες, καὶ οἱ ἐπὶ τῶν θυσιῶν ὑπὸ τοὺς βωμοὺς καθίζοντες. Βώμαξ. ὁ βωμολόχος. ἀπὸ τοῦ βωμοῦ. τάσσεται δὲ καὶ ἐπὶ τῶν μαλακιζομένων. Βωμόσ. τέμενος, ἱερόν. παρὰ τὸ βῶ τὸ βαίνω, ὁ βεβηκὼς καὶ ἱδρυμένος τοῖς θεοῖς πρὸς θυσίαν. Βωνίτησ. ὁ βουκόλος. Βῶνοσ. στρατηγὸς τῆς Μυσίας τῆς παρὰ τῷ Ιστρῳ ποταμῷ, ἀνὴρ συνετὸς εἰς α κρον. ο ς η ν ἐπὶ Ἰουστινιανοῦ. Βώνυσοι. α ποικοι. Βώξ. ὁ βάτραχος, η ει δος ἰχθύος. ο ς ἱστορεῖται ε χειν φωνήν. παρὰ τὸ βοὴ γίνεται βόαξ καὶ κράσει βώξ. φασὶ δὲ καὶ δισυλλάβως λέγεσθαι. Ἀριστοφάνης· ἀλλ' ε χουσι γαστέρα μεστὴν βοάκων. καὶ Φερεκράτης· οὐκ ε στιν α λλος οὐδεὶς η βοάξ. Βῶροι. ὀφθαλμοί. Βώτορεσ. οἱ νομεῖς. παρὰ τὸ βῶ, βέβοται, βοτὴρ καὶ βωτήρ. ὡς ἐλάστης, ἐλαστήρ. καὶ ἐπεκτάσει βώτωρ. ὡς Μέντης Μέντωρ. Βώχανοσ. κύριον. Βωμόσ. ὑψηλὸς τόπος. τοῦ θεολόγου· *βωμῷ beta.414 μὲν οὐκ ἐδεήθη τῆς κενῆς δόξης. καὶ τοῦτο περὶ τοῦ Κράτητος λέγεται· ἀνέβη γὰρ ἐπὶ βωμὸν η γουν ὑψηλὸν τόπον καὶ δημοσίᾳ ει πεν· ο τι Κράτης ἐλευθεροῖ τὸν Κράτητα. (Θηλυκόν.) Βωδόνη. πόλις Περῤαβική. Βῶλοσ. ἡ γῆ. Βῶλος α ρουρα. ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσφιλοτιμουμένων· ὁμοίως τῷ· θαλάττῃ ἐκ χαράδρας υ δωρ. Βώσ. ἡ βύρσα. ὡς τό· βῶν ἀζαλέην. βῶν δὲ τὸ σκουτάριον λέγεται· ἀζαλέην δὲ, τὴν κατάξηρον. Βωτιάνειρα γῆ. ἡ τρέφουσα τοὺς α νδρας. ὡς σωτὴρ σώτειρα, ου τως ἀνὴρ α νειρα, καὶ μετὰ συνθέσεως τοῦ βῶ, βωτιάνειρα. †Βωταλίσ. ἡ νυκτερίς.† (Οὐδέτερον.) Βώτιον. χώρα παρὰ τὴν Ιλιον. εἰς ο καταχθεὶς Ἀγαμέμνων ἐπεβώσατο τὴν Αρτεμιν, εὐμενῆ αὐτῷ γενέσθαι πλέοντι. καὶ ὠνομάσθη ου τως ἀπὸ ταύτης τῆς αἰτίας. Βωμακεύματα. τὰ βωμολοχεύματα. οἱ δὲ τὰ εὐτράπελα καὶ γελωτοποιὰ, η τὰ κολακικά. α λλοι δὲ τὰς συκοφαντίας η τὰ πανουργεύματα. (Ῥῆμα.) Βωθύσσειν. ὁρμᾷν. Βωθεύοντασ. βοηθοῦντας. Βωμολοχεύσαιτο. ἀντὶ τοῦ ἀγοραῖον τὶ ει ποι η εὐτελές. ου τως Ἀριστοφάνης. beta.415 Βώσεσθε. βιώσεσθε. Βώσαντι. κράξαντι. Βωσόμεθα. καλεσόμεθα, μαρτυρούμεθα. Βωστρεῖν. βοᾷν, καλεῖν. παρὰ τὸ βῶ, βοάζω, βοάστης, ει ρηται ῥῆμα βοαστρῶ· ὡς ἀπὸ τοῦ ἐλεῶ ἐλεάζω, ἐλαστὴς, καὶ ἐλαστρῶ. Βώσον. βοήθησον. ου τως Κρατῖνος. beta.416 †Βωτεῖν. τὸ ἀροτριᾷν.† Βωτεῖν. ἀντὶ τοῦ ἀροῦν. ου τω Λάκωνες. Βῶ. τὸ πατῶ, ἐξ ου καὶ βότρυς. Βῶ. τὸ τρέφω, ἐξ ου καὶ βοῦς. Βῶ. τὸ βαίνω, ἐξ ου καὶ βῆμα. Βῶ. τὸ λέγω, ἐξ ου κατὰ παραγωγὴν βάζω. gamma.415 Γ. Τὸ Γ μετὰ τοῦ Α. (Ἀρσενικόν.) Γαβριήλ. ο νομα κύριον, ἑρμηνεύεται δὲ θεὸς καὶ α νθρωπος. Γαλαθηνός. ὑπομάζιος. παρὰ τὸν θήσω μέλλοντα, ο δηλοῖ τὸ θρέψω, ὡς τό· ἐπηετανὸν γάλα θῆσθαι. τουτέστι τρέφεσθαι, γίνεται θηνὸς, ω σπερ παρὰ τὸν κλείσω μέλλοντα γίνεται κλεινός· καὶ ἐν συνθέσει γαλαθηνός. Γαλεὸς καὶ γαλεώτησ. ὁ ἀσκαλαβώτης. Γαλαξίασ. τὸ ἐν τῷ οὐρανῷ φῶς κατὰ τὴν νύκτα, ο περ ε στιν ἀνάκλασις φωτὸς ἡλιακοῦ, μὴ καταλαμπομένων τῶν ἀστέρων. Γάλλοι. οἱ ἀπόκοποι, οἱ εὐνοῦχοι. Γαλαάδ. ἀποκάλυψις ἑρμηνεύεται. Γαληψόσ. ο νομα κύριον,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ πόλις τῆς Θρᾴκης, ἀπὸ Γαλήψου τοῦ ἐκ Θάσου. τὰ εἰς ¯ψ¯ο¯ς ὑπὲρ δύο συλλαβῶν ὀξύνονται, οι ον· σκινδαψός· χεραψός· λυκαψός· γαληψός. ὁ πολίτης Γαλήψιος. gamma.416 Γάλλοσ. ο νομα ποταμοῦ. Γάμβορος η γάμμοροσ. ὁ ἀμέτοχος. Γαμιλιῶνοσ. ο νομα μηνός. Γάμοσ. παρὰ τὸ δαμῶ, τὸ δαμάζω, γίνεται δαμὸς καὶ γάμος. ο θεν καὶ Ομηρος ἀδαμάστους λέγει τὰς παρθένους· παρθένος ἀδμής–. οἱ δὲ παρὰ τὸ γεννᾷν γάμος. Γαμήλιοσ. γαμικός. Γαμψόσ. ὁ κεκαμμένος. κάμψω, καμψὸς καὶ γαμψὸς, τροπῇ τοῦ ¯κ εἰς ¯γ· ὡς τό· ε καμψε καὶ ε γαμψε, καμψώνυχες καὶ γαμψώνυχες, ο ἐστιν ἐπικαμπεῖς ο νυχες. Γαμβρόσ. παρὰ τὸ γάμος γαμηρὸς καὶ κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ ¯β γαμβρός. Γάργητοσ. κύριον. Γάροσ. ἀρσενικῶς λέγεται. ε στι δὲ οὐδὲν α λλο ὁ γάρος η σηπεδών. Γαργαλέων. ἡ λεγομένη σταφυλὴ η τὸ α κρον τοῦ λάρυγγος. ἀπὸ τοῦ η χου τοῦ γενομένου ἐν τῇ θεραπείᾳ αὐτῆς. gamma.417 Γάστρισ. ὁ περὶ γαστέρα ἀκρατής. καλοῦσι δὲ καὶ τὸν ε λμινθας ε χοντα. Γαστρίμαργοσ. τὴν γαστέρα μανιώδης· μαργαίνω γὰρ τὸ μαίνομαι. Γαιζῆται. οἱ Γαλάται. παρὰ τὸ τὴν γῆν ζητεῖν. ἐκπεσόντες γὰρ τῆς ἑαυτῶν χώρας, πολλὴν γῆν περιῆλθον ζητοῦντες ο που οἰκήσουσι. Γαιτοῦλοι. ε θνος Λιβύης. ᾿Αρτεμίδωρος Γαιτουλίους αὐτοὺς φησίν. ἡ χώρα Γαιτουλία. Γαιοδόται. οἱ ἀρχιτέκτονες η οἰκονόμοι. παρὰ τὸ δεῖν, ο σημαίνει τὸ μερίζειν. οἱ τὴν γῆν διαμερίζοντες, ο ἐστι διαγράφοντες εἰς οἰκήματα. Γαῦροσ. ἀλαζὼν, ἐπαιρόμενος. Γαισόσ. τὸ κοντάριον. Γαγγαμουλκοί. οἱ σαγηνεύοντες. Γαλερωπόσ. ὁ ἐπιτερπὲς βλέπων. Γαῦλοσ. ὁ εὐεξαπάτητος, ὁ ἐξ ἀλλοτρίων ζῶν. Γαυλὸσ δὲ, ὀξυτόνως, τὸ ποιμενικὸν ἀγγεῖον, εἰς ο τὰ γάλα δέχονται. παρὰ τὸ γῶ, τὸ χωρῶ, γίνεται γαλὸς καὶ γαυλός· καὶ οὐ πάντως δὴ παρὰ τὸ γάλα λαμβάνειν. λέγεται δὲ καὶ τριήρης γαυλὸς διὰ τὸ πλεῖστα δέχεσθαι, ω ς gamma.418 φησιν῾ Ηρόδοτος ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν. ε στι δὲ καὶ ει δος πλοίου ληστρικοῦ, η τις καὶ λίβυρνος καλεῖται. η γύαλος τὶς ω ν· τουτέστι κοῖλος. ῾Ηρόδοτος· γαυλούς τε ἐνταῦθα καταδύσας. καὶ αυ θις· γαυλούς τε γαλαγόπηγας. η γαυλὸς, ὁ τοῦ φρέατος ἀντλητήρ. η οἰνηρὸν ἀγγεῖον ἐκ ξύλων κατεσκευασμένον, η ν᾿ Ιταλοὶ μαγγάναν ὀνομάζουσι. Γαύνακασ. γαύνακας ἀμπεχόμενον. (Θηλυκόν.) Γαῖα. ἡ γῆ. παρὰ τὸ γῶ τὸ τίκτω, ἐξ ου γίνεται γέα διὰ τοῦ ¯ε ψιλοῦ· οἱονεὶ ἡ γεννητική. ἐκ ταύτης γίνεται γεωμετρία, γεωργός. τοῦτο τὸ γέα γίνεται κατὰ κρᾶσιν τοῦ ¯ε καὶ ¯α εἰς ¯η γῆ, ἐξ ου γήπεδον, γηγενής. ἐκ τοῦ γῆ γίνεται α λλη παραγωγὴ διὰ τῆς ¯αι διφθόγγου, γαῖα· ω σπερ ἀπὸ τοῦ σελήνη σεληναία. ἀλλὰ Σέργιος ὁ γραμματικὸς λέγει· ἀπὸ τοῦ γαίω τὸ γαυριῶ γίνεται γαῖα, οὐκ ἀπὸ τοῦ γῆ· ἐξ ου καὶ βουγάϊος καὶ γαιήοχος. ἀπὸ γὰρ τοῦ γαῖαν ε χειν γίνεται γαίοχος, καὶ πλεονασμῷ τοῦ ¯η γαιήοχος, ὁ ἐπὶ τῆς γῆς ὀχούμενος· περιλαμβάνει γὰρ αὐτὴν ὁ ὠκεανός. gamma.419 Γάγγραινα. πάθος διαβρωτικὸν σαρκὸς, η σαρκῖνος, η πολυδιάχυτον πάθος ἐν τῷ σώματι. παρὰ τὸ γράνω, ο σημαίνει τὸ ἐσθίω, γίνεται γραῖνα καὶ ἐν διπλασιασμῷ γάγγραινα. Γάγγρα. πόλις. ἀπὸ τῆς αἰγὸς τῆς ὀνομαζομένης γάγγρας, η τις τὰς ἀλλοπρισμένας χωρισαμένη καθυπέδειξε τὸν τόπον. Γάδαρα. πόλις Κοίλης Συρίας, η τις᾿ Αντιόχεια καὶ Σελεύκεια ἐκλήθη. ὁ πολίτης Γαδαρεὺς, καὶ Γαδαρὶς ἡ γυνὴ καὶ ἡ χώρα. Γάζα. θησαυρὸς, καὶ ο νομα πόλεως. Γαλοώνη. ἡ ἀνδραδέλφη. καὶ γάλως καὶ γαλώη ὁμοίως. Γαλῆ. ἡ νυμφίτζα. Γαλιλαία. κατακυλιστὴ ἑρμηνεύεται τῇ ἑλλάδι γλώσσῃ. διὸ καὶ γελγὲλ ὁ τροχὸς ὀνομάζεται· η ἀνακυκλησμὸς καὶ ἀνάκαμψις. Γαλάρινα. πόλις Σικελίας. Γαλεάγρα. ο ργανον τιμωρητικὸν, ἡ τῶν θηρίων ὑποδοχή. Γαλέα. ο νομα ἰχθύος. Γαλήνη. παρὰ τὸ γάλη γαλήνη, η παρὰ τὸ γελῶ γελάνη τις ου σα καὶ γαλήνη, ἡ πρᾶον ε χουσα καὶ ἡδύ. Γαλογραικία. ἡ τῶν βουκελαρίων χώρα. οἱ αὐτοὶ καὶ῾ Ελληνογαλάται ὀνομάζονται. Γαγγάμη. ἡ σαγήνη, τὸ δίκτυον. Γαμφηλή. ἡ γνάφος, ἡ σιαγών. παρὰ τὸ κάμπτω, γάμπτω· ω σπερ παρὰ τὸ θάπτω ταφὴ, gamma.420 ου τως καὶ παρὰ τὸ γάμπτω γαμφὴ καὶ γαμφηλή. Γαμψωλή. ἡ ἐπίκαμψις. Γάμαλα. πόλις. καὶ γαμαλεύς. ου τως᾿ Ιώσηπος. Γάργαρος.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πόλις τῆς Ιδης ἐν ὑψηλῷ τόπῳ κειμένη, η ν κατῴκουν Λέλεγες. ἐξ η ς διὰ τὸ κρυῶδες ὑποκατέβησαν οἱ Γαργαρεῖς καὶ ῳ κησαν αὐτὴν πρὸς τὸ πεδίον Γάργαρον. ἐκείνη δὲ ἐρημωθεῖσα καλεῖται παλαιὰ Γάργαρος. ὠνομάσθη δὲ ἀπὸ Γαργάρου τοῦ Διός. α λλοι δὲ ἀπὸ τοῦ γαργαρίζειν καὶ ἀναδιδόναι τὰ υ δατα. ἀπὸ μεταφορᾶς τοῦ ἐν τοῖς σώμασι γαργαρεῶνος, τῆς λεγομένης σταφυλῆς.᾿Επαφρόδιτος δέ φησιν, ο τι, εἰ μὲν πόλις, θηλυκῶς λέγεται· τὸ δὲ ἀκρωτήριον οὐδέτερον. τὸ ἐθνικὸν Γαργαρεύς. Γαστριμαργία. ο ρεξις γαστρὸς, ἐπὶ πλήθει βρωμάτων ἀκρατῶς μαινομένη. Γαστήρ. ἡ κοιλία. Ομηρος διαπαντὸς γαστέρας καλεῖ, οὐ κοιλίας, γαστὴρ καὶ τὸ τῶν λογισμῶν ταμεῖον· φησὶ γὰρ ὁ Δαβίδ· ἡ ψυχή μου καὶ ἡ γαστήρ μου. γαστὴρ δὲ, παρὰ τὸ γῶ, τὸ λαμβάνω, γίνεται γαστὴρ, ἡ πάντα τὸν βίον μὴ πληρουμένη. Γάστρα. παρὰ τὸ γαστὴρ γίνεται γάστρα, ἡ εἰς κῦτος γεννηθεῖσα τοῦ λαιμοῦ. Γαυλόσ. ἡ ναῦς, ἡ α κατος. ἀπὸ τοῦ γῶ τὸ χωρῶ καὶ λαμβάνω. τινὲς γαῦλον φασίν· οι μαι δὲ, ο τι ἀρσενικόν ἐστιν, ὁ γαυλός. gamma.421 Γάγγραινα. ε λκος, ει δος σηπτικοῦ καὶ νεμομένου τὸν τόπον. ε ρπην τινὲς αὐτὴν ει ναι φασὶν η ἐρυσιπέλαν. (Οὐδέτερον.) Γάδειρα. τόπος κατὰ τὴν ἑσπερίαν μοῖραν, ἀποτελευτησάσης τῆς θαλάσσης. η νῆσος ε ξω τῶν῾Ηρακλείων στηλῶν, οἱονεὶ γῆς δειρά. τὰ γὰρ Γάδειρα τῆς γῆς ἐξοχή ἐστι. Γάδειρα καὶ ἐπὶ θηλυκοῦ. ὁ πολίτης Γαδειρεὺς, καὶ Γαδειραῖος, καὶ Γαδειρίτης, καὶ Γαδειρανὸς, καὶ Γαδειρικὸς κτητικόν. Γαζοφυλάκιον. θησαυροφυλάκιον. Γάλα. ἡ πρώτη τροφὴ τοῦ ζώου, ο ἐκ μεταβολῆς αι μα γίνεται. η αι μα πεπεμμένον, οὐ διεφθαρμένον, λευκαινόμενον ἐν τοῖς οἰκείοις αὐτοῦ καὶ ψυχροτέροις τοῦ ζώου μορίοις. παρὰ τὸ καλὸν εἰς ἀνατροφὴν ει ναι. κάλα καὶ γάλα. Γαληνόν. η συχον, η μερον. Γαλαθηνόν. ο ἐστιν ὑποτίτθιον καὶ ὑπομάζιον. Γαλερόν. φαιδρόν· ἡδὺ, πρᾶον. Γαλήσιον. ο νομα τόπου, καὶ ο ρος ἐγγὺς᾿Εφέσου. Γάμα. τὸ στοιχεῖον. παρὰ τὸ ἀμᾷν τὴν γῆν, ο ἐστι θερίζειν· δρεπανῶδες γάρ ἐστι, ῳ καὶ ὁ τύπος τοῦ γράμματος ο μοιος. gamma.422 Γαμψόν. ἐπικαμπές. Γαμήλια. ἡ εἰς τοὺς φράτορας διδομένη ἐγγραφὴ, καὶ εἰσαγωγὴ εἰς τοὺς γάμους, η ν ὠνόμαζον καὶ κουρεῶτιν. Γαμβρεῖον. πόλις᾿Ιωνίας. ὡς Σιγειεὺς, γράφεται δίφθογγον. Γάνοσ. ο νομα ο ρους ἐν τῇ Θρᾴκῃ, καὶ ὁ οι νος, καὶ ἡ ἡδονή. παρὰ τὴν γῆν, γῶ, γανῶ. ἡ θάλλουσα τοῖς φυτοῖς, λαμπρὰ καὶ αἰτία χαρᾶς ἡμῖν γενομένη. Γαριζείμ. τόπος καὶ ο ρος. Γαριζὶν δὲ ¯ι. Γάρκοσ. τὸ ε σω τῆς πλήμνης σιδήριον, ο τὸν α ξονα τρίβει. Γαῦρον. τὸ ἐπηρμένον.᾿Αριστοφάνης δὲ τὸ στεῤῥὸν καὶ μέγα καὶ ἀκλινὲς καὶ ἀκατάπληκτον γαῦρον λέγει. (῾Ρῆμα.) Γαγγαλίζω. παρὰ τὸ γελῶ, γελίζω, καὶ τροπῇ τοῦ ¯ε εἰς ¯α γαλίζω, καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμὸν ἑτέρου ¯γ γαγγαλίζω. τὸ εἰς γέλωτα α γω. Γαλουχεῖ. ἀντὶ τοῦ γαλακτοτροφεῖ. Γαληνιᾷν. γάννυσθαι, χαίρειν· διαχεῖσθαι. gamma.423 Γαμησείω. ἀπὸ τοῦ γαμήσω. τὰ ἀπὸ ἐνεστώτων η μελλόντων διὰ τοῦ ¯ε¯ι¯ω γινόμενα παράγωγα ὑπὲρ δύο συλλαβὰς διὰ τῆς ¯ε¯ι διφθόγγου γράφονται. ἀπὸ μὲν ἐνεστώτων, ὀλῶ ὀλείω, κρατῶ κρατείω, κιχῶ κιχείω· ἀπὸ δὲ μελλόντων, ο ψω ὀψείω, καὶ γαμήσω γαμησείω. πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ ψῶ ψίω, τὸ ἐμβρωματίζω· διὰ τοῦ ἰῶτα γράφεται, ἀλλ' οὐκ ἀντίκειται, οὐ γάρ ἐστι ὑπὲρ δύο συλλαβάς. Γάννυμαι. χαίρω. Γανόων. χαίρων, λελαμπρυσμένος. Γαργαρίζει. ἀπὸ τοῦ στόματος ἐρεθίζει ἐμέσαι. Γαργαλίζει. κινεῖ, ὑποσαίνει, ὑποσημαίνει, προτρέπει, ἐρεθίζει. ὑπὸ τὴν ε δραν αὐτὴν ὑπῆλθε γάργαλος. Γαρύω. τὸ φωνῶ. Γαστρίζεσθαι. λαμπροτέρως τρέφεσθαι καὶ ὡς α ν τις ει ποι ὑπὲρ χρείαν γαστριμαργεῖν. Γαστρίζομαι. τύπτομαι. ᾿Αριστοφάνης· γαστρίζομαι· εἰς τὴν γαστέρα. Γαυριᾷ. ἐπαίρεται. παρὰ τὸ γαίω, τὸ γαυριῶ, γαῖρος καὶ τροπῇ τοῦ ¯ι εἰς ¯υ γαῦρος καὶ γαυριῶ. gamma.424 Τὸ Γ μετὰ τοῦ Ε. (᾿Αρσενικόν.) Γέγειοσ. παρὰ τὸ γέα γέειος, ὡς βαθύγειος, ε γγειος, ευ γειος, ου τως ου ν τὸ γέγειος πλεονασμῷ τοῦ ¯γ. Γελαστήσ. ὁ ἐπεγγελῶν. Γελαστόσ. γελάω, γελῶ, γελάσω, γεγέλακα, γεγέλασμαι, γελαστός. ο τε γὰρ ε χει βραχὺ τὸ ¯α ὁ μέλλων, προσλαμβάνει τὸ ¯ς ὁ παρακείμενος. καὶ ἐξ αὐτοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀγέλαστος. Γελοῖοσ. ὁ καταγελαστότατος, προπερισπωμένως. γέλοιος δὲ γελωτοποιὸς, προπαροξυτόνως. ει ρηται παρὰ τὸ γελῶ γελώϊος, γελοῖος. ὡς πατρώϊος πατροῖος λέγεται καὶ τὸ ἡροῖος. ἐξ ου πάλιν γελοίϊον. Γέλωσ. ὁ διὰ τῶν παρειῶν ἐμπίπτων ψόφος ἐν τῷ τοῦ αι ματος ἀναβρασμῷ. η παῤῥησίας βράσμα. η παλμὸς καρδίας, καὶ ἡ α κρατος καὶ ἀμιγὴς παντὸς σκυθρωποῦ ἱλαρότης, ὡς τό· μακάριοι οἱ κλαίοντες, ο τι αὐτοὶ γελάσωνται. γέλως δὲ ει ρηται παρὰ τὸ τὰ γυῖα καὶ τὰ μέλη λύειν· οἱ γὰρ γελῶντες ἐκκεχυμένην ε χουσι τὴν ψυχήν. gamma.425 η παρὰ τὸ γένειον εἰλεῖν καὶ συστρέφειν· περὶ γὰρ τὸ γένειον μῦες τινὲς κινούμεναι ποιοῦσι τὸν γέλωτα. η παρὰ τὸ τὴν ε λην· ἀπὸ μεταφορᾶς τοῦ καταστήματος. τὸ γοῦν ἐναντίον στυγνός. Γελίμερισ. κύριον. Γεννάδασ. εὐγενέστατος η γενναιότατος. Γενάρχου. πατρός. Γενέτησ. ὁ πατήρ. Γεοῦχοσ. ὁ τὴν γῆν ε χων, γεοῦχος Ποσειδῶν. Γέργηθεσ. ο νομα πόλεως. η ἡ τύρβη καὶ οἱ χειρώνακτες. γράφεται καὶ χειρωνάκται. Γέρδιοσ. ὁ ὑφάντωρ. καὶ παρ' ἡμῖν ἡ γερδία. Γερήνιοσ. ὁ ε ντιμος. παρὰ τὸ γέρας. η ὁ ἐν Γερήνῃ τραφεὶς, ὡς τό· –Γερήνιος ἱππότα Νέστωρ. Γερμανικόσ. ὁ Φράγγος. Γεραίτεροσ. οὐ παρὰ τὸ γέρων ἐσχημάτισται, ἀλλὰ παρὰ τὸ γεραιὸς γίνεται γεραίτερος, ὡς παλαιὸς παλαιότερος, καὶ κατὰ συγκοπὴν γεραίτερος, καὶ γεραίτατος. Γεραρόσ. ὁ ε ντιμος. παρὰ τὸ γέρας, γέρατος, παραγώγως γεράτερος, ὡς μέλιτος μελιτηρὸς, καὶ ἐν συγκοπῇ γεραρός. Γερούσιοσ. παρὰ τὸ γέρων, γερούσιος. σημαίνει δὲ τὸν ε ντιμον. gamma.426 Γέρων σημαίνει τρία· ὁ προβεβηκὼς τὴν ἡλικίαν, ὡς τό· παῖδας προθήβους πολιοκροτάφους τε γέροντας. καὶ ὁ ε ντιμος, ὡς· δαίνυ δαῖτα γέρουσι. καὶ ὁ παλαιὸς, ὡς τό· ει λετο δὲ σάκκος καὶ εὐρὺ γέροντος– γέρων δὲ ει ρηται παρὰ τὸ εἰς τὴν γῆν ὁρᾷν. οἱ δὲ, παρὰ τὸ εἰς τὴν γῆν ε ῤῥειν· διὰ τὸ ἐγγὺς ει ναι θανάτου, ε ρων, καὶ πλεονασμῷ τοῦ γ γέρων. η παρὰ τὸ ει ρω τὸ λέγω, ει ρων καὶ γέρων. τὰ εἰς ¯ρ¯ω¯ν δισύλλαβα διὰ τοῦ ¯ω κλίνονται, ὁπότε μὴ κοινὰ ει η· Μάρων Μάρωνο. κοινὰ δὲ, διὰ τὸ σώφρων, σώφρονος, χείρονος. ἐξέφυγε τὴν κλίσιν τὸ γέρων γέροντος. ἀνεδέξατο παρασχηματισμὸν διὰ τοῦ ¯τ¯ο¯ς. Γείτων. παρὰ τὸ γέα γεΐτων, καὶ κατὰ συναίρεσιν γείτων. Γεώλοφοσ. ὀρεινὸν ο ρος ἐστὶν η υ ψωμα γῆς. καλεῖ δὲ καὶ τὸν παχὺν καὶ ἀναίσθητον α νθρωπον. Γεωπεῖναι. οἱ μικρὰν καὶ λυπρὰν καὶ ὀλίγην ε χοντες τὴν γῆν. Γειώρασ. ὁ τὴν γῆν φυλάσσων, η ὁ ἐξ α λλου ε θνους προσκολλώμενος. τὸ δὲ κύριον ο νομα ¯ι. Γειομόροσ. ὁ γεωργός. ει ρηται ἀπὸ τοῦ περὶ τὴν γῆν μορεῖν, ο ἐστι πονεῖν καὶ κακοπαθεῖν. gamma.427 Γεωπεῖναι. οἱονεὶ πεινῶντες γῆν. Γεωμέτρησ. γῶ τὸ τίκτω, ἐξ ου γίνεται γέα, διὰ τοῦ ε ψιλοῦ, οἱονεὶ ἡ γεννητική. ἐκ τούτου γεώλοφος. Γεών. ο νομα ποταμοῦ. (Θηλυκόν.) Γέγειαι βόεσ. οἱ ἀρχαῖοι. Γεγωνοκῶμαι. αἱ ἐμπιπλῶσαι βοῆς τὰς κώμας γυναῖκες. Γελασίμοισ. γραμμαῖς ταῖς ἐκ τοῦ γελᾷν γινομέναις. Γέλγιθεσ. σκορόδων κεφαλαί. Γέλοσ. πόλις Σικελίας ἀπὸ Γέλα ποταμοῦ, ἐν ω παράκειται ἡ πόλις. Γεθσημανῆ. ο νομα πόλεως. Γενεαῖς γενεῶν. τουτέστι ἀπείροις τισὶ γενεαῖς. Γενεά. τέσσαρα σημαίνει· ἡ ἡλικία· γενεῇ δὲ νεώτατος ε σκον ἁπάντων– ἡ εὐγένεια· γενεῇ μὲν ὑπέρτατός ἐστιν᾽Αχιλλεὺς– ἡ φυλή· gamma.428 οἱ ὑπὲρ φυλῶν γενεὴ– καὶ τὰ κθ΄ ε τη, ὡς· τῶν δ' η δη δύο μὲν γενεαί–. Γένεσισ. ἡ ἀρχὴ καὶ ἡ εἱμαρμένη. ε στι δὲ πρεσβυτέρα τῆς εἱμαρμένης ε ννοια καὶ αὐτεξουσιότης. η γένεσίς ἐστι κίνησις κατ' οὐσίαν, ἐκ τοῦ μὴ ο ντος εἰς τὸ ει ναι. γένεσις καὶ ὁ κόσμος. περὶ τὴν γένεσίν τε πλανᾶται λήθη βαρούμενος καὶ κακία. γένεσίς ἐστι καὶ ἡ ἐκ θεοῦ πρώτη πλάσις, ἡ ἐκ τοῦ μὴ ο ντος παραγωγή. Γέννησισ. ἡ ἐκ καταδίκης τοῦ θανάτου διὰ τὴν παράβασιν ἐξ ἀλλήλων διαδοχή. η ἐστι καὶ παθητὴ, καὶ ἁμαρτητική. ὁ ου ν κύριος τὸ παθητικὸν τῆς γεννήσεως εἰληφὼς τὸ ἁμαρτητικὸν οὐ προσείληφε. Γενέθλη. ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τῷ τεχθέντι ἡμέρα. παρὰ τὸ γεννῶ, ἀφ' ου ὁ μέλλων γεννήσω, γεννέθρα καὶ ἰακῶς γενέθρη, ὡς κολυμβῶ κολυμβήθρα, καὶ κατὰ τροπὴν γενέθλη· ἐξ ου καὶ τὸ γενέθλιον. λέγεται καὶ γενεθλιαλογία, ἡ περὶ τῆς γεννήσεως μαντεία.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Γενησαρέτ. ο νομα τόπου. gamma.429 Γενειάσ. αἱ τρίχες. ἐκ δὲ δασκίου γενειάδος κρουνοὶ διεῤῥαίνοντο κρηναίου ποτοῦ. Γένυσ. ἡ σιαγών. οἱονεὶ κένυς τίς ἐστιν, ο τι κενόν ἐστι τὸ κατ' αὐτὴν μέρος ὀστέων. ε στι δὲ γένυς καὶ ει δος πελέκεως. Γέρανοσ. τὸ ζῶον. ἀπὸ τοῦ τῆς γῆς ἐρευνᾷν σπέρματος. οἱονεὶ γήρευνος τὶς ου σα. Γερδία. ὑφάντης. παρὰ τὸ ἐπὶ τῆς γῆς ε δειν, ο  ἐστι καθέζεσθαι. Γεράνεια. ο ρος γεράνων. Γέῤῥα. πόλις Χαλδαίας. ὁ πολίτης Γεῤῥαῖος. Γεργύρα. ὁ ὑπόνομος, δι' ου  τὰ υ δατα φέρεται. γεώρυγα τινὰ, τὰ ὑπὸ γῆν ὀρύγματα, καὶ κατὰ μετάθεσιν καὶ διπλασιασμὸν γεργύρα. Γερμανίκεια. πόλις Εὐφρατησίας. ὁ πολίτης Γερμανικεύς. Γερηνία. πόλις Μεσηνίας. Γέρμα. πόλις Ἑλλησποντία πλησίον Κυζίκου. Γεργέριμοσ. ἡ ἐν τῷ δένδρῳ πεπανθεῖσα ἐλαία. Γεραιστιάδεσ. ου τω Νύμφαι καλούμεναι ἐν Γορτύνῃ τῆς Κρήτης. Γέρασα. πόλις τῆς Κοίλης Συρίας. ὁ πολίτης Γερασηνὸς, ὡς Μήδαβα, Μηδαβηνός. Γεισίποδεσ. αἱ ἐγκείμεναι δοκίδες, ἐφ' αι ς τὰ γεῖσα, παρὰ τὸ ει ναι βάσεις τῶν θεμελίων. Γεῦσισ. κυρίως ἡ ἐπὶ τῶν ὑγρῶν προσφορὰ, δεῦσις τὶς ου σα, παρὰ τὸν δεύσω μέλλοντα. ὡς γνώσω γνῶσις, ου τω δεύσω δεῦσις καὶ γεῦσις. gamma.430 Γέφυρα. ἡ κατὰ τόπον οἰκοδομὴ, δι' η ς οἱ ὁδοιπόροι πορεύονται. ει ρηται ἡ ἐφ' ὑγροῦ γῆ, οἱονεὶ γεφυγρὰ τὶς ου σα. η  γῆ φυρά τις, ἡ φυραθεῖσα καὶ ὑφ' ὑγροῦ κειμένη. η  παρὰ τὸ ἀπὸ γῆς εἰς γῆν μεταφέρειν. Γεφυρίσ. ξένη καὶ ἐπείσακτος. οἱ γὰρ γεφυραῖοι ξένοι καὶ ἐπήλυδες ο ντες, ᾿Αθήνῃσιν ῳ κησαν. ου τως ῾Ηρόδοτος. Γεωγραφία. περιήγησις. Γέβαλα. πόλις Παλαιστίνης. Γεβαληνός.᾿Ιώσηπος. Γέννησισ. προσθήκη ὑποστάσεως ἐναριθμίου. (Οὐδέτερον.) Γεηρόν. τὸ γήϊνον. Γελγέλ. ὁ τροχὸς ὀνομάζεται, η  ἀνακυκλησμὸς καὶ ἀνάκαμψις. τινὲς δὲ γὲλ γὲλ λέγουσι. Γελοῖον. καταγέλαστον. Γέντα. τὰ μέλη. Γενέθλια, οὐ γενέσια λέγονται τὴν ἡμέραν τῆς γενέσεως. Πλάτων· βασιλέως η ν γενέθλια. οἱ δὲ Ἀθηναῖοι γενέσια. Γένειον. παρὰ τὸ γένος γένειον, ὡς δάνος δάνειον· ἀπ' αὐτοῦ γὰρ τὰ γένη διαστέλλονται. Γεννητόν. τὸ ἐκ τινὸς ὡς ἐκ πατρὸς γεννηθέν. γεννητὸν, τὸ ἐκ τινὸς ὡς δημιουργοῦ γεννηθὲν, η  πᾶν τὸ ἐκ μὴ ο ντος εἰς υ παρξιν γινόμενον. Γενικόν. τὸ ἐν αὐτῷ τὸ γένος περιέχον. Γένοσ. τὸ καθ' ἑαυτὸ θεωρούμενον πρᾶγμα. η  γένος ἐστὶ τὸ κατὰ πλειόνων διαφερόντων τῷ gamma.431 ει δει ἐν τῷ τί ἐστι κατηγορούμενον. σημαίνει δὲ τὴν πατρίδα, ὡς ο ταν λέγωμεν τὸν Πέτρον Γαλιλαῖον τὸ γένος. σημαίνει δὲ καὶ τὴν ἀρχὴν τῆς τινῶν γενέσεως, ὡς ο ταν λέγωμεν τοὺς ἐξ᾿Ισραὴλ, ᾿Ισραηλίτας τὸ γένος. γένος ἐστὶ καὶ πτωτικῆς λέξεως χαρακτὴρ, σημαίνων τὸ ἐν φωνῇ α ρσεν η  θῆλυ η  οὐδέτερον, α δηλόν τι διακρίνον. γένος δὲ ει ρηται παρὰ τὸ γείνω τὸ γεννῶ. Γειοτόμον. τὸ α ροτρον. Γεράνδρυον. παλαιὸν φυτὸν καὶ γεγηρακὸς, η  τὸ ἐν τῇ ῥίζῃ συμφυὲς καὶ ἐξηραμένον. ει ρηται παρὰ τὴν δρῦν· δοκεῖ γὰρ πρῶτον φυτὸν γενέσθαι δρῦς. ο θεν δρυμοὺς ἐκάλουν τοὺς δασεῖς τόπους, ἐφ' οι ων δήποτε ο ντας φυτῶν· καὶ δρυφάκτους, ἀπὸ ξύλων περιωρισμένους. Γέρα. τιμαὶ, ἀμοιβαὶ, ἀνταποδόσεις. Γέῤῥα. τὰ κοντάρια. Θεοδώρου τοῦ Προδρόμου· πάλιν ἐπὶ τῶν γέῤῥων τακῶ. κυρίως δὲ γέῤῥα Περσικὰ ο πλα, καταχρηστικῶς δὲ καὶ α παν σκέπασμα. Γεῤῥάδια. στρωτηρίδια. Γεῖσα. τὰ θεμέλια, καὶ πᾶν τὸ ἐξέχον μέρος, καὶ τὰ πρὸ τῶν θυρῶν στεγάσματα. παρὰ τὸ γέα γέϊσον καὶ γεῖσον· καὶ γεισίποδες, αἱ ἐγκείμεναι δοκίδες, ἐφ' αι ς τὰ γεῖσα. παρὰ τὸ ει ναι βάσεις τῶν θεμελίων. τινὲς δὲ διὰ δύο ¯ς¯σ γράφουσι τὸ γεῖσσα. Γεωμόριον. τὸ γεώργιον. καὶ γειομόριον. Γένοσ. ἐκ τοῦ γένω τὸ τίκτω. ὡς σθένω, σθένος, νείφω, νέφος. gamma.432 Γέῤῥα. λέγονται καὶ αἱ σκηναὶ, ἐν αι ς τὰ ω νια ἐπιπράσκετο. δέῤῥα ἐστὶ τροπῇ τοῦ ¯δ εἰς ¯γ. (῾Ρῆμα.) Γέγγει. βρέχει. Γεγάασι. γεγένηται. ἀπὸ τοῦ γείνω, γέγονα, γεγόνασι, καὶ κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ ¯α γεγάασι. καὶ γεγαυῖα. ε στι δὲ μετοχή. τὸ ῥῆμα γῶ, ἐξ ου  καὶ τὸ γείνω· ὁ παρακείμενος γέγηκα. καὶ οἱ Ιωνες ἐπὶ τοῦ παρακειμένου ἡνίκα υ φεσιν ποιήσουσι τοῦ συμφώνου, τότε καὶ συστολὴ τοῦ φωνήεντος ἐπακολουθεῖ. οι ον βεβήκασι, βεβάασιν. ου τως ου ν καὶ γέγηκα, γέγαα, ἡ μετοχὴ γεγαὼς, γεγαότος. αἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

μετοχαὶ εἰ μὲν ω σιν ἀπαθεῖς, διὰ τοῦ ¯ο κλίνονται, καὶ τὸ θηλυκὸν ε χουσι διὰ τοῦ υῖα· εἰ δὲ κατὰ πάθος, τὴν κλίσιν μὲν ε χουσι διὰ τοῦ ¯ω, καὶ τὸ θηλυκὸν μεταποιοῦσιν εἰς ¯α, ἑστὼς ἑστῶσα, γεγὼς γεγῶσα. Γεγωνῶ. τὸ φωνῶ. παρὰ τὸ γνώω, καὶ ἐν ὑπερθέσει καὶ κατὰ ἀναδιπλασιασμὸν γεγωνῶ. οἱ γὰρ ἐξακουόμενοι γνωστοί. τοῦ μέσου παρακειμένου ἡ μετοχὴ γεγωνώς. Δίδυμος δέ φησι, γεγωνεῖν ει ναι τὸ εἰς πᾶσαν γωνίαν ἀφικνεῖσθαι τὴν φωνήν. Γεγανωμένη. λελαμπρυσμένη. Γεγράψομαι. *διηγήσομαι,* δεήσομαι. Γεγηροτροφηκώσ. ἐν γήρει θρέψας. Γελασείω. ἐπιθυμητικῶς ε χω τοῦ γελᾷν. Γεμίζω. τὸ ἀντλῶ. Γέμω. τὸ πλήθω. καὶ γεμέωσιν, οι ον· γεμέωσι δὲ παστάδα. γέμωσι καὶ πλεονασμῷ τοῦ ¯ε γεμέωσι. gamma.433 Γείνατο. ἐγέννησε. γέω, τὸ τίκτω, ἐκ τοῦ γέα διὰ τοῦ ε ψιλοῦ, ἡ γεννητική. τοῦτο τὸ γέω γίνεται κατὰ πλεονασμὸν τοῦ ν γένω, καὶ πλεονασμῷ τοῦ ι γείνω. ὁ μέλλων γενῶ. ὡς κείρω κερῶ. ὁ ἀόριστος ε γεινα, ὡς ε μεινα η ε κειρα, ὁ μέσος ἐγεινάμην, τὸ δεύτερον ἐγείνω, τὸ τρίτον ἐγείνατο, καὶ κατὰ συγκοπὴν γείνατο. Γέντο. ε λαβεν. ε λω τὸ λαμβάνω· ὁ δεύτερος ἀόριστος ἑλόμην, ε λου, ε λετο, καὶ κατὰ συγκοπὴν ε λτο, καὶ τροπῇ τοῦ ¯λ εἰς ¯ν δωρικῶς ε ντο, ὡς η λθεν, η νθε, καὶ πλεονασμῷ τοῦ ¯γ γέντο· –ἑτέρῃφι δὲ γέντο πυράγρην. Γεραίρειν. τιμᾷν, ὑμνεῖν, δοξάζειν. Γειτνιῶ. τὸ γειτονιῶ. ὡς ἀπὸ τοῦ εὐδαίμων εὐδαίμονος εὐδαιμονῶ, ου τω καὶ ἀπὸ τοῦ γείτων γείτονος γειτονιῶ, καὶ κατὰ συγκοπὴν γειτνιῶ. ω σπερ ἀπὸ τοῦ μείδω μειδιῶ. Γεφυρίζων. χλευάζων, ἐξευτελίζων. γράφεται καὶ γεφυρῶ. Γέμεν. ἐγένοντο. ῾Ησίοδος· ὀγδοάτη δ' ἐνάτη τε δύο γέμεν η ματα μηνός. Τὸ Γ μετὰ τοῦ Η. (᾿Αρσενικόν.) Γηγενήσ. ἐκ γῆς ε χων τὴν γέννησιν, η ὁ τὰ γήϊνα ἐργαζόμενος. Γηγενέτησ. ὁ γηγενής. Γήλοφοσ. ὁ ὑψηλὸς τόπος. γειόλοφος δὲ διφθόγγως. Γηπόνοσ. ὁ γεωργός. παρὰ τὸ πονεῖν περὶ τὴν γῆν. gamma.434 Γήπαιδεσ. οἱ Λογγίβαρδοι. οἱονεὶ οἱ Γετῶν παῖδες. Γηρυόνησ. κύριον. Γηρυῶνοσ. κύριον. *Γηρινεῖοσ. βοῦς.* Γηῶραι. ἐπίμικτοι, τηρηταὶ τόπων. Γηών. ο νομα ποταμοῦ. Γηραιόσ. ἀπὸ ἐτῶν ¯μ¯ζ ε ως ἐτῶν ¯ξ¯η. Γηώρασ. ὁ ἀλλότριος. τοῦ Ψελλοῦ· γηώρας ὁ ἀλλότριος καὶ γέρδης ὁ ὑφάντης. (Θηλυκόν.) Γῆ. ε ν τῶν τεσσάρων στοιχείων ἐστί. ξηρόν τε ψυχρὸν βαρὺ καὶ ἀκίνητον, ὑπὸ τοῦ θεοῦ ἐκ τοῦ μὴ ο ντος εἰς τὸ ει ναι τῇ πρώτῃ ἡμέρᾳ παρηγμένον. ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, η ς τὴν ε δραν καὶ τὴν βάσιν οὐδεὶς τῶν ἀνθρώπων εἰπεῖν δεδύνηται. οἱ μὲν γὰρ ἐπὶ ὑδάτων φασὶν η δρασται τὴν γῆν καὶ πεπῆχθαι αὐτὴν, ἐκ τοῦ τὸν θεῖον Δαβὶδ λέγειν· τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων. οἱ δὲ, ἐπὶ τοῦ ἀέρος. α λλος δέ φησιν· ὁ ἑδράσας τὴν γῆν ἐπ' οὐδενός. καὶ πάλιν ὁ Δαβὶδ ὡς ἐκ προσώπου τοῦ δημιουργοῦ· ἐγὼ, φησὶν, ἐστερέωσα τοὺς στύλους αὐτῆς. τὴν συνεκτικὴν αὐτῆς δύναμιν στύλους ὀνομάσας. τὸ δὲ, ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, δηλοῖ τὸ πάντοθεν περικεχύσθαι τῇ γῇ τὴν τοῦ υ δατος φύσιν. γῆ δὲ ει ρηται παρὰ τὸ γῶ τὸ χωρῶ, ἡ πάντα χωροῦσα. τοῦτο παρὰ τὸ χῶ, ἀφ' ου παράγωγον χείω, οι ον· οὐδὸς ἀμφοτέρους ω δε χείσεται. καὶ τροπῇ τοῦ ¯χ εἰς ¯γ γῶ. gamma.435 Γηθοσύνη. ἡ χαρά. παρὰ τὸ γῆ γίνεται γηθῶ καὶ γηθήσω, γηθόσυνος, γηθοσύνη, ἐπεὶ ἡ γῆ θάλλουσα τοῖς καρποῖς χαίρειν ἡμᾶς ποιεῖ. Γήθουσα. πόλις Λιβύης. τὸ ἐθνικὸν Γηθουσαῖος η Γηθούσιος η Γηθουσίτης. Γηθυλλήσ. λάχανον πράσῳ ο μοιον, ο τινες λέγουσιν ἀμπελόπρασον. Γῆ ζώντων. ὁ προσδοκώμενος βίος, ὡς τοῦ θανάτου κεχωρισμένος καὶ ἐλεύθερος λύπης. Γῆν ἰλλομένην. συγκεκλεισμένην. ἰλλάδες γὰρ οἱ δεσμοί. Γηραλέα. ἡ γραῦς. Γῆρυσ. ἡ φωνή. καὶ γαρύω τὸ φωνῶ. γῆρυς δὲ παρὰ τὸ γέρας· ἡ γὰρ φωνὴ τοῖς γέρουσιν ε πεται. Γῆς βάροσ. ἐπὶ τῶν εἰς μηδὲν συντελούντων. (Οὐδέτερον.) Γήδιον. ἡ μικρὰ γῆ. τριῶν ο ντων τῶν πρωτοτύπων, ἀπὸ τοῦ γῆ καὶ τοῦ γαῖα καὶ τοῦ γέα διὰ τοῦ ε ψιλοῦ, ἐκ ποίου τούτων γέγονε τὸ γήδιον; λέγει δὲ ὁ Δίδυμος, ο τι γέα διὰ τοῦ ε ψιλοῦ, καὶ κλίνεται γέας, καὶ ἐκ τούτου γίνεται γείδιον διὰ τῆς ¯ε¯ι διφθόγγου, καὶ κατ' ε κτασιν ἀττικὴν τοῦ ¯ε εἰς ¯η γήδιον, ὡς τὸ εἰκάζω, η καζον. Γήπεδον. τὸ πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῖς οι κοις ἐν πόλει κηπίον. Γῆρασ. ἡ παρακμὴ τοῦ σώματος. η φθίσις σώματος φυσικῶς ὑπὸ χρόνου γινομένη. παρὰ τὸ γέρας· ε πεται γὰρ τοῖς γέρουσιν ἡ τιμή. Γήρεια. τὰ τῶν κινάρων α νθη. Γηρωκομεῖον. μέγα. Γηροτροφεῖον. μικρόν. Γηρυόνεια δένδρα καὶ γηρυόνειον νῆμα. Γήτειον. τὸ χλωρὸν κρόμμυον. καὶ τὸ ἀμπελόπρασον. παρὰ τὸ ἐκ γῆς αι τιον, τὸ αὐτόετες gamma.436 ἐκ τῆς γῆς ο ν. λέγεται καὶ γῆθυ, γήθυον. τὰ ἀπὸ τῶν εἰς ¯ο¯ς δισύλλαβα οὐδέτερα διὰ τοῦ ¯ε¯ι¯ο¯ν γινόμενα, διὰ τῆς ¯ε¯ι διφθόγγου γράφεται. οι ον δάνος δάνειον, βρένθος βρένθειον. ου τως ου ν καὶ ἀπὸ τῆς γῆς γίνεται γῆτος γήτειον. πρόσκειται μονογενῆ διὰ τὸ α γος α γιον. Γήϊνον. ἀδὰμ ἑρμηνεύεται, καθὼς φασὶν οἱ τῶνʽ Εβραίων φωνῆς ἐπιΐστορες. διὸ καὶ ὁ᾽Απόστολος διαφερόντως τὴν πάτριον τῶν᾽Ισραηλιτῶν πεπαιδευμένος φωνὴν τὸν ἐκ γῆς α νθρωπον χοϊκὸν ὀνομάζει, οἱονεὶ μεταβαλὼν τὴν τοῦ ἀδὰμ κλῆσιν εἰς τὴν ἑλλάδα φωνήν. (ʽ Ρῆμα.) Γήθησεν. ἐχάρη. Γῆμεν. ἀντὶ τοῦ ε γημεν, η ἀντὶ τοῦ ἐχαύνωσε. Γήθειν. χαίρειν. Γηράναι. ἀντὶ τοῦ γηράσαι. Γηράσ. ἀπὸ τοῦ γηρῶ γίνεται γήρημι, ἡ μετοχὴ γηράς. ω σπερ ι στημι ἱστάς. τὸ ἀπαρέμφατον γηράναι, ὡς ἱστάναι. ἡ γενικὴ τῶν πληθυντικῶν τῶν γηράντων· οι ον γηράντων ἀνδρῶν· ὡς ἱστάντων. ἡ δοτικὴ ω σπερ γηράντεσσι τοκεῦσιν. ἡ αἰτιατικὴ γηράντας. Γηροτροφῶ. γηροβοσκῶ. (᾽ Επίῤῥημα.) Γηθοσύνωσ. μετὰ χαρᾶς. Γηΐνωσ. φθαρτῶς. Τὸ Γ μετὰ τοῦ Ι. (᾽ Αρσενικόν.) Γιγλισμόσ. κιχλισμός. ἀπὸ χειρῶν γέλως, η γαργαλισμός. gamma.437 Γίγασ. παρὰ τὸ ἐκ τῆς γῆς ἰέναι. καὶ ὁ Δαβίδ· καὶ γίγας δραμεῖν ὁδόν. λέγει δὲ τὸν η λιον. Γίγλυμοι. ἀντεμβολαὶ τινῶν ἐξοχῶν πρὸς κοιλότητας, οι απερ ἡ κατὰ τὸν πῆχυν πρὸς τὸν βραχίονα συμβολή. Γίγησ. κύριον ο νομα. Γιώρασ. κύριον. Γίγασ. παρὰ τὸ γῆ γίνεται γᾶς καὶ κατὰ ἀναδιπλασιασμὸν γίγας. η παρὰ τὸ γῶ τὸ χωρῶ καὶ λαμβάνω καὶ δέχομαι. τὸ γι ¯ι, διατί; πᾶς ἀναδιπλασιασμὸς διὰ βραχέως ἐκφέρεται. τί ε στιν ἀναδιπλασιασμός; ο ταν τὸ ἑξῆς τῆς λέξεως δὶς τῷ αὐτῷ συμφώνῳ παραλαμβάνηται. Γιγαντώδησ. ἐδόκει τὸ σῶμα γιγαντώδης ει ναι καὶ τὸν θυμὸν θηριώδης. Γιεζῆ. κύριον. (Οὐδέτερον.) Γίγαρτον. τὸ ε νδον τῆς σταφυλῆς. Γιχάσλα καὶ Γίσχαλα. ὀνόματα τόπων. (ʽ Ρῆμα.) Γινόμενα καὶ γενόμενα διαφέρει. τὰ μὲν γὰρ γινόμενα η ἀποβαίνει η ου · τὰ δὲ γενόμενα πάντως ἀπέβη. Γιγαντιᾷν. τὰ τῶν γιγάντων φρονεῖν. Γινώσκει. ἀντὶ τοῦ τιμᾷ, κατὰ τὸ εἰρημένον παρὰ θεοῦ πρὸς Μωσῆν· ε γνωκά σε παρὰ πάντας, καὶ ευ ρες χάριν παρ' ἐμοί. καί· ε γνω κύριος τοὺς ο ντας αὐτοῦ. καὶ γινώσκει ἀντὶ τοῦ οἰκειοῦται, ὡς τό· γινώσκει κύριος ὁδὸν δικαίων. οὐκ ἐπὶ γνώσεως ε λαβε τὸ γινώσκει, ἀλλ' ἐπὶ οἰκειώσεως καὶ ἐπιμελείας· οἰκειοῦται γὰρ ὁ θεὸς τῶν δικαίων τὰς πράξεις. τῶν δὲ ἀσεβῶν τὰ ἐπιτηδεύματα ἀπωλείᾳ παραδοθήσονται σὺν gamma.438 τοῖς ἐργασμένοις. σημαίνει δὲ, ο τι καλὸν μόνον γινώσκεται ὑπὸ θεοῦ, φαῦλον δὲ οὐδέν. ὡς τό· ε γνωκε κύριος τοὺς ο ντας αὐτοῦ. Γινώσκω. γνωρίζω. η δη γάρ σε γινώσκω, καὶ ω ν ει πας ἀκούσασα καὶ τὴν ο ψιν ἰδοῦσα. Γίνεται. τὸ ἀποτελεῖται. διὰ τοῦ ι. ω φειλε διὰ διφθόγγου γράφεσθαι, ει γε τὰ αὐτοῦ κινήματα ε χει τὸ ¯ε, οι ον ἐγενάμην, ἐγενόμην· ἀλλὰ πρὸς ἀντιδιαστολὴν τοῦ γείνεται, ο σημαίνει τὸ γεννᾶται· τοῦτο γὰρ ἀπὸ τοῦ γέω τὸ τίκτω, καὶ πλεονασμῷ τοῦ ν γένω· ἐκεῖνο δὲ ἀπὸ τοῦ γίγνεται γέγονε κατὰ ἀποβολὴν τοῦ ¯γ, ὡς τὸ γινώσκω, γιγνώσκω. τὸ δὲ γίγνεται ἀπὸ τοῦ γένομαι γέγονεν ἐν παραλήψει συμφώνου· τὸ ¯ε γὰρ ἐν παραλήψει συμφώνου γινόμενον τρέπει εἰς ¯ι. μένω, μίμνω, τέκω, τίκτω. ου τως ου ν καὶ γίγνεται, γίνεται. Τὸ Γ μετὰ τοῦ Λ. (᾽ Αρσενικόν.) Γλαυκόσ. κυανὸς, η λευκὸς, η πυρώδη τὰ ο μματα ε χων. παρὰ τὸ γλαύσω τὸ λάμπω γλαυκὸς, ὡς λεύσω λευκός. Γλακερόσ. λευκός. ἐκ τῆς γάλακτος γενικῆς, γλάκος καὶ γλάγος. α ρκυν τὲ γλακερῶν λαιμοπέδαν γεράνων. Γλάμων. ὁ λημῶν τοὺς ὀφθαλμοὺς, ο ἐστι τζιμπλῶν, καὶ διύγρους αὐτοὺς ε χων. γλάμων καὶ ὁ ἀκάθαρτος.᾽ Αριστοφάνης· ὁ καρχέδημος λίαν γλάμων ἐστί. καὶ ὁ Σοφοκλῆς· ἐπιορῶ τοὺς γλαμύρους καταφορβᾶν. Γλάνισ. ει δος ἰχθύος. Γλήχων. ει δος βοτάνης.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

gamma.439 Γλίχων δὲ, ο νομα κύριον, ¯ι. Γλίσχροσ. φειδωλὸς, σκνιφός. ὁ λίχνος καὶ ἐπιθυμῶν. ἐφυβρίστως ει ρηται. ὁ λίαν καὶ ἐπὶ πολὺ ἐχόμενος, πλεονασμῷ τοῦ ¯γ. η ὁ γλιχόμενος τροφῆς ὑπὲρ τὸ δέον. λέγεται καὶ ὁ ὀλισθηρός. Γλοιώδησ. ῥυπαρός. καὶ γλοῖος ὁ ῥύπος. Γλοιόσ. ὀλισθηρός· μοχθηρὸς, εὐμετάβολος. Γλυκύθυμοσ. ἁπαλόψυχος. Γλώσσασπισ. ὁ τῇ γλώσσῃ οι ον ἀσπίδι καὶ προβολῇ κεχρημένος. ἀπὸ μεταφορᾶς τῶν πολεμούντων. Γλύκιστοσ. τὸ συγκριτικόν. ζήτει περὶ τούτου ἐν τῷ οὐδετέρῳ, ε νθα τὸ γλύκιστον. Γλάσσων. μωρὸς, ἀνούστατος. (Θηλυκόν.) Γλάξ. βοτάνη γάλακτος ποιητική. παρὰ τὸ γάλακτος ει ναι αὐξητικὴ ταῖς ἐσθιούσαις. γάλαξ καὶ γλάξ. Γλαῦξ. πετεινὸν τὴν νύκτα πετώμενον. οι μαι δὲ τὴν κακοβάϊαν λέγουσι. παρὰ τὸ γλαύσω τὸ λάμπω, γλαύξω καὶ κατὰ ἀφαίρεσιν τοῦ ¯ω γλαῦξ. ὡς θήσω θὴς, ἀΐσσω αι ξ. Δημόκριτος ἱστορεῖ, ο τι μόνον τῶν γαμψωνύχων καὶ σαρκοφάγων μὴ τυφλὰ τίκτειν, ο τι πολὺ πυρῶδες καὶ θερμὸν περὶ τοὺς ὀφθαλμοὺς ε χει. ο σφοδρῶς ὀξὺ καὶ τμητικὸν ὑπάρχον διαιρεῖ καὶ ἀναμίγνυσι τὴν ο ρασιν. διὸ καὶ ἐν τῇ σκοτομήνῃ ὁρᾷ, διὰ τὸ πυρῶδες τῶν ο ψεων. gamma.440 Γλαρίσ. λιθοξοϊκὸν ἐργαλεῖον. παρὰ τὸ γλάπτω τὸ κοιλαίνω. Γλαφυρὰν φόρμιγγα. γεγραμμένην καὶ κεκοιλαμένην. παρὰ τὸ γλάπτω η γλάφω, γλάφος. ὡς θρύπτω τρύφος. ε στι καὶ γλαφὺς, ὡς πάχος παχύς. †Γλήκων. τὸ βλησκούνιον.† Γληχώ. θηλυκῶς Ἀττικοὶ τὴν ὀρίγανον λέγουσι. οἱ δὲ βληχώ. Γλήνη. ἡ κόρη τοῦ ὀφθαλμοῦ. οἱονεὶ γαλήνη τὶς ου σα καὶ κατὰ συγκοπὴν γλήνη. γαληνιᾷ γὰρ ὁ νοῦς δι' αὐτῆς τῇ τῶν ὁρατῶν ποικιλίᾳ. η παρὰ τὸ τὴν αι γλην, αἰγλήνη, καὶ ἀποβολῇ τοῦ αι γλήνη. γλίνη δὲ, ὁ ῥύπος, ¯ι. Γληχυρίσ. πονηρά. Γλία. ἡ κόλλα. Γλιχώ. ἡ φειδωλία. Γλυφίσ. ἡ χηλὴ τῆς ἀκίδος, η γουν ἡ ἐκκοπὴ τοῦ βέλους, ἡ τιθεμένη ἐν τῇ νευρᾷ τοῦ τόξου. παρὰ τὸ ἐγγεγλύφθαι, ο ἐστι κοιλάναι. καὶ ἡ κεφαλὴ τοῦ κίονος. παρὰ τὸ γλάπτω, γλαφὶς καὶ γλυφίς. καὶ τὸ γλυφικὸν ἐργαλεῖον. Γλωσσαλγία. ἡ φλυαρία. καὶ τὸ διὰ κενῆς λαλεῖν. Γλωχῖνασ. γωνίας. ὑπὸ τὴν ε νδον παρατεινομένην τῆς θαλάσσης γλωχῖνα ὡς εἰς ἐνέδραν. καὶ πάλιν· ἰῷ τριγλώχινι, ο ἐστι τριγώνῳ. παρὰ τὸ γλύψαι η γλάψαι, τὸ κοιλάναι. gamma.441 (Οὐδέτερον.) Γλάγοσ. τὸ γάλα. ἐκ τῆς γάλακτος γενικῆς γλάκος καὶ γλάγος. Γλαφυρόν. κοῖλον, ἡδὺ, βαθὺ, σοφὸν, ε μπειρον, ἀκριβὲς, λαμπρόν. Γλήνεα. ἀξιοθέατα, καὶ πολλῆς θέας α ξια. παρὰ τὸ τὴν αι γλην, η παρὰ τὸ γλαύσειν τὸ λάμπειν. Γλί. τὸ ἰσχυρόν. Γλίσχρον. τὸ κολλῶδες καὶ ὀλισθηρόν. Γλεῦκοσ. ὁ νέος οι νος. η τοι τὸ πρὸ τοῦ πατηθῆναι ἀπόσταγμα τῆς σταφυλῆς. Γλουτά. τὰ τῆς κοτύλης σφαιρώματα, η τὸ ὑπὸ τὸν πρωκτὸν μέρος, ο πισθεν τῶν μηρῶν, διὰ τὸ τρυφερὸν καὶ ἁπαλὸν καὶ γλοιῶδες. η τὴν σταγόνα σημαίνει. Γλυκυδερκέσ. τὸ ἡδὺ ἐν τῷ ὁρᾷν. Γλυκείδιον. δίφθογγον. γλύκιον δὲ ι. Γλυκὺ η τω καὶ πνιξάτω. Τερπάνδρου ᾳ δοντος κεχηνότος πρὸς τὴν ᾠδὴν, ἐμβαλών τις εἰς τὸν φάρυγγα σῦκον, ἀπέπνιξε. Γλύκιστον. τὸ συγκριτικόν. ε στι καὶ γλύκιστος ἐπὶ ἀρσενικῶν. τὰ εἰς υς τριγενῆ ποιοῦσι συγκριτικὸν καὶ ὑπερθετικόν. τριγενῆ λέγονται. βραδὺς, βραδεῖα, βραδὺ, τὸ συγκριτικὸν βραδύτερος, βραδίων, βράδιστος. ου τως καὶ γλυκὺς, γλυκίων, γλύκιστος, γλυκίων, ἡ κλητικὴ gamma.442 ω γλύκιον. τὰ εἰς ¯ω¯ν συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς ἀναβιβάζουσι τὸν τόνον ἐπὶ τῆς κλητικῆς. οι ον ἀρείων α ρειον, βελτίων βέλτιον, γλυκίων γλύκιον. Γλωσσόκομοσ. βαλάντιον η ξυλίνη θήκη. Γλώσσαργον η θοσ. ἀντὶ τοῦ στωμύλον καὶ ταχύ. (Ῥῆμα.) Γλαγκάζει. κράζει, πτερύσσεται. Γλαύσουσιν. ἀντὶ τοῦ λάμπουσι. Γλαυκιῶ. ἐκ τοῦ γλαυκὸς κατὰ παραγωγήν. Γλαύσω. τὸ λάμπω. Γλαμυξιᾷν. τὸ λημᾷν. Γλίχων. ἀντὶ τοῦ λείχων. Γλίχομαι. ἐπιθυμῶ. συντάσσεται δὲ μετὰ γενικῆς. Γλιᾶται. παίζει. Γλοιάζειν. τὸ τοῖς ο μμασιν ἐπιμύοντα μυκτηρίζειν. Γλωσσαλγεῖν. φλυαρεῖν, διακενῆς λέγειν. Γλωττοστροφεῖν. Ἀριστοφάνης· ἀπὸ γὰρ ὀλοῦμαι μὴ μαθὼν γλωττοστροφεῖν. Τὸ Γ μετὰ τοῦ Ν. (Ἀρσενικόν.) Γναφεύσ. ὁ λευκαίνων τὰ ἱμάτια. κναφεὺς δὲ ὁ τὰ δέρματα ξύων. ο ἐστι βάπτων. ε στι δὲ καὶ κνάφος τὶ ἀκανθῶδες, ῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ξύουσι τὰ ἱμάτια. gamma.443 Γναθμόσ. ἡ γνάθος. παρὰ τὸ γνάπτω, γέγναπται, γναπτὸς καὶ γναθμός. †ὡς κέκλαυσται, κλαυθμός.† Γνήσιοσ. ὁ μὴ νόθος, ὁ ἐκ τοῦ αὐτοῦ γεννηθείς. γενήσω, γενήσιος, καὶ κατὰ συγκοπὴν γνήσιος. Γνόφοσ. συνέφεια. η ὁ ζοφώδης ἀήρ. παρὰ τὸ κενὸν φάους ει ναι. κνόφος καὶ γνόφος. Γνύπετοι. στυγνοὶ καὶ οι ον νενυγμένοι. Γνώμων. ὁ συνετός. καὶ κανόνιόν τι μηχανικὸν, καὶ σχῆμα γεωμετρικὸν, καὶ διοπτρικοῦ ὀργάνου μέρος, καὶ δὴ καὶ ἀστρονομικοῦ. καὶ τὸ ἐν τοῖς ἡλιοτροπίοις πηγνύμενον, ο περ ἐφεῦρεν Ἀναξίμανδρος καὶ ε στησεν ἐπὶ τῶν σκιοθύρων. γνώμων καὶ ὁ ὀδοὺς τῶν ἀλόγων ζώων. ε νθα καὶ προβατογνώμων, ὁ η δη βεβληκὼς τοὺς ὀδόντας. Γνώριμοσ. οὐχ ὁ μαθητὴς, ἀλλ' ὁ γινωσκόμενος τινὶ, η ἁπλῶς ὁ ε νδοξος. Δημοσθένης· καὶ γνωρίμως ε χω τοῖς πλείστοις τῶν πλεόντων τὴν θάλασσαν. καὶ γνωρίσαι τὸ συστῆσαι καὶ ποιῆσαι γνώριμον. γνώριμοι καὶ οἱ φοιτηταί. Πυθαγόρας ὁ Σάμιος γνωρίμους ε σχε πλείους η ἑξακοσίους. γνώριμος δὲ, παρὰ τὸν γνώσω μέλλοντα γίνεται γνώσιμος, ὡς ὀνήσω ὀνήσιμος, καὶ τροπῇ τοῦ ¯ς εἰς ¯ρ γνώριμος. Γνωστικόσ. ὁ τῇ ἀληθείᾳ ποιωθεὶς τελείως. Γνωστόσ. ὁ γνώριμος. Γνωτόσ. ὁ ἀδελφός. παρὰ τὸν γνώσω μέλλοντα γίνεται γνωτός· ο τι μᾶλλον τῶν α λλων γινώσκεται. η ὁ α μα τινὶ γεννητικὸς καὶ γνηgamma.444 τὸς καὶ γνωτός. ε στιν ο τε σημαίνει καὶ τὸ φανερόν· γνωτὸς δὲ καὶ ο ς μάλα νήπιός ἐστι. (Θηλυκόν.) Γνάθοσ. ἡ παρειά. παρὰ τὴν γνάμψιν καὶ κάμψιν η κλάσιν. ἡ καμπτομένη σιαγών. οι ον· Φυσίγναθος ἀντίον ηυ δα. Γνώμη. ἡ συνείδησις, ἡ σκέψις, ποιὰ τὶς διάθεσις. ἡ βουλὴ, ἡ προαίρεσις, ἡ οι ησις. γνώμη καὶ ἡ δημηγορία. γνώμας οὐδεὶς νικήσει πλείονας η σύ. γνώμη, καθ' η ν λέγομεν τινὰ ε χειν γνώμην. η τοῦ ἐπιεικοῦς κρίσις ὀρθή. η ἀπόφασις καθολικὴ περὶ τῶν πρακτέων, καὶ ὡς αἱρετὰ η φευκτέα ἐστὶ πρὸς τὸ πράττειν. η συμπέρασμα. η πρότασις ἐνθυμημάτων. η ο ρεξις ἐνδιάθετος τῶν ἐφ' ἡμῖν. η διάθεσις ἐπὶ τοῖς ἐφ' ἡμῖν ὀρεκτῶς βουλευθεῖσιν. η τρόπος ζωῆς. Γνώμην ἐμήν. ὡς ἐμοὶ δοκεῖ. γνώμη δὲ ει ρηται παρὰ τὸ νοῶ, νοήσω, νοήμη, καὶ κατὰ κρᾶσιν νώμη, καὶ πλεονασμῷ τοῦ ¯γ γνώμη. Γνῶσισ. ἡ διὰ τοῦ πνεύματος χάριτος ἐν ταῖς καρδίαις τῶν ἀνθρώπων γενομένη ε λλαμψις. γνῶσις καὶ ἡ τῶν θείων γραφῶν διὰ λόγων ψιλὴ κατανόησις. γνῶσις καὶ ἡ διὰ τῶν ἐντολῶν πράξεως ἐγγινομένη τῷ πράττοντι πεῖρα. γνῶσις καὶ ἡ τοῦ πρώην μὴ ο ντος ἐν τῷ νοῒ νεοφανὴς ε μφασις. γνῶσις καὶ ἡ τῶν κατειλημμένων περίεργος συγκατάθεσις, ὡς ὁρωμένων ε λεγχος. γνῶσις καὶ ἡ θεωρία τῆς ἁγίας τριάδος. Γνωτή. ἡ ἀδελφή. gamma.445 (Οὐδέτερον.) Γναμπτόν. ἐπικαμπές. Γνωμίδιον. τὸ μικρὸν ἐνθύμημα. Γνωμάτευμα. διάκρισις, διάγνωσις ἀκριβής. η τὸ βούλευμα. ε τερα διαλεγόμενοι, ε τερα γνωματεύματα γνωματεύουσι. Γνωριμώτερον. τοῦτο διχῶς λέγεται· η ἁπλῶς, οι ον τὸ πρότερον τοῦ ὑστέρου, η ἡμῖν ο ἐστι τῇ φύσει ε σχατον, ο ἐστι τὸ σύνθετον· η τοι τὸ μερικόν. (Ῥῆμα.) Γναθμῶ. τὸ κάμπτω. συνήθως τοῖς παλαιοῖς λέγειν γνάμπτω. ἀνεγνάμφθη δέ οἱ αἰχμή. α νευ τοῦ ¯μ. καὶ ἐπέγναψε γὰρ α παντας. Γνοῖεν. μάθοιεν. Γνοίησ. ἐκ τοῦ γνῶμι ἡ μετοχὴ γνοὺς, γνόντος· καὶ τὸ εὐκτικὸν γνοίης. Γνῶθι. ἐκ τοῦ γνῶμι ἡ μετοχὴ γνοὺς, καὶ τὸ προστακτικὸν γνῶθι, γνῶτε. Γνωματεύειν. διακρίνειν, διαγινώσκειν ἀκριβῶς. Γνωμοδοτῶ. γνώμην δίδωμι. Γνωρίζω. γινώσκω, ἱστορῶ. εἰ γὰρ ἐγώ σοι νῦν αὐτὸν γνωρίζω, πέπονθα τὸ τῆς παροιμίας, τὸ σὸν ο ναρ σοὶ διηγούμενος. Γνωσιμαχῆσαι. μετανοῆσαι, μεταγνῶναι τὸ δίκαιον καὶ πρέπον, η τὸ γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν, καὶ τῶν ἐναντίων τὴν ἰσχύν. gamma.446 Γνώσωσι. γνῶμι, ὁ δεύτερος ἀόριστος ε γνων, ἡ μετοχὴ γνοὺς, γνόντος, τὸ ὑποτακτικὸν ἐὰν γνῶ, τὸ τρίτον τῶν πληθυντικῶν ἐὰν γνῶσι, καὶ ἐὰν γνώσωσι προσθήκῃ τοῦ ¯ω. τὰ δὲ διὰ τοῦ ¯ω¯ω καθαρὰ δισύλλαβα διὰ τοῦ ¯ω γράφονται, οι ον ζώω, γνώω, σώω, πλώω. Γνωρίζω. ἀντὶ τοῦ ὑπομιμνήσκω. παρὰ τῷ Ἀποστόλῳ· γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ εὐαγγέλιον. Γνωσιμαχεῖν. ἐπίστασθαι τὴν πρὸς κρείττονας μάχην. (Ἐπίρρημα.) Γνύξ. ἐπὶ γόνατα. παρὰ τὸ γόνυ, γόνυξ καὶ γνύξ. Γνωμοτυπικῶσ. η τοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γνωμολογικῶς. Τὸ Γ μετὰ τοῦ Ο. (᾿Αρσενικόν.) Γόγγρος. ει δος ἰχθύος. παρὰ τὸ γρῶ τὸ ἐσθίω. Καλλίμαχος· ο ς ε γραε κηδεμόνα. ἀντὶ τοῦ η σθιεν. ἀφ' ου ῥῆμα ο νομα γρὸς καὶ ἐν διπλασιασμῷ γόγγρος. ἐσθίει γὰρ τῶν πολυπόδων τοὺς πλοκάμους. Γοδολίασ. κύριον. Γόησ. ὁ πλάνης, ὁ ἀπατεὼν, ὁ φαρμακὸς, ὁ μάγος. †Γοῖπασ. ὁ ῥύπος.† †Γολγοί. οἱ Κύπριοι.† gamma.447 †Γόμφησ. ὁ χοῖρος.† Γόμφοι. καρφία, σφῆνες, δεσμά. αἱ μύλαι. παρὰ τὸ κάμπτω γίνεται γάμπτω, καὶ ἐξ αὐτοῦ γόμφος, δι' ου γνάμπτεται καὶ κάμπτεται ἡ τροφή. Γομφιασμόσ. συγκλασμός. Γομφίουσ. ὀδόντας, κλειδώσεις· οἱ ε μπροσθεν δὲ ὀδόντος εἰσί. Γομόρ. ει δος μέτρου Ἑβραϊκοῦ. Γονοῤῥοίησ. ου ἡ γονὴ ἐκφέρεται ἀκουσίως καὶ ἐκρέει. Γονυκλινήσ. ἐπὶ γόνυ πεσών. Γόοσ. ὁ θρῆνος. παρὰ τὴν βοὴ, βοὸς, καὶ τροπῇ τοῦ ¯β εἰς ¯γ γόος. Γορπιαῖοσ. ὁ Σεπτέμβριος μήν. Γοργόσ. ταχύς. ει ρηται δὲ ἀπὸ τῆς ὀργῆς. ὀργὸς καὶ γοργός. οἱ ᾿Αττικοὶ δὲ γοργὸν οὐ τὸν πρακτικὸν καὶ κεκινημένον λέγουσιν, ἀλλὰ τὸ φοβερόν. Ξενοφῶν· γοργότεροί θ' ὁρᾶσθαι καὶ φοβερώτεροι φθέγγεσθαι. Γοῤῥόσ. ὁ κυρτός. Γοργόλοποσ. ἐπιθετικός. Γοργωπόσ. ὁ γοργόφθαλμος. καὶ γοργωπὸς ε δρα, η φοβερὰ καθέδρα. Γουνῷ ἀλωῆοσ. ἐν τῷ γονιμωτάτῳ καὶ καρπίμῳ χωρίῳ τῆς γῆς. γέγονε γουνὸς, ὁ ὑψηλὸς τόπος, ἀπὸ μεταφορᾶς τῶν ἐν σώματι γονάτων, α ἐξέχει. ὡς δὲ τινὲς, ὁ τραχύτατος τόπος. gamma.448 ἀπὸ τῶν γονάτων ὀστωδῶν ο ντων καὶ τραχέων. πλέον γὰρ ἐν τοῖς ὀρεινοῖς καὶ πετρώδεσι τόποις αυ ξεται τὰ φυτά. η ὁ γόνιμος καρπὸς ἀπὸ τοῦ γεννῶ. Γολόν. ο νομα τόπου. (Θηλυκόν.) Γοητεία. φαρμακεία, καὶ μαγεία ἡ δι' ἐπικλήσεως ἀνάγουσα τὸν νεκρόν. ει ρηται δὲ ἀπὸ τῶν γόων καὶ θρήνων, τῶν περὶ τοὺς τάφους γενομένων. †Γοργάνασ. αἰγίδας.† †Γοργάδεσ. αἱ δέσποιναι.† †Γοργῶπισ. λίμνη ἐν Κορίνθῳ.† †Γόμφεσυσ. ὑ¯ι¯ς δορκάδος.† †Γοργωπὸς ε δρα. ἡ φοβερὰ καθέδρα.† †Γόρυνοσ. ὁ μικρὸς βάτραχος.† Γόργυρα. τὸ κατὰ γῆς ο ρυγμα. οι μαι δὲ γέργυρα λέγεται η γεργύρα. Γοργόνεσ. τρεῖς γυναῖκες, αι τοσοῦτον ει χον τὰ πρόσωπα φρικτὰ καὶ φοβερὰ, ὡς τοὺς ὁρῶντας θνήσκειν. ἡ Γοργὼ καὶ ἡ Γοργών. διὰ γὰρ τῆς γοργότητος ἀπελίθουν παρωνύμως τοὺς ὁρῶντας. Γόρτυσ. νῆσος. καὶ Γορτύνη †πόλις Κρήτης.† (Οὐδέτερον.) Γογγύλιον. στρογγύλον. Γοερόν. θρηνῶδες, λυπηρὸν, κατανυκτικόν. Γομφοφαγῆ ῥήματα. ἀκριβέστατα, πολυσύνθeta. gamma.449 Gónu. παρὰ τὸ κονῶ τὸ ἐνεργῶ, κόνυ ο ν· η παρὰ τὸ εἰς γῆν νεύειν. Γονύων. γονάτων. ει ησαν δὲ καὶ κάλαμοι γόνυα οὐκ ε χοντες. Γοῦνα. γόνατα, γόνυα καὶ γοῦνα. καὶ γούνων ἀπὸ τῶν γονάτων η ἀπὸ τῶν γονύων. ἰστέον, ο τι τὰ γόνυα καὶ δόρυα γίνεται καθ' ὑπερβιβασμὸν τοῦ ¯υ γοῦνα καὶ δοῦρα. η ἀπὸ τοῦ γόνατα κατὰ ἀποκοπὴν τοῦ ¯τ¯α. Γόργια. τὰ τῶν ὑποκριτῶν προσωπεῖα. Γογγυλίζει. ἀντὶ τοῦ μεταστρέφει. Γογγύζω. ἀπὸ τοῦ γρύζω, τὸ τῇ φωνῇ ὑποκλέπτω καὶ λαλῶ καὶ κατὰ ἀναδιπλασιασμὸν γογγρύζω καὶ γογγύζω. Γονυπετῆσαι. προσκυνῆσαι. †παρακαλέσαι. δεηθῆναι. ἱκετεῦσαι τοῖς γόνασιν ἐπισυρόμενος.† Γόον. ἐθρήνουν. ἀόριστος δεύτερος. ω σπερ κτυπῶ, ε κτυπον, ου τως γοῶ, ε γοον. ἀλλ' ε στι γοάω, γοῶ, ἐγόαον, ἐγόων, καὶ κατὰ συστολὴν γόον. –ζωὸν γόον Εκτορα–. Γουνάσομαι. λιτανεύσω. παρακαλέσω. Οὐκέτι γουνάσομαι τὸν βάρβαρον οὐδ' ἐπ' ἐμαυτῷ Κλαύσομαι–. gamma.450 Τὸ Γ μετὰ τοῦ Ρ. (᾿Αρσενικόν.) Γραμματεῖσ. οἱ τὰ κράσπεδα τινὰ ε χοντες σημαντικὰ τῆς αὐτῶν πολιτείας. ῥοΐσκους γάρ τινας ἐπὶ τὰ τέσσαρα πτερύγια τοῦ τρίβωνος ε καστος ει χεν, ἐξ αὐτοῦ τοῦ στήμονος καταδεδεμένους, ἐν ῳ χρόνῳ ἐνεκρατεύετο η παρθενείαν η σκει. ἐπετήδευον δὲ ταῦτα ω στε ἐμφαίνειν τοῖς ἀνθρώποις τὰ παρ' αὐτῶν ἐπαγγελλόμενα· ι να μηδεὶς α ψεται δῆθεν τῶν ἡγιασμένων. φυλάσσουσι δὲ καὶ ξεστῶν βαπτισμοὺς καὶ ποτηρίων καὶ τῶν α λλων σκευῶν τῆς ὑπηρεσίας· καὶ του νομα εἰσὶ δευτερωταὶ, ὡς γραμματικήν τινα ἐπιστήμην ὑφηγούμενοι καὶ περιττὴν δῆθεν σοφιστικὴν εἰσηγούμενοι. γραμματεὺς καὶ ὁ διὰ τῆς ἐπιμόνου ἀναγνώσεως τῶν γραφῶν θησαυρὸν γνώσεως ἑαυτῷ ἀποθέμενος. γραμματεὺς καὶ ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νοτάριος. τὸν τῶν ἀποῤῥήτων γραμματέα. οὐδενὸς δὲ η σαν οἱ γραμματεῖς κύριοι ου τοι, ἀλλ' η τοῦ γράφειν καὶ ἀναγνῶναι. Γραμματιστήσ. ὁ τὰ πρῶτα στοιχεῖα διδάσκων. Γραμματοεισαγωγεῖσ. ἐκβιαστὰς, παιδευτάς. gamma.451 Γραμματοκύφων. ἀντὶ τοῦ, ω ταπεινὲ γραμματεῦ. διότι οἱ γραμματεῖς προσκεκυφότες γράφουσι. η ὁ ἐν ἀγρῷ γραμματεύς· οἱ γὰρ ἀγοραῖοι τῷ κύφωνι μαστιγοῦνται. κυρίως δὲ κύφων τὸ ξύλον καλεῖται. Γραμματοφόροσ. ὁ βιβλιαφόρος. καὶ οὐχὶ βιβλιοφόρος. Γράσοσ. μωρός. κυρίως δὲ ὁ ἐν τοῖς τῶν προβάτων ἐρίοις συναγόμενος ῥύπος. Γραικοί. οἱ Ελληνες. ἀπὸ κώμης τινός. παρὰ τὸ ῥαῖσαι ῥαικὸς καὶ γραικός. καὶ γὰρ διὰ τὴν πολλὴν ἀνδρείαν οἱ Ελληνες ου τως ἐκαλοῦντο. Γραιοσόβαι. οἱ ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραΐδας, ὡς μὴ ἀγοράζειν. η οἱ γραΐσι συγκοιμώμενοι πόρναις. σοβὰς γὰρ ἡ πόρνη. Γρήνικοσ. ποταμός. ἐν ἐκείνῳ γὰρ τῷ ποταμῷ οἱ Γραικοὶ τοὺς βαρβάρους ἐνίκησαν. Γρήτησ. ὁ βυρσεύς. Γριπεύσ. ὁ ἁλιεύς. παρὰ τὸν γρίπον τὸ δίκτυον παρωνύμως. Γρίποσ. τὸ δίκτυον. παρὰ τὸ ἀγρεύειν, ἐνδείᾳ τοῦ α. τὸ αὐτὸ δὲ γρίφος καλεῖται, παρὰ τὸ γράφειν, ο ἐστι ξύειν. ὁ τὴν γῆν ξύων, γράφος καὶ γρίφος. Γρίντησ. ὁ ὑβριστής. Γρῖφοσ. ὁ δύσκολος. καὶ τὸ δίκτυον η ζήτημα καὶ αι νιγμα δύσκολον. τὰ εἰς ¯φ¯ο¯ς δισύλλαβα μονογενῆ ἀρσενικὰ ἑνὶ φωνήεντι παραλήγεται. gamma.452 οι ον λόφος, ζόφος, κέμφος. ου τω καὶ γρῖφος. τὸ δὲ ῥοῦφος οὐκ ε στιν ῾Ελληνικὸν, ἀλλ'' Ιταλικόν. μονογενῆ, διὰ τὸ κοῦφος. δισύλλαβα, διὰ τὸ φίλοιφος· σημαίνει δὲ τὸν φιλοσυνουσιαστήν. α λλως· πᾶσα λέξις ἀπὸ τῆς ¯γ¯ρ¯ι συλλαβῆς ἀρχομένη διὰ τοῦ ¯ι γράφεται, οι ον· γριντὶς, ὁ οὐρανός· γρῖνος, τὸ δέρμα· γρίσων, ὁ χοῖρος, καὶ ο νομα δρομέως παρ᾽ Αριστοφάνει. τὸ δὲ Γρηνικὸς ἀπὸ τοῦ κρήνη γέγονε κρηνικὸς, καὶ γενόμενον κύριον ἐβαρύνθη τροπῇ τοῦ ¯κ εἰς ¯γ· η ἀπὸ τοῦ γραικῶ καὶ τοῦ νικῶ Γραίνικος, καὶ μεταθέσει τοῦ ¯α¯ι εἰς ¯η Γρήνικος. Γριντήσ. ὁ οὐρανός. Γρῖνοσ. τὸ δέρμα. Γρίσσων. ὁ χοῖρος. καὶ ο νομα δρομέως παρ'' Αριστοφάνει. Γρυνοί. κορμοὶ δρύϊνες. κατ' ἐναλλαγὴν τοῦ ¯δ εἰς ¯γ. η τὰ τῶν γερανδρύων ξύλα. Γρύλλοσ. ὁ χοῖρος. (Θηλυκόν.) Γραμμή. μῆκος ἀπλατὲς, καὶ ἡ λεγομένη βαλβίς.᾽ Αριστοφάνης· πρόβαινε δὴ νῦν, ω θυμὲ, γραμμὴ δ' αὐτηΐ. ἀντὶ τοῦ ἀρχή. Γραμματείασ. ἐξαριθμήσεις. γραμματῆας δὲ τοὺς γραμματέας η. Γραπίσ. ἡ ἐῤῥυτιδωμένη. ἀπὸ τοῦ καταγεγράφθαι ταῖς ῥυτίσι. gamma.453 Γρᾶσ. ἡ τῶν μασχαλῶν δυσωδία. λέγεται καὶ ἡ γράσος. Γραστίσ. ἡ χλωρὰ κριθή. παρὰ τὸ γράω τὸ ἐσθίω. τούτου ὁ μέλλων γράσω. Γραυδήσ. λαμπὰς κατεσχισμένη καὶ κατεξυσμένη. παρὰ τὸ γράφω, ο σημαίνει τὸ ξύω. Γραῦσ. καὶ κλίνεται γραός. ε στι καὶ ἡ γραία, τῆς γραίας. Εὐριπίδης· γραία, μὴ τρέσῃς– τὸ δὲ ει ρηται παρὰ τὸ ῥαίω, ῥαῦς καὶ γραῦς, ἡ κατεξυσμένη τὸ σῶμα. ἀπὸ δὲ τοῦ γραία γέγονε γραῒς, γραΐδος, γραιΐδιον, καὶ κατὰ συγκοπὴν τῶν δύο ¯ι¯ι γραίδιον, ἀπὸ τοῦ γραίω. Γραφή. ζωγραφία, καὶ ἡ κατηγορία καὶ τὸ ε γκλημα. ἐξ ου καὶ γράφεται ἀντὶ τοῦ κατηγορεῖται. Γραμματική. λέξις διδάσκουσα ἡμᾶς τὰ νοούμενα γράφειν, καὶ τὰ ὡς πρός τινα ἐμμέτρως καὶ εὐρύθμως πραγματευθέντα μετὰ κρίσεως διηγουμένη. η τέχνη θεωρητικὴ καὶ λογικὴ, τὸ ευ λέγειν καὶ τὸ ευ πράττειν η γουν γράφειν διδάσκουσα ἡμᾶς· οὐ γὰρ πᾶς ὁ γράφων η ὁ ἀναγινώσκων λέγεται γραμματικὸς, ἀλλ' ὁ τὸν κανόνα καὶ τὸν ο ρον ἀποδιδούς. η τέχνη λογικὴ περὶ τὰ ὀκτὼ μέρη τοῦ λόγου καταγινομένη. ὀκτὼ δὲ μέρη τοῦ λόγου εἰσὶ ταῦτα· ο vogamma.454 μα· ῥῆμα· μετοχή· αρθρον· ἀντωνυμία· πρόθεσις· ἐπίῤῥημα· σύνδεσμος. η τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν. η ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπιπολὺ λεγομένων. τέλος δὲ γραμματικῆς τὸ μηδέποτε ἁμαρτάνειν μήτε περὶ μίαν λέξιν μήτε περὶ πλείονας· τὸ γὰρ ἁμαρτάνειν περὶ μίαν λέξιν βαρβαρισμός ἐστι· τὸ δὲ περὶ πλείονας σολοικισμός. Γρησίνη. πόλις Χεῤῥονήσου. Γρυμαία. ἡ σκευοθήκη. Γρυταί. ἐπισκευαί. Γρώνεια. πόλις Φωκίδος. Γρωνεὺς τὸ ἐθνικόν. Γρώνη. πέτρα τετρυπημένη καὶ κοίλη ἡ δεχομένη τὰ σχοινία. Γρόμφις η γρομφίσ. ἡ παλαιὰ σκρόφα. (Οὐδέτερον.) Γράμμα. ὁ τόνος, ὁ χαρακτήρ· ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιστολή· αὐτὸ τὸ γράμμα· τὸ σύγγραμμα· τὸ ζωγράφημα· καὶ ἡ τῶν παίδων ἀγωγὴ, η τις περὶ ψήφους καὶ χαρακτῆρας τῶν στοιχείων γίνεται. Γράμματα. οἱ χαρακτῆρες τῶν στοιχείων παρὰ τὸ γράφεσθαι, ο ἐστι ξέεσθαι. Γράμμα πεζόν. τὸ Ἰουδαϊκὸν καὶ σκιῶδες, ὡς μὴ ἐπαγγελλόμενον βασιλείαν οὐρανῶν. gamma.455 Γράμματα, ο τε γράφονται· διὰ τὸ τυποῦσθαι γραμμαῖς καὶ ξυσμοῖς. στοιχεῖα δὲ, ο τε ἀναγινώσκονται. Γραμματείδιον καὶ γραμματεῖον. τὸ συμβόλαιον. Γραμμάτιον δὲ, τὸ μικρὸν γράμμα, ¯ι. Γραμματείου. διδασκαλίου. α τε προηγούμενος ἀνελπίστως, ἐκ τοῦ γραμματείου καὶ τῆς τοιαύτης διαθέσεως πολὺς ἐπέπνει. Γρῖφον. δύσκολον η ζήτημα αἰνιγματῶδες. ε νθεν καὶ τὸ κέρδος γρίπισμα φασὶ, παρὰ τὸ ἀγρεύειν, ο ἐστι ζητεῖν· ο περ παρακολουθεῖ τῇ α γρᾳ. λέγεται ου ν καὶ γρῖφος ἀρσενικῶς, τὸ δύσκολον αι νιγμα. ι στων γὰρ φιάλην, γέμουσαν οι νων, καὶ ε λεγον αἰνίγματα ἐν τοῖς συμποσίοις ἀλλήλοις· καὶ εἰ ἐπελύσατο ὁ ἀπορηθεὶς, ε πινε τὸν οι νον. Γρίπισμα. ποτικὸν ζήτημα η ἐπιτραπέζιον ᾀ σμα. Γρῦ. τὸ βραχὺ, τὸ τυχόν. ε νιοι δὲ τὸν ἀπὸ τῶν ὀνύχων ῥύπον η ει δος μικροῦ νομίσματος. Γρυπόν. καμπυλόῤῥινον. ὀξύῤῥινον. γρυπὸν καὶ γρυπός. ῥὺβ ἐστὶ τὸ ἐπικαμπὲς παρὰ Αἰολεῦσιν, η τοι ῥαιβός· καὶ τροπῇ τοῦ ¯β εἰς ¯π, πλεονασμῷ τοῦ ¯γ, γρυπός. η παρὰ τὸ ῥέπω ῥεπὸς καὶ γρυπός· ἡ ἐφ' ἑνὶ τῷ μέρει ῥέπουσα ῥίν. Γράμμα πεζόν. ἡ βασιλικὴ κέλευσις. ου τως ὁ θεόλογος· εἰς ο ν οὐ τὸ γράμμα εἰσάγει τὸ πεζόν. *Γρηΐδιον. τὸ γραΐδιον.* gamma.456 (Ῥῆμα.) Γράφεται. ἀντὶ τοῦ γράφει καὶ ἀντὶ τοῦ κατηγορεῖ. γράφεσθαι καὶ τὸ ξύεσθαι, παρὰ τὸ γράπτω τὸ κοιλαίνω. Γράψαι. κοιλάναι. διασκάψαι. Γράψομαι. κατηγορήσω. Ἀριστοφάνης· –γράψομαι Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα. Γριπίζω. τὸ κερδαίνω. Γριπεῦσαι. ἰχθῦς θηρεῦσαι. καὶ γριπεὺς ὁ ἁλιεὺς, καὶ γρῖφος τὸ δίκτυον. Γρύξαι. κράξαι. Γρύζω. θρηνῶ. καὶ τὸ τῇ φωνῇ ὑποκλέπτειν καὶ λαλεῖν. Γρυλλίζειν καὶ γρύζειν. ἐπὶ χοίρων. Γρυπανίζειν. σείεσθαι τὴν γῆν βαλλομένην ὑπὸ σεισμοῦ. Ἀντιφῶν· καίων γὰρ τὴν γῆν καὶ συντήκων γρυπάνων ποιεῖ. καὶ σεισμὸς γάρ φησι γέγονε καὶ ε γρυπεν ἡ γῆ. Γρυπαίνειν. τὸ γρυποῦσθαι. οι ον ἐπὶ τῶν ἁπαλῶν ξυλιφίων, ο ταν κάμψαντες ἀφῶμεν αὐτά. Γρυῶ. τὸ προσφωνῶ. Γρῶ. τὸ ἐσθίω. Γράφω. τὸ ἐπιστέλλω, μετὰ δοτικῆς. εἰ δὲ σημαίνει τὸ κατηγορῶ, μετὰ αἰτιατικῆς. Τὸ Γ μετὰ τοῦ Υ. (Ἀρσενικόν.) Γύγησ. κύριον. Γύγου δακτύλιοσ. ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων. gamma.457 Γύησ. μέτρον γῆς, καὶ μέρος ἀρότρου. Ομηρος ἐν συνθέσει πεντηκοντόγυον. καὶ Ἡσίοδος, οι ον· πρίνου δὲ γύην, βόε– παρὰ τὸ γαῖα γίνεται γύη, ι ν' ῃ ἡ γύη, τῆς γύης· καὶ μεταχθείσης τῆς γενικῆς εἰς εὐθεῖαν γίνεται ὁ γύης, ω σπερ ἡ ἀράχνη, τῆς ἀράχνης, καὶ ὁ ἀράχνης, τοῦ ἀράχνου. Γυλιαύχενασ. μακροτραχήλους. Γυμνῆται, καὶ γυμνῆτεσ. τάξεις πεζῶν. Γυμνόσ. ὁ α νευ ἱματίων. ω σπερ παρὰ τὸ σκύζω, τὸ ὀργίζομαι, γίνεται σκύμνος, καὶ σέβω σεμνὸς, ου τω καὶ κύπτω κυπτὸς καὶ γυμνός. ὁ γὰρ τοιοῦτος κύπτει, κρύπτων τὰ αἰδοῖα ὑπ' αἰδοῦς. η παρὰ τὸ τὰ γυῖα μόνα ε χειν, τουτέστι τὰ μέλη. Γυμνοσοφισταί. οἱ φιλόσοφοι παρὰ Βαβυλωνίοις. Γύνισ. μαλακός. γυναικώδης. ἀνδρόγυνος. παρὰ τὸ γυνὴ παρωνύμως. ὡς δάφνη, Δαφνὶς, νύμφη, νυμφίς· ου τως γυνὴ, γύνις. Γυναικώδεισ. οἱ εὐνοῦχοι. Γυναικοϊέρακεσ. οἱ περὶ ε ρωτας ἐπτοημένοι. Γυναικίασ. ὁ θηλυμανὴς ἀνήρ. Γυναιμανήσ. ὁ ἐπὶ γυναιξὶ μαινόμενος, ὁ ἀκόλαστος. Γυναιμανέσ. οὐκ ἀπὸ τῆς γύναι κλητικῆς ε χει τὴν σύνθεσιν, ἀλλ' ἀπὸ τῆς γενικῆς· τὰ γὰρ ἐκ δύο τελείων συντιθέμενα ὀνόματα, η ἀπὸ εὐθείας συντίθεται, ὡς τὸ ζωὴ, ζωηφόρος, καὶ ε ως, ἑωσφόρος· η ἀπὸ γενικῆς, οὐδεὶς οὐδενὸς, οὐδενόσωρα· η ἀπὸ δοτικῆς, ὡς τὸ α ρη, ἀρηΐφιλος· η ἀπὸ αἰτιατικῆς, ὡς τὸ πόδα, Ποδαλείριος. gamma.458 μόνον δὲ ἀπὸ κλητικῆς οὐ γίνεται σύνθετον· ἐπειδὴ πᾶσα πτῶσις τριπρόσωπος ἐστὶν α νευ τῆς κλητικῆς. ἡ δὲ κλητικὴ αὐτοτελής ἐστι καὶ πολλάκις τέλειον λόγον ἀποπληροῖ, ὡς τό· ω μάκαρ Ἀτρείδη μοιριγενὲς ὀλβιόδαιμον. τὸ δὲ τέλειον μετὰ ἀτελοῦς οὐ συντίθεται. τὸ ου ν γυναιμανὲς ἀπὸ τῆς γυναικὸς λέγομεν γεγενῆσθαι,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γυναικομανὲς, καὶ ἐν συγκοπῇ γυναιμανές. η λέγομεν, ω σπερ παρὰ τὸ τιμὴ γίνεται Τιμόθεος, ου τως καὶ ἀπὸ τοῦ γυνὴ γυνομανὲς καὶ γυναιμανὲς, κατὰ μετάθεσιν τοῦ ¯ο εἰς τὴν ¯α¯ι δίφθογγον, ὡς μεσοπόλιος, μεσαιπόλιος, καὶ Κλυτομνήστρα, Κλυταιμνήστρα. Γύργαθοσ. τὸ δίκτυον. Γυρῖνοι. οἱ μικροὶ βάτραχοι. *παρὰ τὸ γυρὸν, τὸ περιφερές. τοιοῦτοι γὰρ καὶ οἱ μικροὶ βάτραχοι.*᾿Αριστοφάνης· οι ον πατέρες βοῶσι γυρίνων. Γῦροσ. κύκλος, στρογγύλος καὶ περιφερής. Γυμνόσ. τριχῶς ἐξηγεῖται τὸ γυμνὸς ἐπὶ τῆς τοῦ᾿Αδὰμ γυμνότητος. γυμνὸς κατὰ τὴν ἁπλότητα τοῦ τρόπου· ου πω γὰρ ἡ διπλόη ἐπετηδεύθη καὶ ἡ πονηρία. γυμνὸς κατὰ τὴν α τεχνον ζωήν· υ στερον γὰρ αἱ τέχναι εὑρέθησαν. γυμνὸς καὶ κατὰ τὰ α μφια· υ στερον δὲ καὶ ταῦτα ἐπενοήθησαν. (Θηλυκόν.) Γύαροσ. νῆσος μία τῶν Σποράδων. λέγεται δὲ, ο τι ἐν ταύτῃ οἱ μῦες η γουν οἱ ποντικοὶ διατρώγουσι τὸν σίδηρον. Γυμνοπαιδία. ἡ παλαίστρα. gamma.459 Γυμνῆτισ. γυνὴ γυμνητεία. Γυμνασία. ἡ τριβή. Γυναίκισισ. ἡ γυναικεία μίμησις. πρὶν τῆς ἑτέρας γυναικίσεως δίκην δοῦναι. γυναικεία φύσις διφθόγγως. Γυνή. παρὰ τὸ γῶ, τὸ λαμβάνω καὶ δέχομαι, γίνεται γυνή· ἡ δεκτικὴ τοῦ σπέρματος. η παρὰ τὸ γόνω, τὸ τίκτω, γίνεται γονὴ καὶ τροπῇ τοῦ ¯ο εἰς ¯υ Αἰολικῶς γυνή. ὡς ο μοιον, υ μοιον. τὸ δὲ γυνὴ α κλιτόν ἐστι· συστέλλει δὲ τὸ ¯υ. εἰκότως ου ν ὡς μονῆρες α κλιτον ε μεινεν. ευ ρηται δὲ καὶ τὴν γυνήν. οι ον· ὡς α τοπόν ἐστι καὶ μητέρα ει ναι καὶ γυνήν. Γυρίησ. περιφεροῦς. Γυρινώ. ο νομα κύριον. παρὰ τὸ γύρινος Γυρινὼ, ὡς κάλλιστος Καλλιστὼ, καὶ κλέος Κλεὼ καὶ Κλειώ. Γύψοσ. οἱονεὶ γύεψος τὶς ου σα, ο ἐστιν ἡ ἑψεθεῖσα γῆ. Γυιοκόρουσ. τὰς κατεσθιούσας τὰ μέλη μέχρι κόρου. ῾Ησίοδος· καὶ γυιοκόρους μελεδῶνας. (Οὐδέτερον.) Γύαλον. τὸ κοῖλον. οι ον· θώρηκος γύαλον. παρὰ τὸ γῶ, τὸ χωρῶ καὶ λαμβάνω, γίνεται παράγωγον γύω, ἀφ' ου γυὸν καὶ πλεονασμῷ τῆς ¯α¯λ συλλαβῆς γύαλον. ὡς πτύω, πτύαλον. Γυῖα. τὰ γόνατα καὶ τὰ λοιπὰ μέλη. κυρίως δὲ ἐπὶ τῶν ποδῶν λέγεται, παρὰ τὸ ἐπὶ τῆς gamma.460 γύης, ο ἐστι γῆς, ἰέναι· ἐπὶ ταύτης γὰρ βέβηκε. καὶ ἡ πρώτη κίνησις τῶν ἀνθρώπων διὰ χειρῶν καὶ ποδῶν γίνεται. η παρὰ τὸ τὴν γῆν γίνεται γήϊα καὶ τροπῇ τοῦ ¯η εἰς ¯υ γυῖα, ὡς ἁλμηρὸς, ἁλμυρός. τάττεται δὲ καὶ ἐπὶ τῶν χειρῶν. οι ον· γυῖα δ' ε θηκεν ἐλαφρά–. γίνεται παρὰ τὸ γῶ, τὸ χωρῶ καὶ λαμβάνω, γύω καὶ γῦον. ὡς πτῶ πτύον, καὶ θῶ θύον. οι ον· κέδρου τ' εὐκεάτου θύου τ' ἀνὰ νῆσον ὀδώδει. καὶ πλεονασμῷ τοῦ ¯ι γυῖον, ι ν' ῃ τὸ λαμβάνον καὶ δεχόμενον. δύναται καὶ ἐπὶ τῶν μικρῶν παιδίων τάττεσθαι ἡ λέξις· ταῦτα γὰρ χερσὶ καὶ ποσὶ βαίνουσιν ἐπὶ τῆς γύης, ο ἐστι τῆς γῆς. Γυμνάσια. κυνήγια· ἀλειπτήρια· λοῦτρα· η ἱππικόν. τρία γυμνάσια τῆς᾿Αττικῆς·᾿Ακαδημία, Λύκειον, Κυνόσαργες. Γύλιον. ἀγγεῖον πλεκτὸν ἀπὸ φοινίκων. Γυπαρίοισ. στενοῖς χωρίοις. φωλεαῖς· καλιαῖς. Γύῤῥον. κυρτὸν, στρογγύλον. (῾Ρῆμα.) Γυιώσω. βλάψω. γυιῶ· ἐξ ου καὶ τό· γυιώσω μὲν σφῶϊ. Γυμνητεύω. Γυμνάσαι. τὸ εἰς φῶς ἀγαγεῖν. Γυναικιζόμενοσ. θηλυνόμενος. Γυνομανῶ. ἀκολασταίνω. gamma.461 Γυρῶσαι. φιαλῶσαι, περιφράξαι. παρὰ τὸ γύρον ποιεῖν ἐν τῷ περιφράσσειν. Γύμναζε. ἀντὶ τοῦ ε θιζε. ὁ ᾿Απόστολος· γύμναζε δὲ ἑαυτὸν πρὸς εὐσέβειαν. Τὸ Γ μετὰ τοῦ Ω. (᾿Αρσενικόν.) Γωβρύασ. κύριον. Γωβάρης η Γώβαρισ. κύριον. Γώγης καὶ Γωγιδίσκος. κύρια. Γώδασ. κύριον. Γωλειόσ. φωλεὸς, σπήλαιον. Γώνυμοσ. ὁ φερώνυμος. Γωνιασμούσ. ἀποφυγάς· ἀπαγωγάς. ε δειξα τουτουσὶ ἐπὶ λεπτῶν κανόνων εἰσβολὰς, ἐπῶν δὲ γωνιασμούς. Γωρυτόσ. ἡ ξιφοθήκη. χωρυτός τις ω ν· τροπῇ τοῦ χ εἰς γ. εἰς ο ν χωροῦσι τὰ ῥυτά· τουτέστι τὰ τόξα. γράφεται καὶ ἡ γωρυτός. Γώγ. κύριον. Γώυνος. κύριον. Γωσίθρας· Γωβίασ. κύρια. (Θηλυκόν.) Γωβαρηνὴ καὶ Γωγώνη. κύρια. Γωνία. ἡ τοῦ οι κου. καὶ γωνιασμός. γωνίᾳ πορθμῶσαι, τὸ ἐν γωνίᾳ ὑπὸ τινὸς περανθῆναι. γωνία παρὰ τὸ γόnu. τὸ κτητικὸν γωνία, κατὰ ε κτασιν τοῦ ¯ο εἰς ¯ω, ο περ ἐπικαμπεῖ τὲ καὶ κεκλασμένῳ σχήματι μεταπεποίηται. γωνία τὸ ¯ν¯ι ἰῶτα διατί; τὰ διὰ τοῦ ¯ε¯ι¯α θηλυκὰ μονογενῆ, πρὸ μιᾶς τὸν τόνον ε χοντα, ὑπὲρ δύο συλλαβὰς,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὴ ο ντα ἀπὸ τῶν εἰς ¯ε¯υ¯ς η ¯ε¯υ¯ω, μήτε σύνθετα ἀφ' ἁπλοῦ, ε χει τὴν ¯ε¯ι δίφθογgamma.462 γον, μήτε λεγόμενα καὶ εἰς ¯ο¯ν οὐδέτερα, μήτε ἀπὸ παροξυτόνου κατὰ κρᾶσιν γινόμενα, μήτε κατὰ διάστασιν εὑρισκόμενα, μήτε ἀττικῶς ἐκτείνοντα τὸ ¯α καὶ παροξυθέντα, διὰ τοῦ ¯ι γράφονται. οι ον· ἀνία, ἀξία, μανία, ἠρεμία. πρόσκειται μονογενῆ, διὰ τὸ Πολυδευκεία χεὶρ καὶ᾽Αγαμεμνονεία. ὁ ᾽Αγαμεμνόνειος γὰρ καὶ τὸ᾽Αγαμεμνόνειον. πρόσκειται πρὸ μιᾶς τὸν τόνον ε χοντα, διὰ τὸ εὐσέβεια. πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ μνεία καὶ χρεία. πρόσκειται μὴ ἀπὸ τῶν εἰς ¯ε¯υ¯ς, μὴ ἀπὸ τῶν εἰς ¯ε¯υ¯ω, διὰ τὸ ταχὺς, ταχεῖα, δουλεύω, δουλεία. πρόσκειται μὴ σύνθετα, μὴ ἀπὸ ἁπλοῦ ε χει τὴν ¯ε¯ι δίφθογγον, ἐπειδὴ ἀπὸ τοῦ δεία, τοῦ σημαίνοντος τὴν ε νδειαν, γέγονε σιτοδεία. πρόσκειται μὴ λεγόμενα εἰς ¯ο¯ν οὐδέτερα, διὰ τὸ ἐλεγεῖον, ἐλεγεία. πρόσκειται μὴ κατὰ διάστασιν, διὰ τὸ ἀνδρεία τὸ ἐπὶ ἀρετῆς. τοῦτο ὁ μὲν᾽Απολλώνιος διὰ τοῦ ¯ι γράφει, ὁ δὲ Ωρος διὰ διφθόγγου. ευ ρηται γὰρ κατὰ διάστασιν, ἀνδρεία. πρόσκειται μὴ ἀττικῶς ἐκτείνοντα τὸ ¯α καὶ παροξυθέντα, ἐπειδὴ τὸ ἱέρεια καὶ ευ κλεια ἀττικῶς καταβιβάζει τὸν τόνον καὶ τὸ ¯α ἐκτείνουσι. τοιοῦτον καὶ τὸ θυεία, ο σημαίνει τὴν ι γδην. ἀττικῶς ἐκτείνοντες τὸ ¯α, καὶ καταβιβάσαντες τὸν τόνον, καὶ τὴν αὐτὴν γραφὴν ἐφύλαξαν. τὸ δὲ νωθεία, ἡ ἀργία, οὐκ ε στιν ἀπὸ τοῦ νωθεύω· ἐκεῖνο γὰρ διὰ τοῦ ¯ο μικροῦ· ἀλλ' ι σως ἀπὸ τοῦ νωθρὸς, νωθρεύω, νωθρεία, καὶ κατὰ ἀποβολὴν τοῦ ¯ρ νωθεία. *Γωλειά. ὁ φωλεός.* (῾Ρῆμα.) Γῶ. τὸ χωρῶ· καὶ λαμβάνω καὶ δέχομαι. delta.463 Δ. Τὸ Δ μετὰ τοῦ Α. (᾽Αρσενικόν.) Δαβειρή. κύριον. Δαβήρ. τὰ α για τῶν ἁγίων ὀνομάζει. Δαβαινίτησ. ἀπὸ Δαβαίνης τόπου. Δαγίσθαιοσ. κύριον. Δαήμων. ἐπιστήμων, ε μπειρος. παρὰ τὸ δαίω, δαῶ, δαήσω, δεδάηκα, δεδάημαι, δαήμων. Δαήρ. ἀνδράδελφος. παρὰ τὸ δαίω. δαὴρ αυ τ' ἐμὸς ε σκε κυνώπιδος. Δαΐφρων. συνετὸς, πολεμικός. παρὰ τὸ δαίω, τὸ μανθάνω καὶ γινώσκω. ι ν' ῃ ὁ δεδαηκὼς φρόνησιν. η παρὰ τὸ ¯δ¯α ἐπιτατικόν. ὁ δὲ πολεμικὸς παρὰ τὴν δαῒ δοτικὴν, ο σημαίνει τὴν μάχην. ὁ τὰ περὶ τὸν πόλεμον φρονῶν. Δαιτυμόνεσ. εὐωχηταὶ, ἀριστηταί. Δαιμόνιε. ἀντὶ τοῦ μακάριε. Δαιδαλόχειρ. ὁ ποικίλα καὶ ἐξαίσια ταῖς χερσὶν ἐργαζόμενος. Δαίδαλοσ. ὁ ποικίλος. καὶ ο νομα κύριον. ο ς η ν πάνυ ποικιλτὴς καὶ ἐπινοήμων. παρὰ τὸ δαίω, τὸ μανθάνω η τὸ ἐπίσταμαι, δαίαλος, ὁ ἐπιστήμων, καὶ πλεονασμῷ τοῦ ¯δ δαίδαλος. ἐκ τούτου δαιδάλλω. τὸ δαιδάλειος ἀπὸ τοῦ δαιδάλω. ἀπὸ τοῦ δαιδάλειος δὲ τὸ δαιδάλεον κατὰ ἀποβολὴν τοῦ ἰῶτα. delta.464 Δαιτρόσ. μεριστὴς, μάγειρος. παρὰ τὸ δαίω, τὸ μερίζω, δαιτρός. ἐξ ου καὶ τὸ δαιτρεύω. Δαίτωρ. ο νομα κύριον. καὶ ὁ εὐωχητής. παρὰ τὸ δαίω, τὸ μερίζω, δαίτωρ, ὡς πράξω πράκτωρ. Δαιταλεῖσ. οἱ δαιτυμόνες καὶ θιασῶται. ᾽Αριστοφάνης. –ἐπιδείπνιον θέαν τοῖς δαιταλεῦσιν ὁ βασιλεὺς χαριζόμενος. Δάκεσ. οἱ Πατζινάκαι. Δακρυόεις καὶ δακρυόεσσα. ἀπὸ τοῦ δάκρυον. Δάκτυλοι. οἱ βάλανοι τοῦ φοίνικος. Δάκτυλοσ. παρὰ τὸ δράσσω, δράκτυλος τὶς ω ν. η παρὰ τὸ δέχω, δέξω, δέδεχα, δέδεγμαι, δέδεκται, δάκτυλος, οἱ δεκτικοὶ ο ντες τῶν διδομένων. η παρὰ τὸ δείκω, τὸ δεικνύω, δείκτυλοι καὶ δάκτυλοι· δι' αὐτῶν γὰρ ἡ δεῖξις γίνεται. Δακτύλιοσ. ἡ σφραγίς. καὶ τὸν δακτύλιον αὐτοῦ περιελὼν ἐτύπωσεν ἐπιστολήν. ἀπὸ τοῦ παρὰ τὸν δάκτυλον ἰέναι. δακτύλιοι καὶ οἱ τετρυπημένοι λίθοι, ἀφ' ου τὰ ἀπόγεια σχοινία ἀνάπτουσι. Δαλόσ. λαμπὰς η ξύλον καιόμενον. παρὰ τὸ δαίω δαλὸς καὶ δαυλός. η παρὰ τὸ δαίω, δαίσω, δαυλὸς, ὡς αυ ω, αυ σω, αὐλός. Δαμασίφρων. ὁ ἀπατῆσαι δυνάμενος. Πίνδαρος· δαμασίφρονα χρυσόν. Δαμάσκιος. στωϊκὸς φιλόσοφος, Σύρος. delta.465 Δαμᾶσ. κύριον. παρὰ τὸ δαμάσω μέλλοντα. ὡς θαυμάσω, Θαυμᾶς. Δάμασοσ. κύριον. παρὰ τὸ δαμάζω, δαμάσω, Δάμασος. Δαμάστωρ. ἐκ τοῦ δεδάμασται· ὡς τετέλεσται τελέστωρ. Δάμισ. κύριον. παρὰ τὸ δῆμος γίνεται δῆμις καὶ δάμις. ὡς ἀπὸ τῆς δουρὸς γενικῆς Δοῦρις. Δανιήλ. κύριον. διάκρισις ἑρμηνεύεται. Δαναοί. οἱ Ελληνες. ἀπὸ τοῦ Δαναοῦ η ἀπὸ Δάνου τοῦ βασιλέως. Δασμολόγοι. φορολόγοι, ἀπαιτηταί. Δασμόσ. ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μερισμός. παρὰ τὸ δάζω· ὡς σκεδάζω σπεδασμός. Δάσκιοσ. πολύσκιος. παρὰ τὸ ¯δ¯α ἐπιτατικὸν μόριον. Δασύλλιοσ. ὁ Διόνυσος. παρὰ τὸ δασύνειν τὰς ἀμπέλους. Δατηταί. οἱ διανεμηταί. ἐκ τοῦ δασῶ καὶ δατούμεθα, ο σημαίνει τὸ μεριζόμεθα. οι ον· –χθόνα ποσὶ δατεῦντο. καί· δατευόμεθα ληΐδ' Ἀχαιοί. ἀπὸ τοῦ δαίω, τὸ μερίζω, ἀφ' ου τὸ δάζω καὶ δάσω, γίνεται δαστὸς, δαστῶ, καὶ ἐνδείᾳ τοῦ ς δατῶ· ἐκ τοῦ δατῶ δατήσω, δεδάτηκα, δεδάτημαι, δατητὴς, καὶ κλίνεται δατητοῦ. Δάτισ. κύριον. ο ς Πέρσης ω ν ἐπετήδευσεν ἑλληνίζειν· ο ν λέγουσι φάναι χαίρομαι ἀντὶ τοῦ χαίρω. Δατοῖσ. δόλοις. πανουργεύμασι. delta.466 Δαυίδ. κύριον. ἑρμηνεύεται πεποθημένος, η ἐξουθενημένος, η ἱκανὸς χειρί. ἐφιλεῖτο γὰρ τῷ θεῷ ὁ προφήτης, λέγοντι· ευ ρον Δαυὶδ τὸν τοῦ Ἰσσαὶ, α νδρα κατὰ τὴν καρδίαν μου. ἐξουθενεῖτο δὲ τοῖς περὶ τὸν Σαοὺλ καὶ τοῖς ἀδελφοῖς. ἱκανὸς δὲ η ν τῇ χειρὶ, ὡς ἐν πολέμοις ε χων τὸ πρακτικὸν καὶ δραστήριον. Δαυλόσ. παρὰ τὸν δαίσω μέλλοντα, δαιλὸς καὶ τροπῇ τοῦ ι εἰς υ δαυλός. Δαῦλοσ. ὁ δασύς. παρὰ τὸ δάσος γίνεται δασῶ ῥῆμα, ὡς τεῖχος, τειχῶ· ἀφ' ου Πίνδαρος τετείχηται. καὶ κατὰ παραγωγὴν δασαύνω· ὡς χρῶ χραύω, καὶ ψῶ ψαύω· ει τα κατὰ συγκοπὴν δαύω, ὁ μέλλων δαύσω. καὶ ὡς παύσω γίνεται Παῦλος, ου τως καὶ δαύσω δαῦλος, ὁ δασύς. Δαφοινόσ. ὁ α γαν φόνιος η πυρὸς κατὰ νῶτα. δαφοινὴν ἀσπίδα. παρὰ τὸ δαίω τὸ καίω. η παρὰ τὸ ¯δ¯α καὶ τὸ φόνος. Δαψιλέστατοσ. πολυτελέστατος, πλουσιώτατος. λέγεται καὶ ἐπὶ ῥευμάτων καὶ ἐπὶ μεγαλοψυχούντων. Δαγών. ει δωλον ὑπὸ τῶν ἀλλοφύλων θεραπευόμενον, ᾡ τὴν κιβωτὸν λαβόντες ἀνέθεσαν. Δαξισμόσ. .... Δαμασκόσ. πόλις Συρίας, παρὰ τὸν Ἀντιλίβανον. ει ρηται, ο τι Δαμᾶς, στρατεύων μετὰ Διονύσου, ἐκεῖσε σκηνὴν πηξάμενος, ἱδρύσατο Συρίας θεοῦ ξόανον. ἡ Δαμᾶ σκηνὴ, Δαμασκός. η ο τι ει ς τῶν γιγάντων, Ἀσκὸς ο νομα, α μα Λυκούργῳ δήσας τὸν Διόνυσον, ε ῥῥιψε τῷ nodelta.467 ταμῷ. ἐφονεύθη δὲ ὑπὸ Ἑρμοῦ ου τος, καὶ Ἀσκὸς ἐδάρη, καὶ ἐκεῖ ἐτάφη. καὶ ἐκ τούτου ἡ πόλις Δαμασκὸς ἐκλήθη. καὶ τὰ οἰνοδόχα δὲ δέρματα ἀσκοὺς καλοῦσι. λέγεται καὶ ἡ Δαμασκός. *Δαμασκὸς Ἐλιέζερ. ἀντὶ τοῦ Δαμασκηνός.* Δάρησ. κύριον. παρὰ τὸ δέρω τὸ ἐκδέρω. ἱερεὺς γὰρ η ν. Δαφνών. παρὰ τὸ δάφνη. τὸ δὲ δάφνη παρὰ τὸ δαίω τὸ καίω. ἡ φωνοῦσα ἐν τῷ καίεσθαι. (Θηλυκόν.) Δαΐσ. ἡ μάχη. παρὰ τὸ δαίω, ὁ μέλλων δαίσω, ἀποβολῇ τοῦ ¯ω δαὶς, καὶ κατὰ διάλυσιν δαΐς. ἐν δαῒ λυγρῇ. η παρὰ τὸ δαίω τὸ κόπτω, κατὰ διάλυσιν δαΐω, πλεονασμῷ τοῦ ζ δαΐζω, ὁ μέλλων δαΐσω, ἀποβολῇ τοῦ ¯ω δαΐς. Δαΐαν ὁδόν. ἀγωνιστικήν· ε μπειρον. ἀπὸ τοῦ δαῆναι, ο ἐστι μαθεῖν. Δᾷδα. λαμπάδα. Δακρυόεσσα. ἀπὸ τοῦ δάκρυον. Δάβα. πόλις. Δαίσ. ἡ εὐωχία. Δαιτίσ. τόπος ἐν Ἐφέσῳ. ει ρηται ἀπὸ τοῦ Λυδὸν τὸν κάπηλον αὐτόθι κατοικήσαντα παρέχειν τὰ πρὸς δαῖτα τοῖς ἐπιξενουμένοις. η ν δὲ τὸ κύριον αὐτοῦ ο νομα Εφεσος, ἀφ' ου καὶ ἡ πόλις. delta.468 Δαισάνη. ἡ πτισσάνη. ἀπὸ τοῦ σίτου ἑψημένου ἑψηθεῖσα. ει ρηται δὲ παρὰ τὸ δαίσασθαι· τὴν γὰρ πρώτην τροφὴν, πρὸ τῆς εὑρήσεως τῶν α ρτων, ου τως ἐποιοῦντο. Δάμαρ. γυνή. δαμετή. παρὰ τὸν γάμον, γάμαρ καὶ δάμαρ. λέγεται καὶ δάμαρις, ε νθεν ἡ δάμαρτος γενική· εἰ μὴ α ρα πλεονασμῷ τοῦ ¯τ ἀπὸ τῆς εἰς ¯ρ εὐθείας. Δανάκη. ο νομα νομίσματος, ο ε δωκαν τοῖς νεκροῖς πάλαι λόγῳ περάματος ἐν Ἀχερουσίᾳ, η τις ἐστὶ λίμνη ᾳ δου. Δανάη. κύριον. κρίθητι καὶ σύ. οὐκ ει Δανάη ἡ Ἀκρισίου. Δάπιδασ. τὰ ἐπεύχια. λέγει δὲ ψιλὰς καὶ μὴ μαλλωτάς. Ἀριστοφάνης· οὐδ' ἐν δάπισιν ε σται καταδαρθεῖν. τάπησι δὲ, η τα. Δαπάνη. παρὰ τὸ δάπτω, ο σημαίνει τὸ μετὰ σπαραγμοῦ ἐσθίω. Δασεῖα. ποιότης συλλαβῆς, ἐκ τοῦ θώρακος πεμπομένη. η παρὰ τὸ ¯δ¯α ἐπιτατικὸν μόριον καὶ τὸ ευ ω ῥῆμα, ο σημαίνει τὸ ὁρμῶ. η παρὰ τὸ μεγίστην καὶ σφοδρὰν ει ναι πρὸς σύγκρισιν τῆς ψιλῆς. *Δαμασκόσ. ἑρμηνεύεται αι μα σάκκου.* Δασπλῆτισ. ἡ ἀπροσπέλαστος. η ἐπὶ κακῷ προσπελάζουσα. η ῃ τινι οὐκ α ν τις προσπελάσῃ διὰ τὸν φόβον. παρὰ τὸ ¯δ¯α ἐπιτατικόν. η δυσπλῆdelta.469 τις παρὰ τὸ πλήσσειν τοὺς ἁμαρτωλούς. Θεόκριτος δὲ Ἑκάτην αὐτὴν λέγει. Δάσκιοσ. πολύσκιος. παρὰ τὸ ¯δ¯α



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιτατικόν. δάσκιον εἰσελάσαντες ε λος. Δαυλίσ. πόλις ἐν τῷ Παρνασσῷ κειμένη. Δαυλία. δασεῖα. δαυλία κορώνη, ἀηδών. Δαυΐδειος σορὸς καὶ Δαυΐδειον μέλοσ. τὸ τοῦ Δαυΐδ. Δάφνη. δαοφώνη τὶς ου σα, ἡ ἐν τῷ δαίεσθαι φωνοῦσα. Δαφνοῦσ. πόλις Φοινίκης. ἀρσενικῶς. ὁ πολίτης Δαφνούτιος, η Δαφνούσιος, καὶ θηλυκῶς Δαφνουσίς. τὸ ἐθνικὸν Δαφνουσαῖος. ε στι καὶ Δαφνουσὶς λίμνη, πλησίον τοῦ ᾿Ολύμπου τοῦ Βιθυνοῦ. Δαψίλεια. πλουσιότης. Δασυλίδεσ. αἱ δασεῖαι. *Δάφνη. παρὰ τὸ δαίω τὸ καίω, ἡ φωνοῦσα ἐν τῷ δαίεσθαι, ο ἐστι καίεσθαι.* (Οὐδέτερον.) Δαίδαλα. τὰ ποικίλα κατασκευάσματα. Δαῖασ. τέρας πολεμικόν. Δάκος καὶ δάketa. θηρία. ἰοβόλα ἑρπετά. ἡ εὐθεῖα τὸ δάκος. ἐμὲ δεῖ φεύγειν δάκος ἀδινὸν καὶ κατηγορίαν. τὸ δὲ δάκετον παρὰ τὸ δάκνω, δάκνετον καὶ δάκετον. σημαίνει δὲ τὸ δάκος καὶ δῆγμα, οι ον· σῆμα δέ τι δάκεος αἱμοῤῥόου. delta.470 Δαιτήριον. μεριστήριον. ἀπὸ τοῦ δαῖσαι τὸ μερίσαι. Δάκρυον. φθαρτῆς φύσεως ἰδίωμα, ο περ ᾿Αδὰμ πρὸ τῆς παραβάσεως οὐκ ἐκέκτητο. παρὰ τὸ δάκνω δάκνυον καὶ δάκρυον· δακνομένης γὰρ τῆς ψυχῆς ἐξέρχεται τὸ δάκρυον. η ἀπὸ τοῦ δήκω, ε νθεν ε δακον. θυμοδακὴς γὰρ μῦθος τὸ δάκρυον. τὸ πληθυντικὸν τὰ δάκρυα, ἡ δοτικὴ δακρύοις. πόθεν ου ν τὸ δάκρυσιν; ἡ ἐπὶ τέλει συλλαβὴ ἡ τοῖς εἰς ἰῶτα τρέπεται· προβάτοις, πρόβασιν, ἐγκάτοις, ε γκασι, πετάλοις, πέταλσι. πᾶν γὰρ εἰς ἰῶτα, ε χον ἀμετάβολον πρὸ τέλους, τοῦτο ε χει ἐν τῇ εὐθείᾳ, ῥήτορσι, ῥήτωρ. τὸ δὲ δάκρυ γέγονεν ἀπὸ τοῦ δακρύμην, οὐ κατὰ ἀποκοπὴν, ἀλλὰ κατὰ σχηματισμόν. τὸ δάκρυ τοίνυν, ἡ γενικὴ δάκρεος, ἡ δοτικὴ δάκρος· καὶ τὸ πληθυντικὸν δάκρεα, ὡς πώεα, α στεα. η ἀπὸ τοῦ δάκρυα κατὰ συγκοπήν. Δαμώματα. τὰ δημόσια ᾀδόμενα. Δανά. τὰ ξηρὰ ξύλα. Καλλίμαχος· δανὰ ξύλα κεάσαι. η τοι σχίσαι. καὶ δανότατον τὸ ξηρότατον. παρὰ τὸ δαίω, τὸ καίω. τὸ ¯δ¯α μακρόν. Δάνειον. παρὰ τὸ δάνος, ο σημαίνει τὸ δῶρον, ὡς τέλος τέλειον. Δίδυμος τὸ χρονίζον λέγει χρέος. παρὰ τὸ δὴν, δάνος καὶ δάνειον. Δαόνιον. πόλις Θρᾴκης. delta.471 Δάοσ. λαμπάς. παρὰ τὸ δαίω, δάος. Δάπεδον. τὸ ε δαφος, ἡ γῆ. παρὰ τὸ ¯δ¯α ἐπιτατικὸν καὶ τὸ πέδον, ἡ γῆ. τουτέστι τὸ μέγα καὶ πλατύπεδον. τὸ δὲ δα γίνεται καὶ ζα, κατὰ μετάθεσιν τοῦ δ εἰς ζ. Δασκύλιον. τόπος ἐν τῷ κόλπῳ Νικομηδείας. Δατόν. παρὰ ῾Ρωμαίοις σημασία τῆς ἡμέρας καὶ τοῦ καιροῦ, ο τε τὶς ἐκ πόλεως η ἐκ τινὸς τόπου ἀποστελεῖ. Δαυλόν. δασύ. *Δαυίδειον. μέλος τὸ τοῦ Δαυίδ.* Δαφοινόν. τὸ πάνυ φοινίσσον, η τὸ φοινικὸν, η τὸ πυῤῥόν. Δαίσιμον. τὸ ἐδώδιμον. (῾Ρῆμα.) Δᾳδουχεῖ. φαίνει· λαμπαδουχεῖ. Δαδύσσω. τὸ ταράσσω. Δαείσ. καεὶς, καὶ ἀντὶ τοῦ μαθών. Δαϊκταμένοισ. ἀναιρουμένοις. Δαΐζων. διακόπτων. ἀπὸ τοῦ δαίω τὸ κόπτω, η παρὰ τὴν δαΐδα, ο σημαίνει τὴν μάχην. Δαιμονᾷν. ὑπὸ δαίμονος κατέχεσθαι. Δαίnu. εὐώχει. Ομηρος· δαίνυ δαῖτα γέρουσι– Δαίω. τὸ μανθάνω. Δαίω. τὸ καίω. delta.472 Δαίρω. τὸ τύπτω. δέρω δὲ, τὸ ἐκδέρω, ψιλόν. Δαίνυσθαι. τὸ εὐωχεῖσθαι. Δαινύω καὶ δαίνυμι. παρὰ τὸ δαίω τὸ εὐωχοῦμαι, καὶ πλεονασμῷ τοῦ ν, δαίνω. δαινύω καὶ δαίνυμι, δαίνυμαι, ὁ παρατατικὸς ἐδαινύμην, ἐδαίνυσο, ἐδαίνυτο, τὸ τρίτον τῶν πληθυντικῶν ἐδαίνυντο, καὶ κατὰ ἀποβολὴν τοῦ ¯ε δαίνυντο. Δαΐξασ. διακόψας. Δακρυῤῥοεῖν. δάκρυα ῥέειν. Δάκνω. παρὰ τὸ ¯δ¯α ἐπιτατικὸν καὶ τὸ καίνω γίνεται δακαίνω· ἐξ ου τὸ δάκνω κατὰ ἀποβολὴν τοῦ ι, καὶ πλεονασμῷ τοῦ γ. Δαμέντεσ. φονευθέντες. δαμασθέντες. Δάμνει. ἀντὶ τοῦ δαμάζει. Δάμνημι. ἀντὶ τοῦ δαμάζω. Δαμεῖεν. δαμασθεῖεν. δαμῶ τὸ ὑποτάσσω. ὁ μέλλων δαμήσω, ὁ δεύτερος ἀόριστος ε δαμον, ὁ παθητικὸς ἐδάμην, ἐδάμομεν, ἡ μετοχὴ δαμεὶς, δαμέντος, τὸ εὐκτικὸν δαμείην, δαμείημεν, δαμείητε, καὶ δαμεῖεν. δαμείησαν δὲ ω φειλε. Δανεῖσαι. τούτου τὸ χρῆσαι αἱρετώτερον. τὸ μὲν χρῆσαι ἐπὶ φίλων, τὸ δὲ δανεῖσαι πρὸς τοὺς τυχόντας. Δαπανᾷν. οὐ τὸ ἀναλίσκειν ἁπλῶς, ἀλλὰ τὸ λαμπρῶς ζῆν καὶ εἰς ἀναλώματα μεγάλα ἐμβάλλειν. delta.473 Δάπτω. τὸ μετὰ σπαραγμοῦ ἐσθίω καὶ διὰ στόματος σπαράττω. ἐξ ου καὶ τὸ δάψαι. μή με ε α παρὰ νηυσὶ κύνας καταδάψαι᾿Αχαιῶν. παρὰ τὸ ¯δ¯α καὶ τὸ α πτω. κυρίως δὲ τὸ λάβρως ἐσθίειν.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Δαρδάπτω. ὁμοίως. ἀπὸ τοῦ δάπτω. διὰ δὲ χρόα καλὸν ε δαψε. Δαρθεῖν. κυρίως τὸ ἐπὶ δερμάτων καθευδῆσαι. δραθεῖν καθ' ὑπέρθεσιν. ὡς καρδία, κραδία. ει ρηται παρὰ τὸ δέρμα. η παρὰ τὸ δρῶ, τὸ ἐνεργῶ, γίνεται δρήθω τὸ κοιμῶμαι κατὰ ἀντίφρασιν· οἱ γὰρ κοιμώμενοι οὐκ ἐνεργοῦσι. Δασμοφορεῖν. συμμερίζειν. Δασμολογῶ. συνάγω. σὺ δὲ δασμολογεῖς, καὶ παρ' ἑκόντων καὶ ἀκόντων λαμβάνεις. Δάσασθαι. συμμερίσασθαι. Δάσαντο. ἐμερίσαντο. ἀπὸ τοῦ δαίω, δαίσω, δάσω, δάξ. Δαύω. κυρίως τὸ δεσμῶ. παρὰ τὸ δέω τὸ δεσμεύω. Ομηρος· πῶς α ν ἐγώ σε δέοιμι μετ' ἀθανάτοισι θεοῖσι. ο κατὰ συναλοιφὴν γίνεται δῶ. ἐκ τούτου δαύω, ὡς χρῶ χραύω. ει ρηται καὶ ἐπὶ τοῦ καθεύδειν· οἱ γὰρ καθεύδοντες δεσμουμένοις ἐοίκασι. τὸ δαύω παρὰ τὸ δαίω, τροπῇ τοῦ ¯ι εἰς ¯υ. Δάσασθαι. τὸ σπεῖραι. παρ' Ἡσιόδῳ· σπέρματα δάσασθαι, φυτὰ δ' ἐνθρέψασθαι α ριστα. delta.474 (᾿Επίῤῥημα.) Δαί. σύνδεσμος, προηγούμενος τῶν πευστικῶν μορίων, ο ς καὶ διὰ διφθόγγου γράφεται. Δαιμονίωσ. παραδόξως. ὑπερφυῶς· μακαρίως. Δαιτρευτῶσ. μεριστῶς. Τὸ Δ μετὰ τοῦ Ε. (᾿Αρσενικόν.) Δεκατευτὴς καὶ δεκατολόγοσ. ὁ τελώνης. Δεκτῆρεσ. ὑποδοχεῖς. Δεκελεικόσ. Πελοποννησιακός. Δεκελεικὸς πόλεμος, καθὰ Δεκέλεια ᾿Αθηναίοις ἐπετειχίσθη. διφθόγγως δὲ γράφεται. ἀπὸ γὰρ Δεκέλεια γίνεται Δεκελειακὸς καὶ Δεκελεικός. Δειμαλέοσ. κατάφοβος. ω σπερ ἀπὸ τοῦ τάρβος γίνεται ταρβαλέος, ου τως καὶ ἀπὸ τοῦ δεῖμος δειμαλέος. δεῖ δὲ γινώσκειν, ο τι τὰ διὰ τοῦ αλεος ὑπὲρ δύο συλλαβὰς, πρὸ μιᾶς τὸν τόνον ε χουσιν, οι ον ἀργαλέος, νηφαλέος. σεσημείωται δαιδάλεος ἀπὸ τοῦ δαιδάλειος κατὰ ἀποβολὴν τοῦ ¯ι· κονισάλεος ἀπὸ τοῦ κονισάλειος κατὰ ἀποβολὴν τοῦ ἰῶτα· αἰθάλεος· τοῦτο διφορεῖται, πρὸ μιᾶς γὰρ ε χει τὸν τόνον καὶ πρὸ δύο· πρὸ μιᾶς γὰρ ὑπάρχει ἀπὸ τοῦ αι θω, ὡς νήφω, νηφαλέος· ἡνίκα δὲ πρὸ δύο ε χει τὸν τόνον, ἀπὸ τοῦ αἰθάλειος γέγονε κατὰ ἀποβολὴν τοῦ ἰῶτα, ω σπερ ᾿Απολλώνιος· αἰθάλεοι πρηστῆρες. ἀτασθάλεος ἀπὸ τοῦ ἀτασθάλιος, κατὰ τροπὴν τοῦ ¯ι εἰς ¯ε, η ἀπὸ τοῦ ἀτασθάλειος κατὰ ἀποβολὴν τοῦ ¯ι. delta.475 Δεῖμοσ. ὁ φόβος. ὡς ἀπὸ τοῦ α νθω γίνεται α νθιμος, καὶ κῦδος κύδιμος, ου τως καὶ ἀπὸ τοῦ δέος δέϊμος καὶ δεῖμος. Δειδήμων. ἀπὸ τοῦ δειδῶ, δειδήσω, τὸ φοβοῦμαι. ὡς τὸ φιλῶ, φιλήσω, φιλήμων. Δειλόσ. παρὰ τὸ δέος, δέϊλος, καὶ συναιρέσει δειλός. Δεινίασ. παρὰ τὸ δεινὸς, δεινίας. πάντα δὲ τὰ παρὰ τὸ δεινὸς διὰ διφθόγγου, οι ον· δεινολόγος, δείνων, δεινίας. Δεινόσ. φοβερὸς, φόβου ποιητικός. λέγεται δὲ καὶ ὁ πανοῦργος καὶ ὁ ἱκανὸς καὶ ὁ ἀκολάκευτος καὶ ὁ σοφὸς καὶ ὁ ε μπειρος. Δεῖνοσ. τὸ παρ' ἡμῖν ψηκτήριον. Δεινωποί. δειματώδεις, φοβεροί. Δεισιδαίμων. ὁ εὐσεβής. Παῦλος· ὡς δεισιδαιμονεστέρους ὑμᾶς ὁρῶ. λέγεται καὶ ὁ ἀμφίβολος περὶ τὴν πίστιν, η καὶ ὁ δεδιὼς τοὺς δαίμονας. Δειλακρίων. ὁ α κρως δειλὸς, ὁ α θλιος, ὁ ἐλεεινὸς, ὁ ταλαίπωρος, ὁ ἐπίπονος. Δειπνητόσ. ὁ καθ' ἡμᾶς ἀρίστου καιρός. Δεῖπνοσ. ὁ καιρὸς τῆς τροφῆς. καὶ ἡ ἐν τοιῷδε καιρῷ διδομένη τροφή. οι ον· δεῖπνον ἐρίθοισι λεύκ' α λφιτα πολλὰ πάλυνον. οἱ δὲ κωμικοὶ καὶ νεώτεροι συγχέουσι τὸν καιρὸν, τὴν ἐπ' ε ριν τροφὴν δεῖπνον ὀνομάζονdelta.476 τες, ὡς καὶ νῦν, μεθ' ο δεῖ πονεῖν. ᾿Επαφρόδιτος δὲ, παρὰ τὸ δάπτω, δάπτον καὶ δεῖπνον. η δεῖπνον τὸ πρώϊνον α ριστον, ο περ ἀκρατισμὸς λέγεται. ει τα περὶ ω ραν τρίτην α ριστος, παρὰ τὸ εἰς ἀριστείαν προέρχεσθαι. ει τα τὸ ἑσπερινὸν, δόρπος, παρὰ τὸ δόρυ παύειν. Δελφίσ. πολεμιστήριον ο ργανον πρὸς ναυμαχίαν. ο θεν καὶ δελφινοφόρον ναῦν. Δελφοί. τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. ου τω δὲ ἐκλήθη διὰ τὸν Δελφύνην δράκοντα ἐκεῖ εὑρεθῆναι, ο ν ἀπέκτεινεν ὃ Ἀπόλλων. Πυθὼ δὲ, διὰ τὸ ἐκεῖσε σαπῆναι. Δεξιόσ. ευ νους, ἀγαθὸς, ἐπιτήδειος, εὐπαίδευτος. Δεξίδωροι. δωροδόκοι. Δεξιόλαβοσ. παραφύλαξ. Δεξιτερόσ. πᾶν ο νομα συγκριτικὸν, εἰς ¯ν¯ο¯ς λῆγον, βαρύνεται. ζητητέον δὲ περὶ τῆς δεξιτερὸν κατὰ μαζόν. εἰ γάρ ἐστι δεξιὸς, ω φειλεν ει ναι δεξιώτερος, ὡς λογιώτερος. ε στιν ου ν παρώνυμος ὁ χαρακτήρ. παρὰ τὸ δεξιὸς γίνεται δεξιερὸς, ὡς α ριστος, ἀριστερὸς, φθόνος, φθονερὸς, μόγος, μογερός· καὶ πλεονασμῷ τοῦ ¯τ δεξιτερός.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Δεξιμήλων θεῶν. ἀπὸ τοῦ δέχεσθαι τὰ θυόμενα μῆλα, τουτέστι τὰ πρόβατα. Δεπίφρονα. κοῦφον ταῖς φρεσί. Δερηστήρ. ὁ συνέχων, περιτραχήλιος. delta.477 Δερβιστήρ. τὸ δέρμα. παρὰ τὸ δέρω δεριστὴρ καὶ πλεονασμῷ τοῦ β δερβιστήρ. πλεονάζουσι δὲ τὸ ¯β οἱ Συρακούσιοι, ὡς καὶ ἐπὶ τοῦ ὀλβάχνιον, ὀλάχνιον, τὸ τὰς ου λας ε χον. σημαίνει δὲ τὸ κανοῦν, ἐν ῳ ἀπετίθουν τὰς ου λας. Δερμηστήσ. Λυσίας ὁ ῥήτωρ τὸν σκώληκα φησίν·᾽Αρίσταρχος δὲ τὸν ο φιν. δερμηστὴς δὲ ει ρηται ὁ ἐσθίων τὰ ὠμὰ δέρματα. παρὰ τὸ ε δω, ε σω, ὁ παρακείμενος η σμαι, τὸ τρίτον η σται, καὶ ο νομα η στης, ὁ ἐσθίων, ἀφ' ου νῆστις, ὁ ἐστερημένος τῶν σιτίων καὶ τοῦ ἐσθίειν. καὶ ὠμηστὴς καὶ δερμηστής. Δερκευνέοσ. τοῦ λαγωοῦ· ἐπειδὴ δοκεῖ κοιμώμενος βλέπειν. Νίκανδρος εἰς τὸ ἀντιφάρμακον· ευ τ' α ν ὑπὲρ φάρυγγος χεύῃ πάντα δ' ἀεργὰ α πεπτα δόρπα, πολλάκι δ' η σκύλακος δερκευνέος. Δέσιοσ. ὁ Ἰούνιος μήν. Δεσπόσυνοσ. παῖς τοῦ δεσπότου. Δεσπότησ. οι ον δεσποίτης, ὁ δέος ἐμποιῶν η ὁ δέους ε χων ο πα. *κατὰ ἀποβολὴν τοῦ ο πα.* Δεσμώτησ. πᾶν ῥῆμα τῆς τρίτης συζυγίας τῶν περισπωμένων ἐν τοῖς ὀνόμασιν, η διὰ τοῦ ¯ω ὀξέως ἐκφέρεται. οι ον· χρυσῶ, χρυσωτής· μισθῶ, μισθωτής. η διὰ τοῦ ¯ο βαρέως. οι ον· ὀμόσω, ὀμότης· ἀρόσω, ἀρότης. οὐκ α ρα ου ν τὸ δεσμώτης ἀπὸ τοῦ δεσμώσω μέλλοντος· ἐπεὶ ω φειλεν ει ναι δεσμωτὴς, διὰ τοῦ ¯ω μεγάλου· ἀλλ' ἀπὸ τοῦ δεσμὸς, ο θεν καὶ διὰ τοῦ ο μικροῦ γράφεται. ἀλλ' ἡ συνήθεια διὰ τοῦ ¯ω delta.478 μεγάλου γράφει τὸ δεσμώτης. *καὶ σὺ τί λέγεις, οὐκ οι δα συγχώρησον.* Δεύτατοσ. ὁ ε σχατος. οι ον· – δεύτατος η λθεν᾽Αχαιῶν χαλκοχιτώνων. παρὰ τὸ δεύω καὶ δεύομαι. σημαίνει δὲ τὸ λείπομαι καὶ στερίσκομαι. οι ον· –αὐτὰρ ε μ' αυ τως η σθαι δευόμενον. ἀντὶ τοῦ ἐνδεόμενον. γίνεται δεύτερος καὶ δεύτατος, ω σπερ ἀπὸ τοῦ φέρω φέρτερος καὶ φέρτατος· ι ν' ῃ ὁ λειπόμενος τῇ τάξει, εἰ καὶ μὴ πρῶτος. οι ον· δεύτερον αυ τ' ᾽Οδυσσῆα ἰδὼν ἐρέειν' ὁ γέρων. Δεύνυσοσ. ὁ Διόνυσος. ἀπὸ τοῦ Διόνυσος, τοῦ ι τραπέντος εἰς ε, Δεόνυσος. ου τως γὰρ Σάμιοι προφέρονται. συναιρέσει δὲ᾽Ιωνικῇ Δεύνυσος, ὡς Θεόδοτος, Θεύδοτος. ἐνίοτε δὲ αὐτὸν Δεύνυσον ὀνομάζεσθαι φασὶν, ἐπειδὴ ἐβασίλευε Νύσσης. κατὰ γὰρ τὴν τῶν᾽Ινδῶν φωνὴν δεῦνος ὁ βασιλεύς. Δέλιθεσ. τὰ σφηκία καὶ αἱ δέλιθες. Δεψοποιόσ. βαφεὺς, ἁπαλυντής. Δεῖμοσ. ὁ φόβος. παρὰ τὸ δέω, τὸ φοβοῦμαι. Δελφινίσ. παρὰ τὸ δελφὺς, ο σημαίνει τὴν μήτραν· ἐξ ου καὶ ἀδελφὸς, ὁ ἐκ τῆς αὐτῆς δελφύος η γουν μήτρας. (Θηλυκόν.) Δεβώῤῥα. κύριον. Δειρή. ὁ τράχηλος. παρὰ τὸ ἐκδέρεσθαι. καταχρηστικῶς δὲ ἐπὶ τῶν ἀνθρώπων. delta.479 Δεῖσα. ὁ ὑγρὸς καὶ βοτανώδης τόπος. παρὰ τὸν δεύσω μέλλοντα, ο σημαίνει τὸ βρέχω. δεῦσα καὶ δεῖσα. Δεισαλέα. δίϋγρος, βοτανώδης, η κοπρώδης. Δειράδεσ. αἱ ἐξοχαὶ τῶν ὀρῶν η τῶν ναπῶν η τῶν φαράγγων. Δείλη. καὶ κλίνεται τῆς δείλης. παρὰ τὸ ἐνδεῖν καὶ ἐλλείπειν τῇ ε λῃ η τοι τῇ θερμασίᾳ, δεέλη καὶ δείλη κατὰ κρᾶσιν τῶν δύο ¯ε¯ε εἰς τὴν ¯ε¯ι δίφθογγον. μετάγεται καὶ ἐπιῤῥηματικῶς, οι ον· δείλης η λθον. Δειλία. συστολὴ τόλμης, καὶ προσδοκία τινὸς πράγματος οὐκ ἀγαπωμένου. Δειδία. ἡ σκοτεινὴ νύξ. παρὰ τὸ δέος. ἡ φόβου ποιητική. Δειπνολόχου. κλεπτοτρόφου, τῆς λαθραίως ἐσθιούσης καὶ μὴ φανερῶς.῾Ησίοδος· Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ λογίζετ' α μεινον Τῆς ἀγαθῆς· τῆς δ' αυ τε κακῆς οὐ ῥίγιον α λλο Δειπνολόχου–. Δειλία. νηπιῶδες η θος. ἐκτροπὴ πίστεως. Δεβελτόσ. πόλις Θρᾳκική. Δέησισ. αι τησις ἐνδεῶν. η ἐπίπονος αι τησις ε κ τινος γινομένη. η ὁμιλία νοῦ πρὸς θεὸν μεθ' ἱκεσίας βοήθειαν η αι τησιν ἀγαθῶν περιέχουσα. η δέησις ἐστὶν ἐλλειπόντων τινὶ μεθ' ἱκεσίας περὶ ἐκείνου τυχεῖν ἀναπεμπομένη εὐχή. Δεκέλεια. τόπος. delta.480 Δεκάτη. οι ον· τῇ δεκάτῃ δ' ἀγορήνδε καλέσσατο λαὸν᾽Αχιλλεύς. ἀπὸ τοῦ δέκατος, δεκάτη· τοῦτο παρὰ τὸ δεκάς· τοῦτο παρὰ τὸ δέχομαι, δεχὰς, καὶ δεκὰς, ἡ ε χουσα ἐν ἑαυτῇ πάντα ἀριθμόν. Δέλφαξ. ὁ γαλαθηνὸς χοῖρος.᾽Επίχαρμος· δέλφακά τε τῶν γειτόνων τοῖς᾽Ελευσινίοις φυλάσσω. παρὰ τὸ τὴν δελφήν· κυρίως γὰρ ἐπὶ τῆς θηλείας λέγεται δέλφαξ. τινὲς δὲ τοὺς μεγάλους χοίρους δέλφακας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λέγουσι. Δελφύσ. ἡ μήτρα, ἡ γαστήρ. ε νθα ἀδελφὸς, ὁ ἐκ τῆς αὐτῆς μήτρας. η ο τι ἀδελφός ἐστι καὶ ἀδελφὰ ποιεῖ τὰ τικτόμενα, ο θεν ει ρηται ὁμόδελφος ὁ ἀδελφός. Δεξίωσισ. ὑποδοχή. Δεξιὰ κυρίου. ἡ α νωθεν ῥοπὴ καὶ ἀγαθὴ ἐνέργεια. Δεξιάσ. συνθήκας. ὁ δὲ πέμπει χιλίαρχον, δεξιὰς τῷ Ἰωσήπῳ δοῦναι κελεύσας. Δεξιά. ἡ χείρ. καὶ ποιητικῶς δεξιτερή. ἀπὸ τοῦ δέχεσθαι αὐτῆς τὰ διδόμενα. η δεξιὰ τὶς ου σα, ἀπὸ τοῦ τὰς πλείονας δι' αὐτῆς ἐξιέναι πράξεις. καὶ ἀπὸ τοῦ δεκτὸς δεξιὰ, ὡς ἀνόρεκτος, ἀνορεξία. Δέλτοσ. πινακίδιον, σχεδάριον. Δέρισ. δέρμα η τρίχινον παραπέτασμα. Δεραιοπέδη. τὸ ἰξευτικὸν λῖνον. Δεραγχέασ. τὰς τὴν δέριν ἀγχούσας καὶ πνιγούσας. δεραγχέας πάγας. delta.481 Δέσποινα. ω σπερ ἀπὸ τοῦ ἀρύτω γίνεται ἀρύταινα, καὶ τὸ βαίνω ἀμφίβαινα, ου τως καὶ παρὰ τὸ δεσπόζω δεσπόζαινα, καὶ κατὰ συγκοπὴν τοῦ ζα καὶ συναίρεσιν τοῦ ο καὶ ι εἰς τὴν οι δίφθογγον, δέσποινα. οὐ γὰρ παρεσχημάτισται ἀπὸ τοῦ δεσπότης ἀρσενικῶς, ἐπεὶ δεσπότης ε μελλεν ει ναι καὶ οὐ δέσποινα. δέσποινα δὲ σύνθετον δεοποία, ἡ δέος ἐμποιοῦσα, ἀπὸ τοῦ δεοποιὸς ἀρσενικῶς· καὶ κατὰ συγκοπὴν δέσποινα. ὡς θεόσφατος θέσφατος. καὶ πλεονασμῷ τοῦ ν δέσποινα. ο τι γὰρ πέπονθε, δηλοῖ ἡ παραλήγουσα. καὶ γὰρ τὸ ἀγκοίνη οὐ φύσει τὸ ¯ο¯ι ε χει, ἀλλ' ἐκτροπῇ τοῦ ¯ω ἀγκώνη καὶ ἀγκοίνη. Δετή. ἡ ἐκ δεδεμένων δᾳδῶν λαμπάς. οι ον· καιόμεναί τε δεταί–.῾Ηρόδοτος· ἀπὸ τοῦ δίδημι ῥήματος δετὸς καὶ δετή· ὡς ἀπὸ τοῦ τίθημι θετὸς καὶ ευ θετος σύνθετον, καὶ ἐτὸς καὶ α φετος· ὡς τό· ἐτὸς εἰμί· καὶ δίδωμι δοτός. ὡς καὶ Ομηρος ἀπὸ τοῦ δίδημι ῥήματος ει πε τὸν παρατατικόν· δίδη μόσχοισι λύγοισι. Δέψα. ἡ βύρσα. Δειλία. συστολὴ ψυχῆς πρὸς ἑαυτὴν ἐπὶ προσδοκίᾳ τινὸς τῶν μὴ ποθουμένων συνισταμένη. Δεινότησ. τὸ παρ' ο δεῖ νοεῖν ὡς φρονήσεως ε νεκα τῶν πραγμάτων φύσεις τὲ καὶ νοήσεις. (Οὐδέτερον.) Δειελινόν. τὸ δειλινόν. συνήθεια Ἰώνων τὸ ε πλεονάζειν· η λιος, ἠέλιος. οι ον· delta.482 δειελινὸν κλίνοντος ὑπὸ ζόφον ἠελίοιο. Δεῖμα. ὁ φόβος. ω σπερ ἀπὸ τοῦ ποιήσω ποίημα, ου τω καὶ ἀπὸ τοῦ δείσω δεῖμα. Δειραχθέσ. τὸ τὴν δειρὰν ἀλγύνον καὶ λυποῦν. δειραχθὲς ευ βροχον α μμα πετεινῶν. α μμα δὲ τὸ σχοινίον λέγεται. Δεῖπνον. τὸ πρωϊνὸν α ριστον, ο περ ἀκρατισμὸς λέγεται. Δείκηλον. καὶ δείκελον. ει δωλον, ὁμοίωμα. ω σπερ ἀπὸ τοῦ πέμπω πέμπελος, ὁ πολλῶν ἐνιαυτῶν ω ν, ου τως καὶ δείκω δείκελον καὶ ἐκτάσει τοῦ ¯ε εἰς ¯η δείκηλον. η Διϊ ι κελον. Δεικτήριον. τὸ τῆς Σάμου. ο τι ἐν αὐτῇ ἡ Ἀθηνᾶ διέγραψε τὴν κεφαλὴν τῆς Γοργόνης, δεικνύουσα τῷ Πέρσῃ, ο τε παρ' αὐτὴν ἀπέστειλεν ἐπὶ τὴν Γοργονίαν. Δεκτόν. εὐαπόδεκτον, εὐπρόσιτον. Δεκάχοια. δεκαπλάσια. Δέλεαρ. ἀπάτη. καὶ κλίνεται δελέατος. ἀφ' ου καὶ δείλατος, οι ον· ἐνδιετέθη παγίδεσιν ὀλέθρια δείλατα δοιαῖς. παρὰ τὸν δόλον δόλεαρ καὶ κατὰ τροπὴν δέλεαρ. η παρὰ τὸ ε λω, ε λεαρ καὶ δέλεαρ, δι' ου ε στιν ἑλεῖν. η παρὰ τὸ δηλεῖσθαι τὸ βλάπτειν. η παρὰ τὸ δέω, τὸ δεσμεύω, δέλεαρ, τὸ περιδεσμούμενον τῷ ἀγκίστρῳ. λέγεται καὶ δελήτιον· τὸ ¯ε καὶ ¯α συναλοιφὴν πέπονθεν εἰς ¯η. ε χε τὸ δελήτιον. Δελέαστρα. παγίδες. Δελφάκια. οἱ μικροὶ χοῖροι, οἱ γαλαθηνοί. delta.483 Δέμασ. τὸ σῶμα. οἱονεὶ δεσμὸς τῆς ψυχῆς. ει ρηται παρὰ τὸ δέμω, τὸ οἰκοδομῶ, οἱονεὶ περιδόμημα τῆς ψυχῆς καὶ οἰκητήριον. η παρὰ τὸ δέω, τὸ δεσμεύω, δεσμὸς γὰρ τῆς ψυχῆς τὸ δέμας. Δέμνια. τὰ ἐγκοίτια στρώματα, ἀπὸ τοῦ σῶμα ἐν αὐτοῖς μένειν. η παρὰ τὸ δέμω ῥῆμα. ὡς παίζω παίγνιον, ου τως δέμω δέμνιον, τὸ εἰς σώματος ἀνάπαυσιν οἰκοδομηθὲν η συνδεθέν. Δεξιά. συνετὰ ε λεγον οἱ παλαιοὶ, ἀριστερὰ δὲ τὰ μωρά. Δέοσ. φόβος. παρὰ τὸ δείω, τὸ φοβοῦμαι, δέος, ὡς νείφω νέφος. λέγεται καὶ δείδω, τὸ φοβοῦμαι, οι ον· δείδω, μήτι πάθῃσιν μετὰ Τρώεσσιν– ἐξ ου καὶ δίω· –περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν. η παρὰ τὸ δέω, τὸ δεσμεύω, ὁ γὰρ φόβος δεσμεῖ τοὺς πόδας καὶ τὰ μέλη τοῦ σώματος. καὶ δείους. ἀπὸ τοῦ δέους καὶ σπέους γίνεται κατὰ πλεονασμὸν τοῦ ι δείους καὶ σπείους. Δέον. καλὸν, συμφέρον, ἀναγκαῖον, πρέπον. Δέπασ. τὸ ποτήριον. παρὰ τὸ δέχω, δέχας καὶ δέπας, δι' ου δεχόμεθα τὸν οι νον. Δέργματα καὶ δέρξεις. αἱ βλέψεις. ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπὸ τῶν βλεπομένων καὶ τῆς ἐνεργείας ὠνόμασται. Δέρμα. τὸ περὶ τοῖς ω μοις ο λον τεινόμενον. ο ποιητικωτέρως λέγεται ῥινὸς καὶ α φρα καὶ στέρφος καὶ ἀνθρωπῆ· ἐπὶ δὲ ἀλόγων πέσκος καὶ μάκος. δέρμα δὲ τὸ οἱονεὶ τέρμα, τέλος γὰρ τοῦ σώματος ἐστὶ καὶ ε ξωθεν περιβέβληται. η delta.484 δέμας ο ν τῷ δεσμῷ ἐοικὸς, πλεονασμῷ τοῦ ¯ρ· η δέρμα πᾶς χρὼς, ὁ πρὸ τοῦ η πατος. η α μεινον, τὸ ῥάμφος ἀπὸ τοῦ δέῤῥειν, ο ἐστι κρούειν. Δέροσ. τὸ κώδιον. οι ον· –δέρος δέ οἱ ι σον ὀνείρῳ. αἱ τοιαῦται εὐθεῖαι η ἰωνικαὶ εἰσὶν η δωρικαὶ, οι ον δέρος, κῶος· ἀπὸ γὰρ τοῦ δέρας καὶ τοῦ κῶας πεποίηται. η παρὰ τὸ δείρω δέρος, ὡς μείρω μέρος, φθείρω φθόρος. Δέρτρον. τὸ δέρμα. οι ον· δέρτρον ε σω δύνοντες– παρὰ τὸ δέρω δέρτρον, ὡς φέρω φέρτρον, μείρω μέτρον. ἀλλαχοῦ σημαίνει ἡ λέξις τὸν ἐπίπλουν. ὁ δὲ Ἀρίσταρχος τὸ δέρμα καὶ πάντα τὸν χρῶτα τὸν πρὸ τοῦ η πατος. α μεινον δὲ τὸ ῥάμφος ἀπὸ τοῦ δέρειν, ο ἐστι κρούειν. τούτῳ δὲ διαῤῥήσσουσιν α α ν ἐσθίωσιν οἱ γῦπες τῇ κρούσει τοῦ ῥάμφους. καὶ ε στιν ο νομα ῥηματικὸν, ὡς παρὰ τὸ πλήσσω πλῆκτρον, ου τως καὶ παρὰ τὸ δέρω δέρτρον. Δέρας χρυσόμαλλον. οὐχ ὡς ποιητικῶς φέρεται· ἀλλὰ βιβλίον η ν ἐν δέρμασι γεγραμμένον, περιέχον ο πως δεῖ γίνεσθαι δισχημίας χρυσόν. εἰκότως ου ν οἱ τότε χρυσοῦν ὠνόμαζον αὐτὸ δέρας διὰ τὴν ἐνέργειαν τὴν ἐξ αὐτοῦ. Δέραια. ἐπιτραχήλιος κόσμος. Δεῤῥίδιον. σκιάδιον δερμάτινον. Δερμόπτερα. οι ον νυκτερὶς, η τις μόνη τῶν πτητικῶν ζώων ζωοτοκεῖ καὶ ἐν μαστοῖς γάλα ε χει, καὶ θηλάζει τὸ γεννώμενον. delta.485 Δεσμὰ τῆς ψυχῆσ. κατὰ μὲν τὸ πρόχειρον αἱ φλέβες, αἱ ἀρτηρίαι, τὰ νεῦρα· κατὰ δὲ τὸ νοούμενον τὰ ε ργα πρὸ τοῦ λόγου. Δευτερόπρωτον σάββατον. ο ταν διπλῆ ἡ ἀργία η ν, καὶ τοῦ σαββάτου τοῦ κυρίου, καὶ ἑτέρας ἑορτῆς διαδεχομένης. σάββατον γὰρ ἑκάστην ἀργίαν καλοῦσι. Δέλτα. τὸ στοιχεῖον. ε ρτά τι ο ν, τὸ μὴ ο ν ἐλλιπὲς τῇ ἐπάρσει, ἰσόπλευρον γὰρ ο ν οὐκ ἀφαιρούμεθά τι τῶν ι σων, ι να ι σα γένηται, ἐπεὶ ου ν ου τως ε τυχεν ἐκ τῆς κατ' ἀρχὴν ἐντυπώσεως· α λλοι δὲ ἀπὸ τοῦ δέλτα τοῦ ἐξ ἀστέρων συγκειμένου. Δέρτρον. τοῦ ἐντέρου τὸ λεπτόν. λέγει ὁ ῾Ιπποκράτης. φησὶ καὶ ὁ Ψελλός· τοῦ δὲ ἐντέρου τὸ λεπτὸν κατονομάζει δέρτρον· τὸ δὲ ἀνδρείω μόριον πιρινάτου καλοῦσι. (῾Ρῆμα.) Δέγμενοσ. ἀπὸ τοῦ δεδεγμένος κατὰ συγκοπήν. Δεδηχότασ. δακόντας. δεδειχότας δὲ ἀντὶ τοῦ δείξαντας, δίφθογγον. Δέδειχασ. ε δειξας. Δεδοκημένοσ. ἐνεδρεύων, ἐκδεχόμενος, ἐπιτηdelta.486 ρῶν. ἀπὸ τοῦ δοκῶ. ε στι δὲ παρακείμενος παθητικός. Δεδραγμένοσ. πεπραγμένος. Δεδημευμέναι. ἀπηγορευμέναι. ἡμέραι δ' η σαν δεδημευμέναι. Δεδοκιμασμένα. κεκριμένα. Δεδοξοποιημένον. δόξῃ κοσμούμενον. Δεδίττω. φοβοῦμαι. Δεδιώσ. φοβούμενος. Δέδοικα. φοβοῦμαι. δείδω, τὸ φοβοῦμαι. τούτου ὁ μέλλων δέδοιδα, καὶ διὰ τὴν ἐπαλληλίαν τοῦ δ ἐτράπη τὸ ε σχατον δ εἰς κ, γέγονε δέδοικα. δέδυκα δὲ, ἀντὶ τοῦ εἰσῆλθον, ψιλόν. Δεδοίκω. λέγει ὁ ῾Ηρωδιανός· ο ἐστι ῥήματα ἀπὸ παρακειμένου εἰς ἐνεστῶτα παραγόμενα, οι ον δέδοικα, δεδοίκω, βέβρωθα, βεβρώθω. Δέδοκται. συνήρεσεν, ε δοξε. Δεδέαται. δέω, δέσω, δέδεκα, δέδεμαι, ἐδεδέμην, ἐδέδεντο τὸ πληθυντικὸν, καὶ ἰακῶς δεδέατο. ἀπὸ τοῦ παρακειμένου δεδέαται γίνεται. Δεδοίην. ..... Δεδαίαται. δαίω, τὸ μερίζω. ὁ παθητικὸς παρακείμενος δέδαιμαι, τὸ πληθυντικὸν δέδαιντο, delta.487 καὶ ᾽Ιακῶς δεδαίαται, οι ον· διχθὰ δεδαίαται ε σχατοι ἀνδρῶν. Δεδήει. ἐξῆπτο, διεγήγερτο. ἀπὸ μεταφορᾶς τοῦ πυρός. ε στι δὲ ὑπερσυντέλικος ἀπὸ τοῦ δαίω, δαίσω, δέδαικα, ὁ μέσος δέδαια, τροπῇ τοῦ ¯α¯ι εἰς ¯η δέδηα, ὁ ὑπερσυντέλικος ἐδεδήειν, καὶ συναρχομένως δεδήει. Δέδηεν. ἀντὶ τοῦ περιεκύκλωσεν, η ἐδέσμευσεν. πάντη γάρ σε πέρι στέφανος πολέμοιο δέδηε. Δέδια. δέω τὸ φοβοῦμαι. ὁ μέλλων δέσω, δέδεκα, ὁ μέσος δέδεα, καὶ μεταθέσει τοῦ ¯ε εἰς ¯ι δέδια, ἡ μετοχὴ δεδιώς. Δεδμήατο. δαμῶ, δμῶ, δέδμηκα, ἐδεδμήμην, ἐδέδμηντο, καὶ ᾽Ιακῶς δεδμέατο, καὶ ἐκτάσει τοῦ ¯ε εἰς ¯η δεδμήατο. ου τω καὶ τὸ πεφοβήατο. Δεδμήμεθα. ὑποτετάγμεθα. Δεδμημένοι. δεδαμασμένοι. καὶ δέδμηνται. Δεδαϊγμένοσ. ἀνῃρημένος. Δέδασται. μεμέρισται. Δέδηγμαι. ἠνίαμαι, λελύπημαι. καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ομηρος· δάκε δὲ φρένας Εκτορι μῦθος. μῦθον δὲ τὸν λόγον λέγει. Δεδιττόμενοσ. ἐκφοβῶν. Δεδουπώσ. πεπτωκώς· τεθνηκώς. Δέδοιμι. οἰκοδομοίην. Δέδευκε. πεφύρακε. Δεδῄει. διεγείρετο. καὶ Ομηρος· –ο σσα δεδῄει. ο σσα δὲ ἡ φήμη καὶ ἡ μαντεία. delta.488 Δεδικαίωται. ἀντὶ τοῦ δίκαιον ἐκρίθη καὶ ε δοξεν. Δεδέχαται. ἐκ τοῦ δέχω, δέξω, δέδεχα, δέδεγμαι, δέδεκται. καἶ Ιακῶς δεδέχατο, καὶ πλεονασμῷ τοῦ ι δειδέχαται· δειδέχαται μύθοισι. Δεῆσαν. χρείας γινομένης. Δείδιθι. φοβήθητι. ε στι δείδω τὸ φοβοῦμαι. καὶ μεταθέσει τοῦ τόνου, δειδῶ, ὁ μέλλων δειδήσω, ἐξ ου καὶ τὸ δειδήμων· ἀλλὰ μάλα Τρῶες δειδήμονες– ὁ παρατατικὸς ἐδείδην, τὸ παθητικὸν ἐδείδιμεν, καὶ τὸ προστακτικὸν δείδιθι. Δείσασ. φοβηθείς. δήσας δὲ ἀντὶ τοῦ δεσμεύσας, ¯η. Δειδίξασθαι. ἐκφοβῆσαι, διῶξαι. δείδω, δειδίσσω καὶ δειδίξω. Δείδια. ἐκ τοῦ δέδια, πλεονασμῷ τοῦ ¯ι. *Δειδιότα. ἀπὸ τοῦ δεδιὼς, δεδιότος, πλεονασμῷ τοῦ ι.* Δείδω. τὸ φοβοῦμαι. ἀπὸ τοῦ δέος, δέω καὶ δείω. Δείδεκτο. ἐδεξιοῦτο. δέδεκτο, καὶ πλεονασμῷ τοῦ ι δείδεκτο. –δείδεκτ' ᾿Αχιλῆα. Δεικνύμενοσ. δεξιούμενος. παρὰ τὸ δεῖξαι· οἱ γὰρ δεξιούμενοι τινὰς δοκοῦσι. Δείδιμεν. ἐκ τοῦ δειδῶ, δείδημι, ἐδείδην, ἐδείδιμεν. delta.489 Δειμάμενοι. οἰκοδομήσαντες. Δειμαίνω. τὸ φοβοῦμαι. Δειδιώσ. φοβούμενος. Δειδίσσω. ἐκφοβῶ. Δειδίσκω. δεικνύω. Δειλοκομπήσασ. ἐξαπατήσας. Δεινάζειν. λοιδορεῖν. Δεινουμένην. πατουμένην. δεινουμένην ὑπὸ βουσὶν ἐμὴν φύλασσε α λωνα. Δεινοπαθεῖ. δεινῶς ε χει. Δειματῶ. ἐκφοβῶ. ἀπὸ τοῦ δεῖμα, δείματος. Δεῖν. ω σπερ ἀπὸ τοῦ πλέον γίνεται πλεῖν, ου τως καὶ ἀπὸ τοῦ δέον γίνεται δεῖν, κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν ει δίφθογγον, οι ον· δεῖν τόδε γενέσθαι. *Δεισιδαιμονεστέρουσ. εὐλαβεστέρους.* Δεδορκότα. θεασάμενον. δέρκω, δέρξω, δέδερκα, δέδορκα, δεδορκὼς, δεδορκότα. Δειλινήσασ. .... Δεκτέον. δεῖ δέχεσθαι. Δεκάζειν. τὸ διαφθείρειν ἐν χρήμασι. Δεκατεύειν. δοῦναι δεκάτας, τὸ τὴν δεκάτην εἰσφέρειν ω ν ε χει τὶς χρημάτων. η ἀντὶ τοῦ δεκάτας εἰσπράττεσθαι καὶ λαφυραγωγεῖν. τὰ δὲ ἐκ τῶν πολέμων ληφθέντα ἐδεκάτευον θεοῖς, delta.490 διὸ κυρίως δεκατεῦσαι τὸ καθιερῶσαι. Θουκυδίδης δὲ καὶ ἐπὶ τοῦ τελωνεῖν. Δελεάζοντεσ. ἐπικρύπτοντες. οἱ δὲ Σκυθοπολῖται ἠρέμησαν δελεάζοντες τὴν πίστιν αὐτῶν. Δενδίλλειν. τὸ διανεύειν τοῖς ὀφθαλμοῖς. παρὰ κινεῖν καὶ δινεῖν καὶ μεταφέρειν τοὺς ι λλους. ι λλοι γὰρ οἱ ὀφθολμοὶ, ῥαδίως εἱλούμενοι καὶ εὐμετάφοροι πρὸς ἑκάτερα. Δεννάζων. βλασφημῶν. κακὰ δεννάζων ῥήματα. Δενδρυάζειν. τὸ καταδύνειν καὶ κρύπτεσθαι. κυρίως δὲ εἰς δρῦς καταδύεσθαι, καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ ἁπλῶς καταδύνειν καὶ κρύπτεσθαι, ἀπὸ τῶν παλαιῶν ταῖς δρυσὶ σκέπῃ χρωμένων. πρινὴ γὰρ τὰς οἰκήσεις εὑρεθῆναι, ἐν τοῖς κοιλώμασι τῶν δένδρων καταδύοντες ῳ κουν. ει ρηται δὲ παρὰ τὸ τὰς δρῦς, δρυάζειν καὶ δενδρυάζειν. σημαίνει δὲ καὶ τὸ καθ' υ δατος δύεσθαι καὶ ἀποκρύπτειν ἑαυτόν. Δεξιοῦται. ξενοδοχεῖται, φιλοφρονεῖται. καὶ δεξιούμεθα. Δέρκω. τὸ βλέπω. παρὰ τὸ δρῶ τὸ πράττω. κατὰ ἀντίφρασιν λέγεται καὶ ἐπὶ τοῦ υ πνου. οἱ γὰρ καθεύδοντες οὐδὲν δρῶσι. δρῶ ου ν καὶ παράγωγον δρέκω, καὶ ἐν ὑπερθέσει δέρκω. η παρὰ τὸ δρέκεσθαι δέρκεσθαι. Δερμύλλειν. αἱμοποτεῖν. η ἐκδείρειν. delta.491 Δεύειν. φυρᾷν. †η χρῄζειν.† Δευόμενον. ἐνδεούμενον, χρῄζοντα. κατὰ πλεονασμὸν τοῦ υ παρὰ τὸ δέω τὸ χρῄζω. Δεύω. τὸ βρέχω. παρ'῾Ησιόδῳ· πίλον ἀσκητὸν, ι ν' ου ατα μὴ καταδεύῃ. ει ρηται παρὰ τὸν Δία· ὑέτιος γάρ ἐστιν ὁ θεός· κυρίως γὰρ τὸ ὑπὸ Διὸς υ εσθαι καὶ βρέχεσθαι. διαεύω καὶ δεύω. η παρὰ τὸ δέω τὸ χρῄζω, τὸ δεόμενον βρέχειν, πλεονασμῷ τοῦ ¯υ. ε στι καὶ δεύω τὸ ἐνδεοῦμαι, ἀπὸ τοῦ δέω, πλεονασμῷ τοῦ ¯υ. Δεῦρο καὶ δεῦτε. ἀπὸ τοῦ θέω γίνεται θεῦτε, καὶ τροπῇ τοῦ θ εἰς δ καὶ τοῦ τ εἰς ρ δεῦρο καὶ δεῦτε. οἱ γὰρ προσκαλούμενοι θέουσι πρὸς τοὺς καλοῦντας. ἰστέον, ο τι τὸ δεῦρο δύο σημαίνει, τὸ ἐνταῦθα, ὡς ἐν τῷ· δεῦρο μαχησόμενος– καὶ τὸ ε ξελθε, ὡς ἐν τῷ· Λάζαρε, δεῦρο ε ξω. ου τω Χρύσιππος. Δευτεριάζειν. τὸ υ στερον διαπράττεσθαι. ἐγὼ η δη διαπραξάμενος παραδῶ σοι δευτεριάζειν. Δέφειν. τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἰδοίου τινὸς α πτεσθαι. Δεφόμενοσ. ἀποδέρων τὸ αἰδοῖον. Δέχθαι. οι ον· καὶ ἀγλαὰ δέχθαι α ποινα. παρὰ τὸ δέχω δέδεχα, δέδεγμαι, δέδεξαι, δέδεκται, καὶ τὸ ἀπαρέμφατον δεδέχθαι καὶ κατὰ ἀφαίρεσιν τοῦ ἀναδιπλασιασμοῦ δέχθαι. Δέχομαι καὶ δέξασθαι. παρὰ τὴν δεξιάν. κυρίως γὰρ δέχεσθαι τὸ ἐν τῇ δεξιᾷ λαμβάνειν. Δέχνυμαι. ε στι ῥῆμα δέχω, ου ὁ παθητικὸς delta.492 δέχομαι. ἐκ τοῦ δέχω δεχύω καὶ κατὰ πλεονασμὸν τοῦ ν δεχνύω. ὡς πληθύω πληθύνω, καὶ δύω δύνω, καὶ ἐν ὑπερθέσει τοῦ ν δεχύνω, ἀφ' ου καὶ δέχνυμι, τετάρτης συζυγίας τῶν εἰς ¯μ¯ι Δεψῆσαι. ἁπαλῦναι. Δεδικαίωται. ἀπήλλακται, ἠλευθέρωται. ου τως ὁ Ἀπόστολος· ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. τινὲς τοῦτο περὶ τοῦ βαπτίσματος ἐδέξαντο, ἐν ῳ συνετάφημεν τῷ Χριστῷ. Δεδαηκότεσ. μαθόντες. Ομηρος· Λευγαλέοι τ' ἐσόμεσθα καὶ οὐ δεδαηκότες ἀλκήν. τὸ λευγαλέοι ἐνταῦθα ἀντὶ τοῦ ἀσθενεῖς. Δεξιῶσ. εὐπαιδεύτως. Δεξιάδην. ἀντὶ τοῦ ἐκ δεξιῶν ω ν, οι ον· Ἰφίνοον βάλε δουρὶ κατὰ κρατικὴν ὑσμίνην δεξιάδην–. Δεόντωσ. πρεπόντως. Δεῦρο. ἐνταῦθα. καταχρηστικῶς καὶ ἀντὶ τοῦ ἐλθέ. Δεῦρ' ἀεί. ἀντὶ τοῦ ε ως τούτου. Τὸ Δ μετὰ τοῦ Η. ( Ἀρσενικόν.) Δήγηρεσ. οἱ στρουθοί. Δηθαιῶνεσ. οἱ μακρόβιοι. Δήϊοσ. πολέμιος. καὶ ἐπίθετον τοῦ πολέμου. παρὰ τὸ δέος, δέϊος καὶ δήϊος, ὁ δέος ἐμποιῶν. delta.493 η παρὰ τὸ δαίω τὸ καίω, ο θεν καὶ δαιτρὸς, ὁ διακόπτων τὰ κρέατα καὶ διαμερίζων, καὶ δήϊος ὁ διακοπτικὸς ἀνθρώπων καὶ οι κων καὶ πόλεων καὶ δένδρων. Δηΐων. ω σπερ ἀπὸ τοῦ διπλάσιος διπλασίων, ου τως καὶ ἀπὸ τοῦ δήϊος δηΐων. σημαίνει δὲ τὸν πόλεμον. Δῆλοι. ὁράσεις, ἐνύπνια. η τὰ διὰ τοῦ ἐφοὺδ σημαινόμενα. Δηλήμων. βλαπτικός. Δηλάτωρ. ὁ κατήγορος. Δηλιγατίων. κατὰ Ῥωμαίους ἡ ἐκταγὴ τοῦ σιτοπομπίου καὶ ἡ ἀννόνας μετακομιδή. Δηλιασταί. οἱ εἰς Δῆλον ἐξελθόντες θεωροί. Δήλιοσ. ὁ ἀπὸ τῆς Δήλου. Δῆλος γὰρ ἡ νῆσος τοῦ Ἀπόλλωνος. Δημόσ. τὸ λίπος. οι ον· πίονι δημῷ. παρὰ τὸ δαίω δαμὸς καὶ δημός. τὸ καιόμενον ἐν ταῖς θυσίαις, η δι' ου καίονται αἱ θυσίαι. ὡς παρὰ τὸ θύω θυμὸς, χύω χυμὸς, καὶ παρὰ τὸ δήω δημός. Δημελέητοσ. ἐλεεινός. delta.494 Δήμιοσ. ὁ κολάζων τοὺς παρανόμους. Δημογέροντεσ. οἱ τοῦ δήμου ἐντιμώτατοι. Δήμαρχοσ. ὁ ἐνεχυριαστής. Δημαγωγόσ. ὁ α ρχων τοῦ δήμου. Δήμαρχοσ. ὁ τοῦ δήμου α ρχων. ο ς κατὰ χώραν δήμου τινὸς προϊστάμενος ἐπέγραφε τὰς οὐσίας ἑκάστῳ πρὸς τὰ δημόσια ὀφλήματα. ου τω Χρύσιππος. Δημοβόροσ. ὁ τὰ δημόσια ἐσθίων. Δημόσιοσ. ὁ τῆς πόλεως δοῦλος, ο ς ὑπηρετεῖ τοῖς δικαστηρίοις καὶ τοῖς κοινοῖς ε ργοις. παρὰ τὸ δῆμος, δημότης καὶ δημόσιος. Δημότην. οἱ Ιωνες τὸν τῶν πολλῶν ε να. ου τως καὶ Ἡρόδοτος. τῶν δ' Ἀττικῶν μόνος Ξενοφῶν· οἱ δ' α λλοι τοῦτον μὲν δημοτικὸν, δημότην δὲ τὸν τοῦ αὐτοῦ δήμου. ὡς φυλέτην τὸν τῆς αὐτῆς φυλῆς, καὶ λοχίτην τὸν ἐν τῷ αὐτῷ λόχῳ κατατεταγμένον. Δημοκόωντα. ο νομα κύριον. ἀλλ' υἱὸν Πριάμοιο νόθον βάλε Δημοκόωντα. Δημόκομποσ. στωμύλος. Δημοποίητοσ. ὁ ὑπὸ τοῦ δήμου εἰσποιηθεὶς καὶ γεγονὼς πολίτης. Δημωφελήσ. ὁ τὸν δῆμον ὠφελῶν. delta.495 Δημωδέστεροσ. ἀσχημονέστερος. Δημιουργοί. οἱ κεραμεῖς, οἱ σκευοποιοὶ, οἱ τέκτονες. Δημιουργόσ. πολλὰ σημαίνει ἡ λέξις. σημαίνει γὰρ καὶ τοὺς δημόσια ἐργαζομένους, καὶ διὰ φροντίδος ε χοντας τεχνίτας. ἀφ' ω ν καὶ ὁ τῶν ἁπάντων ποιητὴς θεὸς ὁ τὰ μὴ ο ντα ποιῶν δημιουργὸς ει ρηται. δημιουργοὶ δὲ ἐκαλοῦντο παρά γε Ἀργείοις καὶ Ελλησι καὶ Θεσσαλοῖς οἱ περὶ τὰ τέλη, ι να σημάνῃ τοὺς τὰ δημόσια ἐργαζομένους. σημαίνει δὲ καὶ παρὰ Ἀττικοῖς τὰς τοὺς πλακοῦντας ἐργαζομένας γυναῖκας. Δημάδησ. οὐκ ε χει τὸ ι· ἀπὸ γὰρ τοῦ Δημέας γίνεται Δημεάδης καὶ κατὰ συναίρεσιν Δημάδης. καὶ ω φειλεν εἰς τὸ ¯η γενέσθαι ἡ κρᾶσις. ἐπειδὴ, ἡνίκα προηγεῖται τοῦ ¯ε σύμφωνον, τότε τὸ ¯ε καὶ ¯α εἰς ¯η μακρὸν κιρνᾶται, οι ον τείχεα τείχη, βέλεα βέλη· ἀλλὰ διὰ τὸν χαρακτῆρα εἰς ¯α ἐγένετο. τὰ γὰρ εἰς ¯δ¯ης πατρωνυμικὰ η τύπου πατρωνυμικοῦ ο ντα, η τῷ ¯ι θέλει παραλήγεσθαι, η τῷ ¯α· οι ον Πηλείδης, Αἰακίδης, Εὐρυβάδης, Πυλάδης ου τως ου ν καὶ Δημάδης. Δημόκοινοσ. δημόσιος,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βασανιστὴς, η  δήμιος, η  ὁ ὑπὸ τοῦ δήμου τὸ φονεύειν κληρωθείς. ει ρηται παρὰ τὸ καίνω τὸ κόπτω καὶ φονεύω. ὁ ἐκ delta.496 τοῦ δήμου ἐπιτετραμμένος καίνειν. καὶ ἀμοιβῇ τοῦ ¯α εἰς ¯η δημόκοινος. Δῆμοσ. ὁ ο χλος. παρὰ τὸ δέω τὸ δεσμεύω τὸ συνδεδεμένον πλῆθος, δεσμὸς καὶ δῆμος. ὡς μένω, μένις καὶ μῆνις. η  παρὰ τὸ δέμας, οι ον ε ν σῶμα ὑπάρχον. η  παρὰ τὸν δασμὸν τὸν μερισμόν. ε νθεν καὶ Δημήτηρ, ἡ τῶν δασμῶν μήτηρ, καὶ δαὶς, ἡ τροφή. η  παρὰ τὸ δέω τὸ δεσμεύω, δέμος καὶ δῆμος. κατὰ ἀντίφρασιν τὸ εὐδιάλυτον. Δημοσθένησ. ἰστέον, ο τι ἐπὶ τοῦ Δημοσθένεος Δημοσθένους οὐκ ε στι συναίρεσις, ἀλλὰ κρᾶσις. α λλο γὰρ κρᾶσις καὶ α λλο συναίρεσις. ἡ μὲν γὰρ συναίρεσις πάντα τὰ αὐτὰ φωνήεντα φυλάσσει καὶ οὐ ποιεῖ ἀλλαγὴν τῶν φωνηέντων, οι ον· πάϊς, παῖς· Πηλεΐ, Πηλεῖ. ἡ δὲ κρᾶσις πάντως ἀλλοίωσιν ἐργάζεται τῶν φωνηέντων, οι ον· τὸ ἐμὸν, τοὐμόν· νόος, νοῦς. καὶ εἰ α ρα ἐν τῇ Δημοσθένεος γενικῇ κρᾶσις ἐστὶ καὶ οὐ συναίρεσις, διὰ τί ει πεν ὁ τεχνικός· πᾶσα γενικὴ εἰς ¯ο¯υ¯ς λήγουσα συνῃρημένη ἐστί· καὶ οὐκ ει πε κεκραμένη; καὶ ε στιν εἰπεῖν, ο τι ἡ συναίρεσις γενική ἐστι, καὶ συναιρεῖται εἰς ει δη δύο· εἰς κρᾶσιν καὶ εἰς ὁμώνυμον λεγομένην συναίρεσιν. τῷ ου ν γενικῇ ὀνόματι ο τε συναιρεῖται τὴν κρᾶσιν ἐκάλεσε. πολλάκις γὰρ τῷ ὀνόματι τοῦ γένους τὰ ει δη προσαγορεύοdelta.497 μεν. ἰδοὺ γὰρ τὸ α νθρωπος ει δος ω ν τοῦ ζώου ὁμωνύμως τοῦ γενικοῦ ζώου ὀνομάζομεν. ἰστέον, ο τι τὸ ¯ε¯ο τριχῶς κιρνᾶται· εἰς τὴν ¯ο¯υ δίφθογγον παρ' ἡμῖν καὶ παρ'᾿Αθηναίοις, οι ον· Δημοσθένεος, Δημοσθένους. παρὰ τοῖς Δωριεῦσι καὶ τοῖς  Ιωσιν, οι ον· ὁ᾿Οδυσσεὺς, τοῦ᾿Οδυσσεῦς, οι ον·᾿Οδυσσεῦς δὲ λαβὼν κῦσε χεῖρ' ἐπὶ καρπῷ. ἀντὶ τοῦ᾿Οδυσσέως τὴν χεῖρα λαβὼν ἐφίλησε. σπανίως δὲ εἰς τὴν ¯ε¯ι δίφθογγον παρ'᾿Αθηναίοις, οι ον· πλέον πλεῖν, δέον δεῖν. ὡς παρὰ ᾿Αριστοφάνῃ ἐν Βατράχοις· Εὐριπίδης πλεῖν σταδία λαλίστερα. ἀντὶ τοῦ Εὐριπίδου πλέον σταδία φλυαρώτερα. Δημοσθένην.᾿Ιστέον, ο τι ἡνίκα μὲν τὸ ¯ε καὶ προηγεῖται φωνῆεν, τότε τὸ ¯ε καὶ ¯α εἰς η τα κιρνᾶται, καὶ εἰς ¯α δηλονότι μακρόν. οι ον τὸν εὐφυέα καὶ εὐφυῆ καὶ εὐφυᾶ. ἡνίκα δὲ τοῦ ¯ε προηγεῖται σύμφωνον, τότε τὸ ¯ε καὶ ¯α εἰς η τα κιρνᾶται μακρόν. οι ον Δημοσθένεα, Δημοσθένη, τεύχεα, τεύχη. εἰ δέ τις ει πῃ καὶ πῶς ἐπὶ τοῦ χάλκεα χαλκᾶ καὶ κάνεα κανᾶ, καὶ τῶν ὁμοίων εἰς ¯α ἐγένετο ἡ κρᾶσις τοῦ ¯ε καὶ ¯α συμφώνου ἐπιφερομένου, λέγομεν, ο τι αἱ εὐθεῖαι αὐτῶν δίχα ει ρηνται ἐντελῶς καὶ κατὰ κρᾶσιν· καὶ ἐντελῶς μὲν, οι ον χάλκεον καὶ κάνεον· κατὰ κρᾶσιν δὲ, οι ον χαλκοῦν καὶ κανοῦν. αἱ ου ν ἐντελεῖς εὐθεῖαι ἀπὸ τῶν ἐντελῶν εὐθειῶν ἐγένοντο, αἱ δὲ συνῃρημέναι ἀπὸ τῶν συνῃρημένων.᾿Ιστέον, ο τι οἱ ᾿Αθηναῖοι ἐπὶ μὲν τῶν εἰς ¯ο¯ς κυρίων τῶν εἰς ¯ο¯υ¯ς ἐχόντων τὴν γενικὴν ποιοῦσι τὴν αἰτιατικὴν εἰς ¯ν, καὶ τὴν κλητικὴν εἰς ¯η. οι ον,᾿Αριστοφάνην, ω ᾿Αριστοφάνη. ἐπὶ δὲ τῶν ἐπιθέτων ου τε εἰς ¯ν ποιοῦσι τὴν αἰτιατικὴν, ου τε εἰς ¯η τὴν κλητικήν. καὶ α ξιον ἐστὶ ζητῆσαι, διατί καὶ ἐπὶ τῶν ἐπιθέτων οὐ ποιοῦσιν ὁμοίως τοῖς κυρίοις. καὶ ε στιν εἰπεῖν, ο τι εἰ ἐποίησαν οἱ᾿Αθηναῖοι καὶ ἐπὶ τῶν ἐπιθέτων εἰς ¯ν τὴν αἰτιατικὴν, ἠναγκάζονdelta.498 το καὶ τὴν κλητικὴν εἰς ¯η ποιῆσαι· τῆς δὲ κλητικῆς εἰς η τα ληγούσης, ἠναγκάζοντο καὶ τὰ οὐδέτερα εἰς η τα καταλῆξαι· ἐπειδὴ πᾶν οὐδέτερον ἀπὸ ἀρσενικοῦ παρεσχηματισμένον καὶ περιττοσυλλάβως κλινόμενον, τῇ κλητικῇ τοῦ ἀρσενικοῦ ὁμοφωνεῖ. οὐ δύναται δὲ τὰ οὐδέτερα εἰς η τα καταλήγειν, ἐπειδὴ τὸ ¯ο οὐκ ε στι τελικὸν τῶν ἑνικῶν οὐδέτερον. Δημοσθένεις. τὸν ¯ε¯ι¯ς δίφθογγον διατί;᾿Ιστέον, ο τι τὰ δύο ¯ε¯ε ἐπὶ τῆς εὐθείας τῶν πληθυντικῶν εἰς τὴν ¯ε¯ι δίφθογγον κιρνᾶται. οι ον Δημοσθένεες Δημοσθένεις. ἐπὶ δὲ τῆς εὐθείας τῶν δυϊκῶν εἰς η τα, ἐπειδὴ τὸ ἰῶτα οὐκ ε στι χαρακτηριστικόν. τούτου χάριν οὐ κιρνᾶται τὰ δύο ¯ε¯ε εἰς τὴν ¯ε¯ι δίφθογγον, ἀλλ' εἰς η τα.  Ετι ἡ εὐθεῖα τῶν πληθυντικῶν πλείοσι φωναῖς κέχρηται ὡς πρὸς τὴν εὐθεῖαν τῶν δυϊκῶν· οι ον τῷ῾Ομήρῳ, οἱ  Ομηροι. καὶ τούτου χάριν τὰ δύο ¯ε¯ε, ἐπὶ μὲν τῆς εὐθείας τῶν πληθυντικῶν εἰς τὴν ¯ε¯ι δίφθογγον κιρνᾶται, ἐπὶ δὲ τῆς εὐθείας τῶν δυϊκῶν εἰς η τα, ι να εὑρεθῇ ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐθεῖα τῶν πληθυντικῶν πλείοσι φωναῖς κεχρημένη πρὸς τὴν εὐθεῖαν τῶν δυϊκῶν. Δημοσθενέων καὶ Δημοσθενῶν. διατί οὐ προπαροξύνεται τῶν Δημοσθένεων, ὡς τῶν ο φεων; καὶ ε στιν εἰπεῖν· τούτου ἡ γενικὴ τῶν πληθυντικῶν προπαροξύνεται. ἡνίκα δὲ μὴ εὑρεθῇ, ὡς προείρηται ....... Δημοσθένεσι. μόνως ἐνταῦθα οὐ δύναται συναίρεσις γενέσθαι, ἐπειδὴ μέλλει τῇ δοτικῇ τῶν ἑνικῶν συνεμπίπτειν, ο περ ε στιν α τοπον, καὶ ο τι τὸ ¯ς μέσον ἐστὶ καὶ κωλύει τὴν συναίρεσιν. εἰ δέ τις ει ποι, ἀποβαλέσθω τὸ ¯ς καὶ γενέσθω συναίρεσις, τοῦτο οὐ δύναται γενέσθαι. καὶ ε στιν α ξιον ζητῆσαι, διατί ἐπὶ μὲν τῆς δοτικῆς τῶν πληθυντικῶν γίνεται ἐφελκυστικὸν τοῦ ¯ν τὸ ἰῶτα, ἐπὶ δὲ τῆς δοτικῆς τῶν ἑνικῶν οὐ γίνεται· οὐδὲ γὰρ λέγομεν, Δημοσθένειν. καὶ ε στιν εἰπεῖν, τότε γίνεται ἐφελκυστικὸν τοῦ ¯ν τὸ ἰῶτα, ἡνίκα ε χει προηγούμενον τὸ ¯ς ἐν delta.499 δυνάμει η ἐνεργείᾳ· ἐπὶ δυνάμει μὲν, οι ον φοίνιξιν, οι ον Πέλοψιν· ἐνεργείᾳ δὲ, οι ον λέβησιν, Αι ασιν. καὶ τοῦ ¯φ¯ι προηγουμένου, οι ον· ναῦφιν ἀμυνόμενοι– ἐπειδὴ ου ν ἐπὶ τοῦ Δημοσθένεϊ δοτικῇ οὐ προηγεῖται τὸ ¯ς η δυνάμει η ἐνεργείᾳ, τούτου χάριν οὐ γίνεται ἐφελκυστικὸν τοῦ ¯ν. Δηϊονεύσ. κύριον. Δηναιόσ. ὁ πολυχρόνιος. Δησέρτωρ. λειποτάκτης κατὰ Λατίνους. Δηφενσίων. ὁ ε κδικος χάρτης. καὶ δεβένσωρ ὁ ε κδικος. Δημήτρειοσ. καρπός. (Θηλυκόν.) Δηβελτόσ. πόλις Θρᾳκική. γράφεται δὲ καὶ Δεβελτός. Δηΐσ. ἡ μάχη. Δηϊοτῆτοσ. μάχης. παρὰ τὸ δῃοῦσθαι ἐν αὐτῇ τοὺς τιτρωσκομένους. οι ον· ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι. ὡς ᾿Αρίσταρχος. Δήϊα πεπονθυῖα. καταπεπολεμημένη, κατακεκαυμένη, πολεμία, δύστηνε. Δημαρχία. ο τε δῆμος α ρχει. καὶ ο νομα ἀξιώματος. Δήμευσισ. ἡ ἁρπαγή. Δημήτηρ. ἡ γῆ. οἱονεὶ γημήτηρ τὶς ου σα. delta.500 Δήμητρα. ο νομα θεᾶς. Δημοτελήσ. ἡ δημοσία τελετὴ, καὶ ἡ δημοσία φορολογία. Δημοθοινία. ἡ τοῦ δήμου εὐωχία η ἡ θυσία. Δημωδεστέρα. ἀσχημονεστέρα. †τὰ ἐν ο ψει πάντα γινόμενα διὰ τὸν δῆμον.† Δηλαϊστή. ἀθλία, ἐλεεινή. Δηλατωρίαι. αἱ τῆς καταστάσεως τοῦ δημοσίου φόρου *τάξεις, η αἱ ἀποδείξεις παρὰ῾Ρωμαίοις,* αἱ εἰσαγγελίαι. Δηναδίπτρα. παρὰ῾Ρωμαίοις δωρεὰ βασιλικὴ στρατιώταις †διδομένη.† Δῆρισ. ἡ φιλονεικία. οι ον· –δῆριν ἀπειρεσίην– παρὰ τὸ δαίω, τὸ κόπτω καὶ σφάττω, ο θεν καὶ δαιτρὸς ὁ μάγειρος· ἐξ ου γίνεται ο νομα δάϊς, ἡ μάχη, βαρυτόνως. Καλλίμαχος· ἐς δάϊν ἐρχομένην– καὶ ἐκτάσει τοῦ ¯α εἰς ¯η δῆϊς, καὶ πλεονασμῷ τοῦ ¯ρ δῆρις. ἐκ δὲ τοῦ δῆρις γίνεται ῥῆμα δηριῶ περισπωμένως καὶ βαρυτόνως, ὡς κόνις κονίω, καὶ δῆρις δηρίω. οι ον· –οὐδέ τις ε τλη πρόσω ἀΐξασθαι περὶ νεκροῦ δηρίσασθαι. καὶ δηριῶ, οι ον· –τότ' ἐδηριόωντο Ποσειδάων καὶ᾿Απόλλων. delta.501 Δήφηλα. πόλις περὶ᾿Ιωσήπῳ. Δηώ. ἡ γῆ, η ἡ Δημήτηρ. καὶ διαφέρει, ω ς φησιν ὁ τεχνικός. οι δε γὰρ ἡ παράδοσις τὸ η τα μετὰ τοῦ ἰῶτα. καὶ χωρὶς τοῦ ἰῶτα λέγομεν ο τι ε στιν ἀπὸ τοῦ δήω, ο σημαίνει τὸ εὑρίσκω· καὶ γὰρ ἡνίκα περιήρχετο ἡ Δημήτηρ εἰς ζήτησιν τῆς θυγατρὸς αὐτῆς, κατ' εὐφημισμὸν ε λεγον πάντες δήεις ἀντὶ τοῦ εὑρήσεις. η ο τι ἐπειδὴ αὐτὴ ἐφεῦρε τὸν σῖτον κατὰ τὴν φλυαροκοπίαν τῶν῾ Ελλήνων. εἰ δὲ ε χει τὸ ἰῶτα, λέγομεν ο τι γέγονε παρὰ τὸ δαίω τὸ κόπτω, κατὰ τροπὴν᾿ Ιωνικὴν τοῦ ¯α εἰς ¯η. καὶ γὰρ ἡ Δημήτηρ γῆ ἐστιν. ἡ δὲ γῆ διακόπτεται ἐν τῷ ἀροτριοῦσθαι. η ο τι πολλὴν ἐδήωσε γῆν, τουτέστι διέκοψεν, ζητοῦσα τὴν θυγατέρα αὐτῆς. η παρὰ τὸ δαίω τὸ καίω· καὶ γὰρ ἡ Δημήτηρ μετὰ λαμπάδων περιήρχετο. λέγει δὲ ὁ τεχνικὸς, ο τι ὑποκοριστικόν ἐστιν ἀπὸ τοῦ Δημήτηρ, Δηὼ, οὐ νοοῦντες τὸν σχηματισμὸν τῶν τοιούτων ὑποκοριστικῶν· τὰ γὰρ τοιαῦτα ὑποκοριστικὰ θέλουσι φυλάττειν τὸ σύμφωνον τῆς συλλαβῆς τῶν πρωτοτύπων, οι ον῾ Υψιπύλη,῾ Υψὼ, Εἰδοθέα, Εἰδώ· ἡ ου ν Δημήτηρ Δημὼ ω φειλεν ει ναι. ἀλλ' οὐκ ε στιν ὑποκοριστικὸν ἡ Δηὼ, παρὰ γὰρ τοῦ δηάς. ου τως ὑπὸ Κρητῶν αἱ κριθαὶ καλοῦνται. (Οὐδέτερον.) Δηλητήριον. φάρμακον ὀλέθριον. delta.502 Δῆλον. φανερόν. Δημιόπρατα. α ὁ δῆμος πιπράσκει. Δημόκοινον. τὸ δημόσιον. Δημόθοινα. ἡ τοῦ δήμου εὐωχία, η ἡ θυσία. Δημώματα. τὰ παίγνια. καὶ δημοῦσθαι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ παίζειν. ου τως Πλάτων. Δηναιά. μακροχρόνια, πολυχρόνια. παρὰ τὸ αἰὼν, ο σημαίνει τὸν τῆς ζωῆς χρόνον, καὶ τὸ δὴν, τὸ ἐπὶ πολὺν χρόνον. Δήνεα. τὰ βουλεύματα. Δηρόν. ἐπιπολύ. οι ον· –δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς. ω σπερ δὲ παρὰ τὸ ἡ πέρα, τῆς πέρας, τῇ πέρᾳ, τὴν πέραν· πέραν τοῦ χειμάῤῥου τῶν κέδρων· ου τως καὶ ἀπὸ τοῦ δηναιὸς τὸ οὐδέτερον δηναιὸν, καὶ κατὰ συγκοπὴν δηνὸν καὶ δηρόν. Δημοτικά. τὰ τοῖς πολλοῖς ἐμπρέποντα. (῾Ρῆμα.) Δήετε. εὑρήσετε. Δήεισ. εὑρήσεις. Δηθύνω. τὸ βραδύνω. παρὰ τὸ δηθὰ δαθύνω καὶ δηθύνω. καὶ ἀπὸ ἐπιῤῥήματος γίνεται ῥῆμα, ὡς ὀψὲ, ὀψίω καὶ ὀψίζω, θαμὰ, θαμίζω. Δηϊώσασ. διακόψας. ε στι δαίω τὸ διακόπτω. καὶ ἐκ τούτου γίνεται δάϊος καὶ δήϊος, καὶ ῥῆμα δηΐω. ἐξ ου καὶ τό· δηΐουν ἀλλήλους ἀμφὶ στήθεσι βοείας. delta.503 ει τα κατὰ συναίρεσιν δηῶ, καὶ ἡ μετοχὴ δηώσας, καὶ σημαίνει τὸ ἀναιρῶ. Δηΐων. διακόπτων. Δηλήσεται. βλάψει. Δηλῶ. τὸ βλάπτω. τὸ μὲν δηλητήριον ἀπὸ τοῦ δηλῶ, τὸ δὲ δηλῶ ἀπὸ τοῦ δῆρις, ο σημαίνει τὴν μάχην, δηρῶ καὶ δηλῶ. τοῦτο ἀπὸ τοῦ δαίω τὸ κόπτω. Δημηγορῆσαι. ἐν δήμῳ λαλῆσαι. Δημοσιεύων. δωρεὰν ἐργάζομαι.᾽Αριστοφάνης· ἀλλ', ω πόνηρ', οὐ δημοσιεύων τυγχάνω. αἰτιατικῇ συντάσσεται. Δημοτεύεσθαι. τὸ τοῦδε τινὸς δήμου κοινωνεῖν καὶ χρηματίζειν ἀπ' αὐτοῦ. Δημοκοπεῖν. ἀντὶ τοῦ παίζειν. Δημοῦσθαι. παίζειν. ου τω Πλάτων. Δημεύσασ. δημοσιεύσας. Δήξω. λυπήσω. δίξω δὲ ἀντὶ τοῦ τρώσω, ι. δείξω δὲ ἀντὶ τοῦ φανερώσω, δίφθογγον. Δηοῦν. ἀφανίζειν, πορθεῖν, διακόπτειν. Δηριγευόμενοσ. ὀψικευόμενος. ε στι δὲ ἡ λέξις ῾Ρωμαϊκή. delta.504 Δήσαντεσ. δεσμεύσαντες. Δηώσαντεσ. ἀφανίσαντες, πορθήσαντες, διακόψαντες. Δῆθεν. ὡς δή φησι. ποτὲ μέν ἐστι παραπληρωτικὸν δὴ, ποτὲ δὲ ὡς δή. Δηθά. ἐπὶ πολὺν χρόνον. Δηθάκισ. πλειστάκις. Δηλαδή. φημί· ἐξάπαντος, φανερῶς. Δημοτελῶσ. παντὶ τῷ δήμῳ. Δημοτικῶσ. πολιτικῶς. καὶ δημοτικὰ τὰ τοῖς πολλοῖς ἐμπρέποντα. Δήπουθεν. δηλονότι, η ἐκ τινὸς τόπου. Δήπου. ὡς δή. Δῆτα. λοιπὸν η ου τως. Δή. ἀντὶ τοῦ νῦν. Δήν. ἐπὶ πολὺν χρόνον. παρὰ τὸ αἰὼν, ο σημαίνει τὸν τῆς ζωῆς χρόνον, πλεονασμῷ τοῦ δ γίνεται δαιὼν καὶ κατὰ συγκοπὴν δὼν καὶ τροπῇ τοῦ ¯ω εἰς ¯η δήν. τὰ γὰρ εἰς ¯η¯ν ἐπιῤῥήματα διὰ τοῦ ¯η γράφεται, οι ον· χύδην, φύρδην, δήν· πλὴν τοῦ πρὶν, πάλιν, ἀνόπιν καὶ κατόπιν. delta.505 Τὸ Δ μετὰ τοῦ Ι. (᾽Αρσενικόν.) Διαπρύσιοσ. ὁ μέγας, διαβόητος. Διαπρεπήσ. ἐπίσημος, ε κδηλος. Διάβροχοσ. οἰνωμένος. ὡς δὲ ἐμέθυεν ὁ πορνοβοσκὸς καὶ διάβροχος η ν πάνυ, τί μέλλομεν, ε φη. Διαβήτησ. ἐργαλεῖον ευ χρηστον τέχναις πολλαῖς, τῷ λάμβδα στοιχείῳ παρεοικός. Διαγνώμων. ὁ διαγινώσκων, ὁ διακρίνων. Διαγραφεύσ. ὁ καθιστάμενος ἐν ταῖς συμμορίαις ἐπὶ τῷ διακρίνειν, πόσον ε καστος εἰσενεγκεῖν ὀφείλει. Διάπυροσ. θερμός. διάπυρος ἐραστής. Διαλλάκτησ. συμβιβαστής. Διαλογισμόσ. ὁ μετὰ τοὺς δύο ὑπεισελθὼν καὶ τοὺς τὴν κρίσιν ει τουν τὴν ε κβασιν τοῦ πράγματος ψηφισάμενος. Διάκονοσ. παρὰ τὸ ἐνέγκω τὸ προσενέγκω, καὶ ἐν συνθέσει διενέκω, διαένοκος καὶ καθ' ὑπερβιβασμὸν διαέκονος καὶ κατὰ κρᾶσιν τοῦ ¯α¯ε εἰς ¯α μακρὸν διάκονος. ὁ διαφέρων τὰ κελευόμενα. τινὲς δὲ παρὰ τὸ κονεῖν τὸ ὑπηρετεῖν. Διάκτοροσ. ὁ τοὺς λόγους διάγων. οι ον· –διάκτορος᾽Αργειφόντης. delta.506 ἐπὶ δὲ τοῦ῾Ερμοῦ ὁ τὰ κτέρεα καὶ τὰ θύματα τοῖς τετελευτηκόσι κομίζων, η ὁ διακονῶν τὰς ψυχάς. Διάτοροσ. ὁ διασαφηνίζων. παρὰ τὸ τορῶ τὸ σαφηνίζω.᾽Αριστοφάνης· εἰ μήτε τορήσω ταῦτα καὶ λαλήσομαι. Διαδρασιπολίτησ. δειλὸς, ἀποδιδράσκων τὴν πόλιν. Διαγόρασ. κύριον. Διαγόρας ὁ Μήλιος. Διατρύγιοσ. ὁ διὰ μέσου τρύγῃ κατασπειρόμενος. η ἐκ διαφόρων ἀμπέλων καταφυτευόμενος, πρωΐμων καὶ ὀψίμων, ὡς ἐν διαφόρῳ καιρῷ τρυγᾶσθαι. Διατιμητικόσ. δοκιμαστικός. Δίαυλοσ. ὁ ἀγών· η μέτρον πηχῶν διακοσίων, η ἡ μακρὰ περίοδος, η τόπος διστάδιος. Διαιτηταί. οἱ ὑπεράνω τῶν πεντήκοντα νομισμάτων δίκας κρίνοντες, ὡς ει ναι τοὺς διαιτητὰς μεγίστους κριτάς. Δίγνωμοσ. ὁ ἐπαμφοτερίζων τῇ γνώμῃ. Διδάσκαλον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λέγει ὁ Σόλων οὐ καθηγητὴν, οὐδ' ὑφηγητήν. Διδίασ. κύριον. Διδύραμβοσ. ὁ Διόνυσος. παρὰ τὸ δύο θύρας βῆναι, τήν τε κοιλίαν τῆς μητρὸς Σεμέλης καὶ τὸν μηρὸν τοῦ Διός. delta.507 Δίκαιοσ. ὁ πᾶσαν ἰσότητα τοῖς ὁμοειδέσι παρέχων καὶ ὁ πᾶσαν ἀρετὴν ε χων δίκαιος. φησὶ γὰρ ὁ ᾿Απόστολος· δικαίῳ νόμος οὐ κεῖται. Δικασπόλοσ. ὁ περὶ τὰς δίκας καὶ τὰ δικαστήρια ἀναστρεφόμενος. Δικτάτωρ. ὁ διπλασίαν τὴν ἀρχὴν ε χων, ὁ παρὰ Ῥωμαίοις δισύπατος καλούμενος, η ὁ μονάρχης ὁ πάντων κρατῶν, η ὁ βασιλεύς. Δικτυεύσ. ὁ ἁλιεύς. Δικτυωτόσ. πολύπλοκος. Δίκτυσ. ο νομα κύριον. σημαντέον, ο τι ἐπὶ Κλαυδίου τῆς Κρήτης ὑπὸ σεισμοῦ κατενεχθείσης, καὶ πολλῶν τάφων ἀνεωχθέντων, εὑρέθη ἐν ἑνὶ τούτων τὸ σύνταγμα τῆς ἱστορίας Δίκτυος, τὸν Τρωϊκὸν περιέχον πόλεμον, ο περ λαβὼν ὁ Κλαύδιος, ἐξέδωκε γράφεσθαι. Διμίτριοσ. ὁ δύο μίτρας ε χων, ο ἐστι πολεμικὰς ζώνας ὑφαινομένας διὰ μίτου. ἐφοροῦντο δὲ αυ ται ἐσώτερον τῆς λαγόνος χάριν ἀσφαλείας. η χαλκαῖ λεπίδες. Διμήτωρ. ὁ Διόνυσος. Δίοκλοσ. τόπος. Δῖοσ. ὁ ε νδοξος. ἀπὸ τῆς γενικῆς Διὸς γέγονε δίϊος, καὶ κατὰ κρᾶσιν δῖος, ὁ ε νδοξος. καὶ Δῖος ὁ η ρως ὁ ει ς τῶν Τιτάνων καὶ Πελοπίδων. παρὰ τὸ δέος δέεας καὶ ἐν συναλοιφῇ δείας διὰ διφθόγγου, ὁ δέος ἐμποιῶν. η παρὰ τῆς Διὸς γενικῆς. delta.508 Διοπτῆρα. κατάσκοπον. ἐκ τοῦ ο πτω. οι ον· τόν ῥα διοπτῆρα στρατὸς ε μμεναι ἡμετέροιο. καὶ διοπτεύω τὸ κατασκοπεύω. καὶ διοπτῆρες, οἱ οἰκονόμοι, οἱ ἐπιτηρηταὶ, οἱ προφύλακες. οὐχ οι οί τε ἐγένοντο οἱ διοπτῆρες διαγνῶναι ἐπιόντας τοὺς δυσμενεῖς. καὶ διοπτὴρ μηχανικόν τι ο ργανον, δι' ω ν ἐστοχάζοντο τῶν ἐπάλξεων τὸ υ ψος. η διόπτρα. Διόπτησ. παντεπόπτης. Δίοποσ. ὁ διέπων καὶ ἐποπτεύων· ὁ τῆς νεὼς ἐπιμελητής. Διοποί. οἱ βασιλεῖς. παρὰ τὸ διοπεῖν η διοπεύειν. Διόβλητοι. οἱ κεραυνόβλητοι. καὶ ἐγένοντο διόβλητοι α παντες. Διόγνητοσ. κύριον. Δίομοσ. κύριον. ἀφ' ου Διομίας. ει ρηται παρὰ τὴν Διὸς γενικὴν, ὡς ἀνδρὸς, α νδρομος καὶ ἐν παραγωγῇ ἀνδρόμεος, ο θεν τό· ψωμοί τ' ἀνδρόμεοι. καί· ἀνδρόμεα κρέ' ε δων. Διόνυσοσ. οἱ μὲν Διόνυξον αὐτὸν ὀνομάζουσι διὰ τοῦ ξ, ο τι κέρασι γεννώμενος ε νυξε τὸν Διὸς μηρόν. η Διόνυσος ὁ ἐκ τοῦ Διὸς γεννηθεὶς καὶ ἐν Νύσσῃ τραφείς. Δίδυμοσ. ὁ μεθ' ἑτέρου τεχθεὶς ἐκ μιᾶς συλλήψεως. παρὰ τὸ δύω, ο γίνεται δύνω. οι ον· δύνε δ' ᾿Ερεχθῆος πυκινὸν δόμον– delta.509 ει ρηται παρὰ τὸ δυόδυμος καὶ δίδυμος. καί· –λιμένες ἀμφιδίθυμοι– οἱ δύο εἰσόδους ε χοντες. δίδυμος καὶ ὁ ο ρχις, παρὰ τὸ δύο τὸ τοῦ ἀριθμοῦ σημαντικὸν, δύμος καὶ ἐν διπλασιασμῷ δίδυμος. η παρὰ τὸ δὶς ἐπίῤῥημα γίνεται δισσὸς καὶ δίσυμος καὶ κατὰ ἀντίθεσιν δίδυμος. Διήρησ. ὁ ὑπερῷος οι κος, ὁ δίστεγος. Εὐριπίδης· μελάθρων ἐς διῆρες ε σχατον– παρὰ τὸ διὴς διήρης, ι ν' ῃ ὁ δίστεγος. ᾿Απολλόδωρος δὲ καὶ τὰς ναῦς τὰς ἐχούσας δύο καὶ τρεῖς στέγας διήρεις λέγει. Δίπαλτοσ. ἀμφοτέραις ταῖς χερσὶ περιδέξιος, οι ον παντὶ σθένει. Σοφοκλῆς· πᾶς δὲ στρατὸς δίπαλτος α ν με χειρὶ φονεύει. καὶ διπάλτια δοράτια. Δίπυρος α ρτοσ. ὁ παρὰ ῾Ρωμαίοις λεγόμενος παξαμᾶς. σισύρας ἐπὶ τῶν ω μων φέροντες, ἐν αι ς δὴ α λλο οὐδὲν, ο τι μὴ διπύρους α ρτους, οι κοθεν ἐμβεβλημένοι ἀφίκοντο. Δίφιλοσ. ω σπερ παρὰ τῷ Αρῃ δοτικῇ γίνεται ᾿Αρηΐφιλος, ου τως παρὰ Διῒ δοτικῇ γίνεται διΐφιλος, καὶ κατὰ κρᾶσιν τῶν δύο ¯ι¯ι εἰς ε ν, δηλονότι μακρὸν, γίνεται Δίφιλος, ω σπερ Θέτιϊ, Θέτι· πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τείνειν. delta.510 †Διφένσοσ. ὁ ε κδικος.† †Διφενσίων. ὁ ε νδικος χάρτης.† Δίφροσ. τὸ α ρμα. παρὰ τὸ δύο φέρειν τὸν ὁπλίτην καὶ τὸν ἡνίχον. Διφυήσ. ὁ δύο φύσεις ε χων. Διώρυξ. ἡ διάνοιξις τῶν τοίχων. ἀπὸ τοῦ ὀρύσσω, ὀρύξω, ο ρυξ. καὶ ἐν συνθέσει διώρυξ. Διωστῆρσιν. ἀναφορεῦσι, τοῖς ἀναβαστάζουσι. Δῖνοσ. ἡ συστροφὴ, ἡ περιφέρεια, ὁ τόρνος. Διαχώρουσ. τὰ διαστήματα τῶν λόχων. ου τω τὲ ἀνεπλήρωσε τῇ πυκνότητι τοῦ στρατοῦ τοὺς διαχώρους. Διαλογισμούσ. ἀμφιβολίας. ὁ ᾿Απόστολος· χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν. Διλόγουσ. οι ον ὑπούλους καὶ δολερούς. μὴ διλόγους γυναῖκας ὡσαύτως σεμνὰς, μὴ διαβόλους· ὡς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τὸ διλόγους. Διαφορώτεροσ. βελτίων. καὶ ὁ᾿Απόστολος· νυνὶ δὲ διαφορωτέρας τετύχηκε λειτουργίας, *ο σῳ κρείττονός ἐστι διαθήκης μεσίτης.* (Θηλυκόν.) Διαδικασία. οὐχ ἁπλῶς πᾶσα δίκη, ἀλλ' ἐν αι ς περὶ τινὸς ἀμφισβήτησίς ἐστι. Διασία. ἑορτὴ ἐπιτελουμένη ἐν᾿Αθήναις τῷ Διΐ. παρὰ τὸ τὰς α σας, τὰς ἀνίας, οι ον· μή μιν ε δουσιν α σαι. delta.511 καὶ ἀσόμενος μετοχή. διασία ου ν ἡ ἐπιτρέπουσα τὰς α σας. Διαλεκτική. ἡ ἀποδεικτικὴ, ἡ ἐπιστήμη ἀληθῶν καὶ ψευδῶν καὶ οὐδετέρων. ἡ μέθοδος δι' ἐνδόξων. η  τέχνη λόγων, δι' η ς ἀνασκευάζομέν τι, η  κατασκευάζομεν ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως τῶν προδιαλεγομένων. διαλεκτικὴ δὲ ἀπὸ τοῦ διαλέγεσθαι, ο τι διάλογος ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως σύγκειται. Διάλεξιν. ἐμπειρία λόγων, η τοι τὰ νοηθέντα φράζειν. Διάλεξις διαλέκτου διαφέρει. διάλεκτός ἐστι φωνῆς χαρακτὴρ ἐθνικὸς, διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐκτροπὴ ἐπὶ τὸ σεμνότερον καὶ ἀγροικότερον. η  διάλεκτός ἐστι, καθ' η ν ε καστος α νθρωπος διαλέγουσι πρὸς ἀλλήλους κατὰ τὴν ἰδίαν συνήθειαν, η  ἀπὸ τοῦ διαλεχθῆναι καὶ διακεκρίσθαι ἀπὸ τῶν α λλων· ἑκάστη γὰρ αὐτῶν διακέκριται ἑτέρας ἀπὸ τοῦ διαλέχθαι καὶ ἐξειλέχθαι ὡς κρατιστεύουσα. Διαλογή. διάλεξις, ὁμιλία. Δαβίδ· ἡδυνθείη αὐτῷ ἡ διαλογή μου. Διάληψισ. ἐνθύμησις. Διαυλία. ο ταν δύο ᾳ δουσι. Διαύλεια δὲ, χώρα, δίφθογγος, η τις ἐστὶ καὶ ἐπισκοπή. Διακόρησισ. ἡ φθορὰ τῶν παρθένων. Διαθήκη. διττῶς ἐκφωνεῖται· ἡ μὲν ἐπὶ θνησκόντων, διατάξεως καὶ ἐνταλμάτων χαρακτῆρα delta.512 φέρουσα· ἡ δὲ συνθηκῶν ἐπὶ διαλογῇ πολεμίων, συνωμοσίαν ε χουσα. Διάθεσισ. ἡ ποιὰ τῶν πρός τι τῆς ψυχῆς σχέσις, η  πάλιν ἡ πρός τι πῶς τῆς ψυχῆς ε μμονος κίνησις. διάθεσίς ἐστι καὶ ἡ κατὰ συμβεβηκὸς τοιάδε ἑκάστου ποιότης. διαθέσεις οὐ μόνον ἐπιστῆμαι καὶ τέχναι, ἀλλὰ καὶ ἀρεταί. ὑπάρχει δὲ τῇ τέχνῃ τὸ φαῦλον καὶ σπουδαῖον· τῶν γὰρ τεχνῶν αἱ μὲν εἰσὶ φαῦλαι, αἱ δὲ σπουδαῖαι. τῷ δὲ ἐπιστήμης ὀνόματι ᾿Αριστοτέλης ἀντὶ τῆς τέχνης χρῆται κοινότερον. ὑπάρχοι δ' α ν καὶ τῇ διαθέσει γένος ου σῃ τέχνης τὸ φαῦλον καὶ σπουδαῖον. διαθέσεις λέγονται, α  ἐστιν εὐκίνητα καὶ ταχὺ μεταβάλλονται· οι ον θερμότης καὶ ψύξις καὶ νόσος καὶ ὑγεία. διάκειται μὲν γάρ πως κατ' αὐτὴν ὁ α νθρωπος· ταχὺ δὲ μεταβάλλει ἐκ θερμοῦ εἰς ψυχρὸν, καὶ ἐκ τοῦ ὑγιαίνειν εἰς τὸ νοσεῖν· εἰ μή τις διὰ χρόνου πλῆθος η δη πεφυσιωμένη ἀνίατός ἐστι καὶ δυσκίνητος· η ν α ν τις ι σως ε ξιν η δη προσαγορεύοι. καὶ διαφέρει ε ξις διαθέσεως· καὶ γὰρ ἡ μὲν ε ξις δυσκίνητος, ἡ δὲ διάθεσις εὐκίνητος. Διαδόσεισ. τὰς ἐκ διαιρέσεως ι σης ἐπιβαλλούσας δόσεις. ου τως Λυσίας. Διαπαρατριβαῖσ. ἐνδελεχείαις. Διάγνωσισ. ἡ ἑτέρου καὶ ἑτέρου ἀπροσπαθὴς καὶ ἀπαθὴς ὑπόληψις. Διαγνώμη. ἡ διάγνωσις καὶ ἡ διάκρισις. ἡ λέξις Θουκυδίδου. delta.513 Διαγραφή. ἡ διατύπωσις τῶν μετάλλων δηλοῦσα μετὰ γραμμάτων, ἀπὸ ποίας ἀρχῆς μέχρι πόσου πέρατος πιπράσκεται. διαγραφή· καὶ καθυποβάλλεσθαι ζημίαις πολλαῖς τὴν πόλιν, ὡς καὶ ἐπὶ ᾿Ιουστινιανοῦ. καὶ ο ταν ἀπαλλαγῇ τοῦ ἐγκλήματος ὁ φεύγων η  κατὰ συγχώρησιν τοῦ διώκοντος η  κατὰ διάγνωσιν τυχόντος, καὶ μηκέτι περὶ μηδενὸς ἐγκαλεῖται, λέγεται διαγραφὴ δίκης. Διαδρομαί. ἐπὶ τῶν ἐπὶ παρατάξει κινημάτων. Διαμαρτυρία καὶ διαμαρτυρεῖν. τρόπος η ν ἡ μαρτυρία παραγραφῆς. πρὸ γὰρ τοῦ εἰσαχθῆναι τὴν δίκην εἰς τὸ δικαστήριον, ἐξῆν τῷ βουλομένῳ διαμαρτυρῆσαι. διαμαρτυρεῖν δ' ἐστὶ τὸ προλέγειν τῆς ἀπειθείας τὴν τιμωρίαν, καὶ τῆς εὐπειθείας τὴν ὠφέλειαν. Διάνοια. νοημάτων διακριτικὴ δύναμις καὶ ἐνθύμησις. η  νοῦ οἰκεία κίνησις, δι' αὐτοῦ ἐνεργοῦσα καὶ διακρίνουσα. Διάκρισισ. ἡ τοῦ θείου θελήματος ἐν παντὶ καιρῷ καὶ τόπῳ ἀπλανὴς κατάληψις. delta.514 Διάῤῥοια. πάθος παρὰ τὰς υ ς γινόμενον. τρία δέ εἰσι πάθη· κραῦρα, βράγχη, διάῤῥοια. ἡ μὲν ου ν βράγχη μέρος τινὸς σώματος, ἡ δὲ κραῦρα πυρετὸς, πόνῳ· σημειοῦται δὲ τοῦτο τῷ καταβεβλῆσθαι τὰ ω τα καὶ κατηφῆ. ει ναι τὰ ο μματα. ἡ μὲν ου ν διάῤῥοια ἀθεράπευτός ἐστι· τὴν δὲ κραῦραν οἱ νομεῖς εὐχυματίζουσι· τῆς δὲ βράγχης περιτέμνουσι τὰ σεσηπότα τῶν σαρκιδίων. Διασκευή.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνθήκη. μόλις ἀνεχόμενος εἰς διασκευὴν τῶν γραμμάτων. Διάστασισ. ὁ διαχωρισμός.᾽ Αντιφῶν δὲ λέγει καὶ τὴν διακόσμησιν. Διαστολή. διαχώρισις, ἐξοχή. καὶ πᾶν τὸ ῥηθὲν ὑπ' αὐτοῦ μετὰ διαστολῆς ἐξαγγέλλομεν. διαστολὴ καὶ ἡ διανοίας ὁλοκλήρου περιτομή. ει ρηται δὲ διαστολὴ ἀπὸ τοῦ διαστέλλειν τὸν ἐγκείμενον νοῦν. Διασφάγεσ. διεστῶσαι πέτραι, η διατομαὶ ο ρους, η ὁ διεστὼς ο ρους τόπος, ω ς φησινʹ Ηρόδοτος· καὶ διὰ τῆς διασφάγος ῥεῖ. ὡς ἀπὸ τοῦ θεdelta.515 ρίζω θερίξω, καὶ βαστάζω βαστάξω, βαστὰξ, καὶ νεκροβαστὰξ, ου τως ἀπὸ τοῦ σπῶ σπάζω, σπὰξ καὶ τροπῇ σφὰξ καὶ διασφάξ. Διαίρεσισ. ἡ τὸ μονοειδὲς ὡς πολυειδὲς ἀπεσχοινισμένως ποιήσασα. καὶ πάλιν τὸ ἰδίᾳ ἀνὰ μέρος πρὸς ε τερον μηδαμῶς γεγονός. η διαίρεσίς ἐστιν ἡ πρώτη τομὴ, ἡ τὸ ἀμπὰξ ἀναμέρος τιθεῖσα τὲ καὶ χωρίζουσα καὶ καθ' ἑαυτὴν θεωρεῖσθαι παρασκευάζουσα, κατά τε οὐσίαν καὶ ὑπόστασιν τοῦ ἑκάστου πράγματος υ παρξιν· οι ον ὡς ει δος ἐν τοῖς ὑπ' αὐτῷ ἀτόμοις. τούτων γὰρ φυσικῶς κατηγορεῖται, καὶ ἐν αὐταῖς διὰ τῶν ἐνθεωρουμένων αὐτοῖς οὐσιωδῶν ἰδιωμάτων προφαίνεται. κοινὸν γάρ τι καὶ γενικὸν ἡ οὐσία. μᾶλλον δὲ ἁπάντων καὶ γενικῶν κοινότερόν τε καὶ γενικώτερον, καὶ γενικῶν κοινότερόν τε καὶ γενικώτερον, καὶ πάντων κατηγορεῖται, ω ν ὁ τοῦ ει ναι λόγος πρὸς ε ν ἐστι, τῇ προσλήψει τῆς διαφορᾶς ἐν ο λοις προφαίνεται, καθ' ἑαυτὴν α γνωστος ου σα πρὸς αι σθησιν διόλου καὶ ἀθεώρητος. Δίαιτα. ἡ καθημερινὴ τροφὴ, καὶ ἡ κρίσις. τὴν τῶν ἐγκλημάτων δίαιταν ἐπίτρεψον α λλοις. Διατριβή. ἡ σχολὴ, η καιρὸς, καθ' ο ν ἀναστρέφομεν περί τι. η διάλεξις φιλόσοφος. σημαίνει καὶ τὸ ἐπιτήδευμα καὶ τὸ ἀσχόλημα καὶ τὴν δίαιταν καὶ τὴν διαγωγὴν καὶ τὴν πρόφασιν, ἀφ' η ς μέλλομεν περὶ τὰ πράγματα διατρίβειν. διατριβὴ δὲ καὶ ἡ ἀργία. ἐγένετο δὲ αὐτῷ ἑκούσιος ἡ διατριβή. Διατροπή. ἡ συμπάθεια, οι κτος. τῶν δὲ Καρχηδονίων πολὺν κλαυθμὸν μετὰ δακρύων προϊεμένων, διατροπῇ μεγάλῃ τὸ συνέδριον ἐπέσχεν. delta.516 Διαύγεια. ἡ ε λλαμψις. ὁ ἐν θεολόγοις Γρηγόριος τοῦτο διὰ τοῦ ι γράφει· μὴ λίθων διαυγίαις. προπαροξύνεται δὲ ἐν τῷ ἀττικίζειν. Διαφορότησ. ἡ διαφορά. Διαφορά. ε χθρα. †ἡ φιλονεικία.† διαφορὰ τὸ ἐν τῇ συνηθείᾳ ἡ παραλλαγὴ καὶ ἀνομοιότης. διαφορὰ καὶ ἡ παρὰ τοῖς φιλοσόφοις καλουμένη ἰδιαίτατα, η τις καὶ οὐσιώδης ὑπάρχει. διαφορὰ, ῃ τινι περισσεύει τὸ ει δος τοῦ γένους. καὶ πάλιν διαφορά ἐστιν ἡ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ει δει, ἐν τῷ ὁποῖον τί ἐστι κατηγορούμενον, καὶ τὸ χωρίζειν πεφυκὸς τὸ ὑπὸ τὸ αὐτὸ γένος οὐσιωδῶς. καὶ ἡ ε τερον ει δος ποιοῦσα καὶ ἡ ἐν τῷ ο ρῳ παραλαμβανομένη. αυ ται γὰρ αἱ ὑπογραφαὶ τῆς ἰδιαίτατα εἰσὶ διαφορᾶς καὶ ου τω διαφέρει ε καστος οὐσιωδῶς. καὶ ἡ λεγομένη κοινῶς διαφορὰ τὸ χωριστὸν συμβεβηκὸς, διότι παντὶ τῷ ει δει κοινῶς ἐνθεωρεῖται. οι ον ὡς ο ταν ὁ δεῖνα τοῦδε διαφέρει κατὰ τὸ ὑγιαίνειν καὶ νοσεῖν, κατὰ τὸ κινεῖσθαι καὶ ἠρεμεῖν, καὶ κατὰ τὸ καθῆσθαι καὶ ι στασθαι. καὶ ἡ λεγομένη ἰδίως διαφορὰ τὸ ἀχώριστον συμβεβηκός· διότι οὐ παντὶ τῷ ει δει πρόσεστιν, ἀλλὰ τισὶν, οι ον ο ταν ὁ δεῖνα τοῦδε διαφέρει κατὰ τὸ σιμὸν η γλαυκὸν η φαλακρόν. η λόγος, καθ' ο ν ἡ πρὸς α λληλα τῶν σημαινομένων ἑτερότης σώζεσθαι πέφυκε, καὶ τοῦ πῶς ἐστὶ δηλωτικός. η ἀλλοίωσις φυσικῶν ποιοτήτων η γνωμῶν η πράξεων. Διαχειροτονία. διάκρισίς τις χειροτονίας ἐν πλήθει γενομένης. ου τως Δημοσθένης. delta.517 Διαψήφισισ. ἰδίως ἐπὶ τῶν ἐν τοῖς δήμοις ἐξετάσεων, αι γίνονται περὶ ἑκάστου τῶν δημοτευομένων· εἰ τῷ ο ντι πολίτης ἐστὶ καὶ δημότης, η ξένος ω ν παραγέγραπται. Διάχυσισ. τέρψις, χαρά. Διδαχή. ἡ διδασκαλία. ου τωςʿ Ηρόδοτος. Διεγγύησιν. κατάστασιν ἐγγυητῶν. ου τως Δημοσθένης. Διέκδυσιν. διεξέλευσιν. η ἀπόδρασιν. Δίεσισ. χώρισμα. Διεκβολάσ. τὰς διόδους, τὰς ἐξόδους. Διέκπλοι. τὸ ἐμβάλλειν καὶ διασχίζειν τὴν τῶν ἐναντίων τάξιν, καὶ πάλιν ὑποστρέφειν καὶ αυ θις ἐμβάλλειν. ἀναστροφαὶ δέ εἰσιν αἱ εἰς τοὐπίσω ὑποχωρήσεις. Δίεξιν. διεξέλευσιν. Διέξοδοσ. ο θεν τὶς ἐκπορεύεται. καὶ αἱ πνοαὶ καὶ αἱ ἐκκρίσεις διέξοδοι λέγονται.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λήθουσι γάρ τοι καὶ ἀνέμων διέξοδοι. καὶ διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, φησὶν ὁ Δαβὶδ, ἀντὶ τοῦ κρουνηδὸν ἐφέροντο. Διερήν. διΰγρον.᾿Οππιανός· – διερούς τε γάμους διεράς τε γενέθλας. delta.518 Διϊπόλεια. ἑορτὴ ἐπιτελουμένη τῷ Διῒ Πολιαίῳ η γουν ἐν τῇ ἀκροπόλει τιμωμένῳ· πόλιν γὰρ τὴν ἀκρόπολιν ε λεγον. Διϊππασία καὶ ἀνιππασία. τῶν ι ππων α μιλλα. Δικαιοσύνη. ε ξις ἀπονεμητικὴ ι σου καὶ τοῦ κατ' ἀξίαν. καὶ καθολικὴ ἰσονομία πασῶν τῶν ἀρετῶν. δικαιοσύνη καὶ ἡ τῶν ἐντολῶν πλήρωσις, ὡς τό· ου τως γὰρ πρέπον ἐστὶ πληρῶσαι πᾶσαν δικαιοσύνην. δικαιοσύνη καὶ ἡ ἀποχὴ τῶν κερδῶν καὶ ἡ τελεία ἀρετὴ καὶ ἡ δικαία αι τησις. ὡς καὶ ὁ Δαβὶδ φησίν· εἰσάκουσον, κύριε, δικαιοσύνης μου. η δικαιοσύνη ἐστὶν ἐπιστήμη τῶν αἱρετέων καὶ εὐλαβητέων καὶ οὐδετέρων. δικαιοσύνη καὶ ἡ κοινὴ ἀρετή· καὶ ἀντιδιαιρουμένη ταῖς α λλαις ἀρεταῖς ὁμωνύμως. διαφέρει δὲ ἀνδρία καὶ δικαιοσύνη· ἡ μὲν γὰρ δύο κακιῶν, θρασύτητος καὶ δειλίας, ἡ δὲ πλεονεξίας καὶ μειονεξίας, ἐξ ω ν ἡ ἀδικία· ἐν γὰρ τούτοις τῇ αἰδικίᾳ τοῦ ει ναι. καὶ περὶ α λλα μὲν ἡ ἀνδρία· περὶ γὰρ τὰς τῶν κινδύνων ὑπομονάς· περὶ α λλα δὲ ἡ δικαιοσύνη· περὶ γὰρ τὸ ι σον τότε ἐν διανομῇ καὶ τὸ ἐν τοῖς συναλλάγμασι. delta.519 Δικαίωσισ. κατάκρισις. δικαίωσιν τὴν πρεπωδεστάτην. Λυσίας δὲ ὁ ῥήτωρ δικαιώσεις τὰς δικαιολογίας λέγει. Θουκυδίδης δὲ, τὰς κολάσεις. Δίκη. ἡ ὑπὲρ ἰδιωτικῶν ἀδικημάτων συνισταμένη κατηγορία, καὶ η ς τὸ τίμημα ω ρισται τοῖς νόμοις. δίκη καὶ ἡ κρίσις καὶ ἡ δικαιοσύνη καὶ ἡ τιμωρία. λέγεται δὲ ἰδίως καὶ ἐπὶ ἰδιωτικῶν ἐγκλημάτων. Δίκης ἀνάκρισισ. οὐ πάσας δίκας κελεύουσιν οἱ νόμοι εἰσάγεσθαι· ἀλλ' ο ταν ὁ φεύγων ἀντιλέγῃ καὶ παραγράφεται λέγων, εἰσαγώγιμον μὴ ει ναι αὐτὴν, πρότερον ἐπὶ τούτῳ γίνεται κρίσις, η τις δίκης ἀνάκρισις λέγεται. καὶ δίκην ἀντὶ τοῦ τρόπον. καὶ ὁ μὲν ἐξετρίβη πίτυος δίκην ῥιφεὶς εἰς θάλασσαν. Δικαιάρχεια. ο νομα πόλεως. δικαιαρχία δὲ ἡ δικαίως α ρχουσα, ι. Δικαιοδοσία. ἡ ευ λογος ἀφορμὴ, ἡ κατὰ τὸν νόμον. Δίκη. ἡ δικαιοσύνη. δύχη τὶς ου σα, παρὰ τὸ εἰς δύο χέειν τὰ πράγματα. η παρὰ τὸ δίζω τὸ ζητῶ καὶ ψηλαφῶ, ἡ ζητοῦσα τὸ ἀληθές. η παρὰ τὸ διστάζω· δεῖται γὰρ δισταγμοῦ ἡ ἀπόφασις τοῦ δικαίου. delta.520 Δίκτη καὶ Δίκτον καὶ Δικταῖον. ο ρος Κρήτης καὶ α κρα κειμένη κατὰ τὸ Λιβυκὸν πέλαγος. ει ρηται παρὰ τὸ τίκτω, τίκτα τὶς ου σα, ἀπὸ τοῦ ἐκεῖ τεχθῆναι τὸν Δία. οἱ δὲ νῆσον φασὶν ει ναι Δίκτην, καὶ ὠνόμασται ἀπὸ τοῦ ἁλιευτικοῦ δικτύου, ε νθεν καὶ Διὸς α γαλμα ι στατο ἀγένειον. Διклίσ. δίθυρον. δικλίδας ἀμφετίναξεν ἐμοῖς Γαλάτεια προσώποις. Δικτατωρεία. ἀρχὴ ἀνυπεύθυνος. Δικτυωτή. καγκελλωτὴ, πολύπλοκος. Διλοχία. δύο λόχοι. καὶ ὁ ἡγούμενος αὐτῶν διλοχίης. Δινωτή. περιφερὴς, ἡ ἐοικυῖα δίνῳ, ο ἐστι τόρνος. παρὰ τὸ δινοῦσθαι καὶ κυκλοῦσθαι. οι ον· ᾿Ιδομενεὺς, κρύφθη γὰρ ὑπ' ἀσπίδος πάντος ἐΐσης, Τὴν α ρ' ο γ' ἐν ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ Δινωτὴν φορέεσκε– καὶ δῖνος ει δος ὀρχήσεως, καὶ ει δος ποτηρίου, παρὰ τὸ δινοῦσθαι. λέγεται δὲ καὶ ἀρσενικῶς ὁ δῖνος. καὶ δίνη τὰ ῥεύματα καὶ ἡ συστροφή. delta.521 Διορία. προθεσμία. διωρία δὲ σημαίνουσα καιρὸν, μέγα. Διοκαισάρεια. ἡ νῦν λεγομένη᾿Αναζαρβὰ η ᾿Ανάζαρβα. πόλις δὲ αυ τη ἐν Κιλικίᾳ. πρότερον δὲ Κυΐνδος ἐλέγετο. Διοκωχή. ἀνακωχὴ χρόνου. καὶ διοκωχὴν αἰτήσασιν ε δωκε. Διομήδεια. ο νομα νήσου. Διόπτρα. κάτοπτρον η μηχανικὸν τεχνούργημα, *δι' ου οἱ γεωμέτραι ἀπεκρίβουν τὴν τῶν ἐπάλξεων ἐκ διαστήματος ἀναμέτρησιν.* Πισίδης· ταῦτα πρὸ πολλοῦ τῇ διόπτρᾳ σου βλέπεις. Διπλοΐσ. ἡ χλαμύς. Διπλόη. ἡ ἀπάτη. καὶ ἡ ε ξωθεν ἀρετὴ φαινομένη, ε σωθεν δὲ γέμουσα κακίας. καὶ οἱ φιλίας μὲν ὑπισχνούμενοι, προϊέμενοι δὲ τὸν φίλον τοῖς πολεμίοις. Πισίδης· ἡ τοῦ χιτῶνος ἐμπεσοῦσα διπλόη. τάττεται δὲ ἡ λέξις ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους. Διποδία. ει δος ὀρχήσεως. ᾿Αριστοφάνης· ι ν' ἐγὼ διποδιάξω. Δίρκη. ο νομα πηγῆς. Διφασία. ἡ διλογία. Διφθέρα. ποιμενικὸν περιβόλαιον ἐκ δερμάτων, οι ον γοῦνα η α λλό τι. delta.522 Διφαλαγγία. αἱ δύο φαλαγγαρχίαι, ο ἐστιν α νδρες ἑκατὸν ἐννενήκοντα δύο καὶ χιλιάδες ὀκτώ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦτο δὲ καὶ μέρος ὑπ' ἐνίων καλεῖται, ἀλλὰ καὶ κέρας. καὶ ὁ ἡγούμενος κεράρχης. Διφαλαγγία ἀντίστομος. η τις ἡγεμόνας μὲν ε χει τεταγμένους, ου ς μὲν ἐν δεξιᾷ, ου ς δὲ ἐν εὐωνύμοις, τοὺς δὲ οὐραγοὺς ἐν μέσῳ τεταγμένους. Διφρεία. ἡ τοῦ α ρματος περιφέρεια. Διχόνοια. ἡ διχοστασία. Διχομηνία. ἡ πεντεκαιδεκάτη τῆς σελήνης. μήνη γὰρ ἡ σελήνη. λέγεται καὶ διχόμηνος. Διψάς. ει δος ο φεως. ε στιν ε χεως ὀλιγοτέρα, ἀποκτεῖναι δὲ ὀξυτέρα· οἱ δὲ δηχθέντες ἐξ αὐτῆς ἐξάπτονται εἰς δίψος, ω στε ῥήγνυσθαι. λευκὴ δ' ε στι καὶ ε χει ἐν τῇ οὐρᾷ γραμμὰς δύο. πρηστῆρα δὲ αὐτὴν τινὲς καλοῦσι, καύσωνα δὲ α λλοι. γίνονται δὲ ἐν Λιβύῃ καὶ ᾿Αραβίᾳ μᾶλλον. καλοῦσι δὲ αὐτὴν καὶ μελάνουρον καὶ ἀμμοάτιν καὶ κεντρίδα. Διωμοσία καὶ ἀντωμοσία τὸ αὐτὸ δηλοῖ. ε στι δὲ ο ρκος ἐπὶ τῶν δικαζομένων γινόμενος, τοῦ μὲν ὀμνύοντος, ο τι παθὼν ἐγκαλεῖ, τοῦ δὲ α ρα, ο τι οὐκ ἐποίησε. Διώνη. ἡ᾿Αφροδίτη. ἀπὸ τοῦ Διὸς Διώνη, κατ' ε κτασιν τοῦ ο εἰς ω. ο τι αὐτὴ γέγονε πρώτη delta.523 γαμετὴ τοῦ Διός. η ἀπὸ τοῦ διδῶ Διδώνη, καὶ Διώνη, ἡ διδοῦσα τὰς τῆς γεννήσεως ἡδονάς. Διωρυγὴ καὶ διωρυχή. ἡ διάνοιξις τῶν τοιχῶν *η τῶν χωμάτων.* Δικαιοσύνη. παρὰ τὸ διχάζειν τὸ α δικον ἐκ τοῦ δικαίου, διχαιοσύνη τὶς ου σα, καὶ κατὰ τροπὴν δικαιοσύνη. Δίψα. ἡ ἐπιθυμία. Διακονίαν. τὴν ἀποστολὴν λέγει ὁ ᾿Απόστολος. η κοινοτέρως πᾶσαν πνευματικὴν ἐργασίαν· ει τε διακονίαν ἐν τῇ διακονίᾳ. (Οὐδέτερον.) Διαβούλια. οἱ διαλογισμοὶ, η τὰ ἐκ λογισμῶν ἀτόπων πταίσματα. Διάγραμμα. τὸ διδόμενον ἐν ταῖς συμμορίαις, ὁπόσον ε καστος εἰσφέρειν δεῖ. ἐτάττετο δὲ οὐ τὸ αὐτὸ πᾶσιν, ἀλλὰ πρὸς τὴν τιμὴν τῆς οὐσίας. διάγραμμα καὶ τὸ μίσθωμα. διέγραφον γὰρ οἱ ἀγορανόμοι, ο σον ε δει λαμβάνειν τὴν ἑταίραν, δηλονότι τὴν πόρνην. Διάζωμα. τὸ περὶ τὰ αἰδοῖα σκέπασμα. Διάλειμμα. τὸ διάστημα καὶ διαχώρημα. οι ον· θεὸς ἐν σαρκὶ, οὐκ ἐκ διαλειμμάτων ἐνεργῶν. Διαλείποντα. τὰ διαχωρήματα. †φυλακαὶ δὲ ἐπὶ τὰ διαλείποντα τῆς τάφρου ἐτετάχατο.† Διάμετρον. τὸ ἀπὸ πέρατος εἰς πέρας κατὰ πλάτος διάστημα. Διαπρύσιον. ἐξάκουστον, μέγα, περιβόητον. παρὰ τὸ πεύθομαι ἐπευθόμην, πύσιον, καὶ delta.524 πλεονασμῷ τοῦ ρ πρύσιον καὶ διαπρύσιον. η ἀπὸ τοῦ περῶ περάσω, περάσιον καὶ κατὰ συγκοπὴν πράσιον, καὶ τροπῇ πρύσιον. ὡς μάθος, μῦθος. Δίαρμα. κούφισμα. Διαπρεπές. ἐπίσημον. Δίασμα. ἡ πρώτη τοῦ ἱματίου ἐργασία. Καλλίμαχος· εἰ δέ ποτε προφέροιντο διάσματα φάρεος ἀρχήν. ἀπὸ τῆς δέσεως τοῦ μερισμοῦ, ἐπεὶ τοὺς στήμονας διαμέσου. δέδασμαι καὶ δάσμα καὶ πλεονασμῷ τοῦ ¯ι δίασμα. η παρὰ τὸ α σσω α σμα καὶ δίασμα. τοῦτο τὸ α σσω γίνεται Αἰολικῶς α ζω καὶ διάζομαι. οἱ γὰρ Αἰολεῖς τὰ δύο ςσ εἰς ζ τρέπουσιν. ου τω καὶ τὸ μείζων ἀπὸ τοῦ μέγα μέσσων φασὶ καὶ μείζων, καὶ τὸ ὀλίσσων ἀπὸ τοῦ ὀλίγος, ὀλίζων. Διάτορον. ὀξὺ, μεγαλόφωνον. Διάφορα. τὰ ἀναλώματα. ου τως Θουκυδίδης. Διβίκια. Δίδραγμον. εἰσφορὰ, συντέλεσις. ε χει ε ξ γράμματα τὸ δίδραγμον. η νόμισμα ε ν η μισυ. τοῦτο καὶ σίκλος λέγεται. η πεντάσικλοι. η γουν ει κοσι ὀβολοί. *η διακόσιοι ὀβολοί.* Διειδές. καθαρὸν, λαμπρόν. Διέδριον. τὸ καθέδριον. α ραντες αὐτὸν διέδριον κατὰ τοὺς οι κους εἰσεκόμιζον. delta.525 Διεντέρευμα. τὸ ἐρώτημα. Διϊπολεία. παρὰ τῷ Διῒ δοτικὸν γίνεται διϊπολεῖον καὶ διϊπολεία. γράφεται δὲ διὰ τῆς ¯ε¯ι διφθόγγου, τῷ λόγῳ τῶν διὰ τοῦ ¯ε¯ι¯ο¯ν οὐδετέρων μονογενῶν. *η γουν ἐν τῇ ἀκροπόλει τιμωμένῳ. πόλιν γὰρ τὴν ἀκρόπολιν ε λεγον.* Δίκαιον. τὸ πρὸς ἀξίαν ἑκάστῳ τιμητικόν. Δίκορσον. τὸ δικόρυφον. Δικρανές. τὸ δικέφαλον. Δίκρον καὶ δίκροον. τὸ δίκρανον ξύλον. παρὰ τὸ κόρον, ο σημαίνει τὸν κλάδον, ε νθεν κορυδαλὶς ἡ δάφνη, καὶ κορεῖν τὸ τοῖς κλάδοις σαροῦν. ἐγὼ δὲ νομίζω μᾶλλον παρὰ τὸ κέρας, ο δὴ καὶ κέρως, ι ν' ῃ δίκερως καὶ κατὰ μετάθεσιν δίκρεος, καὶ τροπῇ τοῦ ¯ε εἰς ¯ο δίκροος. λέγουσι καὶ δικροῖς, ο ἐστι ξύλοις διφυέσι, δικρανίοις.᾿Αριστοφάνης· δικροῖς ἐώθουν τὸν θεὸν κεκράγμασι. Δικαιώματα. εὐλόγους ἀφορμάς. ἐάν τε γὰρ νικῶμεν ἡμεῖς, ε ξεις πρὸς ἐμὲ δικαιώματα μεγάλα. δικαιώματα καὶ ὁ νόμος, καὶ αἱ ἐντολαὶ, καὶ τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προστάγματα, καὶ τὰ κρίματα. νόμον καλεῖ τὸν ὑπὸ τοῦ θεοῦ διὰ τοῦ Μωσέως διδόμενον. ἐντολὰς καὶ τὰ προστάγματα τῶν αὐτῶν. κρίματα δὲ, ὡς τὰς θείας ψήφους ὑποδεικνύντα καὶ τὰς ἀξίας ἀντιδόσεις τῶν τε ἐννόμως καὶ ἀνόμως βιούντων. μαρτυρία δὲ, ὡς delta.526 διαμαρτυρούμενον καὶ δεικνύντα, οι αις τιμωρίαις ὑποβληθήσονται οἱ ταῦτα παραβαίνοντες. η δικαιώματα ὡς δυνάμενα τὸν κατορθοῦντα δικαιοῦν. δικαιώματα καὶ αἱ κατακρίσεις. Δικαιωτήρια. τὰ δικαστήρια καὶ αἱ ἐκεῖθεν κολάσεις. Δικαιώματα. κρίσεις ἀληθιναί. Δικύμα. τὰ διδυματόκα πρόβατα. Δίλημμα. τὸ δισσῶς λαμβανόμενον φρόνημα. καὶ διλήμματον, τὸ διχῶς νοούμενον. Διομήδειον. ε πος. Δικιδίοισ. ταῖς δίκαις, ὑποκοριστικῶς. Δίκτυον. παρὰ τὸ δίκω, τὸ βάλλω, δίκυον καὶ δίκτυον, πλεονασμῷ τοῦ τ. Δίνδυμον. ο ρος Φρυγίας. ἐκλήθη δὲ Δίνδυμον ὡς δύο α κρας ε χον. Διοπετέσ. ἐξ οὐρανοῦ κατερχόμενον. Δισσὸν καὶ διττόν. τὸ διπλοῦν. Διχοτομήματα. σχίσματα, τμήματα. Διχηλά. οι ον βοῦς, ε λαφος, δορκάς. οι ς συμβέβηκεν ἐν τοῖς ὀπισθίοις ποσὶν ἀστραγάλους ε χειν. Δίπαλτον. τὸ δικίνητον. πάλλω γὰρ τὸ κινῶ. Δίψος καὶ δίψα. ἑκατέρως λέγεται, μᾶλλον δὲ τὸ οὐδέτερον. Διωλύγιον. μέγα θρηνητικῶς ἠχοῦν, η τὸ μέγα καὶ ἐπιπολὺ διῆκον. ταῦτα οὐ διωλύγιος φλυαρία. delta.527 Διώροφον. τὸ δίστεγον. Διάψαλμα. η προσώπου ἐναλλαγὴ η διανοίας μεταβολὴ, η μέλους ὑπαλλαγή. ε γραψαν δὲ καὶ τὸ διάψαλμα οἱ ἑρμηνεύσαντες τέσσαρες α ρχοντες, οἱ ἐκλεχθέντες παρὰ τοῦ Δαβὶδ ἐκ τῆς φυλῆς Λευῒ,̓ Ασὰφ ὁ υἱὸς Κορὲ, Αἰμὰν, Αἰθὰμ καὶ Διθούμ. τούτοις ἀριθμὸς ᾠδῶν παρακολουθεῖ. ε καστος ου ν τούτων, καθὼς ει ρηται, ι στατο ἐνώπιον τοῦ ἁγιάσματος τοῦ κυρίου, αἰνοῦντες τὸν πάντων δεσπότην, ο ς μὲν κυμβάλοις, ο ς δὲ ψαλτηρίῳ, ο ς δὲ κιννύρᾳ, ο ς δὲ κερατίνῃ, ο ς δὲ κιθάρᾳ, ω ν μέσος ι στατο ὁ Δαβίδ. η διάψαλμά ἐστι μουσικοῦ μέλους η ῥυθμοῦ τροπῆς γενομένης η διανοίας ἐναλλαγή. κρατῶν ἐπὶ χεῖρας τὸ ψαλτήριον, καὶ ε καστος πνεύματι ἁγίῳ κινούμενος υ μνει τὸν θεὸν, καὶ πάντες συνεπεφώνουν τῷ ψάλλοντι τὸ ἀλληλούϊα. η διάψαλμά ἐστι διδασκαλία τοῦ πνεύματος τῇ ψυχῇ κατὰ τὸ ἀπόῤῥητον γενομένη, τῆς περὶ τὸ νόημα τοῦτο προσοχῆς τὸ συνεχὲς τῆς μελῳδίας περικοπτούσης. η ο τι προϊούσης κατὰ τὸ ἀκόλουθον τῆς ψαλμῳδίας ἐάν τις ἐγένετο μεταξὺ προφητεύοντος τοῦ Δαβὶδ ἑτέρα τοῦ ἁγίου πνεύματος ε λλαμψις θεία, καὶ προσθήκη τοῦ κατὰ γνῶσιν χαρίσματος ἐπ' ὠφελείᾳ τῶν δεχομένων τὴν προφητείαν ἐπέχων τὴν φωνὴν καιρὸν ἐδίδου τῇ διανοίᾳ δέξασθαι τῶν νοημάτων τὴν γνῶσιν, τῶν γινομένων ἐν αὐτῷ παρὰ τῆς θείας ἐλλάμψεως. η διάψαλμά ἐστι μεταξὺ delta.528 τῆς ψαλμῳδίας δεχομένη κατὰ τὸ ἀθρόον ὑπηρέμησις πρὸς ὑποδοχὴν τοῦ θεόθεν ἐπισκιρνωμένου νοήματος. Διαύλειον. ο ταν ἡσυχίας γενομένης ὁ αὐλητὴς α σῃ. Διαφανῆ χιτώνια. οὐ τὰ λαμπρὰ, ἀλλὰ τὰ ἰσχνὰ, δι' ω ν διαφαίνεται τὰ σώματα τῶν γυναικῶν. καἲ Ησαΐας ὁ προφήτης τὰ διαφανῆ Λακωνικά. Διαφόρημα. τὸ παίγνιον. Διηνεκέσ. τὸ ἡνωμένον καὶ ἀδιάσειστον. παρὰ τὸ ε ν τὸ ἀριθμητικόν. καὶ μετὰ ἐκτάσεως καὶ ἐν συνθέσει διηνεκές. η παρὰ τὸ ἐνέκω, ἐνεκέσω, ἐνεκὲς καὶ διηνεκές. τὸ ἐπίμηκες καὶ ἀδιάλειπτον. Διδασκαλεῖον. ἡ παίδευσις καὶ τὸ σχολεῖον. διδασκάλιον δὲ τὸ μάθημα, ¯ι. Δίπτυχα. τὰ διπλᾶ. Διπτύχια. δύο περιβόλαια ε χοντα, ὡς τὸ μὲν ὑπεστρῶσθαι, τὸ δὲ ε τερον ὑποβεβλῆσθαι. Διαφέροντα. τὰ συμφέροντα. παρὰ τῷ̓ Αποστόλῳ· εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα. Δικαιώματα. σύμβολα, θεσμούς. ει χεν ου ν καὶ ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, η τοι θεσμοὺς λατρείας καὶ εὐχῶν. (῾Ρῆμα.) Διαβάλλεται. χρῶνται ἐπὶ τοῦ ἐξαπατᾶν. τὸν γὰρ γέροντα διαβαλοῦμαι τήμερον. delta.529 Διαβάλλειν. παραλογίζεσθαι. Θουκυδίδης. διαβάλλειν τὸ ἐν μέσῳ πέλαγος, καὶ λῃστεύειν τὰς νήσους. καὶ ἀντὶ τοῦ περᾶν. διαβάλλειν τὸν Ωξον ποταμόν. Διαβούλομαι. ἀναπείσω. ου τω Θουκυδίδης. Διαβάσησ. ἐπελθούσης. ῾Ρωμαϊκῆς δυνάμεως ἐπ' αὐτοὺς διαβάσης. Διαξιφίσασθαι. ξίφεσι διαγωνίσασθαι. Διαπιθηκίσαι. τὸ διαπαῖξαι. ἀπὸ τῶν πιθήκων· φιλοπαιγμονέστατον γὰρ τὸ ζῶον. Διασαλακώνισον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαγαυρίασον.᾿Αριστοφάνης· τρυφερόν τι διασαλακώνισον. σαλάκωνας γὰρ ἐκάλουν τοὺς διαθρυπτομένους, ἀπὸ τοῦ σαλοῦσθαι, ο ἐστιν ἁβρῶς βαίνειν καὶ οἱονεὶ σείεσθαι, παρὰ τὸν σάλον. Διαῤῥικνοῦσθαι. τὸ τὴν ὀσφὺν φορτικῶς περιάγειν. Κράτης· ξίφιζε καὶ σπάδιζε καὶ διαῤῥίκνου. *Διαφυλάξασ. διαλαβών.* Διασκανδικίσασ. σκάνδικας πιπράσκων· σκάνδιξ γὰρ λάχανον. delta.530 Διαψαίρουσι. διαπνέουσι. ψαίρειν γὰρ τὸ πνεῖν οἱ ναυτικοὶ λέγουσι. Διαλαβών. προκατασχών. ὁ δὲ διαλαβὼν τὰς ὁδοὺς φυλακαῖς. Διαλαγχάνειν. διαμερίζεσθαι, διακληροῦσθαι. Διαλαμβάνει. ὑπονοεῖται. ἡ δὲ εὐμηχάνως διαλαμβάνει. Διαλαμβάνων. ὑπομνηματίζων, συγγράφων. Διαλέγεσθαι. τὸ συνουσιάζειν. Διαλέγουσαν. τὴν οἰκοδομοῦσαν. λέγειν γὰρ τὸ οἰκοδομεῖν. Διαλέγου. διορύττου. ου τως Θουκυδίδης. Διαλέγοιντο. ὁμιλοῖεν. διαλέγοιντο γυναιξί. καὶ τὸ συνουσιάζειν. Διαλεπτολογοῦμαι. διαλέγομαι. Διαμαρτυρεῖν. τὸ προλέγειν τῆς ἀπειθείας τὴν τιμωρίαν, καὶ τῆς εὐπειθείας τὴν ὠφέλειαν. Διαμάρτυραι. βεβαίωσαι. Διαμαρτύρομαί σοι. ἀντὶ τοῦ βεβαιώσω. ἐπὶ μέλλοντος μέγα, ἐπὶ δὲ τοῦ ἐνεστῶτος μικρὸν, delta.531 ὡς τό· α κουσον λαός μου καὶ λαλήσω σοι ᾿Ισραὴλ καὶ διαμαρτύρομαί σοι. Διαμαρτυρομένουσ. προλέγοντας, ἀποτρέποντας. ἀπέστειλαν πρεσβευτὰς διαμαρτυρομένους μήτε τὴν πόλιν αἰκίζειν. Διαμαρτύρασθαι. βεβαιῶσαι. ἐβουλήθησαν δὲ καὶ διαμαρτύρασθαι τοιοῦτον τρόπον τινά. Διαμέλλει. ἀναβολῇ χρῆται. καὶ μὴ πάνυ πιστεύσας διημέλλησεν. Διαμησάμενοσ. διορύξας. διαμησάμενος πᾶσαν τὴν τοῦ᾿Ολύμπου α μμον. Διαμῆσαι. διακόψαι. Διαμοιρωμένη. διαιροῦσα καὶ μερίζουσα. η τὰς μοίρας μεμφομένη. Διαμυδαίνεται. ἀντὶ τοῦ πηδᾷ. καὶ διαῤῥεῖ καὶ διηθεῖ. Διανενεύκαμεν. ἀντὶ τοῦ ἐπεραιώθημεν. Διανεῦσαι. διακολυμβῆσαι. διανεῦσαι ἐθελήσαντες ἐβαπτίζοντο ὑπὸ τῆς πανοπλίας. Διαξαίνειν. *διαμαστίζειν,* ἀναιρεῖν, διακόπτειν. καὶ ε μελλεν ὁ δῆμος διαξαίνειν αὐτόν. delta.532 Διαξείνω. διαλύω. ἐπὶ ταῖς ἀρχαῖς διαξείνω. τῶν γὰρ ἐρίων οἱ μαλλοὶ ε χουσι τὰς κορυφὰς καὶ τὰς ἀρχὰς πεπιλημένας. Διαπαρθενεῦσαι. μιγῆναι παρθένῳ. Διαπατταλευθήσῃ χαμαί. τὸ διερευνᾷν καὶ ζητεῖν ἐπιμελῶς. ἀπὸ τῶν τὰς βύρσας διατεινόντων. η ἀντὶ τοῦ ἐκταθήσῃ. Διαπεπατταλευμένα. διεσφηκωμένα· ω στε μήτε πάτταλον διεῖραί που διὰ πυκνότητα. δύναται δὲ ει ναι ἀπὸ τῶν τοίχων τῶν μηκέτι πασσάλῳ τόπον ἐχόντων. Διαπεπονημένησ. κατορθωθείσης. Διαπεράναντεσ. διακεντήσαντες. Διαπεσούσησ. ἀποτυχούσης. καὶ διαπεσούσης καὶ συντελεσθείσης τῆς ἐπιβουλῆς. Διαπέσοιμι. ἀντὶ τοῦ διαμαρτήσαιμι τῆς ἐλπίδος. Διαπηνηκίσαι. ἐξαπατῆσαι. πηνήκην γὰρ οἱ ἀρχαῖοι ᾿Αττικοὶ τὴν τῶν τριχῶν περιθέτην delta.533 ε λεγον. καὶ τὸ φενακίσαι τινὲς λέγουσι ἀπὸ τούτου εἰρῆσθαι. Διαπλέκειν. διαποικίλλειν. διάγειν. διαπονεῖν, ἀσκεῖσθαι. Διαπραξάμενον ἐλευθερίαν. κατασκευασάμενον. Διαπρέπειν. διαφαίνεσθαι, διαφέρειν. Διαρτῆσαι. τὸ ἐξαπατῆσαι. ου τως Μένανδρος. Διαρτίσαι δὲ, τὸ ἀναπλάσαι, ι. Διαρτῶ. κρεμῶ. Διαρτίζεται. ὁρμᾷ. Διασαφηνίζειν. τὸ τῇ γλώσσῃ ἀκριβοῦν. Διασήθειν. διαξύειν, ἀπαλείφειν, παράπτεσθαι, η τὸ κοσκινίζειν. Διασμώμενοσ. ἐρευνῶν. Διασπαθᾷν. ἀφειδῶς δαπανᾷν. Διαστελλόμενοσ. διαχωριζόμενος. Διαστῆσαι. ἀντὶ τοῦ διαταράξαι καὶ οι ον ἀδύνατον ποιῆσαι. Διαστήτην. διεχωρίσθησαν. δεύτερος ἀόριστος τῶν εἰς μι ἐστὶ καὶ τὸ τρίτον τῶν δυϊκῶν, ε στην καὶ διαστήτην. Ομηρος· ἐξ ου δὴ τὰ πρῶτα διαστήτην–. Διαταφρεύει. διασκάπτει. Διατρέχοντεσ. οἱ διάττοντες ἀστέρες. οἱ ἀποσπινθηρίζοντες. delta.534 Διατοιχεῖ. ἀντὶ τοῦ ποτὲ μὲν ἐπὶ τοῦ δεξιοῦ τοῦ τοίχου τοῦ πλοίου, ποτὲ δὲ ἐπὶ τοῦ ἀριστεροῦ γίνεται. Διατυπῶν. ἐπὶ τὸ βέλτιον διατιθέμενος. διατυπῶν τὸ ἀτύπωτον καὶ μεταπλάττων πρὸς εὐσχημοσύνην τὸ α τακτον. Διαυλίζων. βαθύνων, η μηκύνων. Διαυλωνίζειν. τὸ διὰ στενοῦ ῥεῖν. Διαυχενίζεσθαι. ὑψοῦ αὐχένα ε χειν. καὶ διαυχενίζεσθαι πρὸς τὸ ἀγέρωχον ταῖς μελέταις ἐξεκάλει. *Δινεύεσθαι. κύκλῳ πέτεσθαι.* Διαφέρεσθαι. ἐρίζειν, φιλονεικεῖν. οἰηθεῖσα οἱ διαφέρεσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσπαίζεσθαι α λλως. Διαφέρων. παρασκευάζων. παρέργως τὰ πρότερα τὸν πόλεμον διαφέρων ̓Ιουστινιανός. Διαφερόντων. ἀντὶ τοῦ ἐπιλέκτων. καὶ πλῆθος ἀνθρώπων διαφερόντων εἰς αὐτὸν ἠθροῖσθαι. Διαφερούσῃ. πληθυούσῃ. ὁ δὲ ἐστρατοπέδευσε ἐν χώρᾳ πάντα τὰ γενήματα διαφερούσῃ. Διαφεῖναι. διαλῦσαι. Διαφείσ. ἀντὶ τοῦ ἀπολύσας, ὁρίσας ὁ δὲ διαφεὶς τοὺς ἡγεμόνας ἐκίνει τὴν πρωτοπορείαν. *Διακρίνων. ἐξετάζων, ἐννοῶν. καὶ ὁ ̓Απόστολος· μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου.* delta.535 Διεκρίνομεν. κατεγινώσκομεν. εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ α ν ἐκρινόμεθα. Διαταγείσ. διακομισθεὶς καὶ ἐπιταγείς. ὁ ̓Απόστολος· διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου. τουτέστι διὰ μέσων ἀγγέλων. Διαῤῥήδην. φανερῶς. Διαρκεῖ. δαψιλῶς, ἀρκούντως. Διαβραχέοσ. ἐνσυντόμως. βραχέως δὲ, μέγα. Διακενῆσ. ματαίας· α νευ τινὸς προφάσεως. Διακριδόν. διακεχωρισμένως. Διαμπερέσ. διαμπὰξ, διόλου. παρὰ τὸ πέρας, καὶ διαπέρας, καὶ πλεονασμῷ τοῦ μ καὶ μεταθέσει τοῦ α εἰς ε διαμπερές. τουτέστι τὸ ἀπαρχῆς μέχρι τέλους. καὶ ἐπὶ οὐδετέρου γράφεται. Διαμπάξ. διόλου. Διακεκρυμένωσ. διακεχωρισμένως. Διαφερόντωσ. ἐξαιρετέως. Διαφανῶσ. σαφῶς η συμφώνως. *Διεσμιλευμένοσ. ἠκριβωμένος.* Διαφορηθῶ. διασπασθῶ. καὶ διαφορηθῆναι. Διαφορήσει. διάφορος γένηται. Διαφορουμένησ. διασπωμένης. διαφορουμένης delta.536 τῆς κρόκης ὑπὸ τῶν ἀλεκτρυόνων.̓ Αῤῥιανός· τοὺς ι ππους ἀνασοβηθέντας διαφορῆσαι αὐτόν. Διαφρήσετε. διαφορήσετε, διαπέμψετε. Διαφρυκτοῦν. διαψηφίζειν, η διακληροῦν. τὸν γὰρ κύαμον ἐκάλουν φρυκτόν. ει ρηται ἀπὸ τῶν κυάμων, δι' ω ν τὸ παλαιὸν ἐψηφίζοντο. υ στερον γὰρ ψήφοις ἐχρήσαντο. Διαφημίζω. ἀεὶ ..... Διαφθονούμενοσ. ὁ δὲ διαφθονούμενος Ζήνωνι, ἐν ἡσυχίᾳ ε μενε. Διαψαλάττεσθαι. τὸ διαστέλλεσθαι εἰς ε ρευναν. τὸ γὰρ ἀψάλακτον, α θικτον. ου τως Κράτης. Διαψᾶν. διορύττειν, διασκαλεύειν. κελεῦσαι πάντας διαψᾶν τὴν α μμον, καὶ ποιεῖν βοθύνους εὐμεγέθεις. καὶ διαψᾷν ἀντὶ τοῦ ὁμαλίζειν. Διαψεύδονται. ἐκπίπτουσιν, ἀποτυγχάνουσι. διὸ τοῦ μὲν καλοῦ διαψεύδονται. Διαψαίρουσα. Τιμόθεος τὴν ἐκλυομένην καὶ καταῤῥέουσαν. σημαίνει δὲ τὴν ἠρεμαίαν κίνησιν. Εὐριπίδης ἐπὶ τοῦ καθαίρειν κέχρηται τῇ λέξει, οι ον· γλώσσῃ διαψαίρουσα μυκτήρων τόπους. delta.537 Διαρθρουμένων. ο ἐστι διατρανουμένων. delta.537 Διακωδωνισθέντεσ. η τοι διαφημισθέντες. ὡς ἐπὶ τὸ πλεῖστον δὲ λέγεται ἐπὶ τῶν διαπαιζομένων. τέτακται καὶ ἐπὶ τοῦ διαπειρασθέντες. ου τως Λυσίας ὁ ῥήτωρ. ἀπὸ δὲ τῶν ι ππων μετενήνεκται. εἰώθεισαν γὰρ ου τω δοκιμάζειν τοὺς γενναίους ι ππους, εἰ μὴ καταπλήσσονται τὸν ἐν πολέμῳ θόρυβον, τοὺς κώδωνας ψοφοῦντες. Διαπορθμεύειν. διακομίζειν. Διαβιβάζειν. διαπερᾷν. Διαφέρει. ὑπερέχει. Διαφερόμενοσ. ἀμφιβάλλων. Διαθήσει. τιμωρήσεται, κολάσει. Διακρούεσθαι. ἐξωθεῖν η ὑπερτίθεσθαι. Διατείνεσθαι. φιλονεικεῖν. η διαβεβαιοῦσθαι. Διάττουσι. διατρέχουσιν. α ττω γὰρ τὸ ὁρμῶ. Διαττᾷν. σημαίνει ἡ λέξις διασήθειν. γέγονεν ἀπὸ τοῦ σῶ ῥήματος, ε νθεν καὶ τὸ σήθω, ὡς ἀπὸ τοῦ κνῶ, κνήθω, καὶ νῶ, νήθω. διασσᾷν ου ν η ν. καὶ διαττᾷν ἀττικῶς. Διακυκῶσι. διαταράττουσι. delta.538 Διανηξάμενοι. κολυμβήσαντες. Διαμαρτεῖν. ἀποτυχεῖν. Διαπληκτίζονται. διαμάχονται. Διαστείχοντασ. διαπορευομένους. Διαφωνοῦντασ. μὴ συμφωνοῦντας. Διαῤῥεῖν. χαυνοῦσθαι, διαχεῖσθαι. Διαθέειν. διατρέχειν. Διανεῖμαι. διαμερίσαι, διαδοῦναι. Διαπεράνασ. τελειώσας. Διαπυνθάνεται. ἐρωτᾷ. Διαπείρεται. κεντᾶται, σουβλίζεται. Διακομισθῆναι. διαβασταχθῆναι. Διαδράναι. διαφυγεῖν. Διασκίδναται. σκορπίζεται, διασκεδάζεται. Διακορίζεσθαι. τὸ ἀγεννῶς βλέπειν. παρὰ τὸ διάγειν τὰς κόρας τῶν ὀφθαλμῶν, καὶ μὴ ἐπ' εὐθείας βλέπειν. η τὸ ἀτενῶς βλέπειν, διὰ τὸ τοὺς ὀφθαλμοὺς κόρας λέγεσθαι. Διακρινθεῖτε. ἀπὸ τοῦ διακρινθείημεν, διακρινθεῖμεν, διακρινθείητε, διακρινθεῖτε. Διαβιασάμενοσ. παραναγκασθείς. delta.539 Διαγεγονότοσ. παρελθόντος. Διαγράψαντοσ. τινὲς μὲν ἀντὶ τοῦ καταβαλόντος καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταθέντος· ε νιοι δὲ ἀντὶ τοῦ διὰ τραπέζης ἀριθμήσαντος, ὡς λέγομεν ἐν τῇ συνηθείᾳ. Διαγράψασθαι. ἀντὶ τοῦ ἀνελέσθαι τὸ ε γκλημα. καὶ διαγράφω σε, αἰτιατικῇ. Διάκρινε. ἀντὶ τοῦ διαχώρισον. ἀπόκριναι δὲ διφθόγγως. Διαμάρτωμεν. διαμαρτύρομαι, μικρόν. Διάνειμαι. δίφθογγον. Διάνεμε. ψιλόν. Διαπρήσει. περᾷ, η καύσει. Διατερσαίνω. ξηραίνω. Διαρύττειν. διαρύειν, ἀντλεῖν. καὶ ἀρύτειν δι' ἑνὸς τ. Διασαυλούμενοσ. ἁβρυνόμενος καὶ διαθρυπτόμενος. ὁρῶ γὰρ ὡς ο μφακα σαυλούμενον. παρὰ τὸ σαῦλον τὸν τρυφερὸν καὶ γαῦρον. Σιμωνίδης ἐν ἰάμβοις· καὶ σαῦλα βαίνων ι ππος καὶ κορωνίτης. Διαγέγραπται. κατέξυσται, ἀνῄρηται. ἀπὸ τῆς delta.540 γραμματαίας δέλτου, ο που αἱ δίκαι ἀνεγράφοντο καὶ εἰσαγωγαὶ τῶν δικῶν. ᾿Αριστοφάνης· η δομαι, ο τι πεντετάλαντός μοι διαγέγραπται δίκη. Διαγγελλομένουσ. παρακελευομένους, φανερουμένους. Ξενοφῶν· ἐγίνωσκον αὐτοὺς ἀπιέναι βουλομένους καὶ διαγγελλομένους. Διαγκωνισάμενοσ. ἐπ' ἀγκῶνος καθίσας. Διαγορεύων. ἀντὶ τοῦ διάφορα καὶ οὐ τὰ αὐτὰ συλλέγων. ου τως᾿Ισαῖος. Διαγωνίσαντεσ. εὐλαβηθέντες· διενθυμηθέντες. Διαδιδράσκει. διαφεύγει. Διαζηλοτυπούμενοι. φθονερῶς διακείμενοι. Διαείδεται. γνωρίζεται, φαίνεται η λέγεται. ἀείδω γὰρ τὸ λέγω. Διαδικασάμενοσ. ὀνειδίσας, διελέγξας. ο ς διαδικασάμενος αὐτῷ περὶ ἀποστασίας ἀπέκτεινεν αὐτοῦ τοὺς παῖδας. Διαμάρτῃ. ἀποτύχῃ. Διασείει. ταράσσει, διαπαίζει. Διαβαίνει. διαπερᾷ. κυρίως δὲ ἐπὶ περαιώσεως ποταμῶν λέγεται. Διαστέλλειν. ἀντὶ τοῦ ἀποστέλλειν. οι ον· ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλέα. delta.541 Διαχειρίζεται. φονεύει. Διαγορεύει. ἀναγγέλλει, θεσπίζει. Διαῤῥυῆναι. διαφθαρῆναι. Διακρίνεται. ἀμφιβάλλει, ἀπιστεῖ. Διατμῆξαι. διατεμεῖν, διακόψαι. *Διαπρυσίασ. λαμπρῶς καὶ περιφανῶς.* Διαπραθέειν, διαπραθεῖν. ἀντὶ τοῦ πορθεῖν, ὡς φαγέειν, φαγεῖν. τοῦτο δὲ ἀπὸ τοῦ πέρθω τὸ πορθῶ. οι ον· ἐκπέρσαι Πριάμοιο πόλιν– ὁ δεύτερος ἀόριστος ε πραθον, οι ον· διαπραθέειν τόδε α στυ. Διαφρῶ. διακομίζω. καὶ εἰσιέναι καὶ ἀφιέναι ποιῶ. ει ρηται παρὰ τὸ ω τὸ ἀφίημι, ο περ καὶ ἀφῶ λέγομεν, καὶ προῶ, καὶ κατὰ συγκοπὴν πρῶ, κατὰ δευτέραν σύνθεσιν διαφρῶ καὶ εἰσφρῶ.᾿Αριστοφάνης· τῶν μηρίων τὴν κνίσσην οὐ διαφρήσεται– γέγονε δὲ ἡ τροπὴ τῆς ¯π¯ρ¯ο, ὡς ἐν τῷ προοίμιον, φροίμιον, καὶ προυρὸς, φρουρός. Διαπτάντοσ. πετασθέντος. delta.542 Διαρθροῦν. χωρίζειν. ἀπὸ τῶν ἐν ἡμῖν α ρθρων ἡ μεταφορὰ τῶν τὰς ἁρμονίας χωριζόντων. Διαβασιλίζεται. τῆς βασιλείας ἀντιποιεῖται. Διαβάσκει. περιέρχεται, περιέπει. Διαβησείοντασ. ἐρωτικῶς ε χοντας διαβῆναι. ὁ δὲ πύργους ἐποίησεν ἀπερύκειν τοὺς ῾Ρωμαίους διαβησείοντας. Διαήσει. διαπέμψει. Διάησι. διέρχεται. ου τως῾Ησίοδος. Διαθέσθαι. ἀποδόσθαι. ὁ δὲ᾿Αντιφῶν ἀντὶ τοῦ διοικῆσαι. ὁ δὲ῾Υπερίδης καὶ Δημοσθένης ἀντὶ τοῦ συνθέσθαι. Διακέρσαι. διακόψαι. Διακλιμακίσασ. διαπαλαίσας. καὶ κλιμακισμὸς πάλαισμα ποιόν. Διακαυνιάσαι. κληρῶσαι. καῦνος γὰρ ὁ κλῆρος. Διαμυλλαίνειν.᾿Αριστοφάνης τὸ διαμωκᾶσθαι τοῖς χείλεσιν, η τὸ ἐσθίειν καὶ διαστρέφειν τὰ χείλη. ἀπὸ τῶν μύλων. μύλα γὰρ τὰ χείλη. καὶ μύσταξ. Διαιρεῖται. διαμερίζεται. delta.543 Διαίνεσθαι. βρέχεσθαι. διαίνω γὰρ τὸ βρέχω καὶ ὑγραίνω, οι ον· –δίαινε δέ μιν μέλαν υ δωρ. παρὰ τὸν Δία. κυρίως γὰρ τὸ ἐκ Διὸς βρέχεσθαι. Διὸς, δίω καὶ διαίνω, ὡς μείω, μειαίνω, δρῶ, δραίνω. Διαμυδῶντεσ. διαβρέχοντες. Διδάξομαι. ἀντὶ τοῦ διδαχθήσομαι. Διδαξάμενοσ. τελέσας τὶ ὑπὲρ ἑτέρου διδασκάλῳ. Δίδημι. δεσμεύω. Διδάσκω. δαίω τὸ ἐπίσταμαι, ἐξ ου ῥηματικὸν ο νομα δαίμων, ὁ ἐν γνώσει πάντων τυγχάνων. κατὰ ἀφαίρεσιν τοῦ δ αι μων, οι ον· –αι μονα θήρης. ὡς ἀπὸ τοῦ διωγμὸς ἰωγμός. ὁ μέλλων αι σω καὶ πλεονασμῷ τοῦ δ δαίσκω, ὡς μεθύω, μεθύσκω, καὶ κατὰ ἀναδιπλασιασμὸν διδάσκω, ὡς τρώσω, τρώσκω, τιτρώσκω. ὁ δὲ ῾Ηρωδιανὸς καὶ Χρύσιππος παρὰ τὸ ἀσκεῖν τὸ σημαῖνον τὸ διδάσκω, καὶ πλεονασμῷ τοῦ δ διδάσκω. Δίδη. ἀπὸ τοῦ δέω, διδῶ, δίδημι. ὁ παρατατικὸς ἐδίδην. δίδη μόσχοισι. Διδοῦσιν. ο τι οἱ μάλα πολλὰ διδοῦσιν. προπερισπωμένως ἐκ τοῦ διδῶ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

delta.544 Διδώσομεν. οι ον· αὐτὰρ καὶ δῶρα διδώσομεν– ου τω Ζηνόβιος. Δίε. ὁ δεύτερος ἀόριστος ἐκ τοῦ δίω τὸ φοβοῦμαι. οι ον· βῆ γὰρ διὰ προμάχων· παρὰ γὰρ δίε ποιμένα λαῶν, μήτι πάθη–. Διέγνωκα. κέκρικα. Διεδοιδύκισε. τῇ χειρὶ στρογγύλην διέγραψεν αὐτὴν, ποιήσας ὡς δοίδυκα. Διεσκαριφησάμεθα. διελύσαμεν. σκάριφον γάρ ἐστι τὸ κάρφος καὶ τὸ φρύγανον. εὐδιάλυτα γὰρ τὰ τοιαῦτα. η σκαριφήσασθαι ἐστὶ τὸ ἐπισεσυρμένως τὶ ποιεῖν, καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν. Διεθρόησαν. διελάλησαν, διεθορύβησαν. Θουκυδίδης· οἱ δὲ πρέσβεις τῶν ᾿Αθηναίων διεθρόησαν. Διεκδύσ. ὑπεξελθὼν, ἐκφυγών. Διεκορκορύγησε. κορκορυγεῖν λέγουσι τὸ λαλεῖν τὴν γαστέρα. ἐμιμήσατο δὲ τῇ φωνῇ τῶν ἐντέρων τὸν η χον. ᾿Αριστοφάνης· –καὶ κλόνος αὐτὴν ἐξαίφνης διεκορκορύγησεν. Διεκοσμήθησαν. διεταράχθησαν. Διεκπέσαντεσ. διεκδραμόντες. delta.545 Διέκυψαν. χόρτῳ παραπλησίως ἀπὸ τῆς γῆς διακύψαντες η νθησαν. Διεμπολᾷν. τὰ πρὸς πραγματείαν ἐπιτήδεια ἀγοράζειν. Διενέγκαντεσ. ὑπερενέγκαντες. Διενεγκεῖν. ἀγαγεῖν. Διεξάγοντασ. διοικοῦντας. μεθυσκομένους καὶ ῥαδίως διεξάγοντας τὰ κατὰ τὴν φυλακήν. Διεξέπεσε. διήλασε, διῆλθε, διέκφυγε. τὰ γὰρ ο πλα ἀνελόμενος, διεξέπεσε διὰ τῶν πολεμίων. Διέξειν. ὑπάρξειν. ου τω γὰρ διέξειν τὰς χεῖρας καὶ φροντιεῖν τοῦ μηδὲν ἀδίκημα ποιήσειν τὸν Προυσίαν εἰς ἑαυτούς. Διεξιφίσω. ξίφεσι διεμαχέσω καὶ διηγωνίσω. Διέπτυξε. διεσαφήνισε. Διεργάζεται. ἀναιρεῖ, κτείνει. ᾿Ιώσηπος· πλήξας δὲ αὐτὸν κάτωθεν ἐπὶ τὸν βουβῶνα δόρατι παραχρῆμα διεργάζεται. Διέῤῥει. δύο σημαίνει, τὸ διεφθείρετο καὶ ἀντὶ τοῦ ἐπεφήμιστο. διέῤῥει δὲ φήμη λέγουσα εὐπατρίδην αὐτὸν ει ναι. delta.546 Διεῤῥικνοῦντο. διεκαμπυλοῦντο. Διεῤῥυηκόσιν. ο ἐστι κεχηνόσι καὶ οὐ συνεστραμμένοις. ἠλίθιον ἐφθέγξω καὶ τοῖς χείλεσι διεῤῥυηκόσι. Διεσαρδώνισαν. διεγέλασαν. οὐκ ἐπὶ διαχύσει, ἀλλ' οἱονεὶ σαρδώνιον γέλωτα. Διεσκευασμένην. μετὰ δόλου γεγραμμένην. δόντες ἐπιστολὴν διεσκευασμένην. Διεσκίασται. ἀποκέκρυπται. Διεσπευσάμην. ἀντὶ τοῦ διὰ σπουδῆς ἐποιησάμην, η ἀντὶ τοῦ διεπραξάμην. Διέστειλεν. ἀντὶ τοῦ οὐκ ἀναμφιβόλως ἐχρήσατο τοῖς λόγοις. περὶ Μωσέως δέ ἐστι. Δαβίδ· καὶ διέστειλεν ἐν τοῖς χείλεσιν. Διεσφαιρίσθη. ω σπερ σφαίρη κατηνέχθη. Διέσχε. διῆλθεν.᾿Αῤῥιανός· οἱ μὲν γὰρ διέσχον τὴν φάλαγγα. ἀντὶ τοῦ διεχώρισαν. Διέτεινε. διαῤῥήδην ει πε. Διετείνοντο. ᾿Αντιφῶν· διὰ συντόνου σπουδῆς ἀπηρνήσαντο. delta.547 Διετίτρη. ἐξέκοπτε. διετίτρη τὰς πρύμνας καὶ τὰ πηδάλια τῶν Λιβύων. Διευθετῶ. τὸ καλῶς τίθεμαι καὶ διοικῶ. ἐπὶ τῶν πραγμάτων δὲ λέγεται. †ἐπὶ δὲ τριχῶν εὐθετίζω.† Διευθετίζειν. καλλωπίζεσθαι. η διαχωρίζειν. τοῦτο ἐπὶ τριχός. Διευφημῶ. διαφημίζω δέ. Διέφερον. ἀντὶ τοῦ διήνυον η ὑπέμενον η ἐπιμελῶς ἐξήνυον. οἱ δὲ᾿Αθηναῖοι τὸν πόλεμον διέφερον. ου τως Θουκυδίδης. καὶ διέφερον ἀντὶ τοῦ ει χον η ἐνεκότουν. οἱ δὲ Κελτοὶ εἰς῾Ρωμαίους τὶ μήνυμα ἐκ πολλοῦ διέφερον. Διευκρινούμενοι. διακρίνοντες. Διευκρινήσασ. καλῶς διαχωρίσας. τοὺς ἀλικμωτάτους τοῦ πλήθους διευκρινήσας. Διευκρινηθέν. σαφηνισθέν. η τὴν δέουσαν δοκιμασίαν δοκιμασθέν. Διευκρινηθείη ευ. εὐδιορίστως καὶ σαφῶς διατρανωθείη. Διεφθαρμένοσ. τοῦ δέοντος παρατραπεὶς τὸν νοῦν. η δη γὰρ᾿Αντώνιος τῷ Κλεοπάτρας ε ρωdelta.548 τι διεφθαρμένος η ττων η ν ἐν πᾶσι τῆς ἐπιθυμίας. Διέφθορεν. οὐ τὸ διέφθαρται δηλοῖ παρὰ᾿Αττικοῖς, ἀλλὰ τὸ διέφθαρκεν. Ευ πολις· ο ς τὸν νεανίσκων συνὼν διέφθορε– καὶ ἐν Αὐτολύκῳ· ο τι τὰ πατρῷα πρὸς σὲ καταδιέφθορα. ο μοιον γάρ ἐστι τὸ διέφθορε τῷ κατέσπορε καὶ ἀπέκτονεν. Διεφορήθη. ἀντὶ τοῦ ἐξηνέχθη, ἐξεκομίσθη. χρημάτων δὲ α πιστον πλῆθος διεφορήθη. Διεφόρησαν. μετεκόμισαν. τὰς δὲ καταλειφθείσας ἐν τῷ χάρακι κατασκευὰς, πολλαὶ δ' η σαν ὡς ἐς χρόνιον πολιορκίαν, διεφόρησαν. Διέπερσασ. διεπόρθησας. Διέχουσαν. ἀπῳκισμένην ου σαν. εἰς Σελεύκειαν πόλιν ἐπὶ θαλασσίας ἀφίκετο᾿Αντιοχείας, ἑκατὸν καὶ τριάκοντα σταδίους διέχουσαν. Δίεπε. διέτασσε, διέδωκεν, η διεκόσμει. Δίεσθαι. οι ον· –δηΐους


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποτὶ α στυ δίεσθαι. ἡ παράδοσις προπαροξύνει, ὡς ἀπὸ τοῦ δίω τοῦ σημαίνοντος τὸ διώκω γίνεται παράγωγον δίημι, delta.549 ὁ ἐνεστὼς παθητικὸς δίεμαι, τὸ τρίτον δίεται, καὶ τὸ ἀπαρέμφατον δίεσθαι. οι ον· αι ψα δ' ἐρυσάμενος μέγα φάσγανον ω ρτο δίεσθαι. Διέτμαγε. διεχώρισεν. οι ον· τώγ' ὡς βουλεύσαντε διέτμαγεν– ἡ μεταφορὰ ἀπὸ τῶν τεμνομένων σωμάτων. ε στι δὲ τὸ θέμα τμήγω τὸ κόπτω, ὁ μέλλων τμήξω, ὁ μέσος παρακείμενος τέτμηγα, ὁ δεύτερος ἀόριστος παθητικὸς ἐτμάγην, καὶ τὸ τρίτον τῶν πληθυντικῶν δωρικῶς ε τμαγε καὶ ἐν συνθέσει διέτμαγε. Διεσκευασμένοι. ε νοπλοι, ξιφήρεις. Διέλειπε. δίφθογγον. διελίμπανε δὲ ἐπὶ παρατατικοῦ, ¯ι. διέλιπε δὲ ἀντὶ τοῦ ἀφῆκε, δεύτερος ἀόριστος, ¯ι. Διεξίμεναι. διελθεῖν, καὶ διεξιέναι, πλεονασμῷ τοῦ μ. Διενήνοχε. παραλλάττει, διαφέρει. ει ρηται ὡς τὸ ἀγήοχε. Διελών. διαμερίσας. καὶ διελέσθαι. Διέπει. διοικεῖ. Διεχεῖτο. ε χαιρε· διεχέετο. Διεπεραίνετο. διηνύετο. Διέθει. διέτρεχεν, η διήρχετο. delta.550 Διεξιών. λέγων, διηγούμενος. Διεψεύσθη. ἐσφάλη. Διελευσόμεθα. παρελευσόμεθα. Διεβοήθη. διεδόθη, διελαλήθη. Διέστη. διεχωρίσθη. Διεσάφησαν. ἡρμήνευσαν. Διεπρίοντο. πικρῶς ἐθυμοῦντο καὶ ὠργίζοντο. Διεκωδώνισεν. ἀπὸ τῶν δοκιμαζόντων τοὺς μαχίμους ο ρτυγας τῷ η χῳ τοῦ κώδωνος. Διεπράθημεν. ἀπὸ τοῦ πέρθω τὸ πορθῶ. Διεθρύβη. διετρίβη. διεθρύβη τὰ ο ρη βίᾳ. Διεσκέδασαν. ἀπέῤῥιψαν, ἐσκόρπισαν. Διεσμιλευμένων. ἠκριβωμένων, ἐξεσμένων, περικεκαθαρμένων. Διεστραμμένων. διεχωρισμένων. Διεῖσα. λάμπουσα. ου τως ὁ μέγας Διονύσιος. Δίεισι. διέρχεται. Δίειμι. διέρχομαι. Δίζω. τὸ ψηλαφῶ καὶ ζητῶ. καὶ δίζομαι. – διζόμενος, ει που ἐφεύροι. παρὰ τὸ δὶς ἐπίῤῥημα, ἀφ' ου διστάζω, ὡς καὶ ἀπὸ τοῦ δοιὸς δοιάζω καὶ δοιὴ, ὁ δισταγμὸς, οι ον· ἐν δοιῇ μάλα θυμός– delta.551 καὶ ὀρθῶς τὸ δίζω παρὰ τὸ δίς· ὁ γὰρ ζητῶν ἐν διχονοίᾳ ἐστὶ ω ν ζητεῖ· ὁ γὰρ εἰδὼς οὐ διχονοεῖ, ἀλλ' ἁπλῇ χρῆται γνώμῃ. Διηγκυλωμένον. τὸ ἀκόντιον τὶ μεταχειριζόμενον. ἀντὶ τοῦ ἐν μασχάλῃ κρατῶν τὸ δόρυ. Ξενοφῶν· ὁ δὲ πᾶσι παρήγγειλε διηγκυλωμένους ἰέναι. Διήλλαξεν. ἀντὶ τοῦ μετήλλαξεν, ἐτελεύτησεν, η ἀντὶ τοῦ η μειψε. Διήνεγκαν. ὑπέμειναν. Προκόπιος· οι τὰ πρότερα τὴν ἐς Δάρας μάχην διήνεγκαν. καὶ αυ θις· ἐπ' ἐννέα διήνεγκε τὴν πολιορκίαν ε τη. Διηνέχθη. οὐ συνεφώνησεν, ἐμαχέσατο. Διήρεσσα. ἀπὸ τοῦ ἐρέσσω, τὸ κωπηλατῶ. Διήφυσε. διέκοψεν. ἀπὸ τοῦ διαφύσσειν, η ἀπὸ τοῦ ἀφύσσεσθαι, ο ἐστιν ἀπαντλεῖν· ὁ γὰρ ἀντλῶν διακόπτει τὸ ἀντλούμενον. Διήλασε. διῆλθε, διεπέρασεν. Διημέρευσε. πᾶσαν ἐποίησε τὴν ἡμέραν. Διηθεῖται. διϋλίζεται, σακελλίζεται. παρὰ τὴν διὰ πρόθεσιν καὶ τὸ θέω τὸ τρέχω, διαθέω. τὸ τρίτον τῶν πληθυντικῶν διαθέεται, διαθεῖται, καὶ τροπῇ τοῦ ¯α εἰς ¯η διηθεῖται. Διηρτίσθαι. πεπλάσθαι. Διήρκεσε. διέμεινε, παρέμεινε. Διήρηκεν. ε κοψε. delta.552 Διήκειν. διέρχεσθαι. Διῆκον. φθάνον, ἐπεκτεινόμενον. Διΐχθαι. διέρχεσθαι. Διϊσθμήσαντα. τὸν ̓Ισθμὸν διαβιβάσαντα. παρεκάλει αὐτὸν βοηθεῖν τοὺς λέμβους διϊσθμήσαντα. Διϊσθμονίσαι. τὸ διὰ τοῦ Ἰσθμοῦ ε λκειν τὴν ναῦν, ο περ ἐποίουν ἐν τῷ ̓Ισθμῷ οἱ Κορίνθιοι. Διΐσχω σου. τὸ κρατῶ καὶ α ρχω σου. Διΐεται. διέρχεται. Διΐσταται. διαχωρίζεται. Διιθύνων. κυβερνῶν. Δικαιοῦν. δύο δηλοῖ· τὸ κολάζειν καὶ τὸ δίκαιον νομίζειν. ου τως Ἡρόδοτος· τοῖς αὐτοῖς ἀμύνεσθαι τοὺς Σκύθας δικαιῶν. Δικαιοῦσαν. καταδικάζουσαν. Δικαιοῦσθαι. ἐπὶ τοῦ κολάσαι. ο θεν λέγομεν τὰ ἐκεῖθεν δικαιωτήρια. Δίκερε. λύε. Δικοῤῥαφεῖν. δίκας συῤῥάπτειν· ἐν τοῖς δικαστηρίοις ἀναστρέφεσθαι. Διολισθαίνω καὶ διολισθεῖν. ἐκφυγεῖν. ω στε τοὺς χρήστας διολισθεῖν. Διοπομπεῖσθαι. ἀποτροπιάζεσθαι καὶ ἀποκαθαίρεσθαι. delta.553 *Διόρυξασ. διὰ τὸ μέτρον μικρὸν τίθεται, ο ταν ἡ χρεία καλεῖ, α λλως δὲ μέγα.* Διοιγνύντεσ. ἀνοίγοντες. Διοικιεῖν. ἀντὶ τοῦ διαιρήσειν. ω στε μὴ ἐν ταυτῷ πάντας οἰκεῖν, ἀλλὰ χωρὶς καὶ κατὰ μόνας. Διοικίζω. τὸ διαχωρίζω. καὶ διοικίζεσθαι τὸ διαχωρίζεσθαι. Διοικῶ. τὸ τελειῶ. Διοίσασα. διαπεράσασα. Διοίσει. παραλλάξει η διακομίσει. Διορίζεται. διαβεβαιοῦται. Διοριστέον. διαχωριστέον. Διολλύει.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαφθείρει. Διοιδαίνει. φλεγμαίνει. Διοίσομαι. διαφέρομαι. †παραλλάξομαι.† Διορίζοντοσ. ο ρους τιθέντος. Δισκεύων. ἐκδεχόμενος, η κυλίων. Διστάζει. ἀμφιβάλλει, η φοβεῖται. Διϋλισθέν. σακελλισθέν. Διχηλοῦντα. τὰ ε χοντα δύο ο νυχας, οι ον· βοῦς, ε λαφος, καὶ ει τι ο μοιον. delta.554 Διχαζούσησ. κλινούσης. η δη δὲ τοῦ καύματος ἀκμάζοντος καὶ διχαζούσης τῆς ἡμέρας. Διφῶ. τὸ ψηλαφῶ. παρὰ τὸ α πτω, ἁφὴ, ἁφῶ καὶ διαφῶ, καὶ κατὰ συγκοπὴν διφῶ. τὸ τῇ ἁφῇ ὑποβάλλω. τὸ δὲ ἁφῶ Ομηρος· –καὶ ἀγκύλα τόξ' ἀφόωντα. ἐκ δὲ τοῦ ἁφῶ γίνεται ἀφάσσω, ὡς αἱμῶ αἱμάσσω, καὶ πατῶ πατάσσω. Διψῶ. τὸ ἐπιθυμῶ. καὶ τῷ οι ακι τῷ ἐκείνου διψῶν. καὶ διψᾶτε ἀντὶ τοῦ ἐπιθυμεῖτε. καὶ διψῴης εὐκτικόν. Διῳδηκότα. ἐξωγκωμένον. Δίωκε. ζήλου. ἐπιτήδευε. δίωκε ἀρετήν. Διώκειν. εἰς ἀγορὰν α γειν. τοῦτο λέγει, ο ταν προϋποφύγῃ τίς. τάττεται δὲ καὶ ἐπὶ τοῦ συντόνως ἐλαύνειν. Διωκόμεθα. ἀντὶ τοῦ κατηγορούμεθα. Διώκειν. ἐπὶ τοῦ ἐπιθυμεῖν καὶ ὀρέγεσθαι. διώκειν γὰρ φαμὲν ἀρετήν. καὶ ἐπὶ τοῦ διελθεῖν. αἱ δὲ νῆες ἐς φυγὴν καταστᾶσαι πολλοὺς μετεδίωξαν τόπους. Διῳκισμένοσ. κεχωρισμένος. delta.555 Διωσάμενοι. ἐκβαλόντες, ἀποδιώξαντες. Διωρίζετο. διεβεβαιοῦτο. Διῶνται. διώκονται. ε στι ῥῆμα διῶ, παράγωγον δίημι, ἐξ ου δίενται, οι ον· δίενται ι πποι ἀερσίποδες. καὶ τὸ ὑποτακτικὸν ἐὰν διῶνται, καὶ τὸ τρίτον διῶνται. Διακρίνων. ἐξετάζων, ἐννοῶν. καὶ ὁ Ἀπόστολος· μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου. Διεκρίνομεν. κατεγινώσκομεν. εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ α ν ἐκρινόμεθα. Διαταγείσ. διακομισθεὶς καὶ ἐπιταγείς. ὁ Ἀπόστολος· διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου. τουτέστι διὰ μέσων ἀγγέλων. (Ἐπίῤῥημα.) Διαῤῥήδην. φανερῶς. Διαρκῶσ. δαψιλῶς, ἀρκούντως. Διαβραχέοσ. ἐνσυντόμως. βραχέως δὲ, μέγα. Διακενῆσ. ματαίως, α νευ τινὸς προφάσεως. Διακεκριμένωσ. διακεχωρισμένως. Διακριδόν. διακεχωρισμένως. Διαμπερέσ. διαμπὰξ, διόλου. παρὰ τὸ πέρας διαμπέρας, κατὰ πλεονασμὸν τοῦ μ καὶ μεταθέσει Ἰωνικῇ τοῦ α εἰς ε διαμπερές· τουτέστι τὸ ἀπ' ἀρχῆς μέχρι τέλους. καὶ ἐπὶ οὐδετέρου γράφεται. Διαμπάξ. διόλου. Διαφερόντωσ. ἐξαιρέτως. delta.556 Διαφανῶσ. σαφῶς η συμφώνως. Διεσμιλευμένωσ. ἠκριβωμένως, ἐξεσμένως. Διεξοδικῶσ. πλατέως, λεπτομερῶς καὶ διεξοδικώτερον. Δικαίως ἀδίκωσ. παντὶ τρόπῳ, πάσῃ τέχνῃ. Δικανικῶσ. δικαιολογικῶς, ῥητορικῶς. Δὶς καὶ τρίσ. ἀπὸ τοῦ δυάκις καὶ τριάκις. καὶ λέγουσι τινές· δύο συλλαβῶν ἐγένετο συγκοπή. καὶ πῶς δύναται τρισύλλαβος δύο συλλαβὰς ἐκκεκόφθαι πρὸ τούτου; λέγομεν, ο τι ἀπὸ τοῦ δυάκις καὶ τριάκις α ρον τὸ α καὶ κ, καὶ κατὰ συνίζησιν δὶς καὶ τρίς. ου τως Ἡρωδιανός. Δίχα. ἀντὶ τοῦ διχῶς. τὸ αὐτὸ γὰρ καὶ δίχα. παρὰ τὸ δὶς ἐπίῤῥημα διχῇ καὶ διχά. ὡς τριχῶς τριχῇ. καὶ ἀπὸ τοῦ διχὰ γίνεται διχθά. Διαῤῥήδην. φανερῶς. παρὰ τὸ ῥῶ τὸ λέγω, ῥάδην καὶ διαῤῥήδην. Τὸ Δ μετὰ τοῦ Μ. (Ἀρσενικόν.) Δμῶεσ. οἱ δοῦλοι. παρὰ τὸν δημήσω μέλλοντα κατὰ ἀποβολὴν τοῦ ¯ω γίνεται δμὴς καὶ τροπῇ τοῦ ¯η εἰς ¯ω δμώς· ὡς ἀρήγω, ἀρηγὸς, ῥήξω, ῥηγμὸς καὶ ῥαγμός. (Θηλυκόν.) Δμῆσισ. ἡ δάμασις. Δμωΐσ. ἡ δούλη. delta.557 (Ῥῆμα.) Δμηθέντα. δαμασθέντα. Δημκότεσ. δαμάσαντες. Δμηθήτω. πρᾶος καὶ ἐπιεικὴς γενέσθω. ἀπὸ τοῦ δαμάζω κατὰ συγκοπὴν δμῶ. ἀδάμαστος γὰρ ὁ ὑποταγῆναι μὴ δυνάμενος. Τὸ Δ μετὰ τοῦ Ν. (Ἀρσενικόν.) Δνοφερόσ. σκοτεινός. μέλας. παρὰ τὸ γνόφος γνοφερὸς καὶ δνοφερός. †η παρὰ τὸ κνόφος κνοφερὸς καὶ δνοφερός.† (Θηλυκόν.) Δνοπάλιξισ. ἡ διὰ τῶν χειρῶν κίνησις, καὶ ἐκτίναξις. ἀνὴρ δ' α νδρ' ἐδνοπάλιξε. τουτέστι διὰ χειρὸς ει χεν η ἀνήρει. Δνοπαλίζειν. ἐχρήσατο ἐν τῇ Ὀδυσσείᾳ τῇ λέξει ὁ Ομηρος, οι ον· τὰ σὰ ῥάκεα δνοπαλίξεις. ἀντὶ τοῦ διὰ χειρὸς ε ξεις. ει ρηται παρὰ τὸ δονεῖν καὶ τὰς παλάμας. δονοπαλίξαι καὶ ἐν συγκοπῇ δνοπαλίξαι. η παρὰ τὸ ἀλαπάζω ἀλαπαδνὸς γίνεται λαπαδνὸς, καὶ καθ' ὑπέρθεσιν τῶν στοιχείων τῆς τε ἀρχούσης καὶ τῆς λ ηdelta.558 γούσης γίνεται δνοπαλὸς καὶ δνοπαλίζω. η δνοπαλίζω τὸ ἀναιρῶ. η διωλύγιος φλυαρία. Τὸ Δ μετὰ τοῦ Ο. (Ἀρσενικόν.) Δοθιῆνι. σκορόδῳ ἠμφιεσμένῳ ε οικεν. Δοθίων. φῦμα φλυκταίνῃ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

ἐοικός. ε χουσα δοθίωνα ὑποφυόμενον α ρτι. Δοκησίσοφοσ. ὁ οἰηματίας. Δοκησίφρων. μωρόσοφος. Δοκιμαστῆρεσ. οἱ ἐτασταί. Δόλωνεσ. τὰ μεγάλα α ρμενα. Δόλοψ. κατάσκοπος. Δόλοπεσ. ε θνος Θετταλικόν. Δόλοσ. κακοποιΐα λαθραία ἐν προσωποποιήσει τῶν βελτιόνων τῷ πλησίον προσφερομένη. ει ρηται δὲ δόλος παρὰ τὸ δέω τὸ δεσμεύω, ὁ συνδῶν τοὺς ἁλισκομένους. καὶ Ομηρος· ἀλλὰ σφῶε δόλος καὶ δεσμὸς ἐρύξει. καὶ ὡς χέω χόλος, θέω θόλος, ου τως δέω δόλος. η παρὰ τὸ δηλῶ τὸ βλάπτω, δῆλος, ὁ δηλούμενος καὶ βλάπτων, καὶ τροπῇ τοῦ ¯η εἰς ¯ο δόλος. Δόλιχοσ. τὸ ἱπποδρόμιον. στάδιον δὲ ὁ ὀρθὸς δρόμος. delta.559 Δολιχαδρόμον. οὐ δολιχοδρόμον. χαίρουσι γὰρ τῷ ¯α οἱ Αττικοί. Δολομῆτα. δόλια βουλευόμενε. τὰ εἰς ¯η¯ς βαρύτονα παραλήγοντα καὶ εἰς ¯α τὴν κλητικὴν ε χοντα, περισπᾶται, οι ον· ἀγκυλομῆτα, πεδῆτα, δολομῆτα, πλὴν τοῦ ἀκάκτα. Δομεστίκοι. οἱ τῶν῾Ρωμαίων ἱππεῖς. η κατὰ῾Ρωμαίους οἰκειακοὶ στρατιῶται. Δόμοσ. παρὰ τὸ δέμω δόμος, ὡς νέμω νόμος. Δόνοσ. ἡ ταραχή. Δόνακεσ. οἱ κάλαμοι. Δορπηστόσ. δείπνου ω ρα. καὶ δόρπιστος διὰ τοῦ ι. Δόρποσ. ὁ δεῖπνος. κυρίως ἡ περὶ τὴν ἑσπέραν ἑστίασις. παρὰ τὸ ε ρπειν ἡμᾶς εἰς τὸ ἰαύειν, ο ἐστι κοιμᾶσθαι η κοιμηθῆναι. ου τως Ωρος ὁ Μιλήσιος. η δόρπος, ο τι ἐπὶ δερμάτων καθεζόμενοι ἐσιτοῦντο. η παρὰ τὸ δρέπεσθαι τοῖς ὀδοῦσιν. ἐγὼ δὲ ευ ρον σχόλιον παρακείμενον ἐν βῆτα᾿Ιλιάδος· δόρπον εἰρῆσθαι παρὰ τὸ οἱονεὶ παύεσθαι τηνικαῦτα τοὺς πολεμοῦντας τοῦ δόρατος, ο ἐστι τοῦ πολέμου, καὶ ἡσυχάζειν. η παρὰ τὸ δρέπεσθαι τοὺς πόνους. Δορυμήστωρ. ε μπειρος τὰ πολεμικά. Δορυάλωτοσ. αἰχμάλωτος. ὁ διὰ τοῦ δόρατος ἁλωτός. Δορυφόροσ. ὁπλοφόρος, †ὑπασπιστής.† delta.560 Δορύκτητοσ. ὁ αἰχμάλωτος, ὁ κτητὸς γεγονὼς διὰ τοῦ δόρατος. Δορύκλειτον. ε νδοξον. Δόριλλοσ. τὸ γυναικεῖον αἰδοῖον. Δουλιχόδειρος η δολιχόδειροσ. ὁ μακροτράχηλος. δειρὴ γὰρ ὁ τράχηλος, καὶ δολιχὸν τὸ μακρόν. Δοῦποσ. ψόφος, κτύπος. καὶ δοῦπος θάνατος μετὰ ψόφου. οἱονεὶ δέους ο πα ε χων. η ὁ δέος ἐμποιῶν. ὠνοματοπεποίηται δὲ ἡ λέξις. ἐξ ου καὶ τό· δούπησεν δὲ πεσών−−. Δοῦλοσ. ο ργανον ε μψυχον παρὰ τὴν δύην, τὴν κακοπάθειαν. η παρὰ τὸ δέω τὸ δεσμεύω δέελος καὶ δοῦλος. η παρὰ τὸ δέω τὸ ἐλλείπω, δέος καὶ δοῦλος, ὁ ἐλλείπων τῇ ἀρετῇ, ὡς φησὶν ὁ ποιητής· Ημισυ γὰρ τῆς ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς᾿Ανέρος, ευ τ' α ν μιν κατὰ δούλιον η μαρ α λοισιν. Δούρειος ι ππος. ξύλινος. Δουρίληπτοσ. ὁ αἰχμάλωτος, ὁ ληπτὸς καὶ κρατητὸς διὰ τοῦ δόρατος. Δοῖδυξ. κοχλιάριον. παρὰ τὸ δαδύσσω τὸ ταράσσω. καὶ δοιδυκοποιός. Δοιοί. ἀντὶ τοῦ δύο. ὡς τό· Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς ου δει−. delta.561 †Δοκίασ. ε στιν ἀστροειδὴς κοντὸς η γουν δοκὸς, τὴν πυρώδη ἐπὶ τὰ α νω ἐκπέμπων ἀκτῖνα.† Δόκιμον. οι ον ἀνεπίληπτον. καὶ ὁ᾿Απόστολος· τὸν δόκιμον ἐν Χριστῷ. (Θηλυκόν.) Δόβηρα. ο νομα πόλεως. Δοιαί. αἱ δύο. Δόκησισ. τὸ μὴ ο ν νομιζόμενον. Δόκησις ἀληθείασ. περιφραστικῶς ἡ ἀλήθεια. Δοκίδεσ. α στρων ὀνόματα. Δοκόσ. τὸ τὴν στέγην ἀνέχον ξύλον η πατερόν. παρὰ τὸ δέχω, δέχομαι, δοκός· ἡ δεχομένη τὰ ἐπιτιθέμενα βάρη. Δολιχαύλουσ. τὰς μακροὺς αὐλοὺς ἐχούσας. αὐλὸς δὲ τὸ κοῖλον τῆς ἐπιδορατίδος, εἰς ο ἐντίθεται τὸ α κρον ξύλον· αὐτὸ δὲ τὸ ξύλον καυλὸς λέγεται. Δόλιχοσ. τὸ ἱπποδρόμιον. ε στι δὲ ὁ δόλιχος ει κοσι στάδια. γράφεται καὶ ὁ δόλιχος ἐπὶ ἀρσενικοῦ. Δολώνεια. ο νομα πόλεως. Δόμησισ. ἡ οἰκοδομή. Δόξα. ὁ περὶ πολλῶν ε παινος. δόξα καὶ ἡ ὑπόνοια. διττή ἐστιν ἡ δόξα· η γὰρ μετὰ λόγου ἐστὶ η α νευ λόγου. καὶ α νευ λόγου ἐστὶν, ὡς ο ταν τὶς τὴν λογικὴν ψυχὴν δοξάζῃ ἀθάνατον ει ναι, μὴ λέγων αἰτίαν. μετὰ λόγου δὲ, ὡς ο ταν τὶς τὴν λογικὴν ψυχὴν δοξάζῃ ἀθάνατον ει ναι, λέγων αἰτίαν. καὶ ἰστέον, ο τι δόξα μετὰ λόγου ἐστὶ τὸ συμπέρασμα τῆς προτάσεως. λέγω δὴ τό· ψυχὴ ἀθάνατός ἐστι· τοῦτο γὰρ ο λαι αἱ προτάσεις συνεπέραιναν. διὸ καὶ δόξα μετὰ delta.562 λόγου λέγεται. η δόξα ἐστὶ γνῶσις κατὰ περάτωσιν διανοίας ἐπιγινομένη, η ἀποπεράτωσις τῆς διανοίας η α λλου η αὐτοῦ δοξάζοντος. οι ον ἐδόξασεν ὁ δεῖνα, ο τι ὁ οὐρανὸς τῆς γῆς ἐστὶ μείζων· α λλος, ο τι ἡ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ψυχὴ ἀθάνατός ἐστι· δοξάζω κἀγὼ τοῦτο διὰ τὸ τῶν προσώπων ἀξιόπιστον. πάλιν δοξάζω κἀγὼ, ο τι ἡ ψυχὴ ἀεικίνητός ἐστι· τὸ δὲ ἀεικίνητον ἀθάνατον· ἡ ψυχὴ α ρα ἀθάνατος. ἐνταῦθα γὰρ ἀποπεράτωσις γέγονε τῆς ἐμῆς διανοίας. τινὲς δὲ δόξαν τὸν ἐνδιάθετον λόγον ἐκάλεσαν. Δόξα ἐστὶ τὸ τοιῶσδε η τοιῶσδε δοκεῖν. δόξη καὶ ἡ κοσμικὴ φαντασία. Δόξα δὲ ἡ ο ντως ἐστὶν ε παινός τις ἀληθὴς καὶ α πλαστος τοῖς ἀξίοις πρέπων. Δόξα δικαίου. τὸ ἐν αὐτῷ πνεῦμα. η δύναμις ψυχῆς η α νευ αἰτίας τὰ πράγματα. Δοξασίασ. ὑπολήψεως. Δόξα. τὸ λογικὸν καὶ γνωστικὸν μέρος τῆς ψυχῆς. Δορά. δέρμα. κυρίως τὸ ἀποσεσυρμένον δέρμα τῶν ἀλόγων. παρὰ τὸ δέρω τὸ ἐκδείρω. ἐπὶ δὲ τῶν λοιπῶν ζώων παρὰ τὸ τέρμα ει ναι τοῦ σώματος. Δορκαλίδεσ. ο ργανον κολαστικόν τι. η μάστιγες ἀπὸ ἱμάντων δορκάδων. Δοροδόκοσ. τὸ ξύλον τὸ ὑποδεχόμενον τὸν ο ροφον. Δοροδόκησ. ξιφοθήκης τῆς τὰ δόρατα ὑποδεχομένης. Δορκάσ. ὡς παρὰ τὸ λάμπω λαμπὰς, ου τω καὶ παρὰ τὸ δέρκω δορκάς· ὀξυδερκὲς γὰρ τὸ ζῶον. Δορπωρή. ἡ ἑσπερινὴ τροφὴ καὶ ὁ δεῖπνος. delta.563 Δοχή. τὸ α ριστον. Δοχμή. ἡ παλαιστή· ο ἐστι τετραδάκτυλον τῆς χειρός.̓ Αριστοφάνης· καὶ πρὶν ἡμέραν φορέσαι μεῖζον η ν δυοῖν δοχμαῖν. παρὰ τὸ δέχω γίνεται δοχμὴ, τὸ δεκτὸν μέρος τῆς χειρὸς, δι' η ς δεχόμεθα τὰ διδόμενα. η παρὰ τὸ δοχμός· ἐπειδὴ πλαγίᾳ τῇ χειρὶ μετροῦμεν. Δόλον. τὰς ἐπὶ λύμῃ τῶν ἀδελφῶν ἐπιβουλάς τε καὶ μηχανὰς, φησὶν ὁ ̓Απόστολος. Δουλεία. δουλείας τρόποι· ὁ τῆς δημιουργίας· ὁ τῆς πίστεως· ὁ ἀποστολῆς. καὶ ὁ ̓Απόστολος· Παῦλος δοῦλος ̓Ιησοῦ Χριστοῦ κλητὸς ἀπόστολος. (Οὐδέτερον.) Δόγμα. θεολογία. παρὰ τὸ δοκῶ, δόκημα, καὶ κατὰ συγκοπὴν δόγμα. η παρὰ τὸ δόκω βαρύτονον. ὁ μέλλων δόξω, δέδογμαι, δόγμα. Δολιχόσκιον. μακρὸν η μέγα η τὸ μακρὰν σκιὰν ἀποτελοῦν η μακρὰν πορευόμενον. Δόκανα. τάφοι τινὲς ἐν Λακεδαιμονίᾳ. παρὰ τὸ δέξασθαι τοὺς Τυνδαρίδας. Δόματα. τὰ δωρήματα. δώματα δὲ, τὰ οἰκήματα, μέγα. Δόμημα. τὸ οἰκοδόμημα. ἐκ τοῦ δέμω, δεμῶ, τὸ κτίζω. delta.564 Δοξάριον. ἡ δόξα, ὑποκοριστικῶς. Δόρατα. κοντάρια, λογχάρια. Δορύκτητον. τὸ διὰ πολέμου κτηθέν. Δορυλάειον, Δορύλειον, καὶ Δορύλαιον. τόπος. Δόρει. κονταρίῳ. ἰστέον, ο τι ω σπερ ἀπὸ τοῦ γῆρας γίνεται γήρως, καὶ ἀπὸ τοῦ δέρας δέρος, ου τως καὶ ἀπὸ τοῦ δόρυ δόρατος γίνεται δόρος· κἀκεῖθεν ἡ δοτικὴ δόρει· ω σπερ τεῖχος, τείχει· τὸ δέ, –δουρὶ δὲ ξυστῷ μέμηνεν Αι ας. ἀπὸ τῆς δορὸς γενικῆς. Δόρυ. καὶ τὸ ξύλον καὶ τὸ ἀκόντιον. τὸ ξύλον μὲν, ὡς παρ'̔ Ησιόδῳ· –ε καστον δὲ, δούρα θ' ἁμάξης. τὸ ἀκόντιον δέ· ευ μέν τις δόρυ θηξάσθω– ει ρηται ἀπὸ τῆς δρυὸς, δρυόν τι ο ν, ἐπὶ παντὸς ξύλου λεγόμενον παρὰ τοῖς παλαιοῖς. η δαίρω, ο σημαίνει τὸ λεπίζω. τοῦ γὰρ φλοιοῦ λεπίζεται τὰ ξύλα. η θόρυ τὶ ο ν τὸ ἐκ τῆς γῆς ἀνατρέχον. ὡς καὶ ὁ ποιητὴς λέγει· ἐπεὶ ου πω τοῖον ἐλήλυθεν ἐκ δόρυ γῆς. Δορύκνιον. γράφεται καὶ δορίχνιον. ε στι δὲ πόα τίς. πινόμενον γὰρ ὑπάρχει τῶν θανασίμων. ε στι δὲ κατὰ τὴν ὀσμὴν καὶ τὴν γεῦσιν γάλακτι παραπλήσιον. ο θεν δυσδιάκριτον τῷ πίdelta.565 νοντι διὰ τὸ ει ναι γάλακτι παραπλήσιον. Δημοφῶν δὲ ἐτυμολογεῖ αὐτὸ ου τως κεκλῆσθαι, διὰ τὸ δόρατι ι σον ει ναι κατὰ τὴν ἀναίρεσιν. Δοῦρα. πλοῖα η ξύλα τὰ εἰς τὸν πύργον. Δουρηνεκέσ. ο σον δόρατος βολή. ο σον δόρυ διατεῖναι, η μῆκος δόρατος. Δουροδόκον. τὸν δεχόμενον τὰ δόρατα. Δούλιον η μαρ. ἡ τῆς αἰχμαλωσίας ἡμέρα. δούλειος δὲ ζυγὸς, δίφθογγον. Δόχμιον. πλάγιον. Δόγμα. ε ννοια παρὰ θεοῦ ἀψευδής. η δόξης πρότασις καὶ ἀνατροπὴ ἑτέρου, καὶ δι' ἀμφοτέρων ἀληθείας διάγνωσις. η ζήτησις περὶ πίστεως καὶ ἀκριβοῦς ζητήσεως ἀψευδὴς διάγνωσις. Δοιά. ἀντὶ τοῦ δύο.̔ Ησίοδος· δοιὰ θέσθαι α ροτρα πονησάμενος– Δοιάντιον. πεδίον. ἀπὸ τοῦ Δοίαντος η ρωος. Δόμω. τὸ δῶρον. παρὰ τὸ δίδωμι, δώσω, δέδωκα, δέδομαι, καὶ ἐξ αὐτοῦ δόμα. (̔ Ρῆμα.) Δογματίζει. θεολογεῖ. Δοιάσατο. ἐνεδοίασε. λαμβάνεται καὶ ἐπὶ τοῦ ε δοξε καὶ ἐνόμισε. κυρίως δὲ τὸ μιᾷ γνώμῃ μὴ ἑστάναι. οὐκ ἀπὸ τοῦ δοσσῶ δὲ ει ρηται, ὡς φασὶ τινὲς, ἐπειδὴ ε δοξα ω φειλεν ει ναι ὁ ἀόριστος· ἀλλὰ παρὰ τὸ δοιὰς δοιάζω, ὡς ι ππος delta.566 ἱππάζω, ὁ μέλλων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δοιάσω, καὶ ἐδοιασάμην, ἐδοιάσατο, καὶ πλεονασμῷ τοῦ ¯ς Αἰολικῶς ἐδοιάσσατο, ὡς τὸ ε σεται ε σσεται, καὶ ἀποβολῇ τοῦ ¯ι δοάσσατο. α λλοι δὲ ἀπὸ τοῦ δοκῶ, δοκάζω, δοκάσσατο καὶ ἀποβολῇ τοῦ κ δοάσσατο. ου τως οἱ μὲν, ε λλειψιν τοῦ ¯ι¯ς, οἱ δὲ, τοῦ ¯ι. ι να μὴ παρ' α λλου ὡς καινὸν ἀκούσῃς. ου τως῾Ηρωδιανός. †Δουλαγωγῶ. ἀντὶ τοῦ ὡς δοῦλον ἀφηνιάζοντα ἀποστέλλω. ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ.† Δοίη. παράσχοι. οὐχὶ ἐν τῷ ¯ω δώῃ. Δοιάζω. τὸ διστάζω. παρὰ τὸ δοιὸς δοιάζω. ὡς ι ππος ἱππάζω, λίθος λιθάζω. Δοῖεν. παράσχοιεν. εὐκτικὸν, δεύτερος ἀόριστος τῶν εἰς ¯μ τρίτου προσώπου τῶν πληθυντικῶν. Δοκεῖ. νομίζει, οι εται. Δοκεύει. ἐπιτηρεῖ. ἀπὸ τοῦ δόκω βαρύτονον, δοκεύω παράγωγον. Δοκιμάζεις. κρίνεις. καὶ δοκιμάσας. Δοκοῦντεσ. ἀρέσκοντες. Δοκιμασθείσ. εἰς α νδρας ἐγγραφείς. ου τως Δημοσθένης. Δοκιμασθείσαισ. κριθείσαις. βεβαιωθείσαις. Δοιδυκίζω. τὸ ταράσσω. η στρογγύλην ἐποίησεν ὡς δοίδυκα. delta.567 Δολοφρονέων. δόλια φρονῶν. Δολιχεύουσι. περιοδεύουσι. δολιχεύσας πολλάκις πολλοὺς πλοῦς περιβάλλεται πλοῦτον ευ μάλα ἁδρόν. Δόμεναι. δοῦναι. πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι– ε στι δίδωμι, ὁ δεύτερος ἀόριστος ἐδίδων, ἡ μετοχὴ ὁ δοὺς, τοῦ δόντος, καὶ τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου δοῦναι. εἰώθασι δὲ οἱ Δωριεῖς ἐπὶ τῶν εἰς ¯ν¯α¯ι ἀπαρεμφάτων τοῦ ἀορίστου προστιθέναι τὴν ¯μ¯ε¯ν συλλαβήν. καὶ εἰ μὲν ω σι δύο φωνήεντα, τὸ ε ν ἀποβάλλουσιν, οι ον· δοῦναι, δόμεναι, θεῖναι, θέμεναι, ει ναι, ε μμεναι, πλεονασμῷ τοῦ ἑτέρου μ. εἰ δὲ ε ν φωνῆεν, φυλάσσουσιν αὐτὸ, οι ον· στῆναι, στήμεναι, βῆναι, βήμεναι. Δονεῖ. ταράσσει. Δοξάσαι. ὑπονοῆσαι, εἰκάσαι.᾽Αριστοφάνης· δοξάσαι ἐστὶ κόραι· τὸ δ' ἐτήτυμον οὐκ ε χω εἰπεῖν. Δοξούμενοι. η τοι δοξάζοντες. Δορπῆσαι. ἑσπερινὸν δεῖπνον δειπνῆσαι. Δορυφορεῖ. τιμὴν περιποιεῖται. Δόσκον. ἐδίδουν. παρ' Αἰολεῦσι. –καὶ πάντα φέρων᾽Αγαμέμνονι δόσκον. Δουλεύσατε. πᾶσαν ἐντολὴν ἀποπληρώσατε. Δούπησεν. ε πεσεν, ω στε ψόφον ἀποτελέσαι. Δοάζω. τὸ ἀμφιβάλλω καὶ δοκῶ. ω δε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον ει ναι. delta.568 ἐκ τοῦ δοάσσω Δωρικῇ τροπῇ τῶν δύο ς εἰς ¯ζ¯ω δοάζω, ὡς νίσσω, νίζω, δοάζω καὶ δοιάζω πλεονασμῷ τοῦ ¯ι. Τὸ Δ μετὰ τοῦ Ρ. (᾽Αρσενικόν.) Δρασμόσ. ἡ φυγή. Δραστήριος. ἐνεργὸς, ἐργατικὸς, πρακτικὸς, σπουδαῖος η περίεργος. Δραπέτησ. φυγάς. παρὰ τὸ δρῶ τὸ ὑπηρετῶ, ἐξ ου γέγονε δραπέτης, ἀπὸ τοῦ δρῶ τὸ φεύγω, ο θεν καὶ ἀπέδρα. ὁ μέλλων δράσω. καὶ μετὰ τοῦ πετῶ, τὸ ἀφίπταμαι, γέγονε δραπέτης, ὁ ἀποπτὰς τῆς ὑπηρεσίας. Δράος καὶ Σάοσ. ποταμοὶ παραλαμβάνοντες τὴν δευτέραν Παιονίαν, οι εἰς τὸν ποταμὸν Ιστρον καταφέρονται. Δρατοί. οἱ ὀφθαλμοί. παρὰ τὸ δρῶ τὸ βλέπω. Δρῆσται. οἱ οἰκέται. †Δρύμνιοσ. ὁ Ζεύς.† Δρῆσοσ. κύριον. Δριμύσ. ὁ ὀξύς. Δρομοκήρυκεσ. οἱ ἀγγελιοφόροι. ου τως Δίων. οἱ ἐπισπούδως πεμπόμενοι, η οἱ ἡμεροδρόμοι. Δρόμοσ. τὸ γυμνάσιον κατὰ Κρῆτας. δρόμῳ δ' ἰσῶσαι τῇ φύσει τὰ πράγματα νίκης ε χων, ἐξῆλθε πάντιμον γέρας. Δρΰϊνοσ. ξύλινος, καὶ ὡς α ν τις ει ποι λίθινος. delta.569 Δρυφάκτουσ. ξυλίνους θώρακας η τοὺς νῦν καγκέλλους καλουμένους. η τὰ διαφράγματα η τὰ περιτειχίσματα. εἰρῆσθαι δὲ κυρίως πάντα τὰ ἀπὸ ξύλου γινόμενα. δρυόφακτος τὶς ω ν ὁ ἐκ δρυῶν φραγμός. πάλαι γὰρ πάντα τὰ ξύλα δρῦας ἐκάλουν, καὶ δρυμόν. η παρὰ τὴν δρῦν καὶ τὸ πακτῶσαι, ο ἐστι πῆξαι, δρύπακτος καὶ δρύφακτος. οι ον· καθύπερθεν ἐπήδων τοὺς δρυφάκτους. Δρυμόσ. τόπος σύμφυτος καὶ σύνδενδρος. Δρυπέτησ. ὁ πέπειρος καρπὸς τῶν δένδρων. γράφεται καὶ δρυπέπης. Δρυΐδαι. οἱ φιλόσοφοι παρὰ Γαλάταις. Δρύοπεσ. ε θνος. Δρύοχοι. πάτταλοι οἱ ἐντιθέμενοι ναυπηγουμένης νηός. καταχρηστικῶς δὲ τὰ προοίμια.᾽Αριστοφάνης·᾽Αγάθων α ρχεται δρυόχους τιθέναι δράματος ἀρχάς. η δρυόχους τὰς πελέκεις. οἱ μὲν κρίκους ἀκούουσι τινὰς μεγάλους ἐπ' ὀβελίσκων κειμένους, ου ς καταπήγνυσθαι εἰς τὴν γῆν, ω στε δι' αὐτῶν τοξεύειν. α μεινον δὲ, ἐφ' ω ν ἡ τρόπις ἐρείδεται. Δρῦσ. τὸ δρύϊνον δένδρον. τὸ δρῦς δὲ βραχύ. Δρυαχαρνεῖσ. οἱ ἀναίσθητοι. ἐκωμῳδοῦντο γὰρ οἱ᾽Αχαρνεῖς α γριοι καὶ σκληροί.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

delta.570 Δρώπαξ. ὁ κεκαλλωπισμένος ἀνήρ. Δρώπτησ. πλανήτης, πτωχός. Δρογγίλων. χωρίον Θρᾳκικόν. Δρύασ. παρὰ τὸ δρῦς, δρυός. οἱ γὰρ ἀρχαῖοι πᾶν δένδρον δρῦν ἐκάλουν. τὸ δρῦς ψιλὸν διατί; ἐκ τοῦ δρῦς· τὰ εἰς ¯υ¯ν καὶ εἰς ¯υ¯ς α παντα ἐπ' εὐθείας καὶ ἑνικῆς πτώσεως διὰ τοῦ ¯υ ψιλοῦ γράφεται. *Δρόμων. ει δος πλοίου.* Δραγμή. σταθμὸς ὡρισμένος. η τὸ συνάθροισμα τὸ ε ξ ὀβολῶν. παρὰ τὸ δέδραγμαι δραγμή. τὸ παλαιὸν γὰρ τῶν ἀνθρώπων ὀβολοῖς κεχρημένων ἀντὶ νομισμάτων, ου ς τῇ χειρὶ δραξαμένους, δυνατὸν η ν, ἐκάλουν δραγμήν. δραγμαὶ ἑκατὸν ποιοῦσι μνᾶν. δραγμὴ δὲ ὁλκὴ νομίσματος εἰς ἀργύριον. δραγμαὶ δέκα, δραγμαὶ ε ξ ὀβολῶν. †Δρῆροσ. πόλις Κρητική.† †Δράπων. ὁ δραπέτης.† †Δρόγγοσ. ἑορτή.† Δραματουργία. πλάσις ψευδής. δραματουργία τοῦ Ἠσαΐου ἡ προσωπικὴ τοῦ συγγραφικοῦ λόγου διάθεσις. οἱ μὲν γὰρ τῶν ἀγγέλων ὡς ἐρωτῶντες καὶ πυνθανόμενοι, οἱ δὲ ἐρωτώμενοι κατὰ τὴν διατύπωσιν τῶν τοῦ προφήτου λόγων εἰσάγονται. delta.571 Δρᾶσισ. σημαίνει καὶ τὴν πρᾶξιν καὶ τὴν ο ρασιν. παρὰ τὸ δρῶ τὸ πράττω· σημαίνει καὶ τὸ βλέπω. καὶ τὸ δρὰξ καὶ τὸ ὑποδράξ. καὶ δρατοὶ οἱ ὀφθαλμοί. παρὰ ου ν τὸ δρῶ δρᾶσις, ὡς πράξω, πρᾶξις. Δρηστοσύνη. ἡ δουλεία. Δροίτη. ἡ πύελος, ἐν ῃ τιθηνεῖται τὰ βρέφη. Παρθένιος καὶ Αἰσχύλος τὸν σορὸν λέγουσι. ει ρηται ου ν ἡ λέξις παρὰ τὸ δόρυ καὶ τὸν οι τον τὸν θάνατον. τὸ δόρυ τὸ εἰς θάνατον ἐπιτήδειον. η ἐκ δρυὸς εἰς οι τον πεποιημένη. Ερμιππος δὲ ὁ Βηρύτιος δρύτην τὴν πύελον καλεῖ, παρὰ τὴν δρῦν τὴν ξυλίνην. κατὰ τὸν Ερμιππον ου ν διὰ τοῦ ¯υ ψιλοῦ γραφήσεται. Δρόσοσ. κατ' ε λλειψεν τοῦ ι. οι ον ὑπὸ τοῦ Διὸς σουμένη. διοσσὸς τὶς ου σα, καὶ πλεονασμῷ τοῦ ρ δρόσος. Δρυοῦντος καὶ Δρυσοῦσ. πόλεις. Δρύπτα. α τ' ἐφιουλκὲς δρύπτα καὶ τυροῦ δρύψια κυκλιάδων· τουτέστιν ἐλαίας καὶ τυροῦ ξέσματα περιφερῆ. Δριμεῖα. ἡ δριμυτάτη. (Οὐδέτερον.) Δράγματα. αἱ ἀπαρχαί. Δράγμα. ο σον περιλαμβάνει τῇ ἀριστερᾷ χειρὶ ὁ θερίζων. παρὰ τὸ δράξασθαι, τὸ συλλαμβάνειν. ου τως δραγμὴ καλεῖται τὸ πλῆθος τῶν κερμάτων η τοι τῶν ὀβολῶν. Δρᾶμα. ὑπόκρισις, συσκευή. λέγεται δὲ καὶ τὸ ποίημα καὶ τὸ πρᾶγμα· η λόγος περιέχων ὑπόθεσιν. παρὰ τὸ δρῶ, τὸ ἐνεργῶ, ἀφ' ου καὶ δρᾶσαι τὸ πρᾶξαι. ὁ παθητικὸς παρακείμενος delta.572 δέδραμαι καὶ ἐξ αὐτοῦ δρᾶμα. λέγεται καὶ δράματα τὰ ὑπὸ τῶν θεατρικῶν μιμηλῶς γινόμενα, ὡς ἐν ὑποκρίσει· ω ς φησιν ᾿Αριστοφάνης· ἐπειδὴ ἐν ἱερῷ῾Ηράκλεις δειπνοῦντες, ε πειτα ἀναστάντες ἐγίνοντο χορός. καὶ τὰ ἐκ κατασκευῆς καὶ κακουργίας δρώμενα κατά τινος ὑπό τινων δράματα λέγονται. Δραστήριον. τὸ κόσμιον καὶ τὸ η συχον. μετὰ τοῦ δραστηρίου αὐτοῦ ἐτέτακτο καὶ τοῦ ἀνδρώδους. Δρατά. –παρὰ δὲ δρατὰ σώματα νήει. κατὰ μετάθεσιν τοῦ ¯ρ. ὡς φθείρω, φθαρτὸς, φθαρτὴ, φθαρτὰ, ου τως δείρω, δαρτὸς, δαρτὸν καὶ δαρτὰ καὶ καθ' ὑπερβιβασμὸν δρατὰ, ὡς ὀφιόσπαρτον, ὀφιόσπρατον. Δρέπανον. χωρίον Σικελίας. ει ρηται ἀπὸ τοῦ ἐκεῖσε κεῖσθαι τὸ δρέπανον, ῳ ἀπέτεμε καὶ ἀπέκοψε τὰ αἰδοῖα τοῦ Οὐρανοῦ ὁ Κρόνος. η ἀπὸ τοῦ σχήματος· δρεπανοειδὴς γὰρ ὁ τόπος. Δρία βησσήεντα. ο ρη σύνδενδρα. οὐκ ἀπὸ τοῦ δρίεα κατὰ συγκοπὴν, ἀλλ' ω σπερ ἀπὸ τοῦ μέγαρος μέγαρον γίνεται, ου τως δρίος δρίον, καὶ ω σπερ τὸ μῦρον μῦρα, ου τως δρίον δρία. Δρύϊνα. ξύλινα καὶ ὡς α ν τὶς ει ποι λίθινα· πᾶν γὰρ ξύλον δρῦς καλεῖται. Δρύφακτα. περιτειχίσματα, διαφράγματα. Δρίφη. ξέσματα. Δρώπα. τὰ δρεπτὰ, η τοι τὰ τετρυγημένα, η τὰ δρέπανα. (῾Ρῆμα.) Δρώμενα. πραττόμενα, ἐνεργούμενα. delta.573 Δραξάμενοσ. κρατήσας, ἐπιλαβόμενος. Δρᾷν. πράττειν. Δρᾶ. ἀντὶ τοῦ πράττε. Δρακάζεις. κρύπτῃ. Δραπετεύσασ. φυγών. τὸ ¯δ¯ρ¯α μακρόν. Δράσασ. ποιήσας· πράξας. Δρασείοντεσ. ἐπιθυμοῦντες. ου τως᾿Αριστοφάνης. Δραθεῖν καὶ δραθέειν. παρὰ τὸ τοῖς δέρμασι δαρθεῖν, ο ἐστιν ἐπὶ δερμάτων καθευδῆσαι. σημαίνει δὲ καὶ κατὰ ἀντίφρασιν τὸ κοιμᾶσθαι. γέγονε ου ν παρὰ τὸ δρῶ, τὸ ἐνεργῶ, ἐξ ου παράγωγον δρήθω, ὁ μέλλων δρήσω, ὁ δεύτερος ἀόριστος ε δραθον, καὶ ὁ δεύτερος μέλλων δραθῶ, καὶ τὸ ἀπαρέμφατον δραθεῖν καὶ κατὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διάλυσιν τῆς ¯ε¯ι διφθόγγου δραθέειν. οἱ γὰρ κοιμώμενοι οὐδὲν ἐνεργοῦσι. Δραματουργήσασ. ἀντὶ τοῦ συνείς. Δρᾶναι. οι μαι ἀπὸ τοῦ δρῆμι, ε δρην, τὸ ἀπαρέμφατον δρᾶναι. κάλλιον ου ν ἀπὸ τοῦ δραίνω, δρανῶ, ε δρανα, δρᾶναι. Δρυπόμενοι. τρυγῶντες. Δρεφθῆναι. τρυγηθῆναι, ἀποδρεπανισθῆναι. Δρέπεται. θερίζεται, τρυγᾶται, ἀπανθίζεται. delta.574 Δρυπολεῖν. τὸ ξύλοις πολιορκεῖν. οἱ γὰρ ἀρχαῖοι πᾶν ξύλον δρῦν ε λεγον. Δρύψαι. ἀποξέσαι. Δρύπτεται. ἐὰν τὶς ἑαυτὸν κατατίλλῃ ἐπὶ θρήνοις. καὶ δρύπτω τὸ σπαράττω. δρυψάμενοι δ' ὀνύχεσι παρειάς. παρὰ τὰς δρῦς. τὸ γὰρ παλαιὸν ἁρπάζοντες τὰς βαλάνους καὶ περιπαίοντες ἀλλήλους ἐσπάραττον. ἀπὸ δὲ τοῦ δρυμάσσω ῥήματος, ο περ καὶ αὐτὸ σημαίνει τὸ σπαράττω, η ἀπὸ τῶν λεπιζομένων δρυῶν. Δρῶσιν. ἐνεργοῦσι, πράττουσι. Δρώντων. ἀντὶ τοῦ δράτωσαν.᾽Αττικὴ δὲ ἡ σύνταξις. Δρωπακίζω. συνάγω, τρυγῶ. καὶ δρωπακίζειν παρ' ἡμῖν τὸ μετ' ἀλοιφῆς τινὸς χρίεσθαι τὸ σῶμα πρὸς ψίλωσιν τῶν τῆς σαρκὸς τριχῶν. Τὸ Δ μετὰ τοῦ Υ. (᾽Αρσενικόν.) Δυσβηρήσ. ὁ δύσβατος τόπος. παρὰ τὸ δύσβατος, δυσβατὴρ, καὶ ἐν συγκοπῇ δυσβηρής. Δυσβράκανοσ. ὁ δύσληπτος. ὁ δυσκατανόητος. βράκανα γὰρ α γρια λάχανα δύσπλυτα. delta.575 Δύσερισ. φιλόνεικος. παρὰ τὸ ¯δ¯υς, ο σημαίνει τὸ κακὸν, καὶ τὴν ε ριν. Δυσέντευκτοσ. ὁ δυσομίλητος. Δυσέξιστοσ. τόπος ἀδιόδευτος. Δυσεκλογίστων. δυσαρέστων. δυσδιαγνώστων. Δυσέμβολοσ. ὁ δυσεπιχείρητος. Δυσέκτων. ὁ δυσγνώμων. Δύσερμοσ. ὁ δύσελπις. Δύσερωσ. ὁ σφόδρα κακῶς ἐρῶν, η ὁ ἐπὶ κακῷ ἐρῶν. ἀποσφαγεῖσαν γὰρ αὐτὴν ὑπὸ ἐραστοῦ δυσέρωτος. Δυσγαργαλίσ. δυσυπότακτος. γαργαλίζειν γὰρ τὸ εἰς γέλωτα α γειν καὶ πείθειν. Δυσάρεστοσ. ὁ μὴ ἀρεσκόμενος. Δυσάλωτοσ. ὁ δυσκράτητος. Δυσανάφοροι. βαρεῖς, δυσκόλως ἀναφερόμενοι. Δυσάλγητοσ. ὁ δυσανάλγητος, ὁ ἀσυμπαθής. Δυσάμοροσ. παρὰ τὸ μόρος δύσμορος. καὶ πάλιν μόρος, α μορος καὶ κατὰ ἀλλεπάλληλον σύνθεσιν δυσάμορος. ὡς η λικες, ὁμήλικες καὶ συνομήλικες. delta.576 Δυσανάγωγοσ. ἀπειθὴς, δυσχερής. Δυσάνισοσ. ὁ ἐπὶ παντὶ ἀνιώμενος, κα ν μικρὸν καὶ εὐκαταφρόνητον ῃ . ου τως᾽Αντιφῶν. Δυσαῶν ἀνέμων. τῶν σφοδρῶς πνεόντων. Δυσειδήσ. ὁ δύσμορφος. Δυσήνιοσ. ὁ ἀπειθὴς, ἐκ μεταφορᾶς τῶν ι ππων τῶν τὰς ἡνίας καὶ τοὺς χαλινοὺς ἀποπτυόντων. Δυηπαθήσ. καρτερικὸς, κακοπαθῶν. δύη γὰρ ἡ κακοπάθεια. Δυσηλεγήσ. σκληρός. η δυσηλεγὴς καὶ τανυλεγὴς ἐπὶ θανάτου λέγεται. καὶ τανυλεγὴς μὲν ὁ μακροκοίμητος λέγεται, ἀπὸ λέγω τὸ κοιμῶμαι. οι ον· λέξον νῦν με τάχιστα, διοτρεφὲς– η παρὰ τὸν ε λεγον, τὸν θρῆνον, ι ν' ῃ ὁ χαλεποὺς θρήνους ποιῶν. Δυσηχήσ. κακόηχος. ῥυσαμένη Πύθωνα δυσηχέος ἐκ πολέμοιο ἀσπὶς᾽Αθηναίους– delta.577 Δύσθυμοσ. κακόβουλος. Δυσθήρατοσ. ὁ δυσεύρετος. Δυσάγωγοι. δυσμεταχείριστοι. Δυϊκὸς ἀριθμόσ. οὐ μόνον ἐπὶ δύο ἰεῖν λέξεων, ἀλλὰ καὶ τὸ δι' ἑκάστην πτῶσιν, δύο πτώσεις ε χειν. Δυσκάθεκτοσ. ὁ δυσκράτητος. Δύσκωφοσ. ἐκ μέρους ἀκούων. Δύσκολοσ. ὁ δυσάρεστος. παρὰ τὸ κολλῶ δύσκολος, ὁ δυσχερῶς τινὶ ἑνούμενος. ἀπὸ τῆς συνδεούσης καὶ ἑνούσης κόλλης. Δύσμοροσ. ὁ δυστυχὴς, ὁ κακοθάνατος. Δυσμενήσ. ἐχθρός. Δύσμηνισ. ὀργίλος· βαρύθυμος. Δύσνουσ. ἐχθρός. ὁ δὲ η ν δύσνους βασιλεῖ καὶ῾Ρωμαίοις. Δύσοργοσ. Σοφοκλῆς· τοιαῦτ' ἀνὴρ δύσοργος ἐν γήρᾳ βαρὺς ἐρεῖ. *γράφεται καὶ δυσεργός.* ὀξύχολος. Δυσοίκτου. δυσθρηνήτου. Δύστηνοσ. α θλιος, *φρικωδέστατος·* ταλαίπωρος. παρὰ τὸ στῆναι· οἱονεὶ ὁ μὴ δυνάμενος delta.578 στῆναι. η ἀπὸ τοῦ στένω, οἱονεὶ ὁ πάνυ στένων. Δύσριγος, δυσριγότερος, δυσριγότατος. †φρικωδέστατος.† διὰ τοῦ ς γράφεται· ει πομεν γὰρ, ὡς τό· δυς· πρός· εἰς· ἐξ· ἀεὶ φυλάσσει τὰ ἑαυτῶν σύμφωνα. Δυστόπαστοσ. κακοϋπονόητος. παρὰ τὸ τοπάζω τὸ ὑπονοῶ. Δύστροποσ. δυσκάθικτος, σκολιός. δυσάρεστος. οἰκέτην δύστροπον περιβαλὼν, α γριος ω ν καὶ ἀπαραίτητος τὴν ὀργήν. καὶ δυστροπία ἡ κακότροπος γνώμη. Δυστράπελοσ. δυσκίνητος, ἀμετάτρεπτος, δυσμετάθετος· η ὁ ἀμετακίνητος ὀργῇ, η διαθέσει, η φιλαργυρίᾳ. η ὁ δύσκολος. Σοφοκλῆς· κεῖται ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δυστράπελος Αι ας. καὶ δυστράπελον ο ρυγμα, τὸ οὐκ εὐδιάλυτον. Δύσπαρι. ἐπὶ κακῷ ὠνομασμένε. οι ον· ζήσας ὡς Πάρις δυσώνυμε. καὶ χωρίον δύσβατον. ου τω Ξενοφῶν. Δύστροσ. ὁ μάρτιος μήν. Δυσχερήσ. κακοτέλεστος. Δύσχρηστοσ. κάκιστος, ὁ εἰς οὐδὲν ἀγαθὸν χρησιμεύων. delta.579 Δυσφώρατοσ. ὁ δυσκόλως ἐλεγχόμενος. η ὁ μόλις φωραθῆναι δυνάμενος. Δυσώνυμοσ. κακώνυμος. Δυνάστησ. ὁ διάβολος. παρὰ τῇ θείᾳ γραφῇ. Δαβίδ· ῥύσεται πτωχὸν ἐκ δυνάστου. Δύπτησ. κολυμβητής. παρὰ τὸ δύνειν ἑαυτὸν εἰς τὴν θάλασσαν. πρὸς κῦμα δύπτην ἐμπεπλεγμένον κάλοις. παρὰ τὸ δύω δύπτης, ὡς ο πτω, ο πτης καὶ ἐπόπτης. Δυσπέφελοσ. ὁ δυσάρεστος, ὁ δυσπειθὴς, ὁ δυσκίνητος, ὁ χαλεπὸς, ὁ μεμψίμοιρος. ει ρηται δὲ ἀπὸ μεταφορᾶς τῶν δυσπετούντων σιτίων. καὶ ὁ Ἡσίοδος· εἰ δέ σε ναυτιλίης δυσπεφέλου ι μερος αἱρεῖ. (Θηλυκόν.) Δύη. ἡ κακοπάθεια. ἡ δυστυχία. ἀπὸ τοῦ δῶ τὸ δεσμῶ, ου παράγωγον δέω, ἀφ' ου δέοιμι. ἀπὸ τοῦ δέω ου ν δύω, ὡς ῥέω, ῥύω καὶ ῥύσις. ἡ συνδεδεμένη τῷ πάσχοντι, η η τινι συνδέδεται τὶς κακοπάθεια. Δυαί. ἐκ τοῦ δέω γίνεται δυὴ καὶ δυαί. Δυαὶ μὲν Μενελάῳ ἀρηγόνες– Δυάσ. παρὰ τὸ συνδεδέσθαι α λλῳ ἀριθμῷ τῷ ἑνί. τὸ γὰρ ε ν ἀπολελυμένον ἐστὶ παρὰ τὴν ε σιν καὶ α φεσιν. Δυνατήν. ἐνδεχομένην. ἡγήσασθαι δυνατὴν ὑπὸ ζυγίοις πορεύεσθαι ὁδόν. Δυναστεία. ἡ ἰσχύς. delta.580 Δύναμισ. ἡ ἰσχύς. καὶ ὁ στρατός. συναχθείσης δυνάμεως θαυμαστῆς. δύναμίς ἐστι φυσικὴ α ϋλος ἐνέργεια. δύναμις πάλιν ἐστὶν ε νυλος ἐνέργεια. δύναμις πάλιν λέγεται καθ' ε ξιν, ὡς ο ταν ει πωμεν· τὸ παιδίον σπερματικόν ἐστι δυνάμει, εἰ καὶ μήπω τῇ ἐνεργείᾳ διὰ τὸν χρόνον. ὡσαύτως καὶ ὁ κόκκος τοῦ σίτου δυνάμει τῇ καθ' ε ξιν στάχυς ἐστίν· ε χει γὰρ δύναμιν φυσικὴν γενέσθαι στάχυς. δύναμις λέγεται ἡ μὲν κατ' ἐπιτηδειότητα, ἡ δὲ καθ' ε ξιν· κατ' ἐπιτηδειότητα, ὡς ο ταν ει πωμεν, τὸ παιδίον δυνάμει γραμματικὸν ει ναι, καθὸ εἰ καὶ μὴ κέχρηται τῇ τέχνῃ, οὐ γινώσκει αὐτήν. ει ρηται δὲ παρὰ τὸ διανύω η παρὰ τὸ δύνω· ἡδύνουσα καὶ πράττουσα καὶ διαιροῦσα τὸ ἀνθιστάμενον. Δύμη. πόλις. καὶ Δυμαῖος ὁ πολίτης. Δυοκαιδεκάτη καὶ δυοκαιδέκατοσ. δυωδεκάτη δὲ καὶ δυώδεκα μεγάλα. Δύσκλεια. ἡ ἀδοξία, η κακοδοξία, η ὁ ψόγος. Δυσκολία. ἀπόκρισις περὶ τὰς διαλεκτικὰς ἀποκρίσεις· συλλογισμοῦ φθαρτική. Δυσμή. παρὰ τὸ δέω, δεσμὸς, καὶ δύω, δυσμή· ο τε συνδεῖται τῷ φωτὶ τὸ σκότος καὶ συνάπτεται. Δυστροπία. ἡ κακότροπος γνώμη· ἡ κακοτροπία, ἡ κακουργία. Δυσερμίασ. κακῆς ἀποτυχίας. Δυσειρεσία. ἡ κακὴ κωπηλασία. ἀπὸ τοῦ ἐρέσσω τὸ κωπηλατῶ. Δυσκολοκάμπτους ᾠδάσ. τὰς κεκλασμένας. delta.581 Δυσμένεια. ε χθρα, κακόνοια. καὶ δυσμενὴς, ὁ πολέμιος. Δυσφημία. ἡ κακὴ ἀγγελία. Δύστοκοσ. ἡ δυσκόλως τίκτουσα. Δυσστίβητοσ. ὁδὸς ἡ δυσπεριπάτητος. Δυσβουλία. ἡ κακοβουλία. Δυσκελάδου. κακοήχου. Δυσπαλέας ῥίζασ. τὰς κακῶς ἀναδιδομένας. ἀπὸ τοῦ πάλλω. η δυσχερῶς γινομένας.᾿Απολλώνιος· οι ον ἀμφί τε δυσπαλέας ῥίζας χθονὸς οι α γυναῖκες. Δυσπαίπαλοσ. τραχεῖα. Δυσποτμία. ἡ δυστυχία. καὶ δυσποτμότερον, ἀθλιώτερον. Δύσοιμοσ. ἡ ὁδὸς ἡ ἐπὶ κακῷ α γουσα. Δυάσ. παρὰ τὸ δύω δυάς· ω σπερ παρὰ τὸ μυ μυριὰς, καὶ τὸ χ χιλιάς. *Δυεῖν. δύναμις, γεωμετρικὸν ἐργαλεῖον. ο θεν φασὶ καὶ τὰς κατὰ κιβωτὸν πήχεις τὰς τριακοσίας καὶ τὰς α λλας τοιαύτας. η τοι δυνάμεις ει ναι τῶν τριακοσίων δυνάμεων, ἐχουσῶν ἐνακοσίας δυναμάδας πήχεις συνήθεις.* (Οὐδέτερον.) Δυερόν. βλαβερόν. Δυοῖν θάτερον. τὸ ε τερον τῶν δύο. delta.582 Δυῤῥάχιον. πόλις ᾿Ηπείρου, η τις υ στερον ἐκλήθη ᾿Επίδαμνος, πάλιν νῦν καλουμένη Δυῤῥάχιον. ὠνομάσθη δὲ ου τως, ο τι κατὰ τὸν τόπον προεχούσης α κρας γεωλόφου καὶ τὸ κῦμα προσπίπτον καὶ σχιζόμενον ῥαχίαν ποιεῖ μεγάλην· ο θεν διὰ τὴν ῥαχίαν καὶ τὸ δύσορμον ου τως ὠνομάσθη. Δύσεργον. δυσχερὲς, δύσκολον. η δύσεργον η ν τοῖς ἀῤῥωστοτέραν ε χουσι τὴν ἑτέραν. Δυσπάριτον. τὸ δυσπόρευτον. Ξενοφῶν· ἐρωτώμενος δ', εἰ ει η δυσπάριτόν τι χωρίον η α βατον. Δυσπινῆ. τὰ ἐῤῥυπωμένα.᾿Αριστοφάνης· ἀλλ' η δη τὰ δυσπινῆ θέλεις πεπλώματα. καὶ δυσπινεῖς στολάς. Δυσπόριστον. δυσεύρετον. Δυστέκμαρτον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δυσκατέργαστον. δυσζήτητον. δυσεύρετον. δύσληπτον. ποῦ δ' εὑρεθήσετ' ι χνος παλαῖας δυστέκμαρτον αἰτίας. Δυστράπελον ο ρυγμα. τὸ οὐκ εὐδιάλυτον. Δυσχερασμάτων. ἀτυχημάτων. ὁ δὲ ἐπὶ τὸν ἀπράγμονα βίον ἐτράπετο, μίσει τῶν ἐν πολιτείᾳ δυσχερασμάτων. Δύσφορα. χαλεπὰ, δυσύποιστα. λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι, κατ' ὀρθὸν ἐξιόντα. delta.583 Δυσήνεμον. τὸ κακοὺς ἀνέμους ε χον. Δύσοιστον. δυσφόρητον, δυσυπομόνητον. Δυσήνυστον. τὸ δυσκατόρθωτον. Δυσάντητον. ἐναντίον, δυσχερὲς, δυσαπάντητον. Δυσέφικτον. τὸ δυσκατάληπτον. Δυσδιάφυκτον. τὸ δυσχερῶς διαφεῦγον. Δυσέξοιστον. τὸ δυσεκκόμιστον. Δυσαλθέσ. δυσίατον, δυσθεράπευτον. Δυσαχθέσ. βαρύ. Δυσῆρεσ. τὸ δυσχερές. Δυσξύμβολα. τὰ δυσνόητα. Δυσκέλαδον. κακόηχον. Δυσπρόσιτα. τὰ δυσχερῆ. Δυσκλεέσ. α δοξον. Δύσορφνον καὶ δυσόρφνεον. μέλαν, σκοτεινόν. Δυσάητον. τὸ δύσπνευστον. Δυσαίσθητα. ο σα τῶν ζώων δυσκινήτως πρὸς φυγὴν θανάτου ε χουσιν, ὡς ὁ κεράστης καὶ ὀκτάπους. Δυσόριστον. τὸ κτιστὸν καὶ ἀόριστον. α γγελος, ψυχὴ καὶ δαίμων. η τὸ καθόλου μὴ γινωσκόdelta.584 μενον, ἀλλ' ἐκ μέρους. οι ον τὸ ξύλον τῆς ζωῆς. η δυσόριστόν ἐστι τὸ ἐν μετασχηματισμῷ καὶ οὐ κατ' οὐσίαν ἐπιφαινόμενον, ὡς ἐπὶ τῶν ἀγγέλων καὶ δαιμόνων καὶ ψυχῆς. α γγελον μὲν γὰρ ὁρίζονται τινὲς οὐσίαν νοερὰν ἡγιασμένην, η ς οὐσίας τὸν ο ρον μόνος ὁ κτιστὴς ἐπίσταται. ψυχὴν δὲ οὐσίαν ἀσώματον νοερὰν ἐν σώματι πολιτευομένην, ζωῆς παραιτίαν. η ς οὐσίας τὸ ει δος καὶ τὸν ο ρον ὁ καὶ τὴν τῶν ἀγγέλων μόνος ἐπίσταται ὁ ποιητής. δαίμων δὲ ζῶον λογικὸν, ἀθάνατον κατὰ γνώμην πάσης ἀγαθοεργίας ἐκπεσόν. (῾Ρῆμα.) Δύεται. κρύπτεται. Δῦθι. ε νδυσαι. καί· δῦ δὲ χιτῶνα. μακρόν. δεύτερος ἀόριστος ἐστὶ τῶν εἰς ¯μ¯ι, ε δυν, ε δυς, ε δυ, δῦ. Δυάζει. φλυαρεῖ, ἀλογεῖ, καὶ τὸ διστάζει. παρὰ τὸ ἐν δύο στάσεσιν ει ναι. delta.585 Δῦναι. κατελθεῖν, η εἰς δύσιν ἀπελθεῖν. ἀπὸ τοῦ δῦμι. ἡ μετοχὴ ὁ δὺς, καὶ τὸ ἀπαρέμφατον δῦναι. Δύνασαι. ᾿Ιστέον, ο τι τὰ ε χοντα τὴν ἐνεργητικὴν μετοχὴν ταῦτα τροπῇ τοῦ τὸ τρίτον πρόσωπον, εἰς ¯ς ποιεῖ τὸ δεύτερον. οι ον πεποίηται, πεποίησαι, ο τι πεποιηκώς· τίθεται, τίθεσαι, ο τι τιθείς. ου τως ου ν δύναται, δύνασαι, ο τι δυνάς· καὶ ἐπίσταται, ἐπίστασαι, ο τι ἐπιστάς· ἀπὸ τοῦ δύνημι καὶ ἐπίστημι, δύναμαι καὶ ἐπίσταμαι. τὸ δὲ δύνῃ καὶ ἐπίστῃ κατὰ πάθος ἐστὶν ἀπὸ τοῦ δύνασαι καὶ ἐπίστασαι, καὶ ᾿Ιωνικῶς δύνεαι καὶ ἐπίστεαι, κατὰ κρᾶσιν τοῦ ¯ε καὶ ¯α δύνῃ καὶ ἐπίστῃ. Δύρεσθαι. ἀντὶ τοῦ ὀδύρεσθαι. ου τως ῾Ηρωδιανός. Δυσωποῦμαι. ἀντὶ τοῦ φοβοῦμαι. ου τως Δημοσθένης ἐν Φιλιππικοῖς καὶ Ξενοφῶν ἐν ᾿Απομνημονεύμασι. καὶ δυσωπεῖσθαι ἀντὶ τοῦ ὑφορᾶσθαι καὶ φοβεῖσθαι, καὶ μεθ' ὑπονοίας σκυθρωπάζειν. οἱ γὰρ παλαιοὶ ἐπὶ τοῦ κρίνειν καὶ ἐλέγχειν τὴν λέξιν λαμβάνουσι. δυσωπεῖν γὰρ ει ρηται παρ' ο σον οἱ κατακεκριμένοι κακῶς delta.586 ε χουσι τοὺς ω πας. ου τως ευ ρον τὴν λέξιν κατὰ ῥητορικὸν λεξικὸν, καὶ εἰς τὰ ἀνεκφώνητα ῾Ηρωδιανοῦ. ε νιοι δὲ ἀντὶ τοῦ αἰδεῖσθαι· εἰ καὶ μὴ τὴν ἀττικὴν, ἡ δὲ συνήθεια καὶ ἐπὶ τοῦ ἱκετεύειν. Δυσκολαίνειν. λέγει ὁ ᾿Αριστοτέλης· δυσκολαίνει γὰρ ὁ μὴ διὰ προσηκουσῶν ἀποκρίσεων φθείρων καὶ κωλύων συλλογισμόν. Δυσπετοῦντεσ. κακῶς ε χοντες, δυσχεραίνοντες. Δυσανασχετεῖ. βαρέως φέρει καὶ δυσκόλως. Δυσφορεῖ. βαρύνεται. Δυσθετήσασ. μὴ στέρξας ταῖς συνθήκαις. Δυσθανατῶντα. βιαίως τὸν βίον καταστρέφοντα. ἐν δέ τινι μοίρᾳ τῆς ἀτραποῦ δυσθανατῶντα ῾Ρωμαῖον περιεβλέψαντο, τέτρασι βολαῖς τὸ σῶμα κοσμούμενον. Δυσχρηστούμενοσ. κακῶς διατιθέμενος. ὁ δὲ ᾿Αννίβας δυσχρηστούμενος η δη τοῖς πράγμασιν ἐς Καρχηδόνα διεπέμπετο, ταύτην τὴν περίστασιν διασαφῶν. Δυσπροσίτωσ. δυσχερῶς ἐγγισθῆναι. Δυστοπωτάτωσ. δυσχερεστάτως. καὶ δυστοπώτατα. delta.587 Τὸ Δ μετὰ τοῦ Ω. (᾿Αρσενικόν.) Δωήκ· Δωΐας· Δώριος· Δωρήκ. ὀνόματα κύρια. Δωρητόσ. ὁ δῶρα λαμβάνων. Δῶροσ. κύριον. Δωροδόκοσ. ὁ δεχόμενος δῶρα. Δωροφάγουσ. ἐκφαντικῶς ἀσώτους. ἐκ τῶν δώρων τρεφομένους.῾Ησίοδος·῾Αρπάζων ἐφόρεις μέγα κυδαίνων βασιλῆας Δωροφάγους, οι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τήνδε δίκην ἐθέλουσι δικάσαι. Δωσιδίκουσ. ἐκδότους τῇ δίκῃ. Δωσιάδης καὶ Δωσίδασ. ὀνόματα κύρια. Δώσων. κύριον. ου τως ἐκαλεῖτο ὁ ει ς τῶν᾽Αντιγόνων, ὁ υἱὸς Δημητρίου, ο ς ε γημε Χρυσίνδα τὴν μητέρα Φιλίππου τοῦ ὑπὸ῾Ρωμαίους γινομένου. ει ρηται διὰ τὸ φιλότιμον καὶ διὰ τὸ πολλὰ διδόναι καὶ χαρίζεσθαι. Δώτῃ. μεταδοτικῷ· εὐσεβεῖ.῾Ησίοδος· Δώτῃ μέν τις ε δωκεν, ἀδώτῃ δ' ου τις ε δωκε. †Δωδάσ. τελεία θυσία.† †Δωδεσκήϊδεσ. δώδεκα θυσίαι.† †Δωμητύσ. κατασκευή.† Δώτωρ. κύριον. *ὁ δωρούμενος.* (Θηλυκόν.) Δωρεά. τὸ δῶρον καὶ δόσις ἀναπόδοτος. Δωροδοκία. ἡ δωροληψία. delta.588 Δωρογραφή. ο τάν τις αἰτίαν ε χῃ τῶν πολιτευομένων δῶρα λαβεῖν. Δωροξενία. ο τάν τις γραφῇ ξενίας καὶ δῶρον δοὺς ἐκφύγῃ τὴν συκοφαντίαν, δωροξενία λέγεται. Δωρίππη. κύριον. Δωρίς, Δωρίδοσ. ἡ κλητικὴ ω Δωρί. Δωδεκάκρουνοσ. κρήνη ἐν᾽Αθήναις. Θουκυδίδης ἐννεάκρουνον λέγει. Δωνατική. διάδοσις διδομένη παρὰ τοῦ βασιλέως τοῖς στρατεύμασι. Δωδώνη. ο ρος. Δωμητύσ. τὸ κτίσμα. Δώσ. ἡ δωρεά. δὼς ἀγαθή. ἰστέον, ο τι τὸ δὼς ὀξυτόνως λέγεται παρὰ τὸν δώσω μέλλοντα, καὶ ε στιν α κλιτον· ἐπειδὴ τὰ εἰς ¯ω¯ς μονοσύλλαβα θηλυκὰ περισπῶνται, καὶ κύρια ἐστὶν, οι ον· ἡ Κρῶς, ἡ Κλῶς, ἡ Κῶς· εἰσὶ δὲ ὀνόματα πόλεων. ἐπειδὴ ου ν τὸ δὼς, θηλυκὸν ο ν, οὐκ ε στι κύριον, ἀλλ' ου τε δὲ περισπᾶται, τούτου χάριν ε στιν α κλιτον. Δωτύς, δωτύοσ. τῆς τροφῆς. Δωτίνη. ἡ δωρεά. γέγονε παρὰ τὸν δώσω μέλλοντα δωσίνη, καὶ τροπῇ τοῦ ¯ς εἰς ¯τ δωτίνη. η ἀπὸ τοῦ δέδοται γίνεται δοτὸς καὶ ἐκεῖθεν δοτίνη διὰ τοῦ ¯ο μικροῦ, καὶ κατ' ε κτασιν δωτίνη, διὰ τοῦ ¯ω μεγάλου. ω σπερ σιτοδοτῆρες. delta.589 καὶ ταμίαι παρὰ νηυσὶν ε σαν σίτοιο δοτῆρες– οἱονεὶ κατ' ε κτασιν. –θεοὶ δωτῆρες ἐάων. καὶ Διόνυσος, Διώνυσος. Δῶ. τὸ οι κημα κατὰ ἀποκοπήν. Δωδεκάβοιον. δώδεκα βοῶν α ξιον. Δωδεκατημόριον. μοίρας δωδεκάτης. Δωδεκάδωρον. τὸ παλαιστῶν ο ν δώδεκα. δῶρον γὰρ ἡ παλαιστή. Δῶμα. τὸ οι κημα, μέγα. δόμα δὲ, τὸ δῶρον, μικρόν. δῶμα. τὰ εἰς ¯ω λήγοντα βαρύτονα πολλάκις μεταβάλλουσι τὸ παρατέλευτον ¯ε εἰς ¯ω· δέμω, δωμῶ, νέμω, νωμῶ. ἐκ δὲ τοῦ δωμῶ δωμήσω γίνεται δώμημα καὶ κατὰ συγκοπὴν δῶμα. ου τω Φιλόξενος. α λλοι δὲ ἀπὸ δέμω δόμα καὶ δῶμα κατ' ε κτασιν. Δωμάτιον. οι κημα μικρόν. Δωρητόν. τὸ εἰς δῶρον διδόμενον. Δώρημα, ¯η· δώριμον δὲ, ¯ι. δώριμον ει δός σου προσάγει τις. Δώριον. η τοι μέλος Δωρικόν. Δῶρον. ἡ παλαιστή. ἀπὸ τοῦ τὰ πλεῖστα διὰ τῆς χειρὸς ἡμᾶς *α γειν καὶ* δωρεῖσθαι, ἀφ' η ς μετρεῖται ἡ παλαιστή. Δῶρον. τὸ ξένιον. δῶρον τὸ διδόμενον. παρὰ τὸν δώσω μέλλοντα γίνεται δῶρον, δῶόν τι ο ν· καὶ πλεονασμῷ τοῦ ¯ρ, δῶρον. η δοκεῖ σημειῶdelta.590 δες ει ναι τὸ ο νομα, καὶ διὰ τοῦ ¯ω μεγάλου γράφεται. ω σπερ καὶ τὸ ἁλωτός. οὐδὲν γὰρ ο νομα ἀπὸ τῆς τρίτης συζυγίας τῶν εἰς ¯μ¯ι διὰ τοῦ ¯ω μεγάλου γράφεται. διὸ καὶ τὰ παρ' αὐτῷ συγκείμενα διὰ τοῦ ¯ω μεγάλου γράφονται· οι ον· ᾽Αθηνόδωρος, μεγαλόδωρος, αἰχμάλωτος, ἀνάλωτος. ου τω Θεόγνωστος. Δώτιον. τόπος. Δῶμα. παρὰ τὸ δομῶ, δομήσω, δεδόμηκα, δεδόμημαι, δόμημα, καὶ ἀποβολῇ τοῦ ¯μ καὶ κράσει τοῦ ¯ο καὶ ¯η εἰς ¯ω μέγα, δῶμα. (῾Ρῆμα.) Δῴη. ἀπὸ τοῦ δίδωμι, δώσω. –αι κέ ποθι Ζεὺς δῴη– ὁ δεύτερος ἀόριστος ε δων, καὶ τὸ ὑποτακτικὸν, ἐὰν δῶ, ἡ μετοχὴ ὁ δοὺς, τοῦ δόντος, καὶ τὸ εὐκτικὸν δοίην. ω σπερ θεὶς, θέντος, θείην. καὶ κατ' ε κτασιν τοῦ ¯ο εἰς ¯ω δῴην καὶ δῴη. Δώομεν. δώσομεν. Δωρίζει. ὡς οἱ Δωριεῖς ᾳ δει. Δωριάζειν. παραγυμνοῦσθαι. παραφαίνουσι γὰρ οἱ Δωριεῖς τὸ σῶμα παρὰ τὸ μηδὲ ζώνας ε χειν. Δωρησάμενοσ. ἀντὶ τοῦ δωροδοκήσας. δωρησάμενος χρήμασι μεγάλοις. Δωροδοκήσαντα. οὐ μόνον δῶρα διδόναι καὶ ἀναπείθειν, ἀλλὰ καὶ τὸ λαμβάνειν. Δωσείων. ἐπιθυμῶν δοῦναι. delta.591 Δώωσι καὶ δώῃσιν. εἰ δέ κε μὴ δώωσιν. ε στι δίδωμι, δώσω, ὁ δεύτερος ἀόριστος ε δων, καὶ τὸ ὑποτακτικὸν ἐὰν δῶ· τὸ πρῶτον τῶν πληθυντικῶν, ἐὰν δῶμεν, δῶτε, καὶ τὸ τρίτον δῶσι καὶ πλεονασμῷ τοῦ ¯ω δώωσι. delta.592 (᾽Επίῤῥημα.) Δωριστί. ὡς οἱ Δωριεῖς ᾳ δουσιν. ᾽Αριστοφάνης· τὴν δωριστὶ μόνην ἁρμονίαν ἁρμόττεσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θαυμαστὴν λύραν· α λλην δ' οὐκ ἐθέλειν λαβεῖν. epsilon.591 Ε. Τὸ Ε μετὰ τοῦ Α. (᾽Αρσενικόν.)᾽Εανόσ. πέπλος ποικίλος, λαμπρός.῾Εαυτούσ. ἀντὶ τοῦ ἀλλήλους κατὰ ᾽Αττικούς. (Θηλυκόν.)῾Εαῖσ. ἰδίαις.῾Εαυτάσ. ἀντὶ τοῦ ἀλλήλας. ου τως οἱ᾽Αττικοὶ λέγουσι. *καὶ ἑαυτοὺς ἀντὶ ἀλλήλους.* (Οὐδέτερον.)᾽Εανόν. ποικίλον, λεπτόν. ἁ μεγάλα δ' Αι γυπτος ἑανῷ δάψατο χαίτην. Εαρ. χρόνος, ἐν ῳ τὸ ὑγρὸν μετὰ τοῦ θερμοῦ ἐπικρατεῖ. ε αρ δὲ παρὰ τὸ ε ω τὸ πέμπω· τότε epsilon.592 γὰρ ἐκπέμπονται οἱ καρποί. ε αρ καὶ τὸ αι μα, διὰ τὸ ἐν τῷ ε αρι πλεονάζειν.᾽Εαρινόν. τὸ κατὰ τὸν καιρὸν τοῦ ε αρος.᾽Εάρταρα. λεπτὰ, ἁπαλά.᾽Ε τὸ στοιχεῖον. †τὸ δὲ ¯ε θαυμάσαιμι τῆς ὀνομασίας. τήν τε γὰρ ἐπέκτασιν καὶ τὸ κυκλοτερὲς τοῦ αἰῶνος ἐν τῷ ἰδίῳ τύπῳ δηλοῖ, ἐπέκτασιν μὲν τὴν εἰς μέσον ε χον μακρὰν, κυ
κλοτερὲς δὲ τὸ περὶ τὴν μακρὰν πέριξ· ο τι τοῦ ο ντος αἰῶνος μιμεῖται τὰ πέριξ.† (῾Ρῆμα.)᾽Εαγῆναι. συντριβῆναι.᾽Εάγη. συνετρίβη. α σσω τὸ κλῶ, ὁ μέλλων α ξω, ὁ δεύτερος ἀόριστος α γον, ὁ παθητικὸς η γην, η γης, η γη, καὶ κατὰ διάλυσιν τοῦ ¯η ἐάγη.᾽Εαδότα. ἀρέσκοντα. epsilon.593 Εα δή. ἀντὶ τοῦ α γε δή. καὶ ε α ἀντὶ τοῦ συγχώρει. ᾽Εακότεσ. παρῃτημένοι, ἀποπεπαυκότες. ῾Εαλωκυῖα. ἐξερημωθεῖσα. ῾Εάλωσαν. ἐκρατήθησαν.῾Εάλω. ἐκρατήθη.῾Εάλωκεν. ἐλήφθη. καὶ ἑαλωκώς.᾽Εάλη. συνεστράφη. Αἰνείας δ' ἐάλη. παρὰ τὸ ἀλῶ τὸ ἐκκλίνω καὶ πλανῶ. οἱ γὰρ ἐκκλίνοντες τινὰς καὶ πλανῶντες οὐκ ἐπαίρονται, ἀλλὰ συστρέφονται· ο θεν καὶ τοὺς ι ππους α λεται, ἀντὶ τοῦ ἀλεῖται. ο ἐστι συστραφεῖται. τὸ δὲ ἀλῶ γέγονε παρὰ τὸ λῶ τὸ θέλω καὶ μετὰ τοῦ στερητικοῦ ¯α ἀλῶ. οἱ γὰρ πλανώμενοι οὐ τυγχάνουσιν ου θέλουσιν. ε στι δὲ τρίτης συζυγίας τῶν περισπωμένων· οι ον ἀλόω, ὁ μέλλων ἀλώσω, ὁ δεύτερος ἀόριστος η λον, ὁ παθητικὸς η λην, ἐξ ου ἡ μετοχὴ ἀλεὶς, τὸ δεύτερον η λης, η λη, καὶ κατὰ διάλυσιν ἐάλη. Εασασ. ἐχαροποίησας. –ἐπεί με πρῶτον ε ασας. παρὰ τὸ η δω, τὸ εὐφραίνομαι, η σω, η σας καὶ ἐν διαιρέσει ε ασας. Εαται. κάθηται.᾽Ιωνικῶς. ἑῶ, ε ημι, ε εμαι, η μαι, η ται καὶ᾽Ιωνικῶς ε αται, καὶ πλεονασμῷ ει αται. ὡς μέμνηται, μεμνήαται.᾽Εάφθη. ἐπηκολούθησεν. ε πω, ε ψω, ει φα, ει μμαι, ει φθην, καὶ ἐν διαλύσει ἐάφθην, τὸ τρίτον ἐάφθη. η παρὰ τὸ ἐῶ ἐάθη καὶ πλεοepsilon.594 νασμῷ τοῦ ¯φ ἐάφθη. η παρὰ τὸ ε πω τὸ ἀκολουθῶ ει φθη, ι ν' ῃ ἐπηκολούθησε, καὶ ἐν διαιρέσει τῆς ¯ε¯ι διφθόγγου εἰς ¯ε¯α ἐάφθη. ε στι δὲ καὶ τὸ παθητικὸν μονῆρες, καὶ οὐδὲν αὐτῷ ο μοιον. οὐ γὰρ εἰς ¯ε καὶ ¯ι διελύθη οὐδὲ εἰς δύο ¯ε¯ε, ἀλλ' εἰς ¯ε καὶ ¯α. Τὸ Ε μετὰ τοῦ Β. (᾽Αρσενικόν.) Εβενοσ. ο νομα ξύλου. καὶ ε βελος.᾽Εβιωκαῖοι. ε θνος.᾽Εβουσαῖος καὶ᾽Εβούτιοσ. ὀνόματα κύρια.῾Εβραῖοι. ἀπὸ τοῦ Εβερ υἱοῦ Σάλα, ο ς ἐμέρισε τοῖς ε θνεσι τὴν γῆν. Εβροσ. ποταμὸς Θρᾴκης. (Θηλυκόν.)῾Εβδομάτη. ἡ ἑβδόμη. καὶ ἑβδομευόμενα. τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς ἑβδόμας καὶ τὰς δεκάτας η γον καὶ τάγε ὀνόματα ἐτίθεντο αὐτοῖς· οἱ μὲν τῇ ἑβδόμῃ, οἱ δὲ, τῇ δεκάτῃ. Εβουρις᾽Εβουδίκη. ὀνόματα πόλεων. (῾Ρῆμα.) Εβαν. ἐπορεύθησαν. ᾽Εβαρυθύμησαν. ἐλυπήθησαν.᾽Εβαρυώπησαν. ἀσθενεῖς ἐγένοντο τοὺς ὀφθαλμούς. Εβα με. κατέλαβέ με.᾽Αριστοφάνης· τί χρέος ε βα με μετὰ τὸν Πασίαν.᾽Εβαρύνετο. κυριώτερον. οὐ δεῖ γὰρ λέγειν ἐβαροῦντο η βαροῦμαι η βαρούμενος. epsilon.595 ᾽Εβάστασεν. ἀντὶ τοῦ ἐδοκίμασε. πάσας δ' ἰδέας ἐξήτασε, πάντα δ' ἐβάστασε φρενί. Εβασεν. ἀντὶ τοῦ ε κραξεν. Εβασον. ε ασον, συγχώρησον. ου τως Συρακούσιοι καὶ Λάκωνες. γέγονε δὲ κατὰ πλεονασμὸν τοῦ β. τὸ γὰρ ε ασον, ε βασον, καὶ τὸ ε αται, ε βαται, καὶ τὸ ε α, ε βα.᾽Εβεβαίωσασ. ἐφανέρωσας.᾽Εβίωσασ. ε ζησας. Εβλω. ε δωκε, διέσπασεν.᾽Εβόμβησεν. η χησεν.᾽Εβουλιμίασαν. λίαν ἐπείνασαν.᾽Εβόησεν. ἐφώνησεν. ᾽Εβόων. ε κραζον.᾽Εβληχῶντο. ἐπὶ τῶν προβάτων λέγουσιν. Εβριξαν. μετὰ τροφὴν ἐκοιμήθησαν. ᾽Εβριάζοντο. ηὐφραίνοντο. ᾽Εβραγχίασεν. ἐκοπίασεν. epsilon.596 Εβρασεν. ἐκ τῆς θαλάσσης εἰς τὴν γῆν ε ῤῥιψεν.᾽Εβρόμησεν. η χησεν. ἐβρόντησεν. ᾽Εβύνουν. ἐπλήρουν, ε φραττον.᾽Αριστοφάνης· χρυσίῳ τούτων ἐβύνουν τὸ στόμα. ῾Εβδομηκοντάκις ἑπτά. τοῦτο οὐκ ἀριθμὸν τίθησι. Τὸ Ε μετὰ τοῦ Γ. (᾽Αρσενικόν.)



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Εγγυοσ. ὁ ἐγγυητής.᾿Εγγύθετοσ. ὁ προσεδρεύων τόπος.᾿Εγγλωττογάστωρ. ὁ ἐκ τοῦ λέγειν ζῶν. πεποίηται ἡ λέξις παρὰ τὸ διὰ γλώσσης καὶ διὰ λόγων τρέφεσθαι. Εγγονοσ. ὁ υἱός. ε κγονος δὲ ὁ τοῦ υἱοῦ υἱός. καὶ Ομηρος· υἱός θ' υἱωνός τε Διὸς νεφεληγερέταο.᾿Εγήγαρτος καὶ ἐγήχαρτοσ. ὁ ἐπίχαρις. epsilon.597᾿Εγκέφαλοσ. παρὰ τὸ ἐγκεῖσθαι τῇ κεφαλῇ καὶ τὸ κέρας· η παρὰ τὸ ἐγκεῖσθαι τὰ φάη. η ἐγκράνιος διὰ τὸ ἐγκεῖσθαι ἰδιώτερον τῷ κρανίῳ.᾿Εγκρυφίασ. ὁ ἐν σποδιᾷ γενόμενος α ρτος. *᾿Εγκτόσ. ὁ ζωγράφος.*᾿Εγκρατήσ. ὁ ταῖς φαύλαις ἐπιθυμίαις λόγῳ μὴ ἀκολουθῶν. ἐγκρατὴς λέγεται οὐ κατ' ἀπάθειαν, ἀλλὰ διὰ τὸ πάσχειν μὲν, μὴ α γεσθαι δὲ ὑπὸ τῶν παθῶν. καὶ ἐγκρατὴς καὶ ἐπικρατέστερος.᾿Εγκαρσίχολοι. ὀξύχολοι. κεκραμένην χολὴν ἐν τῇ κεφαλῇ ε χοντες. οἱ γὰρ ἰχθύες ἐπὶ τὴν κεφαλὴν τὴν χολὴν ε χουσιν. ἐκ τοῦ ῥητορικοῦ ἡ λέξις.᾿Εγκυσίχωλοσ. ει ρηται παρὰ τὸν κύσον. ὁ ἀπὸ τοῦ κύσου χωλὸς, καὶ τῆς κοτύλης. κύσον γὰρ εἰώθασιν οἱ κωμικοὶ καὶ τὸν πρωκτὸν καepsilon.598 λεῖν, περὶ ο ν ἡ κοτύλη ε στι. ἐκ τοῦ ῥητορικοῦ ἡ λέξις.᾿Εγκάθετοσ. κατάσκοπος, ὁ ἐνεδρευτής. Εγκριτοσ. ἐκλελεγμένος.᾿Εγκοπεύσ. τὸ ἐργαλεῖον.᾿Εγκέλευστοι. μετὰ προστάξεως. οἱ δὲ ὑπὸ Κύρου ἐγκέλευστοι.᾿Εγκταί. οἱ διαγράφοντες τοὺς τοίχους ζωγράφοι.᾿Εγχέσπαλοι. πολεμικοί. ε σειον γὰρ τοὺς κοντοὺς πρὸ τῆς ἀφέσεως, μήποτε α ρα ει εν κλασθέντες.᾿Εγχεσίμωροσ. πολεμιστής. ὁ κακοπαθῶν τῷ ε γχει καὶ τῷ δόρατι.᾿Εγχειγάστωρ. ὁ διὰ τοῦ δόρατος ζῶν.᾿Εγχείμαργοσ. πολεμικὸς, ὁ μαινόμενος τῷ δόρατι.᾿Εγχειρογάστορεσ. οἱ ἀπὸ χειρῶν ζῶντες. epsilon.599 Εγγυοσ. μεσίτης.᾿Απόστολος· κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ε γγυος᾿Ιησοῦς. (Θηλυκόν.)᾿Εγγαστρίμυθοι. αυ ται γυναῖκες η σαν, αι τινες τὰς τῶν θνησκόντων ψυχὰς ἐξεκαλοῦντο. μιᾷ δὲ αὐτῶν ἐχρήσατο Σαοὺλ, η τις ἐξεκαλέσατο τὴν ψυχὴν Σαμουὴλ τοῦ προφήτου. Εγγειον. χέρσον, ξηράν.᾿Εγγρεκύδοιμοσ. ἡ ἐγείρουσα κύδοιμον καὶ θόρυβον τοῖς ἐναντίοις.᾿Εγγύη. ἡ ἀσφαλὴς ἀντιποίησις καὶ σταθηρά· η ἡ περὶ τινὸς ἀναδοχή. ἀπὸ τοῦ γῆ, γύη καὶ ἐγγύη· καὶ γὰρ ἡ γῆ τῶν α λλων στοιχείων παγιωτέρα.᾿Εγγυητή. γυνὴ ἡ μεμνηστευμένη. Προκόπιος· ἡ δὲ ἐγγυητὴ υ στερον Βελισαρίῳ γυνὴ γέγονεν η δη παίδων μήτηρ πολλῶν.᾿Εγγυθήκη. σκεῦός τι, πρὸς τὸ κρατῆρας η λέβητας η τὶ τοιοῦτον οὐκ ἀλλότριον ἐπικεῖσθαι ἐπιτήδειον ει ναι.᾿Εγγώνιοσ. ἡ μὴ στρογγύλη καὶ μὴ α γαν περιφερής. ἐν τῷ συνδείπνῳ τῷ τοῦ Μαικήνα τράπεζα ἐγγώνιος η ν ὑπὸ τῇ κλισίᾳ.᾿Εγκληματικαὶ δίκαι. αἱ εἰς τὴν οἰκείαν κατάστασιν τὸν κατηγορούμενον ζημιῶσαι, οι ον ε κπτωσιν ἱερωσύνης. epsilon.600 Εγκλητοσ. ἡ ἐπὶ σύνοδον παραίτησις. Εγκλισιν.᾿Αναξαγόρας φησίν· ω στε κατὰ κορυφὸν τῆς γῆς τὸν ἀεὶ φαινόμενον ει ναι πόλον, υ στερον δὲ τὴν ε γκλισιν λαβεῖν· τουτέστι τὴν τροπήν. Εγκλισισ. βούλημα ψυχῆς διὰ φωνῆς σημαινόμενον. οι ον· ὁριστικόν· προστακτικόν· ὑποτακτικόν· εὐκτικόν. ἡ γὰρ ἀπαρέμφατος οὐκ ε στι κυρίως ε γκλισις, ἀλλὰ καταχρηστικῶς διὰ τὸ μὴ ε χειν πρόσωπα.᾿Εγκύκλιοσ. ἡ γραμματική· ἡ ποιητική· ἡ ῥητορική· ἡ φιλοσοφία· ἡ μαθηματική· καὶ ἁπλῶς πᾶσα τέχνη καὶ ἐπιστήμη, διὰ τὸ περιϊέναι ταῦτα τοὺς σοφοὺς ὡς διά τινος κύκλου. λέγεται δὲ καὶ ἡ ἐτήσιος χρημάτων δόσις. καὶ ἐγκυκλίας λειτουργίας, τὰ καθ' ε καστον ἐνιαυτόν. κύκλος γὰρ ὁ ἐνιαυτός· ἀπὸ τοῦ εἰσκυκλεῖσθαι τῇ τῶν ἡμερῶν περιόδῳ.᾿Εγκράτεια. ἡ τῶν κακῶν ἀποχή. η διάθεσις ἀνυπέρβατος τῶν κατ' ὀρθὸν λόγων. η ε ξις ἀήττητος ἡδονῶν. ἐγκράτεια δὲ σωφροσύνης διαφέρει. ἡ μὲν γὰρ σωφροσύνη ἠρεμαίας ε χει τὰς ἐπιθυμίας· ἡ δὲ ἐγκράτεια σφοδράς.᾿Εγκρίσ. γλύκασμα ἐξ ἐλαίου ὑδαρές. Εγκρισισ. ἱερὸς ἀγών. epsilon.601᾿Εγκοπή. ε νεδρον. ἐμπόδιον.᾿Εγκονίδεσ. αἱ ὑπηρέτιδες. ἀπὸ τοῦ κονῶ τὸ ἐνεργῶ. τινὲς καὶ τὸ ἐγκόμαι λέγουσι τὸ αὐτὸ σημαίνειν.᾿Εγκαινίδεσ. μέρος τὶ τοῦ πλοίου. ξύλα ἰθυτενῆ, καθάπου ζυγά. καὶ ἐγκαινίδας υ περθεν κατὰ τὸ ἐγκάρσιον ἐνθέντες.᾿Εγκύμονοσ. ἐγκύου ου σης. καὶ ε γκυος γυνή. Εγχελυσ. τὸ ἑνικόν. τὸ δὲ πληθυντικὸν ἐγχέλυες, παρὰ τοῖς᾿Αττικοῖς ἐγχέλεις.᾿Αριστοφάνης· ω σπερ οἱ τὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγχέλεις θηρώμενοι πέπονθας. καὶ πάλιν· οὐδὲ χαίρω βατίσιν οὐδ' ἐγχέλεσιν. ευ ρον δὲ καὶ τὸ ε γχελυς ἀττικῶς· ευ ρον δὲ καὶ τὸ ε γχελις διὰ τοῦ ἰῶτα παρὰ Βοιωτοῖς. καὶ αἱ πτώσεις ἐγχέλεων, ἐγχέλεσιν. Ευ πολις· τὸ σῶμ' ε χουσι λεῖον ω σπερ ε γχελυς. epsilon.602 ̓Εγχυτρίστριαι. αἱ τὰς χοὰς τοῖς τετελευτηκόσιν ἐπιφέρουσαι. ε λεγον δὲ καὶ τὸ βάψαι καταχυτρίσαι· ὡς ̓Αριστοφάνης. ἐγχυτρίστριαι καὶ ο σαι τοὺς ἐναγεῖς καθαίρουσιν αι μα ἐπιχέουσαι ἱερείου. καὶ τὰς θρηνητρίας. ε τι γε μὴν καὶ τὰς μαίας τὰς ἐκτιθείσας ἐν χύτραις τὰ βρέφη. καὶ ἐγχυτρίζειν τὸ ἀποκτείνειν ἐπὶ τῶν ἐν χύτραις ἐκτιθεμένων τὰ βρέφη. Εγεστα. πολεμικὸν μηχάνημα, ἐκ λίθων καὶ ξύλων καὶ χοὸς ἐγειρόμενον. ̓Εγκίσσωσις. ἡ ο χευσις. τοῦ Ψελλοῦ· ἐγκίσσωσις ἡ ο χευσις· ἡ σύλληψις δὲ πλέον. (Οὐδέτερον.) Εγγυον. τὸ ἀσφαλές. ε γγιον δὲ, τὸ ἐγγύτερον, ¯ι. ε γγυον δὲ καὶ ε γγιστα οὐ λέγουσιν, ἀλλ' ἐγγυτέρω καὶ ἐγγύτατα. ̓Εγκύκλιον. καθολικὸν η ἁπανταχοῦ. epsilon.603 Εγκυκλον. ἱμάτιον. ̓Αριστοφάνης· τὸ ε γκυκλον τουτὶ κατατιθεῖσαν. ̓Εγκύρτια. τὰ ἐν τοῖς κύρτοις ἐνυφάσματα. Εγκαφος. τὸ ἐλάχιστον. Ευ πολις· ου τ' α ρ λέλειπται τῶν ἐμῶν οὐδ' ε γκαφος. παρὰ τὸ ἐγκάπτω, ε γκαφος, τὸ μὴ δὲ ἐγκάψαι ἀρκοῦν. Εγκαρπον. τὸ ε γκυον. ̓Εγκάρδιον. τὸ μεγάλως δεινὸν καὶ ἁπτόμενον τῆς καρδίας. η τὸ κρύφιον, η τὸ ἐξ ἰσχυρᾶς διαθέσεως. Εγκασιν. ἐγκάτοις. ἀπὸ τοῦ καταχέειν τὴν τροφήν. λέγει δὲ καὶ τὸ η παρ καὶ τὸν σπλῆνα παρὰ τὸν πνεύμονα. ε ντερον δὲ, οὐκ ε γκατον. τὸ δὲ ε ντερον, οι ον ε τερον καὶ οὐχ ο μοιον. η παρὰ τὸ ἐντὸς κεῖσθαι τῶν μελῶν. ἐγκάτοισι, καὶ ἀποβολῇ τῆς ¯τ¯ο¯ι συλλαβῆς ε γκασιν. οὐκ ε στι δὲ συγκοπὴ, μάχεται γὰρ ἐπεκτάσει συγκοπή· ἐναντίον γάρ. α μεινον ου ν μεταπλασμὸν λέγειν· ε στι γὰρ ἐγκάτοισι καὶ κατὰ μεταπλασμὸν ε γκασιν, ὡς α στροις α στρασιν. ου τως ̔Ηρωδιανὸς ἐν τοῖς περὶ παθητικοῦ. ̓Εγκάρσιον. πλάγιον. epsilon.604 Εγκομμα. τὸ πρόσκομμα. ̓Εγκώπαια. τὰ περιδέῤῥαια. ̓Εγκαίνια. ἑορτὴ, καθ' η ν ἐκαινουργήθη τι. ̓Εγκαταλείμματα. τὰ εὐαπομένοντα. καὶ ἐγκατάλειμμα η τοι τὸ μνημόσυνον. τοῦτο δὲ διττόν ἐστιν, η ἐν παιδοποιΐᾳ η ἐν ἀγαθοεργίᾳ. ̓Εγκώμιον. παρὰ τὸ ἐν τῇ κώμῃ ᾀ δεσθαι. κώμας γὰρ ε λεγον οἱ παλαιοὶ τοὺς στενωποὺς καὶ τὰ α μφοδα· η ρχοντο γὰρ τῇ νυκτὶ, οι τινες παρά τινων μεγιστάνων ἐβλάβησαν, καὶ εἰς τὰς ἀμφόδους ἱστάμενοι ἐκακολόγουν καὶ υ βριζον τὸν ἀδικοῦντα. *̓Εγχειρίδιον. τμητικὸν ο ργανον. Εγχοσ. τὸ δόρυ. καὶ ε γχεα. καὶ Ομηρος· ε γχος ε χ' ἑνδεκάπηχυ–. ̓Εγχώριον. οἰκεῖον. ἀλλὰ κατὰ τὰ τῶν ἐγχωρίων ἀνθρώπων η θη κάλλιστα γινώσκουσιν. † Εγχωρα. ἐντόπια.†̓Εγώγιον καὶ ὠγύγιον. τὸ ἀρχαῖον. ̓Εγκύκλιον. καθολικόν. ἀλλ' η ν ἐγκύκλιον αὐτῷ καὶ πρόχειρον τὸ τὰ τοιαῦτα ἁμαρτάνειν. epsilon.605 (̔Ρῆμα.) ̓Εγρήγορα χρὴ λέγειν, οὐ γρήγορα. ̓Εγαργάλιζον. ὑπέσαινον, ἐκίνουν. ̓Εγανώθη. εὐφράνθη, ἐχάρη. Ομηρος· –γάννυται δὲ φρένα ποιμήν. ̓Εγγλωττοτυπεῖν. τὴν γλῶτταν ψοφεῖν, καὶ τὰ κατορθώματα σεμνολογεῖν, καὶ ἀεὶ ἐπὶ τῆς γλώττης ε χειν. ̓Εγγυήσασθαι. μνηστεύσασθαι. ̓Εγγυωμένη. ἀσφαλιζομένη. Πισίδης· νῦν πανσέληνος ἡ σελήνη λαμπέτω· τοῦ Χοσρόου λύοντος ἐγγυωμένη, πέρσας τὸ λοιπὸν μὴ θεουργεῖν τὴν κτίσιν. ̓Εγγυῶ. ἐκδίδωμι. ̓Εγγυώμεθα. ἀντιφωνούμεθα. ̓Εγγεγυμνασμένον. οἱονεὶ φανερὸν καὶ δεδοκιμασμένον. ̓Εγγελῴη. γελάσοι. ̓Εγεγήθει. ε χαιρεν. ̓Εγείρου χρὴ λέγειν, οὐχὶ ε γειραι, εἰ μή τις προτίθησι τὸ σαυτόν· ε γειρε δὲ τὸν λίθον, ψιλόν. ̓Εγερθῆναι ἐξ υ πνου. ἀναστῆναι τῷ σώματι. Ευ πολις· τίς οὐκ ἐξεγείρας μ' ἐστὴν οἰμώξει μακρά· ο τι η μ' ἀνέστησ' ὠμόϋπνον. λέγουσι epsilon.606 δὲ καὶ ἐπεγεῖραι καὶ ἐπεγερθῆναι. ἡ θεράπαινα ἐπεγείρασά με. ̓Εγηγερμένοσ. διανιστάμενος. ̓Εγγυαλίξαι. τὸ εἰς χεῖρας παρασχεῖν. παρὰ τὸ γῶ τὸ χωρῶ καὶ λαμβάνω, ο θεν καὶ γωρυτὸς, ὁ δεχόμενος τὰ ῥυτὰ, η τοι τὰ τόξα. γύω ῥῆμα, ἀφ' ου καὶ γύαι αἱ χεῖρες, α ς πρὸς τὸ λαβεῖν καὶ συνέχειν ἡ φύσις ἐδημιούργησεν. ε τερον παράγωγον γυΐζω, καὶ ἐν συνθέσει καὶ κατὰ πλεονασμὸν τῆς ¯α¯λ συλλαβῆς γέγονεν ἐγγυαλίζω. ̓Εγγείνονται. γεννῶνται. οι ον· –κατὰ χαλκοτύπους ὠτειλὰς Εὐλὰς ἐγγείνονται– γείνω τὸ γεννῶ, γείνονται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἐγγείνονται. ᾿Εγκατέσκηψαν. ἐφώρμησαν, ἐπέδραμον. ἐπεδράξαντο. τὰ Αἰγυπτίων κακὰ ἐν τῇ Ἀλεξανδρείᾳ πόλει ἐγκατέσκηψε καὶ τῇ Ῥώμῃ. ου τως φησὶν Οὐάρων. ᾿Εγκατειλημμένην. ληφθεῖσαν. ᾿Εγκατειλεγμένοσ. τεταγμένος. ᾿Εγκατελέγησαν. ᾠκοδομήθησαν. ἐγκατελέγησαν λίθοι. αἱμασιάς τε λέγων. ᾿Εγκανάξαι. ἐνσεῖσαι. ἐγχέαι. πεποίηται δὲ ἡ λέξις.᾿ Αριστοφάνης· epsilon.607 ι θι νῦν α κρατον ἐγκάναξόν μοι πολύν· ε λκυσον· ἐκρόφησον· ε κπιε. παρὰ τὸ κανοῦν. η τοι ἐγχέαι. οἱ δὲ στρατιῶται ἐπὶ τοῦ θορύβου τάττουσι τὴν λέξιν. παρὰ τὴν καναχὴν, ο σημαίνει τὸν κτύπον. ἐγκανάξαι ου ν τὸ ἐγχέαι μετὰ ψόφου, ο ἐστι πολὺ, ω στε καὶ ἠχεῖν καὶ θορυβεῖν. * ᾿Εγκύρσαι. ἐντυχεῖν.* ᾿Εγκαθίζουσα. ἐνεδρεύουσα. καὶ ἐγκάθηται ἀντὶ τοῦ ἐνεδρεύει. ᾿Εγκαθιέμενοι. ἀφιέντες. ᾿Εγκαλλωπισαμένου. ἐναβρυνομένου.᾿Εγκαθειργνύντεσ. ἐναποκλείοντες. η καὶ κωλύοντες.᾿Εγκαυχᾷ. μεγαλαφρονῇ. ᾿Εγκαλύπτεται. ὑποστέλλεται, αἰσχύνεται. ᾿Εγκεκαυμένη. ἐζωγραφημένη. ἐπεὶ καὶ ἐγκταὶ λέγονται οἱ ζωγράφοι, οἱ διαγράφοντες τοὺς τοίχους. ι σως παρὰ τὸ κῶ τὸ κοιλαίνω.᾿ Εγκεκοισυρωμένοσ. ὁ ὑπερηφανευόμενος. ᾿Εγκεκορδυλημένοσ. ἐγκεκαλυμμένος, ἐντετυλιγμένος καὶ συνεστραμμένος, ω στε μηδ' ἀνθρώπου σχῆμα δηλοῦν. ου τως᾿ Αριστοφάνης κέχρηται τῇ λέξει. παρὰ τὴν κορδύλην, η τις epsilon.608 ἐστὶν οι δημα τῆς κεφαλῆς ὑπὸ πληγῆς γενόμενον. ει ρηται γὰρ παρὰ τὸ κάρα. καὶ γὰρ κορδύλην λέγουσιν οἱ Κύπριοι τὸ ἐνείλημμα τῆς κεφαλῆς, ο περ᾿ Αθηναῖοι κρωβύλην καλοῦσι, Πέρσαι δὲ κίδαριν. ῥητορικὴ ἡ λέξις. ᾿Εγκεκύκλησαι. ἀνέστρεψαι. ᾿Αριστοφάνης· οὐκ οι δ' ο πη ἐγκεκύκλησαι. ᾿Εγκεντρωθείσ. ἀσφαλισθείς.᾿ Εγκέχοδα. διὰ φόβον τινὰ ε χεσα. ἀπεπάτησα.᾿ Εγκονεῖν. τὸ σπεύδειν, τὸ ἐνεργεῖν. ἀπὸ τοῦ κόνις κονῶ καὶ ἐγκονῶ· οἱ γὰρ ἐπειγόμενοι τὶ πράττειν κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν. Εγκειται. ἐπίκειται.᾿Εγκισσῶσιν. ἐπιθυμοῦσι συλλαμβάνειν.᾿ Εγκομβώσασθαι. στολίσασθαι.᾿ Εγκουλεήσατο. καθῆκεν εἰς τὸν κουλεὸν τὸ ξίφος.᾿ Εγκιλικίζεται. κακοηθεύεται. κακοποιεῖ. τοιοῦτοι γὰρ οἱ Κίλικες. ᾿Εγκωμιάζει. ἐπαινεῖ, δοξάζει. ᾿Εγκραγών. λόγοις ἐξαναστὰς, λοιδορησάμενος. συντάσσεται δὲ μετὰ δοτικῆς.᾿ Εγκραγγάνειν. ἐμβοᾷν. epsilon.609 ᾿Εγκρίνει. συντάττει. ου τι που τοὺς μὲν ἐγκρίνει, τοὺς δὲ ἀποκρίνει.᾿ Εγκυρῆσαι. ἐντυχεῖν. ου τως Κρατῖνος.᾿ Εγλιξάμην. ἐπεθύμησα. ου τω Πλάτων. Εγνω. ἀντὶ τοῦ ε κρινεν. ε γνω ου ν ὁ βασιλεὺς αὐτοὺς ἀδικεῖν. καὶ ε γνωσαν ἀντὶ τοῦ ε κριναν. καὶ τὸν Μάγκινον τοῖς Νομαντίνοις ἐκδοθῆναι ε γνωσαν.᾿ Εγνωμάτευεν. ἀντὶ τοῦ βουλὰς ἐδίδου καὶ γνώμας. ὁ δὲ ἐγνωμάτευε, πάντη ἀξύμφορον ει ναι Πέρσαις φιλίαν θέσθαι, ὡς πρὸς Τούρκους. ᾿Εγνωσμένον. βεβουλευμένον. ὁ δὲ φράζει, καὶ ἐγνωσμένον αὐτῷ ει η. η κεκριμένον. ἐγνωσμένον δὲ ει ναι σφίσιν, ἐπειδὰν ἐλάσωσιν αὐτοὺς οἱ Μαυρούσιοι.᾿ Εγρηγορώσ. α γρυπνος διατελῶν.᾿ Εγρήγορα χρὴ λέγειν, οὐ γρήγορα. καὶ τὰ παρελυληθότα ἐγρηγόρει καὶ ἐγρηγόρεσαν. φησὶν ὁ κωμικός· ε ως διέλαμψεν ἡμέρα ἐγρηγόρησεν. epsilon.610 καὶ τὸ προστακτικὸν ἐγρήγορθι. καὶ τὸ ὑποτακτικὸν, ἐὰν ἐγρηγόρῃ. παροξυτονοῦντες λέγουσιν.᾿ Εγχανών. καταγελάσας. ᾿Αριστοφάνης· οὐδ' ἐγχανὼν τεθνήξει. Εγχει. ε μβαλε. ᾿Εγχεῖν. ἐγκεράσαι η ἀντὶ τοῦ σπεῖσαι. Ξενοφῶν· ὁ δὲ τοῖς νεανίσκοις ἐγχεῖν ἐκέλευσεν. ᾿Εγχρίπτω. πλησιάζω, προσεγγίζω. καὶ ἐγχριφθεῖσα. ᾿Εγχρίψαι. ἐμπεσεῖν· παραπολαῦσαι. παρ' ῾Ηροδότῳ. ᾿Εγχυτρίζειν. ἀποκτείνειν. ἐπὶ τῶν ἐν χύτραις ἐκτιθεμένων βρεφῶν. ῥητορικὴ ἡ λέξις. Εγρετο. ἀπὸ τοῦ ἐγείρετο, κατὰ συγκοπήν. ᾿Εγρήγορθα. ἰστέον, ο τι τὸ ἐγρήγορθα ἀπὸ τοῦ ἐγείρω. ὁ παρακείμενος η γερκα, η γορα, καὶ ὁ ἀττικὸς ἐγρήγορα καὶ πλεονασμῷ τοῦ ¯ρ καὶ ἐπενθέσει τοῦ ¯θ ἐγρήγορθα. epsilon.611᾿ Εγρηγορῶ. ἀπὸ τοῦ ἐγείρω, η γερκα, καὶ ὁ μέσος η γερα, καὶ τροπῇ τοῦ ¯ε εἰς ¯ο καὶ πλεονασμῷ τοῦ ¯ε ἐγρήγορα. ἀπὸ δὲ τοῦ ἐγρήγορα καὶ ἀπὸ τοῦ ἐγείρω κατὰ συγκοπὴν ε γρω.῾ Ηρωδιανὸς περὶ παθῶν.᾿ Εγῷδα. ἐγὼ γινώσκω. ἐγῷδα τοῦτον καὶ διέσκεμμαι πάλαι α νθρωπον ἀγριοποιόν.᾿ Εγῷμαι. ἐγὼ οι μαι, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατὰ κρᾶσιν ἐγῷμαι. καὶ ε γωγε οι μαι ἀντὶ τοῦ ἐγὼ οι μαι. κατὰ πέντε τρόπους διαιρεῖται σύνθεσις ἀπὸ συνθέσεως· κατὰ τόνον· κατὰ γραφήν· κατὰ πνεῦμα· κατὰ εἰσβολὴν μορίου· κατὰ διάλεκτον. κατὰ τόνον, ω σπερ τὸ πάροδος· κατὰ γραφὴν, ω σπερ τρισχίλιοι· κατὰ πνεῦμα, ὡς ε νεστι καὶ ε ξεστι· κατὰ εἰσβολὴν μορίου, ὡς τὸ, ὡσεὶ χνοῦς· κατὰ διάλεκτον, ω σπερ ε γωγε.᾿Ιστέον, ο τι οἱ᾿Αθηναῖοι τὸ ἐγὼ ε γωγε λέγουσι· καὶ ε στιν ε ν μέρος λόγου. εἰ γὰρ η σαν δύο μέρη λόγου, ἐγώ γε η μελλεν ει ναι. πᾶσα γὰρ λέξις ὀξυτόνως ἐπιφερομένη ἐγκλιτικῶς φυλάσσει τὴν ὀξεῖαν τάσιν· οι ον σοφὸς, σοφός γε, καλὸς, καλός γε, ψευδὴς, ψευδής γε· ου τως ου ν ἐγὼ, ἐγώ γε· ἀλλὰ μὴν ε γωγε ἐστὶ προπαροξυτόνως καὶ δηλοῖ, ὡς ε ν μέρος λόγου ἐστὶ τῆς ¯γ¯ε ἐπεκτάσεως ου σης.᾿Εγκρῖναι. ἀντὶ τοῦ συναριθμῆσαι. καὶ ὁ᾿Απόστολος· οὐ γὰρ τολμῶμεν ἐγκρῖναι, η συγκρῖναι ἑαυτοὺς τισί. τὸ δὲ συγκρίναι ἀντὶ τοῦ παραθεῖναι. ὡς ἀλαζόνας κωμῳδεῖ αὐτούς· κατ' εἰρωνείαν γὰρ ὁ λόγος. epsilon.612 (᾿Επίῤῥημα.)᾿Εγγύσ. πλησίον. παρὰ τὴν γύην τὴν γῆν καὶ τὴν ἐν πρόθεσιν γίνεται ἐγγὺς ἐπίῤῥημα. ὡς α ν τις ει ποι ἐν γῇ, η ς οὐδὲν τῶν α λλων στοιχείων πλησιέστερον ἀνθρώπῳ χερσαίῳ ο ντι.᾿Εγγυτί. ἀντὶ τοῦ ἐγγύς. ου τως Καλλίμαχος. Τὸ Ε μετὰ τοῦ Δ. (᾿Αρσενικόν.)᾿Εδέατροσ. ὁ ἐπιστάτης τῆς ο λης διακονίας καὶ παρασκευῆς.᾿Εδεσηνόσ. τοπικός.᾿Εδνωτήσ. κηδεστὴς, πενθερός. ἀπὸ τοῦ διδόναι ε δνα, η τοι ἐξώπροικα. ἐκ τοῦ η δω τὸ εὐφραίνομαι ε δνα. ε δνα δὲ λέγει τὰ πρὸ τοῦ γάμου διδόμενα τῇ νύμφῃ. παρὰ τὸ η δω, τὸ εὐφραίνομαι, ἡδανὸν καὶ ἐν συγκοπῇ καὶ συστολῇ τοῦ η εἰς ε ε δνον, η δονται γὰρ τούτοις αἱ νύμφαι. η παρὰ τὸ ε ζω ε δανον καὶ κατὰ συγκοπὴν ε δνον, τὸ αι τιον τοῦ παρέζεσθαι καὶ παραμένειν τὴν νύμφην τῷ νυμφίῳ. ου τως Ωρος ὁ Μιλήσιος.᾿Εδόσ. ὁ φάγος, ὁ λαίμαργος. ἐκ τοῦ ε δω τὸ ἐσθίω. †᾿Εδοῦοι. ο νομα ε θνους.† †᾿Εδρηστὴς η ἐδρίτησ. ὁ ἱκέτης. ἀπὸ τοῦ καταφεύγειν ἐπὶ τὴν ἑστίαν.†῾Εδραῖοσ. σταθηρὸς, ἀσάλευτος, ἀκλόνητος.᾿Εδώμ. τόπος. ἑρμηνεύεται δὲ θερμασία. (Θηλυκόν.) Εδεσσα. πόλις. αἰδέσιος δὲ ὁ αἰδοῦς α ξιος, δίφθογγον. epsilon.613᾿Εδέμ. τρυφὴ ἑρμηνεύεται.᾿Εδητύσ. ἡ βρῶσις. ἐδῶ, ἐδήσω, ἐδητύς. εἰ γὰρ η ν ἐκ τοῦ ε δω, ω σπερ γράφω, γραπτὺς, πράσσω, πρακτύς. καὶ ε δω, ἐστὸν ω φειλεν ει ναι, οὐχὶ ἐδεστόν. ου τως Φίλων.᾿Εδναία. ἡ καθέδρα. Εδρα. ἡ στάσις, ἡ καθέδρα. ε δρα καὶ ὁ σφιγκτὴρ τῶν ἀνθρώπων. καὶ τοῦτο φησὶν ὁ προφήτης· καὶ ἐπάταξεν τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω· ο πέρ ἐστι τὸ τῆς ε δρας πάθος. ω σπερ αι θρω, αι θρα, ου τως ε ζω, ε δρα, ἐν ῃ καθήμεθα καὶ δι' η ς καθήμεθα. παρ' αὐτὸ καὶ ε νεδρα, ἐγκαθίζοντες γὰρ λοχῶσιν.᾿Εδωδή. ἡ τροφή. παρὰ τὸ ε δω, ε δη, καὶ κατὰ ἀναδιπλασιασμὸν ἐδωδή. (Οὐδέτερον.) Εδαφοσ. ἡ γῆ. ε δος δὲ τὸ ε δαφος καὶ ὁ ἱερὸς ναὸς δασύνεται. τό τε τῆς τύχης ε δος τὸ πάτριον προσκυνήσας τὴν ἐπάνοδον αἰτεῖ.᾿Εδανόν. ἡδὺ, εὐῶδες. ἀμβροσίῳ ἐδανῷ. παρὰ τὸ η δω, τὸ εὐφραίνομαι, ἡδανὸν καὶ ἐν συστολῇ ἐδανόν.᾿Εδέσματα. βρώματα.᾿Εδεστά. τὰ τρωγόμενα. Εδεθλον. τὸ ε δρασμα. Εδικτα. τὰ διατάγματα. epsilon.614᾿Εδίππιον. τόπος. Εδνα. τὰ πρὸ γάμου διδόμενα ταῖς νύμφαις δῶρα, α τινα καὶ ἐξώπροικα λέγομεν.᾿Εδωδίμων. βρωσίμων.᾿Εδώλια. αἱ καθέδραι. κυρίως δὲ τὰ τῆς νεὼς ζυγὰ, ἐν οι ς κάθηνται οἱ κωπηλάται. παρὰ τὸ ε ζω δωρικῶς ἑδώλιον. ἐξ αὐτοῦ καὶ ἑδοῦμαι καὶ καθεδοῦμαι. Ε τὸ στοιχεῖον. παρὰ τὴν ἐπέκτασιν τὴν εἰς μέσον καὶ κυκλοτερῆ. τὸ μὲν γὰρ κυκλοτερὲς καὶ πέριξ τοῦ ο ντος αἰῶνος μιμεῖται τὰ πέριξ· τὸ δὲ εἰς μέσον μακρὰν ε χον τὴν ε κτασιν τοῦ αἰῶνος. (῾Ρῆμα.)᾿Εδαφιεῖ. προσράξει, προσκρούσει.᾿Εδάϊσεν. ἐμέρισεν. Εδαισεν. εὐώχησεν.᾿Εδαίνντο. εὐωχεῖτο.᾿Εδέδμητο. ἐδαμάζετο. ἀπὸ τοῦ δέμω, ἐδεδέμητο καὶ ἐδέδμητο.᾿Εδεύετο. ἐνδεὴς ἐγένετο. γράφεται καὶ ἀντὶ τοῦ ἐκορέννυτο καὶ εὐφραίνετο η καὶ ἐβρέχετο. δεύω γὰρ τὸ βρέχω, η καὶ τὸ στερίσκω. τοῦτο τὸ δεύω παρὰ τὸ δέω. –οὐδέ τι θυμὸς ἐδεύετο–᾿Εδεύησεν. ἀπὸ τοῦ δέω, δεήσω, ἐδέησε, καὶ πλεονασμῷ τοῦ ¯υ ἐδεύησεν. ου τως῾Ηρωδιανὸς περὶ πάθους. epsilon.615᾿Εδέκαζεν. ἐδωροδόκει.᾿Εδεδίεσαν. ἐφοβήθησαν. καὶ ἐδεδίζειν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ʾΕδεδίσκετο. ἐξεφόβει.ʾ Εδεῖτο. ε χρῃζεν.ʾ Εδείναζον. δεινῶς ε φερον, η ἐκακολόγουν. ʾΕδείματο. ᾠκοδόμησεν. ʾΕδεινολόγουν. ἐσχετλίαζον. ἀντὶ τοῦ δεινὰ πεπονθέναι ε λεγον.ʾ Εδεῖτο. ἐδεσμεῖτο. Εδειραν. ἀντὶ τοῦ ε τυψαν, δίφθογγον. ε δηραν δὲ ἀντὶ τοῦ ἐξέδηραν, ¯η.ʾ Εδειμάτουν. ἐξεφόβουν. Εδεισα. ἀντὶ τοῦ ἐφοβήθην. Εδδεισεν. ἐφοβήθη. ἀπὸ τοῦ δέω, δείσω, ε δεισα καὶ πλεονασμῷ τοῦ ¯δ ε δδεισα. η ἀπὸ τοῦ δείδω. –ε δδεισε δ' ὁ γέρων καὶ ἐπείθετο μύθῳ. ʾΕδείδισαν. δειδίω, ὁ μέσος παρακείμενος δείδια, ἐδειδίειν, ἐδειδίεισαν, καὶ κατὰ συγκοπὴν ἐδείδισαν. ʾΕδηλήσαντο. ε βλαψαν. ἀπὸ τοῦ δηλῶ, δηλήσω, ἐδήλησα καὶ ἐδηλήσαντο. καρπὸν ἐδηλήσαντο.ʾ Εδήδαται. ἀντὶ τοῦ η σθιον. εἰ μὲν διὰ τοῦ ¯α, ὡςʾ Αρίσταρχος καὶ α λλοι, ἐστὶ πληθυντικόν. οι ον· ο σσά τοι ἐκπέποται καὶ ἐδήδαται– epsilon.616 ἐὰν δὲ διὰ τοῦ ¯ε, ἐστὶν ἑνικόν. ἀπὸ γὰρ τοῦ ἐδῶ ὁ παρακείμενος η δεκα, διπλασιασμῷ ἐδήδεκα, ὁ παθητικὸς ἐδήδεσμαι, τὸ τρίτον ἐδήδεσται, καὶ ἀποβολῇ τοῦ ¯ς ἐδήδεται, καὶʾ Ιακῶς ἐδήδαται. ου τως ʿΗρωδιανός. ʾΕδηδοκώσ. καὶ ἐδηδοκέναι, ἀντὶ τοῦ φαγεῖν. ʾΕδήμευσαν. δημόσιον ἐποίησαν. καὶ ἐκράτησεν ὁ φθόνος, καὶ τὴν οὐσίαν αὐτῶν ἐδήμευσαν. ʾΕδημοσίωσεν. δημόσιον ἐποίησεν. ὁ δὲ Δευδέριχος ἐπὶ Ζήνωνος ἐδημοσιώθη, χιλίας καμήλους προπέμψας χρυσίου καὶ ἀργυρίου.ʾ Εδημώθη. ἐν τῷ δήμῳ διεδόθη. δῆλος πᾶσιν ἐγένετο. Δίων· καί τις λόγος περὶ αὐτῶν τοιόσδε ἐδημώθη.ʾ Εδῄουν. ἠφάνιζον, διέφθειρον, διέκοπτον.ʾ Εδίωσεν. ἐξέωσεν. ἐδίωξεν. ʾΕδίψησεν. ἐπεθύμησεν. ὁ δὲ ἐλευθερῶσαι τὴν πατρίδα ἐδίψησεν.ʾ Εδίδη. ἐδέσμει. ʾΕδίδων. ἰστέον, ο τι ἡ παράδοσις τὸ ἐδίδων διὰ τῆς ¯ο¯υ διφθόγγου οι δεν, οι ον ἐδίδουν, ὡς ἀπὸ τοῦ διδῶ, διδοῖς, ἐδίδουν· ὡς χρυσῶ, χρυσοῖς, ἐχρύσουν. ʾΕδιδαξάμην. ἐπαιδευσάμην, ἀττικῶς· ἀντὶ τοῦ ἐπαίδευσα. παθητικὸς ἀντὶ ἐνεργητικοῦ.ʾ Εδίδαξεν. ε πεισεν, ἠρέθισεν. ἐδίδαξεν αὐτοὺς ἀνάγκη κατασκηνῶσαι ου πρότερον ει δον κώμας. epsilon.617ʾ Εδικανόωντο. ἐδεξιοῦντο.ʾ Εδικαίου. δίκαιον ει ναι ε λεγεν. ἀλλὰ τοῦ γε ἀπολαύεσθαι κύριος ἐδικαίου ει ναι αὐτός. ʾΕδικαιώθησαν. δίκαιοι ἐκρίθησαν.ʾ Εδικαίωσαν. ἀντὶ τοῦ κατέκριναν. οἱ δὲʿ Ρωμαῖοι κατάγοντες αὐτὸν ἐδικαίωσαν θανάτῳ.ʾ Εδίνευον. κύκλῳ περιῄεσαν. η ἀντὶ τοῦ ὠρχοῦντο. Εδμεναι. ἐσθίειν. ὡς α γειν, ἀγέμεν, καὶ εἰπεῖν, εἰπέμεν, ου τως ε δειν ἐδέμεν καὶ πλεονασμῷ τῆς ¯α¯ι ἐδέμεναι, καὶ κατὰ συγκοπὴν ε δμεναι. ε δμεναι εἰωθότες. Εδονται. φάγονται.ʾ Εδούπησεν. ἐκτύπησεν.ʾ Εδοκίμασαν. προέκριναν, ἐκύρωσαν. πολλῶν δὲ ῥηθέντων εἰς ἑκάτερα λόγων οἱ πλείους γνῶναι τὴν προτέραν ἐδοκίμασαν. ʾΕδοκίμαζεν. ε κρινε. σιωπηλὸς η ν ἐπὶ τούτοις καὶ ἀποκρύπτειν ἐδοκίμαζεν.ʾ Εδολιοῦσαν. τὸν δόλον συνεσκίαζον. ἐκ τοῦ δολιῶ, ἐδολίουν, βοιωτικῶς ἐδολιοῦσαν. Εδοξεν. εἰς ὑπόληψιν η λθεν. Εδρασεν. ε πραξεν, ἐποίησεν, ἐκάθισεν. ʾΕδραματουργήθη. ἐπράχθη. Εδρακεν. ἐκ τοῦ δέρκω τὸ θεωρῶ. ὁ διαμπνύνθη καὶ ἀνέδρακεν. epsilon.618 Εδραμον. ἰστέον, ο τι τὸ ε δραμον ἀπὸ τοῦ δρέμω ἐστὶν, ἐπεὶ τὸ ῥῆμα ο νομα αὐτοῦ πιστοῦται ὁ δρόμος, ὡς βρέμω, βρόμος. ου τως ου ν δρέμω, δρόμος. ὁ δὲʿ Ηρωδιανὸς φησὶν, ο τι δύναται ει ναι ἀπὸ τοῦ δραμῶ περισπωμένως. ἐξ ου καὶ τὸ παρὰ Μενάνδρῳ, οι ον· δεδράμηκά σοι δρόμον τοιοῦτον, οι ον οὐδεὶς πώποτε. καὶ ῥηματικὸν ο νομα δράμημα. ου τω Ζηνόδοτος.ʿ Εδριόωντο καὶ ἑδρίοντο. ἀντὶ τοῦ ἐκαθέζοντο. παρὰ τὸ ε δρα ἑδριῶ.ʾ Εδύνατο γράφεται. α χρηστον γὰρ τὸ ἠδύνατο. ʾΕδωλιάσαι. συγκαθίσαι. ʾΕδωρεῖτο. δώροις ἐτίμα. ʾΕδωρήσατο. ἐφιλοφρονήσατο. Τὸ Ε μετὰ τοῦ Ε. (ʾ Αρσενικόν.)ʾ Εεδνωτήσ. ὁ προικιστὴς, ὁ πενθερός. ʾΕέσχατοσ. ὁ ε σχατος. Εεισ. ὁ ει ς ἐπὶ τοῦ ἀριθμοῦ. οι ον· κυκλοτερὴς ὀφθαλμὸς ε εις ἐνέκειτο μετώπῳ. παρὰ τὸ ι ος ἰόεις, καὶ τροπῇ τοῦ ¯ι εἰς ¯ε ε εις, ὡς ἀγχίμαλος, ἀγχέμαλος. η ἀπὸ τοῦ ει ς ε εις, πλεονασμῷ τοῦ ε. epsilon.619 (Θηλυκόν.) ʾΕεικόσορος ναῦσ. εἰκοσάκωπος.ʾ Εέρσαι. δρόσοι. ψεκάδες. παρὰ τὸ ε ρσαι, ο ἐστι ποτίσαι. ποτίζει γὰρ ἡ δρόσος τὰ φυτά.ʾ Εέλδωρ. ἐπιθύμημα, βούλημα, παρὰ τὸ ἑλεῖν πρὸς ἑαυτὸν καὶ ε λκειν. η παρὰ τὸ ε λω τὸ λαμβάνω, κατὰ πλεονασμὸν τοῦ δ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

(Οὐδέτερον.)̓ Εείκοσιν. ἀντὶ τοῦ ει κοσιν.̓ Εεικοσάβοια. εἰκοσαπλᾶ. η βοῶν ει κοσιν. (῾Ρῆμα.)̓ Εέλδομαι. ἐπιθυμῶ. παρὰ τὸ θέλω, τοῦ ¯θ τραπέντος εἰς ¯δ κατὰ Μακεδόνας, καὶ ὑπερθέσεως γενομένης. οι ον θέλω, δέλω, ε λδω καὶ ε λδομαι καὶ ἐέλδομαι ὑπερθετικῶς.᾿Εέργει. συνέχει. Εετο. ἐνεδύετο.᾿Εεισάμενοσ. ὁμοιωθείς. ει δω τὸ ὁμοιῶ. ει σω, ει σα, πλεονασμῷ τοῦ ε ε εισα, ἡ μετοχὴ ἐεισάμενος. (̓Επίῤῥημα.) Ε ε. ἐπίῤῥημα σχετλιαστικόν.᾿Εετῶσ. εὐχερῶς. epsilon.620 Τὸ Ε μετὰ τοῦ Ζ. (῾Ρῆμα.) Εζεται. καθέζεται.᾿Εζημίωσε. κατέκρινε, κατεδίκασεν. ὁ δὲ βασιλεὺς Αὐρηλιανὸς πολλοὺς τῶν πολιτῶν θανάτῳ ἐζημίωσεν.᾿Εζήλωσεν. ἐπεθύμησεν.᾿Εζυγοστατεῖτο. ἐφ' ἑκάτερα ῥοπὰς ἐλάμβανεν. ἐζυγοστατεῖτο τοῖς῾Ρωμαίοις ὁ πόλεμος.᾿Εζυμώθη. ἐφυράθη, ἐνεμίχθη. ᾿Εζώγρουν. ζῶντας ἐλάμβανον. ᾿Εζωσμένοι. καὶ ἀντὶ τοῦ ἐκδεδυμένοι. Τὸ Ε μετὰ τοῦ Η. (̓Αρσενικόν.)̓ Εῆοσ. τοῦ ἰδίου η τοῦ ἀγαθοῦ. Ομηρος· –ἀνδρὸς ἑῆος. (Θηλυκόν.)̔ Εῆσ. ἰδίας. (῾Ρῆμα.) Εηκα. συνεχώρησα, ἀφῆκα. ε στι ῥῆμα ἱῶ, ο σημαίνει τὸ πορεύομαι καὶ τὸ πέμπω, καὶ ἐξ αὐτοῦ παράγωγον ι ημι, ὁ μέλλων η σω, ὁ παρακείμενος η κα, πλεονασμῷ τοῦ ¯ε ε ηκα. καὶ ε ηκα ἐπίῤῥημα ἀντὶ τοῦ συνεχῶς. epsilon.621̓ Εήλακεν. ἀντὶ τοῦ ἐκρατήθη. ἐλήφθη. Εησιν. ὑπάρχει. Ομηρος· οὐ μὲν γάρ τι μεῖζον κλέος ἀνέρος ο φρά κ' ε ησιν–. Τὸ Ε μετὰ τοῦ Θ. (̓Αρσενικόν.) ᾿Εθαγενήσ. ἐγχώριος.̓ Εθάδασ. συνήθεις. φίλους.̓ Εθελουργόσ. πρόθυμος.̓ Εθελοντήσ. ὁ αὐτοβούλητος, αὐτοπροαίρετος.᾿Εθελονταί. οἱ στρατευθέντες ἑκουσίως ὑπὲρ τῶν δεσποτῶν τῶν ἐν Κάνναις τελευτησάντων.̓ Εθελημόσ. ὁ η συχος. Εθεν. ἀπ' αὐτοῦ, η ἀπ' αὐτῆς· η καὶ ἀπὸ ἑαυτοῦ. ἐμὲ, σὲ, ε. ἀπὸ ου ν τοῦ ε τρίτου προσώπου, πλεονασμῷ τῆς ¯θ¯ε¯ν συλλαβῆς, ε θεν. Εθιμοσ. συνήθεια, ἐθισμός. (Θηλυκόν.) Εθειραι. αἱ ἐξ ε θους ἐπιμελούμεναι τρίχες, οἱονεὶ αἱ ἐξ ε θους φοιτῶσαι τινί. η παρὰ τὸ ἐξ ε θους ῥεῖν. ἡ ἐνθεία ἡ ε θειρα.̓ Εθελοπρόξενοσ. ἡ ἐφ' ἑαυτῆς γενομένη καὶ μὴ κελευθεῖσα ἐκ τῆς πόλεως.̓ Εθιμοσύνη. συνήθεια. epsilon.622 (Οὐδέτερον.) Εθνοσ. τὸ πλῆθος. η γοντο μοιχοὶ, πόρνοι καὶ τὰ τοιαῦτα ε θνη. Εθνοσ. οὐ μόνον τὸ μέγα καὶ πολυάριθμον γένος, ἀλλὰ καὶ ἰδίως μέρος τι τῆς πόλεως. ου τως Δημοσθένης. Εθνεα. τὰ γένη.̓ Οππιανός· ε θνεά τοι πόντοιο πολυσπερέας τε φάλαγγας. Εθοσ. τὸ ἐν ἑκάστῃ χώρᾳ α γραφον δίκαιον. νόμος δὲ ε γγραφον ε θος, ο τι τὸ ε θος οὐκ ἐστὶν ευ ρημα τῶν ἀνθρώπων, ἀλλὰ βίου καὶ χρόνου. καὶ ὁ μὲν νόμος ει κασται τυραννίδι· φόβῳ γὰρ ε κακαστα καὶ μετὰ προστάγματος πράττεται· τὸ δὲ ε θος μᾶλλον τῇ φιλανθρωπίᾳ τῆς βασιλείας· βουλόμενοι γὰρ αὐτῷ πάντες δίχα ἀνάγκης ε πονται. ε θος δὲ ει ρηται παρὰ τὸ ἐτεὸν, τὸ ἀληθὲς, ο περ καὶ ε τος λέγεται, καὶ παρὰ τοῦτο ε θος τὸ ἀεὶ ὡσαύτως ε χον. η παρὰ τὸ ε θω, τὸ ἐξ ε θους ε χω, γίνεται ε θος, ὡς μένω, μένος, σθένω, σθένος. ε θος λέγεται καὶ τὸ σημεῖον. (̔Ρῆμα.) Εθανον. οὐκ ἀπὸ τοῦ θνήσκω, ἀλλ' ἀπὸ τοῦ θήνω, ε θανον, ὡς ἀπὸ τοῦ λήβω ε λαβον, μήθω ε μαθον. ου τω Ζηνόδοτος. epsilon.623̓ Εθελοκωφεῖ. οὐ βούλεται ἀκούειν.̓ Εθελοθρησκεῖ. ἰδίῳ θελήματι σέβει τὸ δοκοῦν.᾿Εθέομεν. ἐτρέχομεν.᾿Εθέλγετο. ἀντὶ τοῦ ἐθηλύνετο. οὐ μὴν ἐθέλγετο ὁ υ πατος τοῖς ὑπηρέταις σὺν ὀργῇ βριμούμενος.᾿Εθέμην. ε κρινα, ἐνόμισα. Εθεσαν. ἐποίησαν. ᾿Εθεωρήθησαν. ἐφάνησαν. ᾿Εθελοκακῆσαι. ἑκουσίως ἑλέσθαι τὸ κακόν.᾿Εθελήσει. ἀντὶ τοῦ οὐ δυνηθῇ.᾿Αριστοφάνης· οὐδὲ ἐθελήσει μαθεῖν. †᾿Εθελήσει. βουληθείη.† * Εθελξασ. ἐθεράπευσας.*᾿Εθέλω. ἰστέον, ο τι τὸ θέλω καὶ ἐθέλω δύο θέματα εἰσί. καὶ τὸ μὲν τεθέληκα ἀπὸ τοῦ θέλω ἐστὶν, ἐπειδὴ πᾶς παρακείμενος ἀπὸ συμφώνου ἀρχόμενος πάντως καὶ τὸν ἐνεστῶτα ε χει ἀπὸ συμφώνου ἀρχόμενον, οι ον τέτυφα, ο τι τύπτω, πεποίηκα, ο τι ποιῶ. τὸ θέλημα ἀπὸ τοῦ ἐθέλω ἐστὶ, καὶ δεῖ γινώσκειν, ο τι εὑρίσκεται ἀεὶ τρισύλλαβον παρὰ τοῦ ποιητοῦ τὸ ἐθέλω. ἀμέλει ἐν τῷ· μὴ δὲ σὲ Πηλείδῃ θέλ' ἐριζέμεναι– δηλοῖ γὰρ, ο τι κρᾶσις ἐγένετο τοῦ ¯η καὶ ¯ε εἰς ¯η. μηδεὶς δὲ οἰέσθω, ο τι τὸ ἐθέλω ἐκ τοῦ θέλω ἐστὶ κατὰ πλεονασμὸν τοῦ ¯ε. τὸ γὰρ ¯ε φωνῆεν πέφυκε πλεονάζον, οι ον· ει πεν, ε ειπεν· ει κοσι, ἐείκοσι· τὸ σύμφωνον δὲ οὐ πλεονάζει. τὸ δὲ epsilon.624 θέλω δοκεῖ ἐκ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐθέλω ει ναι· τὸ γὰρ ¯ε μετὰ συμφώνου ὑπάρχον, πέφυκε πολλάκις ἀποβάλλεσθαι αὐτό· ε φη, φῆ· ε βη, βῆ. δοκεῖ δὲ τὸ θέλω ἀναλογώτερον ει ναι τοῦ ἐθέλω. τὸ γὰρ ἐθέλω παράγωγον κατὰ τὶ ε στι. τὰ γὰρ διὰ τοῦ λ¯ω ὑπὲρ δύο συλλαβὰς τῷ ε παραληγόμενα, μὴ ε χοντα ε τερον ¯λ προηγούμενον, περισπῶνται, οι ον· ὠφελῶ, ἀμελῶ· τὸ δὲ ἐθέλω βαρύνεται. τούτου χάριν τὸ θέλω ἀναλογώτερόν ἐστι τοῦ ἐθέλω. ε χομεν δὲ τινὰ ῥήματα βαρυτονούμενα, οι ον· μέλω, ε λω, κέλω. πρόσκειται μὴ ε χοντα ε τερον ¯λ προηγούμενον, διὰ τὸ ἀνατέλλω. η ἐθέλεις, ο φρ' αὐτὸς ε χῃς γέρας–. * Εθρισεν. ἀπέκοψεν. ἐκ τοῦ θερίζειν.*᾿Εθρυλλίχθη. ἐταράχθη. Εθου. ἀπὸ τοῦ ἐθέμην. ε θεσο, κατὰ ἀποβολὴν τοῦ ς καὶ κράσει ε θου. καὶ τὸ προστακτικὸν θοῦ καὶ ε θου.᾿Εθανατώθη. ὡς ε νοχος θανάτου ἐκρίθη. Εθει. ε τρεχεν.᾿Εθηήσαντο. ἐθαύμασαν. καὶ ἐθήησαν.᾿Εθίζω. παρὰ τὸ ε θω ἐθίζω, ὡς ε λπω ἐλπίζω.᾿Εθόωσεν. ἀπώξυνεν.᾿Εθρίγγωσεν. ἐχαράκωσεν.᾿Εθαυμάστωσε. περίβλεπτον καὶ θαυμαστὸν ἐποίησε διὰ τῆς νίκης.᾿Εθείρω. τὸ ἐξ ε θους ἐπιμελοῦμαι τῶν τριχῶν. παρὰ τὸ ε θω, ἐθείρω. ἐκ δὲ τοῦ ε θω ἐθαῖρος καὶ ἑταῖρος, οἱονεὶ ὁ ἐξ ε θους τινὶ ἐπιφοιτῶν. epsilon.625 Εθυσασ. ἀντὶ τοῦ θύσῃ. τοῦτο παρὰ Φιλοξένῳ. Εθηκεν. ἐποίησεν. ὁ δὲ ᾿Ιουλιανὸς καὶ ἱππικὸν ἀγῶνα ε θηκε.᾿Εθοινήσαντο. εὐωχήθησαν.᾿Εθώπευον. ἐκολάκευον.᾿Εθελουσίωσ. ἑκουσίως.᾿Εθελοκάκωσ. ἑκουσίως ἐκλεγόμενος τὸ κακόν. ᾿Εθελοντί. ἐθελουσίως.᾿Εθελοντηδόν. διὰ τοῦ ¯η. Θουκυδίδης. καὶ ἐθελοντὴν ἐπίῤῥημα. τοὺς παραβόλους κινδύνους ἐθελοντὴν ἀναδεδεγμένος. Τὸ Ε μετὰ τοῦ Ι. (᾿Αρσενικόν.) Εἰανόσ. ποικίλος, πέπλος, λεπτός. Ει λωσ. ὁ δοῦλος. καὶ κλίνεται ει λωτος. καὶ τὸ ε θνος. ει λωτες παρὰ Λακεδαιμονίοις οἱ νόθοι καὶ οἱ ἐξ αἰχμαλώτων δοῦλοι γενόμενοι. ἀπὸ τοῦ Ελους· Ελος δὲ πόλις ἐν Πελοποννήσῳ. οἱ ου ν Λακεδαιμόνιοι διὰ τὸ ἀεὶ διαφόρους ει ναι epsilon.626 ἀλλήλοις, τοὺς δούλους αὐτῶν ἐκάλουν ει λωτας κατὰ ἀτιμίαν καὶ υ βριν. Εἰνάλιοσ. θαλάσσιος δαίμων. Ει ρ. λαίλαψ η λαμπηδὼν, η ο νομα ποταμοῦ. Εἰσαγγελεύσ. ὁ τῶν δημοσίων καὶ μεγάλων μηνυτής. καὶ εἰσαγγελία ἡ δηλατωρία η δημοσίου δίκης ο νομα. Εἰσιτήριοσ. ὁ εἰσόδιος λόγος. Εἰσιτητόσ. πορευτός. Εἰσωποί. ἀντὶ πρόσωποι. Εἰδήμων. ἐπιστήμων, συνετὸς, λόγιος. ἀπὸ τοῦ ει δω τὸ γινώσκω. Εἰκασμόσ. ὁ μετὰ δισταγμοῦ εἰκονίζων πρᾶγμα λόγος, ἐν ῳ κεχρήμεθα η τῷ ι σως, η τῷ τάχα, η τῷ τυχόν. Εἰκαῖοσ. μάταιος. Εἰκαιομύθων. ματαιολόγων. Ει κελοσ. ὁ ο μοιος. παρὰ τὸ ει κω, τὸ ὁμοιῶ. Εἰλεδανόσ. ὁ δεσμός. Εἰλυθμόσ. ἡ κατάδυσις. ἀπὸ τοῦ εἰλύω τὸ ἐπικρύπτω. Εἰλίπους βοῦσ. ὁ τοὺς πόδας εἰλίσσων ἐν τῇ πορείᾳ. epsilon.627 Ει ο. σημαίνει τὸ ἑαυτοῦ. ε στι γὰρ ἐμοῦ, σοῦ, ου . καὶ αυ ται αἱ γενικαὶ οὐδέποτε δύο σύμφωνα ε χουσι μακρὰ η βραχέα, ἀλλὰ τὸ μὲν ε ν μακρὸν, τὸ δὲ ε τερον βραχύ· οι ον Πριαμίδεω, Πηλιάδεω,᾿Ωκεανοῖο. τούτου χάριν ἐπέλαβον τὸ ἰῶτα ποιητικῶς, καὶ ἐγένετο σεῖο, μεῖο, ει ο. Εἰραφιώτησ. ὁ Διόνυσος. παρὰ τὸ ἐῤῥάφθαι τῷ τοῦ Διὸς μηρῷ. η παρὰ τὸ ἐρέφεσθαι, ο σημαίνει τὸ στεφανοῦσθαι, γέγονεν ἐραφιώτης καὶ εἰραφιώτης. η παρὰ τὸ ε ριφος εἰραφιώτης· ὑπὸ γὰρ ἐρίφων φασὶν αὐτὸν ἀνατραφῆναι. Ει ρ. ο νομα ποταμοῦ. Ει ρεροσ. ἡ δουλεία. η ὁ κοῦσπος. παρὰ τὸ τὴν ε ραν, τὴν γῆν, ἡ περὶ τὴν γῆν δουλεία. η παρὰ τὸ ε ριον ε ρος, καὶ κατὰ ἀναδιπλασιασμὸν ε ρερος καὶ πλεονασμῷ τοῦ ¯ι ει ρερος. η παρὰ τὸ τείρω τὸ καταπονῶ, τείρερος, καὶ ἀποβολῇ τοῦ τ ει ρερος. Εἰρηναῖοσ. διαλλακτήριος. Εἰρηνοποιόσ. ὁ τὴν εἰρήνην ἐν α λλοις κατεργαζόμενος. οὐκ α ν δέ τις ε τερα παράσχοι, ο μὴ αὐτὸς ε χῃ. κυρίως δὲ εἰρηνοποιὸς ὁ τὴν ἑαυτοῦ στάσιν τῆς σαρκὸς καὶ τοῦ πνεύματος καὶ τὸν epsilon.628 ἐμφύλιον τῆς φύσεως πόλεμον εἰς εἰρηνικὴν α γων συμφωνίαν. ο ταν γὰρ ἡ σὰρξ μηκέτι ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, ἀλλ' ἡ τοῦ πνεύματος χάρις ἐπικρατήσῃ τῶν σωματικῶν παθῶν. *Εἰλυόσ. ὁ φωλεός. καὶ εἰλύω τὸ κρύπτω.* Εἰροπόκοσ. μαλλοὺς πλέκων η κτενίζων. παρὰ τὸ ε ριον καὶ τὸ πέκω, τὸ κτενίζω, γίνεται ἐροπόκος καὶ εἰροπόκος. Ει ρων. ὁ ἀπατεὼν, ὁ κόλαξ. παρὰ τὸ ει ρω τὸ λέγω γίνεται ει ρων, ὁ διὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγων παραλογιζόμενος, ὁ α λλα μὲν φρονῶν, α λλα δὲ λέγων. ἐξ ου καὶ εἰρωνεία, παρὰ τὸ ει ρειν. Εἰς ἄϊδαο. εἰς τὸν τόπον τοῦ ᾳ δου. Εἰσηγητήσ. διδάσκαλος. Εἰσπνήλησ. ὁ ἐρώμενος. Καλλίμαχος· μέμβλετο δ' εἰσπνήλαις, ὁππότε κοῦρος ι οι. φωλεὸν η λοετρόν. ὁ ὑπὸ τοῦ ε ρωτος εἰσπνεόμενος. Λακεδαιμόνιοι γὰρ εἰσπνεῖν φασὶ τὸ ἐρᾷν. η παρὰ τὸ ε πεσθαι τοῖς ἐρωμένοις, εἰσπνόλης τὶς ω ν καὶ εἰσπνήλης. Ει δαυλοσ. συνετὸς, λόγιος. Εἰδάλιμοσ. εὐειδής. epsilon.629 Εἰδωλολάτρησ. ὁ τῶν εἰδώλων θεραπευτής. καὶ εἰδωλεῖον, ὁ ναὸς τῶν εἰδώλων. εἰδώλιον δὲ, ὁμοίωμα, ι. (Θηλυκόν.) ᾿Εΐση. ἡ ι ση. ᾿Εΐσασ. ἰσοτοίχους, ἰσοπλεύρους. ἐΐσας ναῦς. ι σας καὶ πλεονασμῷ τοῦ ¯ε ἐΐσας. ἐγὼ δὲ ευ ρον παρὰ τὸ ι ω, τὸ πορεύομαι, ι σω, ι σας, καὶ νῆας ἐΐσας τὰς πορευτικάς. Εἰκώ. τὴν εἰκόνα. κατὰ ἀποκοπήν. Εἰκόνα. τὸ ὁμοίωμα. ὁ Δαβίδ· τὴν εἰκόνα αὐτῶν ἐξουθενώσεις. Ει λησισ. ἡ ε κκαυσις. η συστροφή. Εἱμαρμένη. γένεσις, αἰτία τῶν ο λων. η λόγος, καθ' ο ν τὸ πᾶν διεξάγεται. η εἱρμός τις καὶ ἐπισύνδεσμος ἀπαράβατος δι' αἰτίαν ἀναπόδραστον. η δύναμις κινητικὴ τῆς υ λης. ἡμεῖς δὲ Χριστὸν θεὸν ὁμολογοῦμεν διοικεῖν τὰ πάντα. Εἰρωνεία. κολακία, χλεύη η ὑπόκρισις. διαιρεῖται εἰς δ· εἰς χλεύην· εἰς μυκτηρισμόν· σαρκασμὸν, καὶ ἀστεϊσμόν. Εἰδύλισα. ἡ ἐπιστήμων. Εἰλενία. πόλις. epsilon.630 Εἰσβολάσ. τὰς ἐπὶ τὴν τῶν πολεμίων χώραν ἐφόδους ἐκάλουν εἰσβολάς. Εἰσβολή. ἐπὶ τοῦ νοὸς τρία θεωρεῖται· εἰσβολή· παραδοχή· συγκατάθεσις. τοῦτο καὶ παρὰ τῷ Δαβὶδ ει ρηται ἐνώτισις, σύνεσις· τὰ ῥήματά μου ἐνώτισαι, κύριε, κ. τ. ἑ. καὶ ἐνώτισις μὲν ἡ σύνοψις τῶν ῥημάτων· σύνεσις δὲ ἡ ἐπίληψις τῶν πραγμάτων. προσοχὴ δὲ ἡ τελείωσις τῆς ἐφέσεως. Εἰς ἐμφανῶν κατάστασιν. δίκης ἐστὶν ο νομα ὑπὲρ τοῦ τὰ ἀμφισβητούμενα ἐν φανερῷ ποιῆσαι. Εἰς ε ω. εἰς ἀρχομένας ἡμέρας. Εἰσηγορία. ἐπηγορία, καὶ κατηγορία. ἀντὶ τοῦ μέμψις καὶ λοιδορία. Εἰς λῆξιν. εἰς κατάπαυσιν, εἰς τελειότητα. Ει σοδοσ. ἡ εἰσφορά. Ει σω ἁλόσ. ἰσοδύναμον τῷ εἰς τὸ ει σω. οι ον· εἰς ἁλός––. καὶ παρὰ τοῖς ῥήτορσιν ει ρηται, ει σω τὴν χεῖρα ε χειν· ο περ ε νιοι ἁμάρτημα ε δοξαν ει ναι. ἀλλ' ἐπλανήθησαν. Εἰς παραβολήν. εἰς γέλωτα· εἰς διήγημα. epsilon.631 Εἰσπομπή. εἰσβολή. καὶ δόρατος εἰσπομπὴν ἐπὶ τοῦ εὐωνύμου βραχίονος. Εἰσφορά. τέλεσμα. Εἰαμενή. κάθυγρος τόπος καὶ σύμφυτος. παρὰ τὸ ῥέω ῥεαμένη καὶ ἀποβολῇ τοῦ ¯ρ ἑαμενὴ, καὶ πλεονασμῷ τοῦ ¯ι εἰαμενή. η παρὰ τὴν ε σιν, ο σημαίνει τὴν ἀνάδοσιν, γέγονε ἑσαμενὴ καὶ πλεονασμῷ τοῦ ¯ι, καὶ ἀποβολῇ τοῦ ¯ς, εἰαμενή. Εἰνάτηρ. ἡ νύμφη. παρὰ τὸ εὐνὴ εὐνάτηρ καὶ τροπῇ τοῦ ¯υ εἰς ¯ι εἰνάτηρ. Εἱρκτή. ἡ φυλακή. παρὰ τὸ ε ρκος. Εἰδοθέα. κύριον. Ει δησισ. γνῶσις. Εἰδαλίμασ. συνετὰς η εὐειδεῖς καὶ εὐμόρφους. παρὰ τὸ ει δος ει διμος καὶ πλεονασμῷ τῆς ¯α¯λ συλλαβῆς εἰδάλιμος· ὡς κύδιμος, κυδάλιμος, πεύκη, πευκάλιμος. καὶ τὸ θηλυκὸν εἰδαλίμη. Εἰδοῖ. τοῦ μηνὸς η τῇ ἡμέρᾳ. Εἰκαιοβουλία. ματαιοβουλία. Εἰδώσ. ἡ ἡμέρα. Εἰκαιοῤῥημοσύνη. ματαιολογία. Εἰκασία. ὁ εἰκασμός. Εἰκόσι. χαρακτῆρσιν, ο ψεσιν. Εἰκών. ὁμοία ἀρχετύπῳ. τῇ οὐσίᾳ μὲν καὶ τῷ ὑποκειμένῳ διαφέρον ο λον, ἐν ἑαυτῷ δὲ τὸ τοῦ epsilon.632 εἰκονιζομένου ει δος διὰ τῆς ἐμφερείας ἀποματτόμενον. παρὰ τὸ ει κω τὸ ὁμοιῶ. Εἰδωλολατρεία. ἡ ἐκ διαθέσεως τιμὴ τοῖς εἰδώλοις. Εἰλαπίνη. ἑορτὴ, εὐωχία, συμπόσιον καὶ σύνδειπνον. ἀπὸ τοῦ εἰλεῖσθαι εἰς τὸ αὐτό. η παρὰ τὸ ει λας καὶ τὸ θοίνη γέγονεν εἰλαθοίνη καὶ εἰλαπίνη κατ' ἐναλλαγὴν τῶν στοιχείων. οἱονεὶ ἡ κατὰ ει λας καὶ συστροφὰς ου σα εὐωχία. η παρὰ τὸ λαφύσσειν η λαπίζειν, ο σημαίνει τὸ ἐκκενοῦν καὶ ἀναλίσκειν. *Εἰδέχθεια. ἡ ἀμορφία.* Εἰλεόσ. ἡ μαγειρικὴ τράπεζα. παρὰ τὸ ε λος γέγονεν ἐλεὸς καὶ πλεονασμῷ τοῦ ¯ι εἰλεός. σημαίνει δὲ καὶ τὴν νόσον. οι μαι, ο τι ἀρσενικόν ἐστιν ὁ εἰλεός. Εἰλείθυιαι. αἱ ἐπὶ τῶν τικτουσῶν θεαί· η αἱ μαῖαι. παρὰ τὸ ἐλεύθω ἐλεύθυιαι καὶ ἐλείθυιαι. Ει λη. ἡ θερμασία. ἐκ τοῦ ε λη κατὰ πλεονασμὸν τοῦ ¯ι. Εἰλικρινήσ. καθαρά. καὶ ἐπὶ ἀρσενικοῦ γράφεται. παρὰ τὴν ε λην, ο σημαίνει τὴν θερμασίαν, καὶ τὸ κρίνω γέγονεν ἑλικρινὴς καὶ πλεονασμῷ τοῦ ι εἰλικρινής. ο τι ἐν τῇ ε λῃ κεκριμένος. ἡ δὲ χρῆσις ει ρηται παρὰ


ἐτελεῖτο. ἐπειδάν τις ἠδικεῖτο πρὸς ἑτέρου, ἀμύνασθαι δὲ βουλόμενος ἑαυτὸν οὐκ ἀξιόμαχον μόνον ῳ ετο, βοῦν ἱερεύσας, τὰ μὲν κρέα κατακόψας η ψει, αὐτὸς δὲ ἐκπετάσας χαμαὶ τὴν βύρσαν, ἐκάθητο ἐπ' αὐτῆς εἰς τοὐπίσω, παραγαγὼν τὼ χεῖρε. καὶ τοῦτο ἐστὶ Σκύθαις ἡ μεγίστη ἱκετηρία. τῶν δὲ κρεῶν τοῦ βοὸς ὁ βουλόμενος μοῖραν λαμβάνων καὶ ἐπιβαίνων †τῇ βύρσῃ† τὸν δεξιὸν πόδα, ὑπισχνεῖται κατὰ δύναμιν ε καστος συμμαχεῖν. καὶ ε στιν αὐτοῖς τοῦτο ο ρκων ὁ βεβαιότατος.᾿Επίβδαι. αἱ μεθέορτοι ἡμέραι. διὰ τὸ πρὸς ἐπίδειξιν ταῖς πρότερον ἡμέραις γενέσθαι, α λλης ἐπιβαινούσης.᾿Επιγουνίδα. τὸ πρὸ τοῦ γόνατος α νω σαρκῶδες τοῦ μηροῦ. ε νιοι δὲ τὴν ἐπωμίδα.᾿Επίγνωσισ. ἡ μετὰ τὴν πρώτην γνῶσιν τοῦ πράγματος κατὰ δύναμιν παντελὴς κατανόησις. epsilon.801 ᾿Επίδοσισ. ἡ πρὸς τὸ καλὸν αυ ξησις. καὶ ἡ προκοπὴ καὶ προσθήκη. λέγεται καὶ ἡ χάρις καὶ ἡ δωρεά.᾿Επιδορατίσ. ὁ σίδηρος τοῦ ἀκοντίου.᾿Επιδημία. ἡ συγκατάβασις.᾿Επὶ Δηλίῳ μάχη. τὸ Δήλιον χωρίον ἐστὶ τῆς Βοιωτίας, ἐν ῳ μαχόμενοι οἱ᾿Αθηναῖοι ὑπὸ τῶν Βοιωτῶν ἐνικήθησαν.᾿Επιθυμία. δύναμις ψυχῆς, ὀργῆς ἀφανιστική· η ἐμψύχου πρώτη ὁρμὴ πρός τι τῷ φιλουμένῳ. η πόθον τῆς καθ' ἡδονὴν ἀπολαύσεως· η λύπην ἐπὶ τῷ μὴ κατ' ἐξουσίαν ο ντι καταθυμίῳ· η τινὰ σχέσιν ου μὴ πάρεστιν ἡ ἀπόλαυσις· η νοερά τις τῶν θείων φύσεων ὀρεκτικὴ κίνησις. ᾿Επίκληροσ. ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη, μὴ ο ντος αὐτῇ ἀδελφοῦ· ἡ δὲ αὐτὴ καὶ ἐπικληρίτης.᾿Επίπροικοσ. ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου· η τε προῖκα ε χειν ἀδελφοὺς ε χουσα.᾿Επίδικοσ. ἡ ἀμφισβητουμένη· ἐπίκληρος τίνι αὐτὴν χρὴ γαμηθῆναι.᾿Επίδοσιν. αυ ξησιν, ἐπὶ ἀρετῆς, η προσθήκην. Προκόπιος· ὁ δὲ φιλοσοφῶν ἀνεμπόδιστος, εἰς ἐπίδοσιν διετέλει.᾿Επιθέτουσ. μὴ πατρίους ἑορτάς. καὶ Λυσίας epsilon.802 ἐπιθέτους ἐπιστολὰς τὰς δοθείσας τισὶν, ω στε διακομίσαι.᾿Επὶ καλάμῃ ἀροῦν. ε θος ἐστὶ τοῖς γεωργοῖς παρ' ἐνιαυτὸν ἀργὴν καταλείπειν τὴν γῆν, ο πως ἀκεραίους ἐκτρέφῃ τοὺς καρπούς. ᾿Επικαρπίασ. τὰ κέρδη.᾿Επικαμπὴς τάξισ. ἐπὰν τὰ μέσα τοῖς πολεμίοις προσπίπτει, τὰ δὲ κέρατα ἐκ τῶν ὀπίσω μερῶν ο ρθια ἐφ' ἑαυτὴν ε χει τεταγμένα.᾿Επικηρυκεία. ἡ ἐκ τῶν πολεμίων φιλία, η τὸ περὶ φιλίας καὶ διὰ λόγων κήρυκας πέμπειν. †καὶ ἐπικηρυκεύεται† διὰ κήρυκος τινὸς συνθήκας τινὰς η πρεσβείας ποιεῖται. ᾿Επισύστασισ. ἡ ἐπὶ δευτέρου ἐπανόρθωσις. Παῦλος ὁ᾿Απόστολος· ἡ ἐπισύστασίς μου ἡ καθημερινή.᾿Επίκλησιν. ἐπωνυμίαν.᾿Επικαγχάστρια. ἀντὶ τοῦ εἰωθυῖα γελᾶν. η ἡ γελάστρια.᾿Επὶ κόῤῥησ. ἐπὶ κεφαλῆς· ἐπὶ αὐχένος. βέλτιον δὲ ἐπὶ τῆς γνάθου ἐκλαμβάνειν, ο κατ' ε θος λέγομεν ῥάπισμα. καὶ οἱ ῥήτορες, ου τως γὰρ χρῶνται. ει ρηται δὲ ἀπὸ τῆς τριχώσεως τῆς ἀπὸ μήνιγγος κατιούσης. τινὲς δὲ τὴν ο λην κεφαλὴν φασίν.᾿Επίμαχοσ. δυναμένη πολεμεῖσθαι. οἱ δὲ ἐποepsilon.803 ρεύοντο ἐπὶ χωρίον, ο ἐδόκει ἐπιμαχώτατον ει ναι. καὶ ἐπίμαχον.᾿Επιμέλεια. ἡ σπουδὴ, ἡ φροντίς.᾿Επινέμησισ. ὁ τοῦ χρόνου μερισμός.᾿Επίνοια. ο ταν τις τὰ ο ντα ἐν τῇ διανοίᾳ θεωρῇ.᾿Επιωγαί. σκέπαι, καταδύσεις, σύγκλεισμοι, παραθαλάσσιοι τόποι, οι ς τὰ κύματα προάγνυνται. ἀπὸ τοῦ ἐποῖσαι, ο ἐστι συγκλεῖσαι.᾿Επιπνοίασ. ἐκπνεύσεως, ἐπιχορηγίας η ἐνθουσιασμοῦ. οἱ δὲ῾Ρωμαῖοι θείας ἐπιπνοίας τινὸς ἐπεπλήρωντο. ᾿Επιποθία. ἡ ἀγάπη.᾿Επιπολάσ. τὰ ω νια. τοὺς῾Ρωμαίους θαῤῥεῖν συνέβαινε κρατοῦντας τοῦ περὶ τὰς ἐπιπολὰς τόπου.᾿Επιπρεπείαισ. στολαῖς εὐπρεπέσιν. ὁ δὲ ᾿Αννίβας κατεσκευάσατο περιθετὰς τρίχας ἁρμοζούσας ταῖς τῶν ἡλικιῶν ἐπιπρεπείαις.᾿Επίπληξισ. ἡ ἐπιτίμησις.᾿Επίῤῥησισ. ὁ ψόγος καὶ ἡ κατηγορία.᾿Επιῤῥοή. ὑδάτων ἐπίῤῥοια. epsilon.804᾿Επίσαλοσ. ἀβέβαιος, εὐμετάπτωτος. ἐπισάλων δὲ τῶν τῆς σωτηρίας ἐλπίδων γενομένων αὐτοῖς ἐξεχώρουν τοῦ α στεος.᾿Επισίτισισ. τὸ εἰς τὴν τροφὴν καὶ εἰς τὸ σιτεῖσθαι διδόμενον. ᾿Επίσκηψισ. δίκη καὶ ψευδομαρτυρούντων. καὶ ἡ πρόφασις. ᾿Επισκότησισ. τὸ ἐπικεῖσθαι τινί· καὶ ἀποτειχίζειν τὸ φῶς.᾿Επίστασισ. γνῶσις· καὶ ἡ προσοχὴ καὶ ἡ μίμησις. ὁ δὲ ᾿Ασδρούβας πέφυκεν ἡμῖν α ξιος ἐπιστάσεως ει ναι καὶ ζήλου.᾿Επιστασία. γνῶσις. καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡ προστασία.᾿Επισφαλήσ. βλαβερὰ, ἐπικίνδυνος.᾿Επιστήμη. ἡ γνῶσις τοῦ πράγματος. ᾿Επιστολή. ἐπίσκεψις, ἐντολή. ὁ δὲ τῷ ἱερεῖ ἐπιστολὰς λέγει καθεύδοντι. καὶ Κρατῖνος· α κουε νῦν καὶ τήνδε τὴν ἐπιστολήν. καὶ ὁ Πλάτων· μεμνημένοι τῆς τοῦ πατρὸς ἐπιστολῆς οἱ ξυστήσαντες ἡμᾶς.᾿Επιστρέφεια. ἡ ἀγχίνοια. ἐπιστρεφὴς ω ν καὶ ἀγχίνους ο μως μέν τι εὐπαράγωγον ἐπεδείκνυτο. epsilon.805᾿Επιστροφῆσ. ἀμύνης. καὶ κοινῆς αὐτοὺς ἐπιστροφῆς ε φη τεύξεσθαι. καὶ ἡ συνέλευσις η τὸ πλῆθος καὶ ἡ συνάθροισις.᾿Αριστοφάνης· μυρίαι κακῶν ἀναστροφαί.᾿Επὶ σχολῆσ. ἀπραγμόνως φιλοσοφεῖν. ἀντὶ τοῦ ἀπὸ εὐκαιρίας η ἀργίας.᾿Επὶ τῇ καταπαύσει. η γουν τῇ ἀποθέσει. ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ.᾿Επιτολή. ἡ ἀνατολὴ η φαῦσις τῶν ἀστέρων.᾿Επιτήδευσισ. σπουδὴ, ἐργασία. ὁ δὲ η ν εὐτελὴς τὴν ἐπιτήδευσιν. ᾿Επιτηδειότησ. ἰδιότης φυσικὴ διὰ μαθήσεως κινουμένη, ἐφ' α ἐστι δεκτική.᾿Επιτιμία. ἡ εὐπραγία, η ἡ μὴ ἀτιμία. ὁσάκις αὐτὸν κινδυνεύοντα περὶ τῆς ἐπιτιμίας η τῆς πατρίδος η τοῦ βίου παντὸς διεσώσατε.᾿Επιτομή. συντομία, η σύντομος τῶν κεφαλαίων παράδοσις.᾿Επὶ τῇ ὠδῖνι. ἐπὶ τῷ πόνῳ· ἐπὶ τῇ θλίψει.᾿Επιτροπή. παρατροπή. ὁ δὲ Λεύκιος προχειριζόμενος διαπέμπεσθαι πρὸς τοὺς Λαπατηνοὺς καὶ λαλεῖν ὑπὲρ ἐπιτροπῆς, ἀπαράσκευος η ν εἰς τὸ μέλλον.᾿Επιφάνεια. πέρας σώματος η τὸ μῆκος καὶ epsilon.806 πλάτος μόνον ε χον, βάθος δὲ ου . αυ τη δὲ κατ' ἐπίνοιαν καὶ οὐ καθ' ὑπόστασιν λέγεται. ἐπιφάνεια καὶ ἡ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν᾿Ιησοῦ Χριστοῦ ε νσαρκος οἰκονομία. ἐπιφάνια δὲ ἐπὶ οὐδετέρου, ι.᾿Επίφασισ. δήλωσις, ε νδειξις. οἱ δὲ η κον μετὰ παιανισμοῦ καὶ στεφάνων καὶ τῆς τῶν νικώντων ἐπιφάσεως.᾿Επιφοραῖσ. καταδίκαις, ἐπελεύσεσιν. οἱ δὲ πεισθέντες καὶ παραδόντες ἑαυτοὺς εἰς τὴν ἐπιφορὰν τῶν πολεμίων, ἀπέθανον γενναίως. ᾿Επιφροσύνη. σύνεσις· φρόνησις.᾿Επιφοίτησισ. ἐπέλευσις, παρουσία.᾿Επιφρίξ. ἡ ἐπανάστασις τῶν κυμάτων. η φρίσσει τὶς φόβῳ η ψύχει η ὀργῇ, περὶ ἐμψύχων. οὐ τὰς φαλάγγας φρίσσειν. η ἐπιφρὶξ ἐστὶν ἡ ἐξ ἐπιπολῆς τοῦ κύματος κίνησις. ᾿Επιφυλλίσ. ἡ ἐν τῷ τρυγήτῳ λανθάνουσα σταφυλὴ μικρὰ ἐν τοῖς φύλλοις. ᾿Επιχειροτονία. ἡ τῶν χειροτονητῶν ἀπόστασις.᾿Επὶ χειρῶν ἀροῦσί σε. ἀντὶ τοῦ χειραγωγήσουσιν. ποδηγήσουσιν. ὑπερείσουσιν ἀσθενοῦντα. παντοδαπὴν ἐπικουρίαν προσοίσουσιν. epsilon.807᾿Επιχώρησισ. συμπάθεια, παραχώρησις.᾿Επὶ χώρασ. ἐπὶ τόπου.᾿Εποπτεία. ἡ ἐπίσκεψις.᾿Εποποιΐα. ἡ διὰ ἡρωϊκοῦ μέτρου ἱστορία. καὶ γὰρ στερουμένη μύθου ποίησις ἐποποιΐα ἐστίν.᾿Εποχή. κατοχὴ, η δίκτυα ἀγρεύοντα τοὺς ἰχθύας. ἐποχὴ ἐστὶ καὶ ἡ μοῖρα, ἐν ῃ καταλαμβάνεται ο , τε η λιος καὶ ἡ σελήνη καὶ ε καστος τῶν πλανητῶν.᾿Επωβελίαν. ζημίαν. ο ἐστι τὸ ε κτον μέρος τοῦ τιμήματος. η τὸ ε κτον τίμημα τῆς δίκης. η ἐπωβελία ἐστὶ τὸ κατὰ τῶν ἐγκαλούντων ἐκτείνειν ὀβολόν. ταύτην δὲ ζημίαν ε ταξαν᾿Αθηναῖοι.᾿Επωμίσ. ει δος περιβολαίου.᾿Επηγορία καὶ κατηγορία. ἀντὶ τοῦ μέμψις καὶ λοιδορία.᾿Επωτίδεσ. τὰ ἑκατέρωθεν πρώρας ἐξέχοντα ξύλα.᾿Επιλαρχίαι. δύο ι λαι ἱππέων, ἀνδρῶν ¯ρ¯κ¯η. ᾿Επισυναγωγὴν τὴν συμφωνίαν ἐκάλεσεν ὁ᾿Απόστολος. μὴ ἐγκαταλιπόντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν.᾿Επ' εὐλογίαισ. μετὰ δαψιλείας καὶ ἁδρότητος. ὁ σπείρων ἐπ' εὐλογίαις. epsilon.808 (Οὐδέτερον.)᾿Επαύλια. τὰ μετὰ τὴν ἐχομένην ἡμέραν τῶν γάμων παρὰ τοῦ τῆς νύμφης πατρὸς δῶρα φερόμενα τῷ νυμφίῳ.᾿Επαγωγά. ἀπατηλά. Επαθλον. νικητικὸν βραβεῖον, τὸ ἐπὶ τῇ νίκῃ διδόμενον.᾿Επ' αὐτόπτῳ.᾿Επ' αὐτοφώρῳ. *ἐπ' ὀφθαλμοῖς, ἐπ' αὐτῷ τῷ κλέμματι.*᾿Επακτόν. ξένον, ἐπαγόμενον, σφοδρόν.᾿Επᾴσματα. τὰ ὑπὸ τῶν γραῶν τοῖς νηπίοις ἐπᾳδόμενα· αι τινες καὶ τὰ μέτωπα τῶν παίδων ἀποπτύουσι καὶ ἀναλείχουσι, καὶ πρὸς ἀστέρας καὶ σελήνην βλέπουσιν.᾿Επασσύτερον. πυκνότερον.᾿Επάλληλον. συνεχὲς, η ο μοιον. *᾿Επ' αὐτόπτῳ. ἐπ' αὐτοφώρῳ.*᾿Επαισχέσ. αἰσχύνης παραίτιον. Επεα. λόγοι. Ομηρος· ε πεα πτερόεντα προσηύδα. ο ἐστι λόγους ἐπτερωμένους καὶ ταχεῖς.᾿Επείσακτον. ξένον. ἐπίσακτον δὲ, τὸ ἐπὶ τοῦ σάγματος κείμενον, ἰῶτα.᾿Επεισόδιον. τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰσφερόμενον τῷ δράματι γέλωepsilon.809 τος χάριν, ε ξω τῆς ὑποθέσεως ο ν. καταχρηστικῶς δὲ τὸ ἐξαγώνιον α παν πρᾶγμα.᾿Επέτειον. τὸ ἐπὶ τοῦ νῦν ε τους. ε πετος γὰρ δεῖ λέγειν τὸν ἐνεστῶτα καιρὸν, οὐ διὰ τοῦ φ, ἐφέτος.᾿Επ' η ματι. ἐν μιᾷ ἡμέρᾳ. ἐπ' η ματι σχεδόν τι ἐδάκρυσεν.᾿Επῆρεσ. παρεσκευασμένον, ε τοιμον. τὸ δὲ πλοῖον ἐπῆρες η ν, εἰς ο τὸν α νθρωπον ἐμβάλλουσι, καὶ ἀποπλεῖ.᾿Επίβοον. ἡ ἐκ βοὸς θυσία.᾿Επιγενήματα. τὰ ἐξύστερα τοῖς τραύμασιν ἀναφυόμενα. μηδὲν η ττον τῶν ἐπιγενημάτων ποιεῖσθαι λόγον.᾿Επιγράμματα. πάντα τὰ ἐπιγραφόμενά τισιν, κα ν μὴ ἐν μέτροις εἰρημένα, ἐπιγράμματα λέγονται.᾿Επίγυια. τὰ πρυμνήσια. τὴν δ' ἀπὸ τοῦ ῥεύματος πλευρὰν ἠσφαλίζοντο τοῖς ἀπὸ γῆς ἐπιγυίοις.᾿Επίγεια. τὰ πρόσκαιρα.᾿Επὶ Δελφινίῳ. δικαστήριον᾿Αθήνησιν.᾿Επιδεέσ. ἐνδεὲς, ἐλλεῖπον.᾿Επιδιετὲς ἡβῆσαι. ἀντὶ τοῦ ε νδεκα ἐτῶν γεγονέναι· τὸ γὰρ ἡβῆσαι μέχρι ¯ι¯δ ἐστίν. ἀλλ' epsilon.810 οἱ ε φηβοι παρ'᾿Αθηναίοις ὀκτωκαιδεκαετεῖς γενόμενοι ἐλέγοντο.᾿Επίδικα. οι ς α ν τις ἐπεδικάζετο ὡς προσήκουσιν αὐτῷ κατὰ νόμους ἀγχιστείαν, εἰ μὴ ει εν υἱεῖς η υἱωνοὶ τῷ τετελευτηκότι, μήτε μὴν διαθῆκαι, ταῦτα ἐπίδικα καλεῖται.᾿Επίζηλον. τὸ ἐπίφθονον.᾿Επίηρα. ἐπιθυμητὰ, η ἐπίηρα ἡ μετ' ἐπικουρίας χάρις. ἐκ τοῦ ἐρῶ, ε ρανον, καὶ κατὰ συγκοπὴν καὶ ε κτασιν η ρα. εἰς δὲ τὴν καθολικὴν ευ ρον ου τως· ε στιν η ρ, ἡ ἐπικουρία, καὶ ὀξύνεται· ἡ γενικὴ η ρος, η ρα, καὶ ἐν συνθέσει ἐπίηρα. ᾿Επίθετον. ο νομα τὸ ἐπὶ κυρίων η προσηγορικὸν ὁμωνύμως τιθέμενον, καὶ δηλοῦν ε παινον η ψόγον. λαμβάνεται δὲ τριχῶς· ἀπὸ ψυχῆς, ἀπὸ σώματος, ἀπὸ τῶν ἐκτός. ἀπὸ μὲν ψυχῆς, ὡς σώφρων, ἀκόλαστος· ἀπὸ δὲ σώματος, ὡς ταχὺς, βραδύς· ἀπὸ δὲ τῶν ἐκτὸς, ὡς πλούσιος, πένης.᾿Επιθυμητικόν. τὸ θελητικόν.᾿Επίκηρα. φθαρτὰ, θνητὰ, ἐπιθανάτια. κῆρ γὰρ ὁ θάνατος.᾿Επίκλοπον. δόλιον, παραλογιστικόν. ᾿Επίκλην. ὀνομασίαν. epsilon.811᾿Επικαιρότατον. ἐπικινδυνότατον.᾿Επικείμενα. ἀντὶ τοῦ ἐπιφέροντα. καὶ κειμήλια κάλλιστα στέλλουσιν ἐπικείμενα χρυσίου λίτρας δισχιλίας.᾿Επίκλαυτον. γοερὸν, θρηνητικόν.᾿Αριστοφάνης· κελαρίζει ἐπίκλαυτον ἀηδόνιον νόμον.᾿Επίκλημα. ε γκλημα.᾿Αγαθίας· εὐπρεπέστατα ῳ οντο ἀποσείσασθαι τὸ ἐπίκλημα.᾿Επίκλιντρον. ει δος κόσμου γυναικείου. τοῦτ' ἐπίκλιντρον ἀποβάλλον. ᾿Επιθήματα. σκεπάσματα.᾿Επίκοινον. ο τῷ μὲν ει δει διαφέρεται, οὐ διαλλάττεται δέ. ἐπίκοινον γένος τὸ ἐν μιᾷ φωνῇ μετὰ ἑνὸς α ρθρου, η μόνου ἀρσενικοῦ η μόνου θηλυκοῦ, σημαῖνον τὸ γένος, οι ον· ὁ κόραξ, ὁ ἀετὸς, ὁ ἰχθὺς, ἡ κορώνη, ἡ χελιδών. ᾿Επικόλλωμα. τὸ μετὰ τὴν τῶν α ρτων διάτρησιν περισσευόμενον. κόλλιξ γὰρ ὁ α ρτος, ο θεν καὶ κολλούριον ἀπὸ τοῦ κολλοβόν. epsilon.812 ᾿Επιμείλιον. τὸ ἐξώπροικον. καὶ ἐπιμειλίδες νύμφαι.᾿Επίνειον. ἀκρωτήριον, η παραθαλάσσιον χωρίον, ὁ λεγόμενος κατάβολος. παρὰ τὸ ἐν αὐτῷ νήχεσθαι τὰς ὁλκάδας, καὶ ὀκέλλειν. η πόλισμα παραθαλάσσιον, ε νθα τὰ νεώρια τῆς πόλεως εἰσίν.᾿Επίνητρον. τὸ ἐπὶ τῶν γονάτων, ἐφ' ου τὴν κρόκην ε νηθον.᾿Επίξηνον. ξύλον, ἐφ' ου κρέα ε κοπτον, η μᾶλλον κόπτουσι. τὸ νῦν ἐπίκοπον. λέγει δὲ τὸν μακελλικὸν κορμόν. ᾿Επιπόρπημα. πόρπη μέν ἐστιν ἡ α νωθεν τῆς χλαμύδος σύνθεσις, ἐπιπόρπημα δὲ τὸ ἐπὶ τῇ πόρπῃ κόσμημα, λίθινον η χρυσοῦν η ἀργυροῦν.᾿Επὶ Παλλαδίῳ. δικαστήριον ᾿Αθήνησιν, ἐν ῳ οἱ ἐφέται ἀκουσίου φόνου ἐδίκαζον.᾿Επιτίμιον. ἡ τιμή. καὶ ὁ θεόλογος· ι ν' ε χω τὸ ἐπιτίμιον. καὶ γράφεται ἐπίτιμον. epsilon.813᾿Επίπαστα. τὰ ἐπιπλασσόμενα τῷ σώματι α λφιτα. ε θος γὰρ ει χον ποιεῖν πλακοῦντας η α ρτους, καὶ ἐπιπάσσειν τινὰ καρυκεύματα η ἁλμυρά. καὶ ἐκ τούτου ἠναγκάζοντο πίνειν πολλά.᾿Επίπεμπτον. Λυσίας ἀντὶ τοῦ ἁπλοῦ τὸ πέμπτον ει πεν. Επιπλα. ἡ μὴ ε γγειος κτῆσις, ἀλλ' ἐπιπόλαιος. οἱ δὲ ἐπίπλεα αὐτὰ φασίν.῾Ηρόδοτος· καὶ τράπεζαν ἐπιπλέην ἀγαθῶν παντοίων παραθέντες.᾿Επίπονον. καματηρόν.᾿Επιπόλαιον. τὸ πλέον ἐπάνω. ᾿Επίπεδον. τὸ ἰσόπεδον, η ἐπιφάνεια ἐξ ι σου ταῖς ἐφ' ἑαυτῆς εὐθείαις κειμένη.᾿Επὶ Πρυτανείῳ. δικαστηρίῳ. ο ταν τὸ ἀποκτεῖναν βέλος ῃ φανερὸν, η λίθος η τὶ τοιοῦτον, ὁ δὲ δράσας μὴ ῃ . ἀρχαῖον γὰρ ε θος τὸ καὶ α ψυχα κρίνειν.᾿Επὶ ῥητοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

γέρασιν. ἐπὶ φανεραῖς τιμαῖς, ἐπὶ ὁμολογουμέναις. Ἐπίῤῥημα. λέξις α κλιτος, κατηγοροῦσα τῶν ῥηματικῶν ἐγκλίσεων. Ἐπὶ σημείου. ἐπὶ υ ψους. epsilon.814 Ἐπισίτια. τὰ εἰς τροφὴν καὶ εἰς τὸ σιτεῖσθαι διδόμενα. ταῦτα δὲ ἐνίοτε καὶ σιτίον ἐκάλουν.Ἐπίσκοπα. ευ στοχα. τὴν α φεσιν τῶν βελῶν κατ' ι σον βιαίαν καὶ ἐπίσκοπα ἰέναι. ἐπίῤῥημα δέ ἐστι τοῦτο. * Ἐπικάλυμμα προβλήματος διαφέρει. τὸ γὰρ ἐπικάλυμμα χάριν στέγης ἐπινενόηται, ὡς τὸ ἱμάτιον· τὸ δὲ πρόβλημα χάριν φυλακῆς, ὡς τὰ ο πλα καὶ τὰ ἀμυντήρια ο ργανα.*Ἐπισκύνιον. τὸ ἐπικείμενον τῷ μετώπῳ, η ἡ αἰδὼς, η τὸ τοῖς ὀφθαλμοῖς δέρμα, τὸ ἐπάνω τῶν ὀφρύων. ἐπισκύνιον δὲ κατὰ μετάθεσιν τοῦ λ εἰς ν. σκύτος γὰρ λέγεται τὸ δέρμα, ο θεν καὶ σκυτοδέψης. Ἐπίσημα. τὰ ὑπερέχοντα. *Ἐπιλήψιμον. ψεκτὸν καὶ διαβαλλόμενον.*Ἐπιτελεοῦν καὶ ἐπιτελέωμα. τὸ ἐπὶ πᾶσι θυόμενον. ὑπὲρ τοῦ τελείας γίνεσθαι τὰς πρότερον θυσίας. Ἐπιστήματα. στῆλαι ἐπιτάφιοι. σεμνῶς τὲ καὶ σοβαρῶς ἐπιστήματα ἐπέστησαν. Ἐπίστιον. στρατιωτικὸν κατάλυμα. Ἡρόδοτος· ὁ δὲ ἀγηλατέει τὰ ἐπίστια τῶν Ἀθηναίων. epsilon.815 Ἐπίσταλμα. ε νταλμα, ἐντολὴν η ἐπιστολήν. ἐπίσταλμα βάρβαρον ἐπιχωριάζον Ἀλεξανδρεῦσι. καίτοι οὐ μόνον τὸ ἐπιστεῖλαι καὶ ἐπεσταλκέναι, ἀλλὰ καὶ τὸ ἐπεστάλθαι, ε στι παρὰ τοῖς παλαιοῖς. Θουκυδίδης· καὶ οἱ μὲν Βοιωτοὶ καὶ οἱ Κορίνθιοι ταῦτ' ἐπεσταλμένοι ὑπὸ τοῦ Ξελάρους καὶ Κλεοβούλου. Ἐπίβοιον θῦμα. ο ἷς μετὰ βοός.Ἐπισφυρίοισ. τοῖς ἐπὶ τῶν κνημίδων περιδεδεμένοις. Ἐπιτελῆ. τὰ εἰς πέρας ἀγόμενα. ὁ δὲ ὑπέσχετο πάντα ἐπιτελῆ ποιήσειν.Ἐπίτευγμα. ἐπιτυχία. οἱ δὲ θαυμάσαντες τὰ πλήθη τῶν κατοικούντων τὴν Αι γυπτον καὶ τὰ τούτων ἐπιτεύγματα. epsilon.816Ἐπιτείχισμα. ἐποικοδόμημα.Ἐπίτηδεσ. ἐπιτήδειον, η ἐκ σπουδῆς. ου κουν ἐπίτηδες ξυνελέγομεν.Ἐπιτήδευμα. α σκησις, μάθησις, καὶ ἡ τοῦ βίου διαγωγή.Ἐπιτίμιον. ἡ ἐντολή. η ὁ μισθὸς, καὶ τὸ ἐπ' ἀμοιβῇ ἀγαθοῦ ε νεκα τιμῆς διδόμενον.Ἐπίτιτθον. ὑπομάζιον, ὑπὸ τὴν τροφήν. η ν δὲ τὸ νήπιον ὑπότιτθον. Ἐπιτραπεζώματα. τὰ ἐπιτιθέμενα τῇ τραπέζῃ βρώματα.Ἐπίσσωστρα. οἱ ἐκτὸς τῶν τροχῶν σιδήρειοι κύκλοι, οἱ ἐπὶ τὴν γῆν κυλιόμενοι. σῶστρον δὲ καὶ ἐπίσσωστρον πλεονασμῷ τοῦ ς. ει ρηται δὲ ἀπὸ τοῦ σῶ τὸ ὁρμῶ. epsilon.817 Ἐπιφάνια. ἡ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ε νσαρκος οἰκονομία. Ἐπίφθονον, τὸ ἐπίζηλον. Ἐπιφορήματα. τὰ τραγήματα παρὰ Ἡροδότῳ.Ἐπιχειλέσ. τὸ μὴ πλῆρες μέτρον, ἀλλ' ἀπολειπόμενον.Ἀριστοφάνης· τὴν πόλιν ἡμῶν μεστὴν ἐποίησεν εὑρὼν ἐπιχειλῆ. Ἐπίχειρα. τὰ διὰ τῶν χειρῶν κέρδη. κυρίως δὲ οἱ μισθοί.Ἐπουσιώδη. τὰ ἀχώριστα συμβεβηκότα οἱ φιλόσοφοι καλοῦσιν. ἐπουσιῶδες ἐξ αὐτῆς τῆς τοῦ ὑποκειμένου οὐσίας ὑπάρχον, ἰδίοις δὲ διαλλάττον συμβεβηκόσιν.Ἐπουσιῶδεσ. ο ου τε παρὸν σώζει, ου τε ἀπὸν φθείρει, ὡς ἐπὶ τοῦ λευκοῦ.Ἐπόγδοον. τὸ δεδανεισμένον, ω στε τοῦ κεφαλαίου τὸ ο γδοον μέρος λαβεῖν τὸν δανειστὴν, οι ον τριώβολον τοῦ τετάρτου δραγμοῦ. Εποσ. τὸ λόγιον. Επος πρὸς ε πος ἠρειδόμεθα. τουτέστιν ἀντεβάλλομεν, καὶ ἐφιλονεικοῦμεν. Ἑπταβόειον. ἑπτάβυρσον, ἑπτάπτυχον καὶ ἑπτάβοιον. epsilon.818Ἑπταπλασίονα. πολυπλασίονα. ὁ γὰρ ἑπτὰ ἀριθμὸς ἐπὶ πλήθει τάττεται. Ἐπύλλια. τὰ ε πη, τὰ λόγια. ὑποκοριστικῶς. ἐπύλλια ξυλλέγω. Ἐπώνια. τέλος ἐστὶ τὸ ἐπὶ τῇ ὠνῇ διδόμενον. ει η δ' α ν ι σως ἡ πέμπτη.Ἐπώνυμον. τὸ μεθ' ἑτέρου κυρίου καθ' ε ν λεγόμενον. ἐπωνυμίαν θέμενοι Μαρκίῳ Κόρβινον.Ἐπιβόημα. ἐπιφώνημα. Θουκυδίδης· ὁ δὲ, ει τε τὸ ἐπιβόημα–. Ἐπίηρα. ἐπιθυμητά. η ἡ μετ' ἐπικουρίας χάρις. οἱ δὲ νεώτεροι ἀντὶ τοῦ ε νεκα φασίν.Ἐπικάρσιον. πλάγιον, οὐκ εὐθύ. ου τως Ἡρόδοτος. Ἐπὶ κεφαλαίου. συντόμως, ταχέως. μνησθεὶς δὲ ἐπὶ κεφαλαίου τῶν γεγονότων αὐτοῖς ἐλαττωμάτων.Ἐπὶ τῶν ὑποκειμένων. ἐπὶ τῶν φθασάντων γενέσθαι. Ἐπιχειρημάτων. ἐννοιῶν. Ἐπιμέλεον. φροντίδος α ξιον. Ἡρόδοτος· ὡς παρεξῄει ἡ γυνὴ, ἐπιμέλεον τῷ Δαρείῳ ἐγένετο.Ἐπίταγμα. δύο τέλη ἱππέων, ἀνδρῶν ἐννακισχιλίων ἐννενηκονταέξ. epsilon.819 Ἐπαύκλια. τραγήματα. τοῦ Ψελλοῦ· ἐπαύκλια τραγήματα. ἐλεὸν τράπεζά τις. (Ῥῆμα.) Ἐπαΐοι. ἀκούοιτο,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἰσθάνοιτο, ἀντιλαμβάνοιτο, συγκατατίθοιτο. α ρχειν δὲ αὐτῶν ε ταξε λοχαγούς, ἀμφοτέρων τῶν διαλέκτων ἐπαΐοντας.᾿Επαναβάλεσθε. περιστολίσασθε. ἱμάτια τ' ἀνδρεῖα ἐπαναβάλεσθε.᾿Επαναβαίνω. δοτικῇ συντάσσεται. οἱ δὲ ἐπανέβαινον τῷ ο ρει. ᾿Επαρτωμένων. ἐπικρεμαμένων. ω στε μεγίστων φόβων ἐπαρτωμένων. ᾿Επαυλίζονται. ἐπισκιάζονται.᾿Επαυχῶ. βεβαίως οι δα. Σοφοκλῆς· ὡς κᾳ μ' ἐπαυχῶ τῆσδε φήμης. καὶ ἐπαυχήσατο. καὶ ἐπαυχοῦσιν ἀντὶ τοῦ μεγαλοφρονοῦσιν. epsilon.820 ᾿Επαναλήψομαι. ἐπαναλάβω. α νωθεν καὶ ἐξ ἀρχῆς α ρξομαι. ᾿Επαρώμενοι. καταρώμενοι.᾿Επαμῦναι. βοηθῆσαι.᾿Επαρήγω. βοηθῶ.᾿Επαγωνιεῖται. προσκαρτερήσει, φιλονεικήσει. ᾿Επαφαυάνθην. ἐξηράνθην. ᾿Αριστοφάνης· ω στ' ἐπαφαυάνθην Παναθηναίοισι γελῶν.᾿Επαναχθέντεσ. ἐπανακομισθέντες.᾿Επανιτέον. ἐπιστρεπτέον, ἐπανοδευτέον.᾿Επαλείφει. διεγείρει, γυμνάζει, καὶ ἀντὶ τοῦ χρίει. ᾿Επαλήλιπτο. ἐχρίετο. κασσίτερον δὲ ἐπαλήλιπτο τὰ κράνη αὐτῶν.᾿Επάσω. λέξω. ᾿Επάνηκε. ὑπόστρεψον, ἐπάνελθε.᾿Επανῆκεν. ὑπέστρεψεν. epsilon.821᾿Επαφώμενα. περιέργως ψηλαφώμενα.᾿Επανίστανται. κυρίως λέγεται ἐπανίστασθαι, ο ταν οἱ πρότερον ἐν ὑπηκόων τάξει τελοῦντες μετὰ ταῦτα πόλεμον τοῖς κυρίοις αὐτῶν αι ρωσιν.᾿Επάδοντοσ. φαρμακοῦ, γόητος. Δαβίδ· φωνῆς ἐπᾳδόντων.᾿Επαυρίζω. τὸ φυσῶ. καὶ ἐπαυρίσκω ὁμοίως.᾿Επαύρασθαι. ἐπαπολαῦσαι.᾿Επαλαμᾶτο. ἐμηχανᾶτο. ἐτεχνάζετο. παλάμαι γὰρ αἱ τέχναι. καὶ᾿Αριστοφάνης· τί ου ν πρὸς τ' α λφιτα ἐπαλαμήσατο. τουτέστιν ἐπενόησεν. ᾿Επαλλάξαντεσ. ἀντὶ τοῦ ἐπιλέξαντες. ᾿Επαλαιώθησαν. ἐγήρασαν.᾿Επάλξαντεσ. α λλο ἐπ' α λλῳ ποιήσαντες. δῆλον δὲ τὴν συμπλοκὴν τῶν μαχομένων. ᾿Επάχνωσεν. ἐλύπησεν, ε φθειρεν. ἡ μεταφορὰ epsilon.822 ἀπὸ τῆς πάχνης τῆς φθειρούσης καὶ λύπην ἐμποιούσης τοῖς φυτοῖς. ῾Ησίοδος· –τότ' ἐπάχνωσεν φίλον η τορ.᾿Επαμφοτερίσαι. εἰς ἀμφιβολίαν ἀγαγεῖν τὸν λόγον, ὡς καθ' ἑκάτερον ἐλέγχεσθαι.᾿Επάταξασ. ἀντὶ τοῦ πατάξεις.᾿Επανάκρουσαι. ἀντὶ τοῦ ἐπανάκαμπτε.᾿Αριστοφάνης· δεῦρ' ἐπανάκρουσαι πάλιν. ἡ μεταφορὰ ἀπὸ τῶν τὰς ἡνίας η τὰς ναῦς ἀνακρουομένων, η ἀπὸ τῶν κωπηλατούντων, ο ταν ἀναστρέψαντες πρύμναν ἀνακρούωνται, ι να εἰς τοὐπίσω ἀναχωρήσῃ τὸ πλοῖον. ᾿Επαγαγέσθαι. παραπεῖσαι, ἐφελκύσασθαι.᾿Επαγγέλλεται. παρακαλεῖ, ἀξιοῖ. ου τως ῾Ηρόδοτος.᾿Επαγγέλλει. ἀντὶ τοῦ ἐπιτάσσει, ἐντέλλεται, διακελεύει, καὶ ἀντὶ τοῦ αἰτεῖται. epsilon.823 ᾿Επαγγείλαντασ. ἐπικαλεσαμένους. ᾿Επάειραν. ἐπῆραν. καὶ ἐπαείρας.᾿Επαμησάμενοσ. ἀνακινήσας, καὶ ἀντὶ τοῦ θερίσας.᾿Επανεθήσεται. ἀντὶ τοῦ ἐπαφεθήσεται.᾿Επανέσχετο. ἐπανελάβετο. ὁ δὲ τὸν πρὸς τοὺς Γέτας πόλεμον, ὡς μάλιστα ἐπείγοντα, ἐπανέσχετο. ᾿Επανετείνοντο. ἐν προσδοκίᾳ η σαν, η ἐμεγαλύνοντο καὶ ηυ ξαντο.᾿Επανέχειν. οἰκείᾳ συνέσει χρῆσθαι, καὶ μὴ ταῖς βίβλοις ἐπανέχειν. ε στι δὲ καὶ τὸ ὑψοῦν. epsilon.824᾿Επανεῖπον. ἐκήρυξαν. ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι. Θουκυδίδης. ᾿Επανήρατο. ἐπειρᾶτο, ει λετο. ᾿Εποδυώμεθα. ἀντὶ τοῦ ἐπιχειρήσωμεν.᾿Επάρασ. ἀντὶ τοῦ πείσας. θρασυτάτους α νδρας ἐλπίσιν εὐεργεσιῶν ἐπάρας. ᾿Επάσαντο. ἐγεύσαντο. ᾿Επαγομένοισ. αἰχμαλωτιζομένοις η ἐπιφερομένοις.᾿Επανέντεσ. ἀφέντες.᾿Επαινέσασ. εὐχαρίστως ἀποδεξάμενος.᾿Επαινεῖσθε. ἀντὶ τοῦ καυχᾶσθε. Δαβίδ· ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ.᾿Επαιώνιστο. εὐφήμιστο. epsilon.825᾿Επεγράφου. ἀντὶ τοῦ ἐζωγράφεις. ᾿Αριστοφάνης· καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα.᾿Επεγράψατο. ἀντὶ τοῦ ἀπεγράψατο, ἐχειροτόνησεν, κατέστησεν. ἡ μεταφορὰ ἀπὸ τῶν μετοίκων τῶν προστάτας προγραφόντων ἑαυτοῖς.᾿Επεγραψάμεθα. ἐσημειωσάμεθα. ὑπόσπονδοι ἐγενόμεθα.᾿Επεγχανών. καταγελάσας. οὐ μὴν ἡ τιμωρὸς δίκη τὸν ὑβριστὴν καὶ ὑπερόπτην ει ασε τῷ τοῦ Μέλητος θανάτῳ ἐπεγχανεῖν.᾿Επεδαψιλεύσατο. κατὰ κόρον ἐχρήσατο. ἐπεδαψιλεύσατο ταῖς ὑποθέσεσι τῆς ἀποκηρύξεως. ᾿Επεδίκασε, καὶ ἐπεδικάσαντο. Δημοσθένης· τὸ μὲν ἐπεδίκασεν, οι ον προέκρινε, τὸ δὲ ἐπεδικάσατο, οι ον ε πεισαν τοὺς δικαστὰς ἑαυτοῖς προσνεῖμαι τὸν κλῆρον. ᾿Επέθεντο.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπανέστησαν. Δαβίδ· ἐπέθεντο ἐπ' ἐμοὶ κραταιοί. epsilon.826Ἐπέθετο. ἐλιχνεύσατο. οι ον ἐτέρφθη. ου τε χρημάτων ἀφαιρέσει ἐπέθετο.Ἐπεθείαζε. μανικῶς διετέθη, η διετίθετο. θεόληπτος ἐγένετο. Μένανδρος· ὁ ἡγεμὼν ἐν ἑνὶ τῶν ἑπτὰ λόφων ἀνελθὼν, ἐπεθείαζε ῥήμασι βαρβάροις. καὶ ἀντὶ τοῦ ἐθαύμαζεν, η ἀντὶ τοῦ ἐχόρευεν. Ἐπιθειάσασ. θαυμάσας.Ἐπεκάλει. ἐμέμφετο, ὠνείδιζεν. ὁ δὲ πολλοῖς ἐπεκάλει τῶν φίλων τὰ τοιαῦτα ἐγκλήματα.Ἐπεγράψαντο. ἀντὶ τοῦ διϊσχυρίζοντο, ἐβεβαίουν. οἱ δὲ εἰς Θρᾴκην εὐδοκιμοῦντα αὐτὸν οἰκιστὴν ἀντὶ Αγνωνος ἐπεγράψαντο. Ἐπεκήρυξαν. διασήμως καὶ διαπρυσίως ἐλάλησαν. ἐπεκήρυξαν δὲ τάλαντον δώσειν τῷ μηνύσαντι. Ἐπελέξαντο. ἀντὶ τοῦ ἀνέγνωσαν. Ἡρόδοτος· ὁ δὲ γραμματεὺς ἐπελέγετο τὰ γράμματα. epsilon.827 Ἐπελήσθην. ἐν λήθῃ γέγονα. Ἐπελήφθη. ἐπήρξατο. η δη δὲ ἐπελήφθη νὺξ τῆς τρίτης φυλακῆς, καὶ ὁ ἡγεμὼν τοὺς λόχους καθίστατο.Ἐπελπίζων. εἰς ἐλπίδας α γων. τὰ μὲν αὐτοὺς ἐπελπίζων ὑποσχέσεσιν. Ἐπελήκεον. ἐπεβόων, ἐψόφουν. ἐπεκρότουν. ι σως ἀπὸ τοῦ ληκῶ, ληκεῖς. Ἐπεμαρτύραντο. μάρτυσιν ἐχρήσαντο. οἱ δὲ πιστὰ δόντες καὶ λαβόντες, ἐπεμαρτύραντο τοὺς θεούς. ου τω Ξενοφῶν. Ἐπεμβαίνων. ἐπιχλευάζων, καὶ ἐπικερτομῶν. ὁ δὲ ἐπεμβαίνων τῇ τύχῃ αὐτῶν σφόδρα ἀμαθῶς, καὶ ἀνθρωπίνως η κιστα. Ἐπέμυξεν. ἐξεμυκτήρισεν. η χον διὰ τῶν ῥινῶν ἐποίησεν. Ἐπενεγκών. καταδικάσας. Προκόπιος· ἐπενεγκὼν δὲ αὐτῷ, ο τι δὴ ὡς η κιστα ἀληθίζεται, α μφω τὼ χεῖρε ἀπέκοψεν.Ἐπενήνεον. συγκατετίθεντο, καὶ ἀντὶ τοῦ ἐπεσώρευον. ἀπὸ τοῦ ει ς, ἑνὸς, η γουν τὸ τὰ διῃρημένα εἰς ε ν συνάγειν. η νεον, ἐνήνεον καὶ ἐπενήνεον. epsilon.828Ἐπενήνοθεν. ἐπήνθει, ἐπέκειτο, καὶ ἀντὶ τοῦ ὑπῆρχεν. ἐκ τοῦ ε ω, τὸ ὑπάρχω. ἐκ τούτου ἐέθω, ὡς φλεγέθω. ει τα κατὰ συναίρεσιν τῶν δύο ¯ε¯ε εἰς η τα καὶ ἐν συνθέσει ἐνήθω. τούτου ὁ μέσος παρακείμενος ε νηθα, καὶ ὁ Ἀττικὸς ἐνένηθα. ει τα ἐπειδὴ ὁ Ἀττικὸς παρακείμενος τρίτου ἀπὸ τέλους βραχεῖαν ε χει ὑπέρθεσιν, γίνεται τὸ ¯η εἰς ¯ε καὶ τὸ ¯ε εἰς ¯η, καὶ γίνεται ἐνένηθα, καὶ τροπῇ τοῦ ¯ε εἰς ¯ο, ἐνήνοθα καὶ ἐπενήνοθα. εἰ γὰρ τὴν ἐψιλωμένην καὶ μαδῶσαν καὶ ὀλιγότριχον σημαίνει μᾶλλον τὸ δασύ· κάλλιον δέ ἐστι τὸ ἐπενήνοθεν ἀντὶ τοῦ ὑπῆρχεν, ἐκ τοῦ ε ω τὸ ὑπάρχω. Ἐπεντρυφήσαντοσ. καταπολαύσαντος. καταυθαδιασμένου τὲ καὶ ἐπεντρυφήσαντος αὐτοῖς. Ἐπεπάμεθα. κεκτήμεθα. πάνθ' ο σα καὶ ἐν ζώοις ἐπεπάμεθα.Ἐπεπαίχειν. ἀντὶ τοῦ ἐνεπαίχθην. ε στι δὲ ὑπερσυντέλικος. ἐπεπέχειν δὲ, ἀντὶ τοῦ ἐπεπέχεισαν, ἐκ τοῦ πέκω, τὸ κτενίζω, ψιλόν. Ἐπέῤῥαξεν. ἐπέπεσε, συνεπλάκη. ὁ δὲ πολλὴν διανύσας ὁδὸν, α φνω τούτοις ἐπέῤῥαξεν. epsilon.829 Ἐπερειδόμενοσ. ἐπιστηριζόμενος.Ἐπερατώθη. ἐτελειώθη.Ἐπεπολεῖτο. ἐπεπορεύετο. Ἐπεῤῥώσατο. ἐσείσθη. ε στι ῥῆμα ῥώω, ο σημαίνει τὸ κινῶ καὶ σείω. ὁ μέλλων ῥώσω, ε ῤῥωσα, ἐῤῥωσάμην, ἐῤῥώσαντο καὶ ἐπεῤῥώσαντο.Ἐπέσβη. ἐπεισῆλθεν.Ἐπέσειεν. ἐπανετείνετο. αὐτοῖς δ' ἐπέσειε φόβον ὡς αὐτίκα τεθνήξοντος. Ἐπεσημήναμεν. ἐξεπλάγημεν, ἐθαυμάσαμεν. τίς οὐκ α ν ἐπισημήναιτο καὶ θαυμάσειε τὸν προειρημένον ἐπὶ τούτοις ἡγεμόνα.Ἐπέσκηψεν. ἐπέπληξεν.Ἐπέσπερχεν. ἀντὶ τοῦ διήγειρε καὶ παρέθηγεν. ο ς δὴ μάλιστα ἐπέσπερχεν αὐτόν. Ἐπεστάτει. η ρχεν, ἡγεμόνευε. Ξενοφῶν· ἐνepsilon.830 ταῦθα η ν Κλέαρχον καταμαθεῖν, ὡς ἐπεστάτει. Επεστί μοι. βούλομαι, θέλω, δύναμαι. η ἐπίκειταί μοι. Ἐπεσφάλακεν. οἱ μὲν ἐπεσπάσθη, οἱ δὲ ἐσάπη, η παρὰ καιρὸν ἀτροφήσαν ἐμαράνθη. Ἐπεστράτευσαν. ἐπέδραμον. Ἐπέσαξεν. ε στρωσεν. Ἐπεστάτει. ἐπέβλεπεν. Ἐπεσβολῶν. λοιδορῶν. Ἐπέσευον. μεθ' ὁρμῆς ὑπέστρεφον. Ἐπέτηξεν. ἐλέανεν. λεῖον ἐποίησεν. δελτίον δίπτυχον λαβὼν, τὸν κηρὸν αὐτοῦ ἐπέτηξεν.Ἐπετίλησεν. ἐξεκένωσεν.Ἀριστοφάνης· ἐπετίλησε συχνήν. τὴν κόπρον. epsilon.831 Ἐπετίμα. ἐπηύξει τὴν τιμήν. οἱ δὲ κερδαίνειν οἰόμενοι ἐπετίμων ὡς λιμώττοντι τὸν σῖτον. Ἐπετοξάζοντο. ἐτόξευον. Επεται. ἀκολουθεῖ.Ἐπέπλωσ. τινὲς λέγουσιν ἀπὸ τοῦ πλῶμι. ο περ ἐν χρήσει οὐχ ευ ρηται. οὐκ ε στι δὲ ἀληθές· ἀλλ' ε στιν ἀπὸ τοῦ θέματος τοῦ πλώω, πλώσω, ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεύτερος ἀόριστος ε πλων, ε πλως. ει τα τοῦ πρώτου ἀορίστου τὸ δεύτερον πρόσωπον ε πλωσας, καὶ ἐν συνθέσει ἐπέπλωσας, καὶ κατὰ συγκοπὴν ἐπέπλως. ᾿Επέπιθον. ἐκ τοῦ πείθω. ὁ δεύτερος ἀόριστος ε πιθον, καὶ κατὰ ἀναδιπλασιασμὸν ἐπέπιθον. τὸ πρῶτον τῶν πληθυντικῶν ἐπεπίθομεν, καὶ κατὰ συγκοπὴν ἐπέπιθμεν. καὶ δεξιαὶ, αι ς ἐπέπιθμεν.᾿Επεμαίετο. ἐπεζήτει, ἐπεθύμει. μαίω γὰρ καὶ μῶ τὸ ζητῶ. ᾿Επευωνίζων. κερδαίνων.᾿Επεφάνη. διὰ τοῦτο ει πεν ἐπεφάνη, ι να τὴν α νωθεν υ παρξιν μηνύσῃ. εἰ γὰρ ει πεν ἐφάνη, ἀρχὴν ἐσηγεῖτο τοῦ ἀεὶ ο ντος. Παῦλος ὁ ᾿Απόστολος· ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος. ἐπειδὴ ὁ ω ν ἐφάνη.᾿Επεφόρησεν. ἐπεσώρευσεν. ο σους α νωθεν ἐπεφόρησε τῶν λίθων. epsilon.832᾿Επεφωρᾶτο. ἀντὶ τοῦ ἐφανεροῦτο, εὑρίσκετο, ἠλέγχετο.᾿Επεφράσατο. ἐθεώρησεν.᾿Επέφο. ἐκράτησεν. ἀλλὰ τὸ δὴ λεγόμενον ἀμφοῖν ταῖν χεροῖν ἐπέφυ.᾿Επεφύκει. περιεπλάκει. ᾿Επεφύοντο. ἐπήρχοντο. καὶ ἐπέφυσαν οἱ συκοφάνται. Επεφνεν. ἀνεῖλεν, ἐφόνευσεν. ε στι φῶ, ου παράγωγον ῥῆμα φένω τὸ φονεύω. καὶ ἐν συγκοπῇ φνῶ καὶ κατὰ ἀναδιπλασιασμὸν πρώτης συζυγίας τῶν περισπωμένων πεφνῶ. τινὲς δὲ παρατατικὸν αὐτὸν νομίζουσιν, ἀγνοοῦντες τὴν φυσικὴν κλίσιν αὐτοῦ· οὐ γὰρ τὸ πέφνω, ὡς ε μαθον, ἐὰν μάθω, διὰ μετοχῆς αὐτοῦ· ἐπειδὴ αἱ εἰς ¯ω¯ν μετοχαὶ μετ' ἐπιπλοκῆς συμφώνου η βαρύνονται η περισπῶνται· οι ον τέμνω, τέμνων, κάμνων. ου τως ῾Ηρωδιανός. ᾿Επέφραδε. διεσῄμανεν, ει πεν. Επεχε. ἐπίκεισο, ἐπίμενε, φύλασσε. ου τως Πλάτων· περὶ τῶν ἀδήλων ἐπέχει.᾿Επεχώρησεν. ἀντὶ τοῦ συνεχώρησεν.᾿Αῤῥιανός· ἐπεχωρήθη. καὶ τὰ ο μοια.᾿Επείγω. τὸ σπεύδω, διὰ τῆς ¯ε¯ι διφθόγγου. παράκειται γὰρ αὐτῷ οι γω, ὁ γὰρ κατεπείγων ὡς πάνυ βουλόμενος κατεπείγει. epsilon.833᾿Επεικάζω. στοχάζομαι. η καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ.᾿Επειλέγη. κατειλέγη, συνειλέγη, καὶ ἐπειλεγμένος. ἐπιλελεγμένος δὲ, ¯ι. ᾿Επειλημμένη. δραξαμένη, ἀντιλαμβάνουσα. ᾿Επεισκυκλείσθω. ἐπιφερέσθω, συναπτέσθω. καὶ ἐπεισκυκλοῖ, ἀντὶ τοῦ εἰσφέρει καὶ ἐπισυνάπτει.᾿Επεισοίσας. κομίσας. Επεισιν. ἐπέρχεται.᾿Επεισπέπαικεν. εἰσεπήδησεν, εἰσῆλθεν. κυρίως δὲ ἐπὶ στρατιᾶς πολεμίων.᾿Επεισοίσας. ἐπεισβαλών.᾿Επεισφρήσασ. ἐπεισελθών.᾿Επήγετο. ἐπεφέρετο. ᾿Επηγάγετο. προσῳκειώσατο, ἰδιοποιήσατο. τοὺς δὲ οἰκήτορας τῆς πόλεως, μηδὲν βίαιον δράσας, ἐπηγάγετο.᾿Επήγγελλεν. ἀντὶ τοῦ προσέτασσεν. ὁ δὲ Μίνως πανταχόσε ἐπέπλει καὶ πολλοῖς ξενίοις ἐπήγγελλεν. epsilon.834᾿Επήγγειλα. παρήγγειλα. καὶ εἰς τετάρτην η κειν ἐπήγγειλα.᾿Επηγκυλημένα. τὰ κεκαμμένα ξύλα εἰς χρῆσιν ο πλων.᾿Επήει μοι. ἐπήρχετό μοι.᾿Επηθρηκυῖα. ἰδοῦσα. ἀπὸ τοῦ ἀθρῶ, τὸ βλέπω. ᾿Επήμηναν. ε βλαψαν. ἀπὸ τοῦ πημαίνω τὸ βλάπτω. ᾿Επῄνεον. συγκατετίθεντο. εὐμενῶς ἐδέχοντο. τὸ δὲ θεῖον οὐκ ἐπῄνει τὰ ὑπὸ τοῦ βασιλέως πραττόμενα.᾿Επηνηκέναι. ἀντὶ τοῦ ἐπαινέσαι. ὁ παρακείμενος ἐπῄνεκα.᾿Επηνήκιζεν. ἐξηπάτα. ου τως Κρατῖνος.᾿Επῄνουν. συγκατετίθεντο.᾿Επηπείλησα καὶ κατώμοσα. ἀντὶ τοῦ ἐπαγγειλάμενος ω μοσα.᾿Επήπυον. ἐβόων. ἀπὸ τοῦ ἀπύω τὸ φωνῶ. ᾿Επηλυγάζονται. σκεπάζονται, η ἐπισκευάζονται, η ἐπικρύπτονται. ἠλύγην γὰρ καλοῦσιν οἱ᾿Αττικοὶ τὴν σκιὰν η τὴν σκοτίαν η τὴν νύepsilon.835 κτα. τινὲς δὲ ἀπὸ τῶν λύγων· διὰ γὰρ τῶν λύγων τοὺς σχοίνους πλέκουσιν. ᾿Επηρμένοι. ὑπερηφανευόμενοι. καὶ ἀντὶ τοῦ πρόχειροι καὶ εὐτρεπεῖς. Θουκυδίδης· οἱ ου ν Ελληνες ἐπῃρμένοι η σαν διὰ τὴν τῶν᾿Αθηναίων κακοπραγίαν.᾿Επηρτημένην. ἐπικειμένην, καὶ ἀντὶ τοῦ κρεμαμένην.᾿Επήρτησεν. ἐπέθηκεν, ἐπέφερεν. οὐ μικρὸν φόβον ἐπήρτησε τοῖς ἐν τῇ πόλει.᾿Επίασιν. ἐπέρχονται.᾿Επιβατεῦσαι. ἐπιβῆναι, κατασχεῖν. ω νπερ Θευδίβερτος οὐ δέον ἐπιβατεῦσαι, διὰ σπουδῆς ει χεν.᾿Επιβαλεῖ. ἐπιθήσει.᾿Επιβοώμενοι. ἐπικαλούμενοι. καὶ τοὺς θεοὺς ἐπιβοώμενοι.᾿Επιβωσάμενοσ. ἐπικαλεσάμενος. ἐπιβοησάμενος. καὶ ἐπιβωσόμεθα. ᾿Επιβρίθω. τὸ ἐπιβαρῶ. epsilon.836᾿Επιβρίσουσιν ὀδόντασ. παρόσον οἱ θυμούμενοι τρίζουσιν τοὺς ὀδόντας. ᾿Επιβύσαντεσ. ἐπικαλύψαντες, σκεπάσαντες. Προκόπιος· ἐπιβύσαντες τοὺς ῥωχμοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

υ δατι, τὸ υ δωρ μετοχετεύουσιν.᾿Επιγαυρωθείσ. ἀνδρωθεὶς, θρασυνθείς. Ξενοφῶν· καὶ ἐπιγαυρωθεὶς τῇ ἐντολῇ τοῦ Κύρου, ἐπορεύετο.᾿Επιγλωττήσομαι. φλυαρήσω, βλασφημήσω. περὶ τῶν ᾿Αθηναίων οὐκ ἐπιγλωττήσομαι. ᾿Επιγραφομένῳ. ἰδιοποιουμένῳ, οἰκειουμένῳ. εἰ καὶ δόξαν ε μελλε φέρειν, τὰ ὑπ' ἀλλήλων εὑρημένα ἐπιγραφομένῳ. ᾿Επιγράφων. βεβαιῶν, διϊσχυριζόμενος. ὁ δὲ Ψευδοφίλιππος ἐπέγραφεν ἑαυτὸν Φίλιππον τὸν Μακεδόνα. ᾿Επιδαψιλευσάμενοσ. πολυτελῶς διαπραξάμενος.῾Ηρόδοτος· τάς τε μητέρας καὶ ἀδελφὰς ἐπιδαψιλευσάμεθα ὑμῖν.᾿Επὶ δ ἐγδούπησεν. ἐπεκτύπησεν. παρέλκον τὸ γ, καὶ ἐν τῷ ἐρίγδουπος ὁμοίως. δοῦπος γὰρ κτύπος. epsilon.837᾿Επίδειξον. ἀντὶ τοῦ εἰπέ.᾿Αριστοφάνης· ε χεις τινὰ γνώμην, ἐπίδειξον αὐτήν. καὶ ἀντὶ τοῦ φανέρωσον.᾿Επιδεικτιῶν. κενοδοξῶν.᾿Επιδειπνεῖν. τὸ ἐκ δευτέρου δειπνεῖν. ι ν' ἐπιδειπνῇς, κόνισαι ἰσχυρῶς.᾿Επιδιατίθεσθαι. τὸ συνθήκας τινὰς ποιεῖσθαι, κατατιθεμένους ῥητόν τι ἀργύριον παρά τινι τῶν μεταξὺ γινομένων, ο περ ἐγγυᾶται, ω στε εἰ πρᾶξις γίνοιτο θατέρῳ πάντως τὸ ὡμολογημένον ἀργύριον ἀποδοῦναι.᾿Επιδικάζεται. ἀντιποιεῖται.᾿Επίδοσαν. ἀντὶ τοῦ ει δον. ᾿Επιθαυμάζειν. ἀντὶ τοῦ δώροις τιμᾶν. δεῖ γὰρ ἐπιθαυμάζειν τὶ τὸν διδάσκαλον.᾿Επιθέντεσ. ἀποστείλαντες. οἱ δὲ ἀποπέμπουσι τὸν ἰατρὸν ἐπιθέντες γράμματα πρὸς τὸν τελώνην.᾿Επιθεραπεύων. διορθούμενος, προμηθούμενος. ὁ δὲ ᾿Αλκιβιάδης ἐπιθεραπεύων τὴν ἑαυτοῦ κάθοδον εἰς τὴν πατρίδα, εἰδὼς, εἰ μὴ διαφθερεῖ αὐτὴν, ο τι ε σται ποτὲ αὐτῷ. epsilon.838᾿Επιθυμῶν. προαιρετικῶς ε χων. τοὺς δὲ η γεν ζῶντας, ἐπιθυμῶν Λακεδαιμονίοις ἀγαγεῖν. ᾿Επιθύνων. ἐπανορθούμενος. ἀπὸ τοῦ ἰθύνω.᾿Επιθρέξαντοσ. ἐπιδραμόντος.᾿Επιθολοῖ. ἐκταράττει, ἐπισκοτεῖ.᾿Επικάθηται. ἐπικρέμαται. ι να μηδεὶς φόβος ἐπικάθηται τοῖς Ταραντίνοις. ᾿Επικαθέζεσθαι. τὸ βαροῦν λέγομεν. καὶ ἐπικαθέζηται. ἀπὸ μεταφορᾶς τῶν ζυγῶν. ᾿Επικαλέσασ. μεμψάμενος.᾿Επικαλουμένων. κατηγορουμένων.᾿Επικαλῶν. ἀντὶ τοῦ κατηγορῶν· ἐγκαλῶν. ἀνεῖλε δὲ τοὺς α νδρας, α λλο μὲν οὐδὲν ἐπικαλῶν, πλὴν ο τι σοφώ τε καὶ ἀρίστω τὼ α νδρε γενέσθην. ᾿Επικέκληται. ἐπικαλεῖται. † ᾿Επικηρυκεύεται. διὰ κήρυκος συνθήκας τινὰς η πρεσβείας ποιεῖται.†᾿Επικαγχάζειν. ἀκόσμως γελᾶν.᾿Επικερτομῶ. ὑβρίζω, ἐπισκώπτω. ἡ γὰρ υ βρις τὸ κέαρ καὶ τὴν ψυχὴν τέμνει καὶ κόπτει. κέαρ γὰρ καὶ κὴρ ἡ ψυχή. epsilon.839᾿Επικειμένου. φαινομένου. ὁ δὲ ῃ τει τιμὴν τοὺς κεκτημένους τοῦ ἐπικειμένου καρποῦ. ᾿Επικλαύσωσιν. ἐπ' οι κτον ἀγάγωσιν.᾿Επικλύσασα. ἐπιδαψιλεύσασα. καταβαλοῦσα. ἡ ου ν Κλεοπάτρα πολλῷ χρυσῷ ἐπικλύσασα τὸ α γαλμα τοῦ Διὸς πρίασθαι.᾿Επικνῶ. ἀντὶ τοῦ ἐπίβαλε.᾿Αριστοφάνης· ἀλλ' ἐπικνῶ τὸ σίλφιον.᾿Επικωμᾶσαι. ὀρχεῖσθαι, η λαλῆσαι αἰσχρῶς. πολλαὶ ταῖς ἐκκλησίαις ἐπεκώμασαν ταραχαί.᾿Επικράναι. τῇ κεφαλῇ κατανεῦσαι. καὶ ἀντὶ τοῦ τελειῶσαι.᾿Επικρεμάσασ. ἐπενεγκών. οι ς δ' α μα ἀναταθεὶς καὶ τὸν ἐξ αὐτοῦ φόβον ἐπικρεμάσας. ᾿Επικυκλῆσαι. ἐπεισαγαγεῖν. ᾿Επιλαμβάνεσθαι. μέμφεσθαι. μὴ ὀνειδιστικῶς ἐπιλαμβάνεσθαι τῶν βάρβαρον η σόλοικον η ἀπηχές τι προσενεγκαμένων.᾿Επιλέγει. πρὸς τοῖς προειρημένοις φησίν. ᾿Επιλεξάμενοσ. ἀντὶ τοῦ ἀναμετρήσας, ἀναλογισάμενος. ὁ δὲ῾Ηρακλῆς τὸν ἀριθμὸν τῶν βοῶν ἐπιλεξάμενος. epsilon.840᾿Επιλλίζω. τὸ διανεύω. οὐκ ἀΐεις, ω ς μοι ἐπιλλίζουσιν᾿Αχαιοί. ἀπὸ τοῦ τοὺς ὀφθαλμοὺς ἐπιλλεῖν διανεύοντας. ἐξ ου καὶ ἰλλάδες οἱ συνεστραμμένοι ἱμάντες. καὶ ἐπιλλίζουσα ἀντὶ τοῦ ἐπεγγελῶσα η ἐπιμύουσα τοὺς ὀφθαλμούς· ο περ ι διον ἐστὶ τῶν γλαυκῶν διὰ τὸ μὴ ἐπιβλέπειν δι' ἡμέρας.᾿Επιλυομένου. συγχωροῦντος.᾿Επιμαχεῖν. δυνάμενος πολεμεῖν, η βοηθεῖν. ᾿Επιμελόμενος καὶ ἐπιμελούμενοσ. φροντίδος καὶ σπουδῆς ἀξιῶν.᾿Επιμετρούσησ. ἐπιχορηγούσης. ὡς ἐπιμετρούσης καὶ συναγωνιζομένης τοῖς γεγονόσι τῆς τύχης. ᾿Επινενασμέναι. πεπληρωμέναι.᾿Αριστοφάνης· ὡς αἱ τράπεζαί γ' εἰσὶν ἐπινενασμέναι ἀγαθῶν πάντων καὶ παρασκευασμέναι. ᾿Επινενησμένον. κεκλωσμένον. καὶ ἐπινησθεῖσαν διαλύσω. ᾿Επινήσαντεσ. σωρεύσαντες. φρύγανα πρὸ τοῦ τείχους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συγκομισάμενοι καὶ παντοδαπὸν φορυτὸν καὶ ἐπινήσαντες κόπρον πῦρ ἐπέβαλον. epsilon.841 Ἐπιώρκει. ὑπερσυντέλικος. Ἐπιώψατο. κατέλεξεν, ἐξελέξατο. ε στι δὲ ἀττικόν. ὁ δὲ βασιλεὺς ἐπιώψατο ἀῤῥηφόρους. Ἐπιπαρένησαν. ἀντὶ τοῦ ἐσώρευσαν. Θουκυδίδης· ταχὺ δὲ πλήρους γενομένου διὰ πολυχειρίαν ἐπιπαρένησαν. Ἐπιπλώσασ. ἀντὶ τοῦ ἐπιπλεύσας. καὶ ἐπιπλὼς παρ' Ὁμήρῳ. παρὰ τὸ πλέω, πλώω, πλώσω, πλώσας, καὶ ἐν συγκοπῇ πλὼς, καὶ ἐπιπλώς. ε στι δὲ α κλιτον, διότι ἡ φωνὴ αὐτοῦ ἀόριστός ἐστι· τὸ δὲ σημαινόμενον παρακείμενος. Ἐπιπολάζει. ἐπιπόλαιον πλέει. Ἐπιπροσθεῖ. ἐμποδίζει, ἐπίκειται. Ἐπιπραξάμενοι. ἐπὶ τοῖς προτέροις ἐπιπραξάμενοι σπονδὰς ἀνενεώσαντο. Ἐπιῤῥαπίζων. κωλύων. καὶ τὸ ὑφ' ἑαυτοῦ βούλεσθαι τὴν πρᾶξιν, ἐπιῤῥαπίζων α ρα ἐκεῖνος. Ἐπιῤῥέξει. θύσει. Καί σοι ἐπιῤῥέξει Γόργος χιμάροιο νομαίης αι μα. Ἐπιῤῥωννύσ. ἐνισχύων. epsilon.842 Ἐπισεῖσαι. ἐπενεγκεῖν. παρεκάλουν μὴ χαλεπώτερον αὐτοῖς ἐπισεῖσαι τὸν κίνδυνον. Ἐπισημαίνεσθαι. ἀντὶ τοῦ ἐπαινεῖν μὲν καὶ ἐπιφωνεῖν Ἰσοκράτης· Ἰσαῖος δὲ ἀντὶ τοῦ ἐπισφραγίσαι. Ἐπισημήνασθαι. βεβαιῶσαι, κυρῶσαι. ἐπισημηναμένων δὲ τῶν ἐκ τῆς Ἑλλάδος πρεσβευτῶν. Ἐπισιτίζω ἀεὶ, καὶ ἐπισίτισις, καὶ ἐπίσιτος, ὁ τροφῆς χάριν ἐργαζόμενος. Ἐπισκευάσασθαι. ἐπιφορτίσασθαι. Ἐπισκοπήσασ. ἐποπτεύσας. Ἐπισκήψω. παραγγείλω, καὶ ἀντὶ τοῦ σημειώσομαι, καὶ ἐπιστήσω τὸν νοῦν. ὑμῖν δὲ κοινὴν τήνδ' ἐπισκήπτω χάριν. Ἐπισκοτῶ καὶ ἐπισκοτεῖν. τὸ ἐπικεῖσθαι τινὶ καὶ ἀποτειχίζειν τὸ φῶς. Ἐπισπασάμενοσ. ἐφελκύσας. ὁ δὲ ἐπισπασάμενος τῆς κόμης τοῦτον κτείνειν ε μελλεν. Ἐπισταθμευόμενοι. εἰς τοὺς ἑαυτῶν οι κους δεχόμενοι. ἐπισταθμευομένους τὲ ὑπ' αὐτῶν epsilon.843 καὶ διαρπαζομένους. καὶ ἀντὶ τοῦ κρίνοντες καὶ ὑπονοοῦντες. Ἐπίστασαι. γινώσκεις. Ἐπισίξει. ποιόν τινα η χον ἀναβοήσει. ἐκ τοῦ σίζω, σίσω, σίξω. Ἐπίσπῃ. ε ψεται. Ἐπισπόμενοσ. ἐπακολουθῶν. ἐπισπώμενος δὲ ὁ προσλαμβάνων καὶ ἐπισύρων, μέγα. *καὶ ἐπισπασάμενοι δὲ οἱ συνείροντες· τῷ προτέρῳ πταίσματι δεύτερα καὶ τρία.* Ἐπισπέρχει. ἐπισπουδάζει. Ἐπιστέλλει. ἐντέλλεται, ὑποτίθεται. νῦν ἐπιστέλλει σαφῶς τοὺς αὐτοέντας χειρὶ τιμωρεῖν. Ἐπίστη. ἀντὶ τοῦ ἐπίστασαι. δεύτερος ἀόριστος. η ἀντὶ τοῦ ἐπιτίθει. Ἐπίστηθι. ἐπενέχθητι. ἐπιτέχθητι. Ἀπόστολος· ἐπίστηθι ἀκαίρως εὐκαίρως. epsilon.844 Ἐπιστομιεῖν. ἐμποδίσαι, κατασχεῖν. Ἐπίστω. γίνωσκε. ευ νῦν ἐπίστω ταῦθ' ο ταν ζητῇς ἐμοὶ ζητῶν ο λεθρον. Ἐπιστεῖλαι. τὸ ἐντείλασθαι. Θουκυδίδης· ἐπιστείλαντες τὰ πρέποντα εἰπεῖν. Ἐπιστροφώωσιν. ἐπιστροφόωσι πόλῃας. ἐπιστρωφῶσι δὲ τὰ δύο μεγάλα. Ἐπισυνήεσαν. συνηθροίζοντο. οἱ ἐξόπισθεν ἐπιλελυμένοι ἐπισυνήεσαν. Ἐπισύρεται. ἐφέλκεται. Ἐπιτέλλεται. ἐντέλλεται, παραγγέλλει. Ἐπισχών. κρατήσας. Ἐπισύρων. χλευάζων, γελῶν. Ἐπισκήπτει. μέμφεται, ἐπιτιμᾷ. Ἐπισκύζονται. ὀργίζονται. Ἐπισπάσθω. τὸ δέρμα ἑλκυέτω. ἀποστολικὴ ἡ λέξις. epsilon.845 Ἐπίσχεσ. πρόσεχε η κράτησον. Ἐπισχὼν τῷ στόματι. προσενεγκὼν η κωλύων. Ἐπισφραγίζων. βεβαιῶν. Ἐπιορκῶν. ἡ ἐπὶ πρόθεσις κεῖται καὶ ἀντὶ τῆς ὑπέρ. καὶ ὑπεράνω τῶν ο ρκων γίνεσθαι. καὶ ὑπερβαίνειν αὐτούς. ἐπιορκεῖ δὲ ὁ ἀνὴρ τὰ πολλά. Ἐπιέναι. ἐπελθεῖν. Ἐπιθειάσασ. θαυμάσας. Ἐπιειμένοι. περιβεβλημένοι, ἐνδεδυμένοι. Ἐπιόντι. ἐρχομένῳ. Ἐπιτέλλῃ. ἀντὶ τοῦ παραγγέλλῃ. παραγγέλλω. Ἐπιτεμόμενοσ. παρακόψας. κέλευσόν μοι ἀποθνήσκειν ἐπιτεμόμενος τοῦ σταυροῦ τὴν περίοδον. Ἐπιτεύξῃ. ἐπιτύχῃς. Ἐπιτεχνάζειν. πανουργεύειν. Ἐπιτίθεσθε. ἐνεδρεύετε. Ἐπιτέτραπται. ἀπονενέμεται. Ἐπιτέτριψαι. ποτὲ μὲν ἐπὶ ὑπερηφανίας τάττεται, ποτὲ δὲ ἐπὶ ἑκατέρας. καὶ μὴν ἐπιτέτριψαί γε. epsilon.846 Ἐπιτετράφαται. ἐπιτετραμμένοι εἰσὶν η ὑποτεταγμένοι. ῳ λαοὶ ἐπιτετράφαται. ἰστέον, ο τι τὰ δισύλλαβα τῆς πρώτης συζυγίας τῶν βαρυτόνων τὰ τρέποντα τὸ ¯ε εἰς ¯ο κατὰ τὸν ἐνεργητικὸν παρακείμενον, ἐν τοῖς παθητικοῖς παρακειμένοις ἀναδέχεται τὴν τοῦ ἐνεστῶτος παραλήγουσαν. οι ον λέγω, λέλοχα καὶ λέλεχμαι, κέκλοφα, κέκλεμμαι. εὑρέθη δὲ καὶ τὸ κέκλαμμαι. χωρὶς τῶν ἐχόντων τὸ ¯ρ μετ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιπλοκῆς συμφώνου. ἐκεῖνα γὰρ τρέπει τὸ ¯ε εἰς ¯α κατὰ τὸν παρακείμενον. οι ον στρέφω, ε στροφα, ε στραμμαι. ου τως ου ν καὶ τρέπω, τέτροφα, τέτραμμαι, τετράφαται καὶ ἐπιτετράφαται. ᾿Επιτέλλων. ἀνατέλλων. ᾿Επιτείλασ. ἀνατείλας. νενικηκότας αὐτοὺς ὁ η λιος ἐπιτείλας ι δη. ᾿Επίτειλον. πρόσταξον. ᾿Επιτειχίζει. ἐποικοδομεῖ.᾿Επιτειχισάντων. ἐπελθόντων.᾿Επιτίθησ. περαίνεις. ἐπεὶ καὶ σὺ τῶν σῶν ὑπηκόων ἐπιτίθης. epsilon.847᾿Επιτίθησιν. ἀποπέμπει. καὶ δὴ γραψάμενος τὴν δίκην ἐπιστολὴν πρὸς τοὺς ἐν Καρίᾳ δύο φιλοσόφους ἐπιτίθησιν. ᾿Επίττουν. ἠσέλγουν, κατεφίλουν. πιττοῦν δέ ἐστι κυρίως τὸ τὰς πλατείας ναῦς πίττῃ χρίειν.᾿Αριστοφάνης· ἱκανὸν γὰρ αὐτὴν πρότερον ἐπίττουν χρόνον. ᾿Επιτολμῆσαι. ἐπιβουλεύσασθαι. καὶ ἀναπείθει ἐπιτολμῆσαι τῷ Λυκίδῃ καὶ τῷ σώσιν.᾿Επιτωθάζων. ἐπιλοιδορούμενος, η ἐπεμβαίνων, η καυχώμενος. η χλευάζων.᾿Επιτρέπει. χαρίζεται, παραδίδωσιν. ὁ δὲ τῆς ἐμῆς σατραπείας φυγάδα ἐλαύνει καὶ τοῦτο ἐπιτρέπει.᾿Επιτρέπει Δημοσθένης, ἀντὶ τοῦ δικαστὰς αὐτοὺς αἱρεῖσθαι. Λυσίας δὲ ἐπέτρεψαν ἀνδράσιν ει πεν, ἀντὶ τοῦ ἐπιτρόπους κατέστησαν. epsilon.848᾿Επιτρέχειν τοῦ ἐπιδιώκειν διαφέρει. ἐπιτρέχει μὲν γάρ τις τῷ μὴ φεύγοντι· διώκει δὲ τὸν φεύγοντα. ε στι δὲ τὸ διώκειν οι ον ἐλαύνειν ε νθεν καὶ ε νθεν. καὶ ὑποδιώκειν λέγεται.᾿Επιτριβείη. ἐντριβὴς γένοιτο, ε μπειρος ὑπάρξοι. η παρορμηθείη. σημαίνει δὲ καὶ τὸ ἀπολεσθείη.᾿Επιτριβόμενοι. ἐπερχόμενοι. ᾿Επιτυφῇ. ἐκπυρωθῇ. ἐπικαῇ. ᾿Αριστοφάνης· ο πως ἀνὴρ ἐπιτυφῇ μάλιστά μου.᾿Επιφέρειν. κατηγορεῖν. διασύρειν. α λλο μὲν οὐδὲν ἐπιφέρειν ε χων, ο τι δὲ ευ νους ει η ῾Ρωμαίοις.᾿Επιφοιτᾷ. παραγίνεται.᾿Επιφρασθείσ. ἐνθυμηθεὶς, διαλογισάμενος. ὁ δὲ Νέαρχος ἐπιφρασθεὶς, ο τι σπείρεσθαι τὴν χώραν εἰκὸς, λέγει πρὸς ᾿Αρχίαν. epsilon.849᾿Επεγχάνῃ. ἐπιγελάσοι. ει τα μέντοι ζῶν ἀπέλθοι καὶ ἐπεγχάνῃ.᾿Επιχειρεῖν. τὸ ἐρωτᾶν καὶ συλλογίζεσθαι. τὸ γὰρ ἐπιχείρημα διαλεκτικός ἐστι συλλογισμός. ἐπιχειρῶ σοι ἀεί. ᾿Επιχειρήσειν. ἐπιβαλέσθαι. ε γραφεν ἐπιχειρήσειν μέλλει τοῖς Σιγγάροις.᾿Επιχειρητέα. ἀντὶ τοῦ ἐπιχειρητέον, ὡς τὸ τολμητέα. φιλεῖ γὰρ ὁ Θουκυδίδης τὰ τοιαῦτα. ᾿Επιχωρήσασ. συμπαθήσας, παραχωρήσας. ἐθέλω σοι τὰ δυνατὰ ἐπιχωρήσας.᾿Επιχρῆσθαι. παρὰ Θουκυδίδῃ τὸ πολλάκις κεχρῆσθαι. ᾿Επιψηφιζόμενοσ. ἐπικρίνων. καὶ ἐπιψηφίζων ἀντὶ τοῦ ἐπικυρῶν. ᾿Επλαστολόγει. ἐψεύδετο, ἐπλάττετο, ὑπεκρίνετο. ᾿Επλημμέλησαν. ἠτάκτησαν, ἐραθύμησαν. πλημμελὲς γὰρ τὸ ῥάθυμον καὶ ἀπαίδευτον. Επλην. ἐπλησίαζον. πλῶ τὸ πλησιάζω. παράγωγον πλῆμι. ὁ δεύτερος ἀόριστος ε πλην. ᾿Επλήσθησαν. ἐπληρώθησαν. epsilon.850 Επλετο. ἐγένετο. Επλεο. ἐγένου. ἐκ τοῦ πέλω, καὶ ὑπερβιβασμῷ πλέω. καὶ πλέομαι. ἐπλεόμην, ἐπλέου. καὶ κατὰ διάλυσιν ᾿Ιωνικὴν ε πλεο. καὶ ε πλετο. Επλει. τὸ παρεληλυθὸς οὐχὶ ε πλεε. καὶ ε ῥρει καὶ ε πνει. τὰ δὲ διῃρημένα ἰακά. Επληντο. ἐπλησίαζον. ε πληντ' ἀλλήλοισιν. ἐκ τοῦ πλῶ, τοῦ σημαίνοντος τὸ πλησιάζω, ὁ παρακείμενος πέπληκα. λέγεται δὲ καὶ πέπλακα. ὁ παθητικὸς παρακείμενος πέπλημαι, πέπληται. ὁ μέσος ἀόριστος δεύτερος ἐπλήμην. καὶ τὸ τρίτον τῶν πληθυντικῶν ε πληντο. ᾿Επλινθεύθησαν. τὸ κατακλεισθῆναι περὶ οἰκοδόμημα μόνον, ω στε ε ξοδον μὴ ει ναι καὶ ου τω παντελῶς ἀπορίᾳ ποτοῦ καὶ τροφῆς τεθνάναι, πλινθευθῆναι λέγεται. η τὸ ἐπλινθεύθησαν τέσσαρα σημαίνει, η ο τι εἰς πλίνθους μετεπλάσθησαν, η ο τι πλίνθοις ἀπετειχίσθησαν, η ο τι ὑβρίσθησαν· ε στι γὰρ καὶ ο ργανον βασανιστικόν· η ο τι ἠχμαλωτίσθησαν· ἐπειδὴ οἱ αἰχμάλωτοι πιπρασκόμενοι εἰς πλίνθους ἐβάλλοντο. epsilon.851 ᾿Επόθησεν. ἠθέλησεν, ἠβουλήθη. ἐπόθησε τοὺς ἱππέας ἀποφῆναι. ᾿Εποίησεν. ἀντὶ τοῦ ε πλασεν. ἀμφοτέρους δὲ ὁ κύριος ἐποίησεν.᾿Εποκέλλουσιν. ἐγγίζουσιν, ἐπικαθίζουσιν. ᾿Επολιάρχει. τῆς πόλεως η ρχεν. ᾿Επόλισεν. ε κτισεν. ᾿Επομοσάμενοσ. εὐξάμενος.᾿Εποτρύνει. παροξύνει.᾿Επorγῶσα. μηνιῶσα, καὶ ἀντὶ τοῦ ὁρμῶσα. Επορεν. ε δωκε, παρέσχεν. ᾿Εποφθαλμίσασ. φθονήσας η ἐπιθυμητικῶς ἐπιβαλών.᾿Ιώσηπος· ἀπέκτεινε δὲ αὐτὸν ὁ πανδοκεὺς ἐποφθαλμίσας.᾿Εποχούμενοσ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βασταζόμενος. ᾿Εποχετεῦσαι. ἐπιῤῥεῦσαι. ᾿Εποιχομένην ἱστόν. ἐπὶ τὸν ἱστὸν πορευομένην, η πορευομένην, η γουν ἱστουργοῦσαν καὶ ὑφαίνουσαν. epsilon.852 ᾿Επορθρεῦσαι. τοῦ ο ρθρου ἐπεγερθῆναι η ἀφεσπερεῦσαι.᾿Επράξατο. ἀπῄτησε. τοὺς Βυζαντίους καὶ τινὰς α λλους ἐπράξαντο. Επρασσον. ἐβουλεύοντο. ἀλλήλοις συγγινόμενοι ε πρασσον. ᾿Επραττόμην. ἀπῄτουν. Επραττον. ἐπεβούλευον. προεδίδοσαν. ἐπεσπῶντο τοὺς Αἰτωλοὺς καὶ τούτοις ε πραττον τὴν πόλιν. ᾿Επρέσβευεν. ἐτίμα. ὁ δὲ Σωκράτης τὴν ἠθικὴν φιλοσοφίαν ἐπρέσβευεν. Επρηξας. ἀντὶ τοῦ ε πραξας.᾿Επρυτάνευσε. παρέσχε, διῳκήσατο. η ν Τρυγαῖος ἐπρυτάνευσεν. Επταρον. ᾐσθόμην. πταρμὸς γὰρ κεφαλῆς αι σθησις, ἐπεὶ οἱ θίγοντες τοῦ μυκτῆρος λεπτῷ κάρφει πτάρνυνται. epsilon.853᾿Επτοημένοσ. θαυμάζων, η πεφοβημένος. Επτη. ἐπετάσθη.᾿Επτέρνισεν. ἠπάτησεν. η ἐνίκησεν.᾿Εποισθήσεται. ἐπενεχθήσεται. ᾿Εποιχόμεθα. ἐπερχόμεθα.᾿Εποστρακίζειν. παιδιὰ τὶς, η ν παίζουσιν οἱ παῖδες ο στρακα ἀφιέντες εἰς θάλασσαν.᾿Επυρώθη. ὡς ἐν χωνείᾳ ἐδοκιμάσθη.᾿Επυράκτεον. πῦρ, πυρὸς, πυράζω, πυρακτῶ, ἐπυράκτεον.᾿Επύρσευσε. πυρκαϊὰν ἐποίησεν.᾿Επέθηκε. παρέδωκεν. ᾿Επηρώτησαν. ἐκέλευσαν ᾁ σαι. Δαβίδ· ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν.᾿Επιλησθείη. πάρετος γενοίμην. ὡς τό· ἐπιλησθείη ἡ δεξιά μου.᾿Επώκειλαν. εἰς λιμένα η γαγον. ἐπώκειλαν τὴν ναῦν. Επω. τὸ λέγω, ὡς τό· α νδρα μοι ε ννεπε, Μοῦσα– τὸ ἀκολουθῶ, ὡς τό· epsilon.854 η οὐχ ἑπέσθην Λακεδαίμονα. τὸ εὐτρεπίζω· περικαλλέα τεύχε' ε ποντα. καὶ τὸ διοικῶ, ὡς τό· αἱ χεῖρες ἐμαὶ διέπουσι. καί· δίεπε στρατόν–. (᾿Επίῤῥημα.)᾿Επέκεινα. ὑπεράνω. ᾿Επειδή. σύνδεσμος παρασυναπτικός. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἀφ' ου · ὡς καὶ Θουκυδίδης πολλάκις ἐχρήσατο. καὶ Ομηρος· –ἐπειδὴ πρῶτα τομὴν ἐν ο ρεσσι λέλοιπεν. Επειτα. μετὰ ταῦτα. Ομηρος δὲ κέχρηται καὶ ἀντὶ τοῦ δή· αὐτὰρ ε πειτ' Αι ας τε μέγας καὶ δῖος᾿Οδυσσεύς.᾿Επειή. ἀντὶ τοῦ ἐπειδή.᾿Επεί. ἀντὶ τοῦ ἐπειδή. ἀπὸ τοῦ εἰ γέγονε καὶ τῆς ἐπὶ προθέσεως. ἰστέον, ο τι τὸ ἐπεὶ, ἡνίκα ἐστὶ χρονικὸν ἐπίῤῥημα, οι ον· Πλάγχθη, ἐπεὶ Τροίης– epsilon.855 ἀντὶ τοῦ ἀφ' ου ἐστί. καὶ πάλιν· αὐτὰρ ἐπεὶ κόσμηθι. Νίκανδρος δὲ αἰτιολογικὸν παραλαμβάνει σύνδεσμον. ἐπεὶ ἡμέρα φῶς ἐστιν.᾿Επιγράβδην. α χρι τοῦ ἐπιξύσαι μόνον τὸ δέρμα.᾿Επιεικῶσ. πάνυ, πρεπόντως, προσηκόντως, καθηκόντως· παραδόξως· παρ' ἐλπίδα, μετὰ ἐπιεικείας καὶ χρηστότητος, μετρίως, συμμέτρως η ἱκανῶς.᾿Επικάρ. ἐπὶ τὰ κάτω, ἐπὶ κεφαλὴν καὶ οι ον ἐπὶ τὰ κατωφερῆ. ἐξ ὀρέων ἐπικάρ–. ἀπὸ τοῦ κάρη, ἀποκοπῇ τοῦ ¯η· καὶ οὐκ ἀπὸ τοῦ κάρα. τοῦ δὲ κάρη τὸ κάρηνόν ἐστιν ἀποκοπή.᾿Επικῶσ. λογίως, ἀπὸ τοῦ ε πω, τὸ λέγω.᾿Επιμᾶλλον. περισσοτέρως. καὶ ἐπιμᾶλλον ἐξῆπτον εἰς ὀργήν. καὶ ἀντὶ τοῦ προθυμοτέρως. τῶν δέ τινων τοῖς῾Υπερίδου λόγοις ἐπὶ μᾶλλον ἀχθέντων. epsilon.856᾿Επὶ μέγα. ἀντὶ τοῦ μεγάλως. ἐπὶ μέγα τρυφῆς ἀρθέντες οἱ Συβαρῖται. ᾿Επιμίξ. ἀναμεμιγμένως.᾿Επινῶσ. λίαν. αἰπεινῶς δὲ ἀντὶ τοῦ ὑψηλοῦ, τὰ δύο δίφθογγα.᾿Επὶ πολλῶ. ἀντὶ τοῦ πολυπλασίως. καὶ ἐπιπολῆς λέγουσιν. οὐκ ἐξ ἐπιπολῆς δέ. τοὺς ἐπιπολῆς ου ν ἀφελεῖν ε ργον η ν μέγα.᾿Επιπόνωσ. κοπηρῶς η χαλεπῶς.᾿Επιπολαίωσ. ἐπάνω. ἀῤῥίζως.᾿Επιῤῥεπῶσ. ἐπικλινῶς.᾿Επίσκοπα. ευ στοχα. τὴν α φεσιν τῶν βελῶν κατ' ι σον βιαίαν καὶ ἐπίσκοπα ἰέναι.᾿Επιστρεφέωσ. ἐπιμελῶς, παρὰ῾Ηροδότῳ. καὶ ἀπατητικῶς.᾿Επιστροφάδην. μετ' ἐπιστροφῆς. ἐφ' ἑκάτερα τὰ μέρη στρεφόμενος.᾿Επισφαλῶσ. ἐπικινδύνως.᾿Επιτροχάδην. συντόμως, ταχέως.᾿Επὶ τὸ αὐτό. ἀντὶ τοῦ ὁμοῦ. epsilon.857᾿Εποποῖ. ἀντὶ τοῦ ἐποπιστί. προφαίνει δὲ η χον ὀρνέου κατὰ μίμησιν.᾿Επωμαδόν. ἐπὶ τῶν ω μων. καὶ ἐπωμάδιος. ᾿Επίπροσθεν. ε μπροσθεν. ἐπίπροσθεν τοῦ θυσιαστηρίου. ᾿Επεγνωσμένωσ. ᾠκειωμένως. καὶ ὁ᾿Απόστολος· καθὼς καὶ ἐπεγνώσθην. Τὸ Ε μετὰ τοῦ῾Ρ. (᾿Αρσενικόν.)᾿Ερανεμπόλοισ. τοῖς ἐκ τῶν ἐράνων ἐμπολῶσιν ἀπὸ τῶν ἀρχῶν. Ερανοσ. ἡ εἰσφορὰ, ἡ συλλογὴ, τὸ ἐκ διαφόρων συναγόμενον.᾿Εραστήσ. ἐπιθυμητής. ᾿Ερατεινόσ. ἐπέραστος.᾿Εργαστῆρασ. ἐργάτας. ὁ δὲ ἐνελόχα τινὰς ἐργαστῆρας ἐκ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀγρῶν ἐπανιόντας.᾿Εργολάβουσ. τοὺς ὑπέρ τινων ε ργων μισθὸν λαμβάνοντας. ᾿Ερεβησαῖοι. ε θνος. τὴν τῶν᾿Ερεβησαίων πόλιν πορθήσαντες. epsilon.858᾿Ερέβινθοσ. τὸ τοῦ ἀνδρὸς αἰδοῖον. καὶ ο ν ἐσθίομεν ἐρέβινθον. Ερεβοσ. τὸ ὑπὸ τὴν γῆν σκότος, ὁ πρὸ τοῦ ταρτάρου τόπος. παρὰ τὸ ἐρέφω. τὸ καταστεγασμένον ὑπὸ τῆς γῆς. η παρὰ τὴν ε ραν βαῖνον.᾿Ερέτησ. ὁ κωπηλάτης καὶ ἐρετικός.᾿Ερετμόσ. ἡ κωπηλασία. ᾿Ερετριεύσ. κύριον. καὶ᾿Ερέτρια, πόλις.᾿Ερεγμόσ. ὁ διασχιζόμενος κύαμος. ἐκ τούτου δὲ καὶ τὸ ἐρείκω, τὸ σχίζω.᾿Ερεχθεύσ. ὁ᾿Εριχθόνιος λεγόμενος. ἀπὸ τοῦ ἐσπάρθαι εἰς τὴν ε ραν· η ἀπὸ τῆς ὀρέξεως τοῦ῾Ηφαίστου.᾿Ερημαῖοσ. ὁ ε ρημος λόφος. ᾿Ερημοσκόποι. οἱ ῥαθυμοφύλακες. ε ρημον γὰρ καὶ τὸ ἀκίνητον καὶ νωθρόν. ᾿Εριβρεμέτασ. μεγαλοκτύπους. ἀπὸ τοῦ ε ρι ἐπιτατικοῦ μορίου, καὶ τοῦ βρέμω, τὸ ἠχῶ.᾿Εριαύχενασ. μεγαλοτραχήλους.᾿Ερίγδουποσ. ὁ μεγάλους κτύπους ποιῶν διὰ τῶν βροντῶν. τὸ ¯γ παρέλκον ἐστίν. epsilon.859᾿Ερίηρεσ. εὐάρμοστοι η ἐπιθυμητοί. ᾿Ερίθακοσ. ο ρνεον μονῆρες καὶ μονότροπον.᾿Εριθηλέσ. ὁ μεγάλως θάλλων. Εριθοσ. ὁ ἐργάτης. σημαίνει καὶ τὴν γυναῖκα τὴν ἐργαζομένην τὰ ε ρια. καὶ ἐπὶ μὲν τοῦ ἐργάτου ἀπὸ τοῦ ε ρα, ο ἐστιν ἡ γῆ, κατὰ μετάθεσιν τοῦ ¯α εἰς ¯ι· ἐπὶ δὲ τῆς γυναικὸς ἀπὸ τοῦ ε ριον γέγονεν ε ριθος.᾿Ερινεόσ. ἡ ἀγρία συκῆ, καὶ ὁ ἐκ ταύτης καρπὸς, ο ν ἀπαρτῶσι ταῖς ἡμέραις συκαῖς. ᾿Εριούνιοσ. εἰρηνικὸς, ὠφέλιμος. ᾿Ερικνώδησ. διεῤῥηγμένος.᾿Ερισμάραγοσ. βαρύηχος.᾿Ερίσχηλοσ. λοίδορος. ἀπὸ τοῦ ἐρίζειν διὰ τῶν χειλέων. ἐρίλεσχος τὶς ω ν, ὁ ἐξ ε ριδος λεσχαίνων.᾿Ερίτιμοσ. ὁ μεγαλότιμος, καὶ μεγάλως ε ντιμος. καὶ ἐριτιμώτατος.᾿Εριχθόνιοσ. ὁ῾Ερμῆς. μετασυντέθειται ἡ λέepsilon.860 ξις. ω σπερ γὰρ λέγομεν φθινόπωρον καὶ μετόπωρον καὶ πάλιν φθινομετόπωρον, ου τω ἐριούνιος῾Ερμῆς καὶ χθόνιος καὶ ἐριχθόνιος῾Ερμῆς. ῾Ερικούδιον. τὸν φύλακα τοῦ οι κου᾿Αθηναῖοι καλοῦσιν. ε ρκιον γὰρ τὸν οι κον ἐκάλουν.῾Ερκίτησ. ὁ φύλαξ.῾Ερμᾶν. υ φαλος πέτρα. ου τως᾿Αντιφῶν καὶ᾿Ανακρέων καὶ᾿Αριστοφάνης.῾Ερμαφρόδιτον. τὸν αἰσχρῶς ποιοῦντα καὶ πάσχοντα.῾Ερμαῖοσ. ὁ τετράγωνος λίθος.῾Ερμῆσ. ου τος η ν Αἰγύπτιος σοφὸς, η κμαζε δὲ πρὸ τοῦ Φαραώ. ῾Ερμῆς ὁ τρισμέγιστος.῾Ερμιονεῖσ. ο νομα ε θνους.῾Ερμείασ. κύριον.῾Ερμοκοπίδαι. ου τοι ἠκρωτηρίασαν τοὺς῾Ερμᾶς, ο τε ε μελλον πλεῖν ἐν Σικελίᾳ.῾Ερμῖνεσ. οἱ τῆς κλίνης πόδες. Ερμων. ποταμός. epsilon.861῾Ερμονιείμ. τὸ ο ρος τοῦ᾿Αερμών. Ερον. τὸν ε ρωτα. ε ρον σμίκρυνε· τὸν γέλων μέγα γράφε. Ερουλοι. ο νομα ε θνους. ῾Ερπηστικόσ. ὁ ε ρπων. καὶ ἑρπησμὸς καὶ ἑρπηστής. Ερπυλοσ. ει δος φυτοῦ εὐώδους, σαμψύχῳ ο μοιον, ο μάλιστα ἐν τοῖς υ δασι θάλλει. παρὰ τὸ ε ρπειν ἐν τῷ αυ ξεσθαι. ῾Ερσαῖοσ. δροσώδης.᾿Ερύγμηλοσ. μεγαλόφωνος. ταῦρον ἐρύγμηλον. ἐρύγμηλος ὡς βέβηλος. τὰ γὰρ διὰ τοῦ ¯η¯λ¯ο¯ς ὑπὲρ δύο συλλαβὰς προσηγορικὰ η κύρια προπαροξύνονται. οι ον· κάμηλος, φάσηλος. τὰ μέντοι ἐπιθετὰ ὀξύνονται, ο τε ε χει παρασχήματα θηλυκά. οι ον· σιγηλὸς, ὑψηλὸς, μιμηλός. τὰ δὲ μὴ ου τως ε χοντα προπαροξύνονται. οι ον· κάπηλος, βέβηλος. ου τως ου ν ἐρύγμηλος.᾿Ερυθραῖοι. οἱ ἀπὸ πόλεως τῆς ἐν᾿Ιωνίᾳ᾿Ερυ θρᾶς καλουμένης.᾿Ερύπειοσ. τόπος ου τω καλούμενος. ᾿Ερανιστήσ. κυρίως ὁ τοῦ ἐράνου μετέχων, καὶ epsilon.862 τὴν εἰσφορὰν, η ν ἑκάστου μηνὸς ε δει καταβάλλειν, εἰσφέρων.᾿Αριστοφάνης· ὁλκὰς πρώην ἐρανιστὰς ἐσθίων ε ψημα ε τνος. Ερωσ. ὁ στέφανος παρὰ Νικαεῦσιν, ὁ ἐκ τῆς γῆς ἠρανισμένος. ᾿Ερωτομανήσ. ὁ μανικῶς καὶ ἐπιθυμητικῶς ε χων τοῦ πορνεύειν.᾿Ερώεισ. ὁ ὑποχωρῶν. η καὶ ὁ ἐπιθυμητικός.᾿Ερωδιόσ. ο ρνεον ο μοιον πελαργῷ. Δαβίδ· τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. αὐτῶν μέντοι τῶν στρουθίων ἡγεῖσθαι φασὶν τὴν οἰκίαν η τοι τὴν καλιὰν τοῦ ἐρωδιοῦ. διὰ τί τοῦτο; τὰ ὑψηλότατα τῶν δένδρων καταλαμβάνοντες οἱ ἐρωδιοὶ νεοττεύουσιν, ὡς ἐπίπαν ἐν ἐλάταις ταῖς πασῶν ὑψηλοτάταις τῶν δένδρων. καὶ᾿Ακύλας. φησίν· ἐρωδιῷ ἐλάται οι κος αὐτῷ· τῷ δὲ ἰκτίνῳ βόρατον οι κησις. οὐδὲ τοῦτο μάτην προσέθηκεν ὁ Δαβὶδ, ἀλλ' ι να δηλώσῃ, πόσην καὶ τοῖς ε ξω ζώοις ὁ δημιουργὸς ἐνέθηκε σύνεσιν. ω στε εἰδέναι τοῖς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνετωτέροις τὴν ἡγεμονίαν πτήσεώς τε καὶ κατοικίας χρήσασθαι· ἐπειδὴ συνετὸς ει ναι ὁ ἐρωδιὸς λέγεται, ω στε καὶ σφόδρα ζηλοῦν τὰ η θη τὰ ἀνθρώπεια καὶ λίαν epsilon.863 πρὸς τὸν κεκτημένον ἡδέως ε χειν, ο πέρ ἐστι συνέσεως ι διον. ο πως δέ ἐστι συνετὸν, καὶ῾Ιερεμίας ἐδήλωσε. φασὶ γάρ· ἡ ἀσίδα ἐν τῷ οὐρανῷ ε γνω τὸν καιρὸν αὐτῆς· τὸν ἐρωδιὸν λέγων. Γρηγόριος δὲ ὁ Νυσσῆς λέγει ἀπεχθῶς περὶ τὰς μίξεις τῶν ἐρωδιῶν, καί τινι φύσεως ἀνάγκῃ πρὸς α λληλα συνδυάζεσθαι, ὀκλάζοντά τε καὶ δυσανασχετοῦντα καὶ τὴν ἀηδίαν ἐπισημαίνοντα. ο θεν μοι δοκεῖ τὴν καθαρότητα ἐναινίγματον διὰ τοῦ ὀνόματος τούτου σημαίνειν ὁ λόγος. ᾿Αναστάσιος δὲ ὁ μητροπολίτης Νικαίας φησὶν, ἐπειδὴ ἁπλῶς ει πεν· ἐκεῖ στρουθία ἐννοσσεύουσι, τῷ υ ψει τῶν κέδρων ἐπήγαγε καὶ αὐτὸ τὸ γένος. λέγει δὲ, ο τι ἡγεῖται τῶν τοιούτων στρουθίων ὁ ἐρωδιός. αἰνίττεται δὲ ὀρνίθων φιλέρημον γένος, ει τε ὁμωνύμως τοῦ συνοικοῦντος ἀνθρώποις ἐρωδιοῦ κἀκεῖνα καλεῖ· ει τε καὶ ι διον α λλο γένος ἀγριωτέρων πετεινῶν αἰνίττεται, καθόλου ἐκεῖνο σημαίνει, ο τι τὰ υ ψη τῶν δένδρων πετεινοῖς τισὶν ε κκειται πρὸς νεοττείαν τὲ καὶ οι κησιν.᾿Ερυσιπέλασ. πάθος πλανώμενον καὶ σῆπον καὶ τὰ πλησίον ἐπινεμόμενον. Ερωσ. ἡ ἐπιθυμία. παρὰ τὸ ὁρῶ τὸ βλέπω. ὁ διὰ τῆς αἰσθητῆς ὁράσεως γινόμενος πόθος. η παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ.῾Ερμείασ. κύριον. παρὰ τὸ ἐρῶ, τὸ λέγω, η παρὰ τὸ ἑρμηνεύω.῾Ερμείας γὰρ καὶ῾Ερμῆς λέγεται ὁ τοῦ λόγου ἡγούμενος. epsilon.864 (Θηλυκόν.) Ερα. ἡ γῆ, ο τι ἐνεῤῥίζωται. καὶ ου τως καλοῦσιν ἐρίσαι τὸ παρὰ ι σης γῆς φιλονεικῆσαι. Ομηρος· ω τ' ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζητον περὶ ι σης– ε νθεν καὶ τὸ ε ραζε τὸ σημαῖνον τὴν γῆν. αι ρα δὲ ἡ τοῦ σίτου, δίφθογγον.᾿Εργάνη. ἡ Ἀθηνᾶ, παρόσον ε φορός ἐστι τῆς τῶν γυναικῶν ἐργασίας. σημαίνει δὲ καὶ τὴν ἐργασίαν.᾿Εργάτιδεσ. αἱ ἐργαζομέναι γυναῖκες τὰ τῶν ἀνδρῶν ε ργα.᾿Εργίσκη. πόλις ἐν Θράκῃ, ἀπὸ᾿Εργίσκου τοῦ Ποσειδῶνος.᾿Ερετρία. ο νομα πόλεως.᾿Ερεσχελία. ἡ φλυαρία, φιλονεικία. ἐξ ου καὶ ἐρεσχελεῖται, ο ἐστι διαπαίζεται καὶ χλευάζεται.᾿Ερεβενὴ νύξ. ἡ σκοτεινή.᾿Ερεμνή. σκοτεινή. παρὰ τὸ ε ρεβος. ἐρεβένη καὶ ἐρέμνη κατὰ συγκοπήν. καὶ ἐρεμνός.᾿Ερείκη. ει δος φυτοῦ σχιστοῦ. η εὐσχιδὲς ξύλον. ἀπὸ τοῦ ἐρείκω, τὸ σχίζω.῾Ησίοδος ἐν ᾿Ασπίδι· διήρεικον χθόνα δῖαν. καὶ ε ρειξις ἡ διεσχισμένη γῆ.᾿Ερείπιοσ. ἡ χέρσος γῆ. ᾿Ερειπίωσισ. ἡ πτῶσις. epsilon.865᾿Εραία. ὁ κλάδος. σημαίνει δὲ καὶ τῆς ἐλαίας τὸ σκυβαλῶδες η καὶ μαλλίον.᾿Ερήμη δίκη. ο ταν μὴ παρόντων τῶν μερῶν ὁ δικαστὴς τὴν ψῆφον ἐξενέγκῃ.᾿Ερήμη νίκη. ἡ μονομερῶς ζητηθεῖσα, καὶ μὴ δεξαμένη ἐκ τινῶν ἐμποδίων τὸ πέρας.᾿Ερημία. ἀπορία, σπάνις. Ερημοσ. κυρίως ἡ μονωθεῖσα τῶν ἐνοικούντων τῇ γῇ. ἀπὸ τοῦ η ρεμος κατὰ ἐναλλαγὴν τῶν στοιχείων. η ἀπὸ τοῦ ε ραν μόνον ε χειν, ο ἐστι τὴν γῆν.᾿Ερίθεια. ὁ ζῆλος, η καταλαλιὰ, η κακολογία, η διὰ τῶν λόγων φιλονεικία. λέγεται καὶ ἡ δουλεία, καὶ ἡ μισθαρνία. η ἐρίθειά ἐστιν ἐξ ω ν ποιεῖ τὶς ἐπιδεικτικῶς η κενοδόξως. προσκαλεῖσθαι καὶ ἐρεθίζειν α λλους πρὸς τὰ ο μοια. Ερισ. ο ταν τις ὑπὲρ τοῦ μὴ ἐλάττων φανῆναί τινος σπουδάζῃ τι ποιεῖν. ε ρις παρὰ τῷ᾿Αποστόλῳ ἡ διὰ λόγων ἐπίψογος φιλονεικία. ἐκ τοῦ ε ρω τὸ λέγω.᾿Ερίπναι. οἱ σηραγγώδεις τόποι, καὶ παρατεταμένοι καὶ ἀπεῤῥωγυῖαι πέτραι, δι' ω ν μεepsilon.866 γάλαι πνοαὶ εἰσδύνουσιν. ἐριπνοαὶ, ἐρίπναι, ἀντὶ τοῦ μεγάλαι καὶ ὑψηλαί.᾿Εριννύσ. δαίμων ὑποχθόνιος η τιμωρητική.᾿Εριώλη. πνοὴ σφοδρὰ, η ἀνέμου συστροφὴ, η πυρὸς, καὶ ἡ τῆς ἀναθυμιάσεως συστροφὴ, πρὶν ἐκπυρωθῆναι τὸν ἀέρα.᾿Εριβώλαξ. ἡ ευ γειος γῆ καὶ λιπαρά. Ερση καὶ ε ρσοσ. ἡ δρόσος. θηλείας ε ρσης ἰκμάδα γευόμενος. οἱ γὰρ τέττιγες δρόσον σιτίζονται. παρὰ τὸ α ρδω α ρση καὶ ε ρση. ποτίζεται γὰρ ὑπ' αὐτῆς πάντα τὰ φυτὰ καὶ κατάρδεται. Ερσισ. τὸ πλεξείδιον. παρὰ τὸ ει ρω τὸ συμπλέκω.᾿Ερσεφορία. δροσοφορία.᾿Ερσηλία. κύριον.᾿Ερυγή. πνεύματος ἀναπομπὴ ἐκ τοῦ στομάχου. ε νθεν καὶ τὸ ἐξερεύξατο. η πνεῦμα κρύφιον κατὰ τὴν ζέσιν τῆς τροφῆς ἀποῤῥηγνυμένων τῶν πομφολύγων ἐπὶ τὸ α νω διαπνεόμενον. ἐρυγὴ καὶ ἡ κραυγή.᾿Ερύθεια. πόλεως ο νομα. epsilon.867᾿Ερυθρὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θάλασσα. ἀπὸ τοῦ Ἐρυθροῦ βασιλέως πεσόντος ἐκεῖ καὶ πνιγέντος, οὐ ἐν τῷ τάφῳ ἐπιγέγραπται· ἐνθάδε τάφος ἁλὸς παμμεδέοντος Ἐρυθροῦ. ἢ παρὰ τὸ τὰ παρακείμενα ὄρη εἶναι ἐρυθρά. Ἐρυσίβη. ἡ κονιορτώδης φθορὰ τοῦ σίτου, ἢ τὸ ἐκ τοῦ ἀέρος καὶ τῆς πάχνης γινόμενον φθαρτικόν. ἀπὸ τοῦ ἐρύω, τὸ κωλύω, καὶ τοῦ βῶ, τὸ τρέφω. Ἐρχία. δῆμος τῆς Ἀττικῆς. Ἐρωή. ὑποχώρησις ἢ ὁρμή. Ἐρώτησισ. ἔνδοξος πρότασις διαλεκτική. ἐρώτησις διαλεκτική. ἀποκρίσεως αἴτησις, ἢ τῆς προτάσεως, ἢ θατέρου μορίου τῆς ἀντιφάσεως. Ἐρίῳ στέψαντεσ. ἀντὶ τοῦ στέμμα παραθέντες. Ἑρκτή. παρὰ τὸ ἕρκος. Ἔριδι. μάχη. οὕτως ὁ Ἀπόστολος· μὴ ἔριδι καὶ ζήλῳ. τὸ ζήλοις περὶ βασκανίας λέγει. παρὰ τὸ ἐρῶ τὸ λέγω. ἢ παρὰ τὸ ἐρίζω τὸ φιλονεικῶ. epsilon.868 (Οὐδέτερον.) Ἐράνιον. ἐκ συνεισφορᾶς δῶρον. Ἔργον. ἡ παρασκευὴ τοῦ πολέμου. ἔνθα κεν οὐκέτι ἔργον ἀνὴρ ὀνόσαιτο– τὰ γεώργια. πολλὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε κάλ' αἰζηῶν. καὶ τὸ κυρίως ἔργον. ἀλλ' ἐς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμισον. Ἔργον εἰπεῖν. χαλεπὸν εἰπεῖν. Ἐργωδέστερον. δυσκολώτερον, ἢ δυσκαταληπτότερον. Ἐργῶδεσ. μετὰ πόνου γινόμενον, δυσχερές. Ἔρεβοσ. τὸ σκότος. Ἐρέθισμα. διέγερσις καὶ ἡ ὕβρις. μετὰ δὲ οὐ φέρων ἔτι τὸ ἐρέθισμα, ἀντήλασε τὸν ἵππον. Ἐρέσσιον. πόλις Βοιωτίας. Ἐρέψιμον. εἶδος πόας. σημαίνει δὲ καὶ τὸ ἄκαρπον φυτόν. Ἐρεοῦν κλῶσμα. τὸ μαλλίον. ἐρεοῦν καὶ λινοῦν περισπᾶται. τὰ πληθυντικὰ τούτων συστέλλουσι, λινὰ καὶ ἐρέα. οἱ δὲ Ἀττικοὶ τὰ epsilon.869 οὐδέτερα πληθυντικὰ ὁμοίως τοῖς ἑνικοῖς περισπῶσι. τὰ ἀργυρᾶ· τὰ πορφυρᾶ· τὰ χαλκᾶ· τὰ χρυσᾶ. Ἐρειπίοισ. ἐν τοῖς πτώμασι τῶν νεκρῶν. ἐν δ' ἐρειπίοις νεκρῶν ἐῤῥιφθείς. Ἐρεικτά. σχιστά, ἄλευρα ἢ κεκομμένα ὄσπρια. ἢ τὰ σχιζόμενα ξύλα. Ἀριστοφάνης· ἧψε κατ' ἐρεικτῶν χύτρας. Ἔρεισμα. στήριγμα. ἔρισμα δὲ ἡ ἔρις, ι. Ἐρείπιον. τὸ ἡμίπτωτον οἴκημα. καὶ ἐρείπιος γῆ, ἡ χέρσος. Ἔρημον. τὸ ἀκίνητον καὶ νωθρόν. Ἐρήματα. τὰ θρέμματα. καὶ ἔρημα ποιητικῶς. Ἔριον. τὸ μαλλίον. καὶ εἶρος ὁ πόκος. οἷον· ἰοδνεφὲς εἶρος ἔχουσα. παρὰ τὸ ἔῤῥω, τὸ φθείρω, περὶ ὃ ταλαιπωροῦσιν αἱ ἐργαζόμεναι. ἢ ὅτι ἔαρι κείρεται τὰ πρόβατα. epsilon.870 Ἐριβρύχων. πολυήχων. ἐριβρύχων ὑδάτων. Ἕρκοσ. περίφραγμα, τείχισμα. ἕρκος περιθέντες. Ἕρμα. λίθος μέγιστος. ἕρμα τὲ εἰς τὴν πρύμναν ἐνθέντες τοῦ ἐξᾶραι εἰς ὕψος τὴν πρῶραν πιεζομένης κατὰ πρύμναν τῆς νηός. Ἑρμάδιον. τὸ τοῦ Ἑρμοῦ. Ἑρμωνιείμ. ὄρος μικρὸν ἐγγὺς τοῦ Ἰορδάνου, ἐν ᾧ Ἠλίας ἀνελήφθη. ἑρμηνεύεται καὶ ὁδὸς λύχνου, ὡς τοῦ ἁγίου βαπτίσματος ὁδὸν ἀνοίγοντος φωτισμοῦ. Ἕρμαιον. εὕρημα ἐπικερδές. Ἔρνοσ. ὁ κλάδος, τὸ ἐκ τῆς ἔρας νεόμενον καὶ αὐξούμενον. Ἐρσήεντα. δροσώδη, νεαρά. καὶ ὁ ἐρσήεις ἐπὶ ἀρσενικοῦ. Ἐρυθρόν. μέλαν, κόκκινον, πυῤῥόν. παρὰ τὸ ἐρύω, ἐρύσω, ἐρυτρὸν καὶ ἐρυθρόν. ἐρυθρὸν δὲ λέγεται τὸ ἐρύον καὶ κωλύον. ἢ παρὰ τὸ ἐρεύθω τὸ βάπτω, ἐρευθὸν καὶ ἐρυθρόν. epsilon.871 Ἐρύθημα. βάμμα κόκκινον ἢ πυῤῥὸν ἢ μέλαν, ἢ ἡ ῥίζα ἡ λεγομένη ἐρυθροδάνη. λέγεται καὶ ἐρυθρόδανον. Ἔρυμα. φύλαγμα, ἀσφάλεια. Ἐρυμνόν. ἰσχυρὸν, στερεόν. Ἐρυμβόνα τὰ τιμιώτατα εἰς ἀσωτίαν ἀφειδεστάτην. ἀπὸ τοῦ ῥυμβονῶ ῥήματος. Ἐῤῥωμενέστερον. ὑγιεινότερον, γενναιότερον. (Ῥῆμα.) Ἐρανίζειν. παρὰ τὸ συλλέγειν ἔρανον παρὰ τῶν φυλῶν. οὐχὶ ἐρανίζεσθαι. Αἰσχίνης· ἐρανίζειν στεφάνους κηρύγματα ψευδῆ φιλοτιμίαν κτᾶται. Ἐρᾷ. ἐπιθυμεῖ. Ἐράσθην. οὐκ ἀπὸ τοῦ ἐρῶ· ἦν γὰρ ἠράσθην, ὡς μακρᾶς οὔσης τῆς παραληγούσης· ἀλλ' ἀπὸ τοῦ ἐρῶ γίνεται ἐράζω, τετάρτης συζυγίας τῶν βαρυτόνων. Ἔρδει. πράττει. Ἐρεσχελεῖται. διαπαίζεται, χλευάζεται. ἐριστικῶς ἐρωτᾶται. Ἐρεπτόμενοι. κυρίως τὸ ἐπὶ ἀλόγων ἐσθίειν. οἷον· –κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας. epsilon.872 παρὰ τὸ ἀπὸ τῆς ἔρας, ὅ ἐστι τῆς γῆς, ἔχειν τὴν τροφήν. Ἐρέσσειν. κωπηλατεῖν. ἔστιν ἐλῶ, τὸ ἐλαύνω. γίνεται ἐλέσσω καὶ ἐρέσσω, καὶ τὸ ἀπαρέμφατον ἐρέσσειν. Ἐρεύω. οἱ μὲν ἀπὸ τοῦ ἐρέσσω, ἐρεύω, ὃ σημαίνει τὸ ἐλαύνω. ἐρευνωμένης ἁλὸς ἔξω. Ἐρέφω καὶ ἔρεψα. ἀντὶ τοῦ ἐκόσμησα καὶ ἐστεφάνωσα. τὸ θέμα ἐρέφω. οἱ μὲν, ὅτι πρωτότυπον· οἱ δὲ ἀπὸ τῆς ἔρας, ὅ ἐστι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

τῆς γῆς.᾿Ερέπω. σκέπω. Ερεσθαι. ἐρωτᾷν.᾿Ερεθίζει. παρορμᾷ, παροξύνει, παραθήγει, ἀνάπτει. τῇ ῥιπίδι τὸ πῦρ ἐρεθίζει.᾿Ερῤέτω. φευγέτω, οἰμωζέτω.᾿Ερεβοδιφῶντες καὶ ἐρεβοδιφῶσι. τὰ ὑπὸ τὸ σκότος ψηλαφῶσι καὶ τὰ ὑπὸ τὸν Τάρταρον.᾿Ερεείνω. ἐρωτῶ.᾿Ερέμβοντο. ἀπεπλανῶντο.᾿Ερέσσουσι. κινοῦσι. τοίας ἐρέσσουσιν ἀπειλάς. ᾿Ερετμῶσαι. κωπηλατῆσαι. epsilon.873᾿Ερέψεισ. καλύψεις. σκεπάσεις. *κοσμήσεις.* ᾿Ερῤέθη. ἐλέχθη. ἀπὸ τοῦ ῥῶ, ῥήσω, ε ρηκα, ε ρημαι, ἐῤῥέθη.᾿Ερείδειν. ἀκκουμβίζειν καὶ τὸ συνουσιάζειν.᾿Ερείομαι. ἐρωτήσω.᾿Ερεῖτε. λέγετε.᾿Ερείπω. τὸ καταβάλλω. Ερῤει. ἀντὶ τοῦ ε ῤῥεε, καὶ ἀφθόνως ἐχορηγεῖτο. ε ῤῥει γάρ οἱ κατὰ πρύμναν τὰ ἐκ τῆς τύχης.᾿Ερήρειστο. η δραστο, η ρμοστο, ἐπέπηκτο. φυλάσσει τὴν ¯ε¯ι δίφθογγον πρὸς ἀντιδιαστολὴν τοῦ ἐρήρισται, ο περ σημαίνει τὸ φιλονεικῶ. ε στι δ' ο τε οἱ Δωριεῖς φυλάττουσι φύσει μακρὰ, οι ον ὁρῶ, ὁρήσω, ω ρηκα, καὶ ἀττικῶς ὀρώρηκα. καὶ φυλάττεται παρὰ Δωριεῦσιν ἡ φύσει μακρά. ἡνίκα δὲ ε χει τὴν ¯ε¯ι δίφθογγον η τὴν ¯ε¯υ ἐν τῷ᾿Αττικῷ παρακειμένῳ, τότε καὶ τὸ ¯ε ἀποβάλλει.᾿Ερηρεισμένοσ. ὁ ἡδρασμένος. ἐρηρισμένος δὲ ὁ πεφιλονεικημένος, ¯ι.᾿Ερηρωτηκώσ. η δη ἐρωτήσας. ᾿Ερῤήσετε. ἀντὶ τοῦ μετὰ φθορᾶς βαδίζετε. ἐπὶ κατάρας· οὐκ ἐς κόρακας ἐῤῥήσετε. ᾿Ερηρέδαται. ἀπὸ τοῦ ἐρείδω, η ρεικα, η ρεισμαι, epsilon.874 η ρεισται, καὶ ἰακῶς ἐρηρέδαται, τῆς τρίτης συλλαβῆς συσταλείσης.᾿Ερήριπτο. ἐπεπτώκει.᾿Ερήτυθεν. ἀντὶ τοῦ κατέσχεν. ᾿Ερητύω. τὸ κωλύω. ᾿Εριδαίνεται. φιλονεικεῖ. ᾿Ερῤίφθων. ἀποῤῥιφθήτωσαν.᾿Εριθευόμενοσ. διὰ λόγων φιλονεικῶν. καὶ ο σα νοῶ ἐριθευόμενος. ᾿Εριποῦσα. πεσοῦσα. ἐριπῶ γὰρ τὸ καταπίπτω, περισπωμένως.᾿Ερῤιπτασμένον. γεγυμνασμένον. εὑρημένον. πολλαῖσί τ' ἀγρυπνίαις ἐῤῥιπτασμένον.᾿Ερῤικνωμένον. ε χον ῥυτίδας, η πεπαλαιωμένον καὶ διεῤῥηγμένον.᾿Ερισχελεῖν. τὸ λοιδορεῖν καὶ εἰς ε ριν προσκαλεῖσθαι. καὶ ἐρίσχηλος ὁ λοίδορος.᾿Ερομένῳ. ἐρωτῶντι. ἐρωμένῳ δὲ τὸ ἐπιθυμοῦντι, μέγα. ἀπὸ τοῦ ἐράω, ἐρῶ, τὸ ἐπιθυμῶ. Ερομαι. ἐρωτῶ.᾿Ερόγευον. δι' ἑνὸς ¯ρ ὡς σεσημειωμένον.᾿Ερῤόντων. φθειρέσθωσαν. Ερσαι. δροσίσαι. γίνεται παρὰ τὸ ει ρω. ὁ μέλλων ε ρσω, αἰολικῶς ε ρσαι. ἀπὸ τοῦ ει ρειν καὶ epsilon.875 κατέχειν τὴν ἀναπνοὴν, ο θεν καὶ εἱρκτὴ παρὰ τὸ ε ρκος.῾Ερπύζω. βαδίζω. καὶ ἑρπυσμός. ᾿Ερυγγάνειν. ἐρεύγεσθαι. καὶ εἰ περίβλεπτον καὶ δόκιμον ἠρύγγανε γένος, δοῦλος ἐπιπράσκετο.᾿Ερυθαίνει. πυῤῥὸν ποιεῖ η κόκκινον η μέλαν. ο θεν καὶ ἐρύθημα ἡ ῥίζα ἡ λεγομένη ἐρυθρόδανον η ἐρυθροδάνη. καὶ ἐρυθαίνεται.᾿Ερῤύθμισεν. ἐκανόνισε. διετύπωσεν.᾿Ερυθροδανωμένον. κόκκινον, πυρὸν η μέλαν. τοιοῦτον γὰρ ἡ ῥίζα τῆς ἐρυθροδάνης.᾿Ερυκέμεναι καὶ ἐρυκέμεν. ἀντὶ τοῦ κατέχειν η κωλύειν.᾿Ερύω. τὸ ἑλκύω.᾿Ερυσάμενοσ. ἑλκύσας.᾿Ερύσαντασ. ἑλκύσαντας. ἐκδείραντας. ἐρύσαντας τὸ δέρμα σὺν τῷ χάσματι φυλάττειν.᾿Ερχθέντα. ἐν υ δασιν ἀποπνιγέντα. Ερῤω. τὸ φθείρω, ὡς τό· ε ῤῥε, κακὴ γλήνη– παρὰ τὸ ῥῶ, φθείρω, ἐν συνθέσει τοῦ ε ρι κατὰ συγκοπὴν ε ῤῥω. epsilon.876 Ερῤων. μετὰ φθορᾶς παραγενόμενος, η πορευόμενος. ᾿Ερῤῶσθαι φράσασ. οἰμώζειν εἰπών· κατεγνωκώς.᾿Ερωήσασ. ἀντὶ τοῦ μειώσας, κατεάξας· η ὁρμήσας η ὑποχωρήσας.᾿Ερῤώγασιν. ἐσχίσθησαν. Ερῤωσο. ὑγιαίνοις. ε ῤῥωσο ἐν θεῷ.᾿Ερωτῶ σε. παρακαλῶ σε, ἱκετεύω σε. ἐλθεῖν πρὸς αὐτὸν ἐπὶ τὸ δεῖπνον ἠρώτα· ἀντὶ τοῦ παρεκάλει. παρὰ τοῦ ε ρωτος γενικὴν γέγονεν ἐρωτῶ. οἱ γὰρ ἐρωτῶντες ο ευ χονται μαθεῖν τοῖς ἐρῶσιν ἐοίκασιν.᾿Ερῤήθησαν. ἀντὶ τοῦ παρηγγέλθησαν. ὁ᾿Απόστολος· τῷ δὲ᾿Αβραὰμ ἐῤῥήθησαν αἱ ἐπαγγελίαι.᾿Εργαζομένῳ. κατορθοῦντι. ου τως ὁ᾿Απόστολος· τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα. (῾Επίῤῥημα.) Εραζε. χαμαὶ, εἰς τὴν γῆν.᾿Ερεβόθεν. ἐκ τοῦ σκότους. epsilon.877᾿Ερῤωμένωσ. ὑγιῶς.᾿Ερωτικῶσ. ἐπιθυμητικῶς.᾿Ερωμανῶς καὶ ἐρωτομανῶσ. ὁ ἐν τῷ ε ρωτι μαινόμενος. Τὸ Ε μετὰ τοῦ Σ. (᾿Αρσενικόν.)᾿Εσσαῖοι. ου τοι ὑπέρτεροι σφόδρα καὶ λίαν ὑπερκείμενοι τῶν Φαρισαίων κατὰ τὴν πολιτείαν. στιβαρὸν γὰρ γένος ἑρμηνεύονται, διὰ τῆς τοῦ ὀνόματος ἐκδόσεως. ὑπαγορεύουσι δὲ τὰς βίβλους ὁμοίως τοῖς Νασσαραίοις· τὴν οἰκείαν δὲ πίστιν ἀρνοῦνται στόματι. καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦτο ποιοῦντες φασὶ μὴ ε χειν ἁμαρτίαν. μισοῦσι δὲ τὴν ἐγκράτειαν καὶ κατὰ ἀνατολὰς οὐκ ευ χονται. τινὲς Οσσαῖοι γράφουσιν. †' Εσσηρός. ὁ μάντις.†' Εσσεβών. ὁ ἀῤῥαβὼν, ἑβραϊστί. καὶ ἀντὶ τοῦ ε σωθεν.' Εσσήν. ὁ βασιλεὺς τῶν μελισσῶν. ἡ γενικὴ τοῦ ἐσσῆνος. epsilon.878 ' Ες κόρακασ. εἰς σκότος. εἰς ο λεθρον. ' Εσμόσ. κυρίως τὸ πλῆθος, καὶ ὁ ο χλος τῶν μελισσῶν. παρὰ τὸ α μα πετομένας ι εσθαι.' Εσπέριοι. οἱ ἐπὶ τὴν δύσιν οἰκοῦντες. Εσπεροσ. ἀστὴρ, ο ς κάλλιστος ἐν οὐρανῷ ι σταται. ει τε καὶ ὁ καιρὸς, ει τε καὶ ὁ ἀστήρ. ἀπὸ τοῦ ε σω ποιεῖν τὰ ζῶα περᾷν ἀναπαυσόμενα. η ὁ πέρας τῆς ἑῴας φέρων.' Εστιαιεύσ. κύριον. καὶ' Εστιαῖος.' Εστιάτωρ. ὁ δειπνοκλήτωρ. ' Εσχαρίτησ. α ρτος ὁ ἀπὸ κλιβάνου. Εσχατοσ. ὁ τελευταῖος. ἀπὸ τοῦ ε χω. ε χατος καὶ ε σχατος. περὶ τὰ τέλη γινόμενοι, ἐνεχόμεθα η βαδίζειν η ἀριθμεῖν, η ο , τι ποιεῖν οὐκ ε τι προβῆναι δύναται. ἀλλὰ υ στερος κεῖται τοῦ πρώτου. (Θηλυκόν.)' Ες ἀώ. εἰς μίαν ἡμέραν. ' Εσαώρασ. εἰς καιρούς. Εσσα. ο νομα πόλεως. epsilon.879 ' Εσθήσεσιν. ἱματίοις. ἐσθήσεσιν ἀστραπτούσαις. ' Εσθήσ. τὸ ἱμάτιον. παρὰ τὸ ε ω, τὸ ἐνδύομαι, ἐστής. ω σπερ παρὰ τὸ ἀργὸς ἀργὴς, ἀφ' ου τό· –ἀργῆτα κεραυνόν. καὶ γυμνὸς γυμνής· ου τως καὶ ἐστὸς ἐστὴς καὶ ἐσθής.' Εσία. ἡ πρεσβεία. αἰσία δὲ ἡ δικαία καὶ ἡ πρέπουσα, δίφθογγον. ' Εσκουπονδία. στρατιωτικὰ ἐφόδια κατὰ' Ρωμαίους.' Εσπέρα. ἡλίου στέρησις η πέρας τῆς ἡμέρας· ε ως γὰρ ἡ ἡμέρα.' Ες ἠῶ. εἰς ἡμέραν.' Εστιάδεσ. αἱ ἱέρειαι.' Εστία. ἡ οἰκία, δίαιτα, οι κησις, βωμὸς, χυτρόπους, ἐσχάρα.' Εστιατορία. ἡ ἑστίασις.' Εσχατιά. τὸ ε σχατον μέρος τῆς ἐρημίας, η ὁ ε σχατος τόπος τῆς γῆς, η τὰ νομὰς ε χοντα χωρία. καὶ τὰ πρὸς τοῖς τέρμασι τῶν χωρίων ἐσχατιὰς ε λεγον, οι ς γειτνιᾷ ο ρος ει τε θάλασσα. epsilon.880 ' Εσχάτη ἀδικία. α κρα καὶ τελεία. ' Εσχατόωσαν. ἐσχάτην κειμένην. ' Εσχάρα. Λυκοῦργος καὶ ' Αμμώνιος τὴν ἑστίαν λέγουσι τὴν μὴ ε χουσαν υ ψος, ἀλλ' ἐπὶ γῆς ἱδρυμένην η κοίλην. παρὸ καὶ τοὺς ἰατροὺς τὰ ἐν σώματι κοῖλα ε λκη λέγουσι καλεῖν ἐσχάρας. ' Εσχάραι καὶ αἱ ἐπ' ἐδάφους ἀνθρακίαι. ο σσαι γὰρ Τρώων πυρὸς ἐσχάραι. ' Εσχάτη γαστήρ. τὸ κοιλοέντερον λέγει ὁ' Ιπποκράτης. καὶ ὁ Ψελλός· τὸν θώρακα δὲ κίθαρον, κρατῆρας τοὺς ὀδόντας. τὸ κῶλον καὶ τὸ ε ντερον ἐσχάτην τῆς γαστέρος. ε στι δ' ο που τὸν τράχηλον στόμαχον τῆς γαστέρος. (Οὐδέτερον.)' Εσθημάτων. ἱματίων. Εσθοσ. τὸ ἱμάτιον. ' Εσθλά. ἀγαθά. ἐσθλὸς ἐὼν α λλου κρείττονος ἀντέτυχεν. ' Εσπέρια. τὰ δυτικά. Εσοπτρον. κάτοπτρον. ἐσόπτρῳ ἐνορῶντες.' Εστιατορεῖον. δειπνοκλητόριον. epsilon.881 ' Ες τάχος γράφει. ἀττικῶς ου τω λέγει. καὶ ἐς κάλλος γράφει, ἀλλ' οὐ καλλιγραφεῖ. ' Εσχαρίου πυρόσ. τοῦ ἐπὶ τῆς ἐσχάρας. Ηριπεν ἐσχαρίου λάβρον ἐπ' α σθμα πυρός. Εσχατα κακά. τὰ μεγάλα παθεῖν. μὴ τὰ ε σχατα αὐτὸν περιϊδεῖν παθόντα. ἀντὶ τοῦ λίαν, μέγα. ' Εσχάριον. τὸ θυμιατήριον. τοῦ Ψελλοῦ· τὸ δὲ θυμιατήριον ἐσχάριόν μοι κάλει.' Εσάλευε καὶ ἀπεσάλευε. τοῦτο ἐπὶ νεῶν λέγεται καὶ ἐπὶ ἀνθρώπων. σημαίνει δὲ ἡ λέξις τὰς ἐλπίδας ἐπὶ τούτοις ει χεν. Εσσατο. περιεβάλλετο. ε σσατο Δαμαρέτου θυγάτηρ. Εσαν. ὑπῆρχον. ε στι παρατατικὸς τρίτου προσώπου τῶν πληθυντικῶν τῶν εἰς ¯μ¯ι. τοίοι ε σαν κήρυκες καὶ ὀτρυρῶ–. ' Εσέφθη. ἐσεβάσθη, ἐτίμησε, καὶ ἀντὶ τοῦ ἐθαύμασε καὶ ἐξεπλάγη, καὶ ἀντὶ τοῦ ἐμαντεύθη. ' Εσεσήρεσαν. ἀντὶ τοῦ ἐκεχήνεσαν. ἡ μεταφορὰ ἀπὸ τῶν ὀργιζομένων κυνῶν. ἐς ἀλλήλας epsilon.882 ἐσεσήρεσαν ἡμιμανές τε καὶ α γριον οἱ Σκύθαι. ' Εσεσήρει. ὠργίζετο. λίαν γὰρ εἰς αὐτὴν ἡ Θεοδώρα ἠγριαίνετο καὶ ἐσεσήρει. η ἐσεσήρει ἀντὶ τοῦ ἐδυσχέραινεν. Εσεισεν. ἀντὶ τοῦ ἐλύπησεν. ε σεισέ μου τὴν καρδίαν. καὶ ἀντὶ τοῦ ἐτάραξεν. ἐσείσθησαν λαοί.' Εσήλατο. εἰσῆλθεν, εἰσέφρησεν, ἐπεισῆλθεν, εἰσεπήδησεν.' Εσήμαινε. προσέτασσεν. ὁρῶν τὸ πρόθυμον τῶν' Ρωμαίων, ἐσήμαινε τοῖς ἑαυτῷ ἑπομένοις ἐπικουρεῖν. Εσθενε. σθένους καὶ δυνάμεως μετεῖχεν. ε στενε δὲ, ἀντὶ τοῦ ἐστέναζεν.' Εσθίειν λέγεται. ε σθειν δὲ σπανίως καὶ ει περ α ρα οἱ ποιηταί. Εσθε. τρῶγε. Εσθω. τρώγω. ἀφ' ου παράγωγον ἐσθίω. καὶ ἡ μετοχὴ ὁ ε σθων. ε σθων καὶ πίνων. παρὰ τὸ ε δος ἐστός. ὡς βάζω, βιβαστὸς, ἐγείρω, ἐγερτός·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἀπὸ τοῦ βιβαστὸς βιβάσθω καὶ ἐστὸς ε σθω. epsilon.883᾽Εσθεῖν καὶ ἐστρέχειν. ᾽Εσσί. καὶ ὑπάρχεις. ε στιν ε ω, ε σω. οἱ δὲ Σικελοὶ τὰ ἐπὶ μελλόντων βραχέα φωνήεντα, διπλάζοντες τὸ ¯ς διπλάσσω λέγουσιν. ὁμοίως τὸ ε σσω, ε σσομαι, ε σσεται. οἱ δὲ Δωριεῖς καὶ ἐν τῷ μέσῳ παθητικῷ περισπῶσι προστιθέντες τὸ ἰῶτα, πλεύσεται, πλευσεῖται, ε σσεται, ἐσσεῖται.᾽Εσκληκότα. προσλιπαροῦντα. μετῆκται δὲ ἀπὸ τῶν προσξηραινομένων. ᾽Εσκοπίαζε. περιέβλεπεν. Εσκαζεν. ἐνεδοίαζεν, ἀμφέβαλεν. ὁ δὲ ε σκαζεν, ο πως ε χει γνώμης τὰ῾Ρωμαίων συντάγματα. Εσκαλεν. ἐσκάλευεν, ἠρεύνα, ἀνεζήτει. καὶ ε σκαλε τὸ πνεῦμά μου. ᾽Εσκευώρησεν. ἐπεβούλευσεν. ἐξ ου καὶ σκευωρία ἡ ἐπιβουλή. ᾽Εσκιμάλισεν. ἐνύβρισε, κατεδακτύλισε. σκυμαλίσαι γάρ ἐστι κυρίως τὸ μέσον τὸν δάκτυλον εἰς τὸν τρωκτὸν τοῦ ὀρνέου ἐμβαλεῖν. Εσκεν. ὑπῆρχεν. * Εστρεψεν. ἀντὶ τοῦ στρέψας ἐξ α λλου εἰς α λλο.* epsilon.884᾽Εσκορόδισασ. κλαῦσαι ἐποίησας, ἐδρίμυξας. ἀπὸ τῶν τὰ σκόροδα τριβόντων. καὶ τοῖς ἀλεκτρυόσι γὰρ διδόασι σκόροδα ἐσθίειν, ι να ω σι δριμύτεροι ἐν τῇ μάχῃ.᾽Εσθόμενοσ. ἐσθίων. ε σθω γὰρ τὸ ῥῆμα.᾽Εσμέν. ὑπάρχομεν. ἀπὸ τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω. τὸ πληθυντικὸν ἐμὲν, καὶ πλεονασμῷ τοῦ ¯ς ἐσμέν. ᾽Εσμύρνισεν. η λειψεν.᾽Εσομένουσ. γενησομένους. Εσο. ε νδυσο. σημαίνει καὶ τὸ υ παρχε. ᾽Εσπαρμένη παράταξισ. ο ταν εἰς ο γκους πλείονας διαλύηται τῶν πραγμάτων.᾽Εσπόδει. κονιορτοῦ ἐπλήρου.᾽Εσπάθα. κατανήλισκε, κατήσθιε. σπαθᾶν γὰρ καὶ τὸ ἀφειδῶς ἀναλίσκειν, καὶ παρὰ τοῖς ῥήτορσιν ει ρηται.᾽Εσπαθημένοσ. πεπυκνωμένος. ἀπὸ τῶν κατακρουσάντων σπαθῶν τὴν κρόκην. Εσπω. τὸ λέγω. Εσπετε. εἰπεῖν ποιήσατε. ἐξ ου καὶ ε πος ὁ λόγος. καὶ τὸ τοιόνδε μέτρον καὶ πᾶν μέτρον. τοῦ ε πω τὸ παθητικὸν ε πετε καὶ πλεονασμῷ τοῦ ¯ς ε σπετε.᾽Εσπάρασσεν. ἠρέθιζεν. epsilon.885 Εσπασασ. ε πιες. ει λκυσας.᾽Αρκεσίλαε, τί μοι τόσον α κρατον ἀφειδῶς Εσπασας, ω στε φρενῶν ἐκτὸς ω λισθες ἐῶν. ᾽Εσπείσατο. διηλλάγη. Εσπεισεν. ἀντὶ τοῦ ε θυσεν. ἐσπείσαντο, θυσίαν ἐποιήσαντο. ᾽Εσταλμένοι. ἐσκευασμένοι. νεανίαι χωρητικῶς ἐσταλμένοι. ᾽ Εσταθευμέναισ. ἐξεπιπολῆς ὀπτηθείσαις, η χλιανθείσαις πυρί. σταθεύειν γὰρ τὸ μὴ λίαν ὀπτῆσαι. Εσται. τοῦτο τετραχῶς ει ρηται παρ᾽Ομήρῳ. ε σσεται, ἐσσεῖται, ε σται. †᾽Εστηκώσ. ι στημι, ε στακα, ἑστηκὼς καὶ ἑστηώς.†῾Εστήκει. ἀντὶ τοῦ ι σταται. ε στησα ψιλοῦται, διότι πέφυκεν ἀόριστος α΄ ἀποβάλλειν τὸ ¯ε, οι ον ε στησα, στῆσα. καὶ διὰ τὴν τοῦ παρακειμένου δασεῖαν ὁ δεύτερος ἀόριστος οὐ δασύνεται.᾽Εστηλιτευμένον. ἀναγεγραμμένον. Εστιν. ὑπάρχει. ε σθειν δὲ ἀντὶ τοῦ τρώγειν δίφθογγον. epsilon.886῾Εστιᾶται. εὐωχεῖται. Εστενεν. ἐστέναζε. καὶ ε στονεν.᾽Εστορέσθη. κατεκοιμίσθη, ἐπραΰνθη, ὡμαλίσθη.᾽Εστομώθη. ἠνοίχθη. οἱ δὲ ω ρυττον καὶ ταχέως τὸ χωρίον ἐστομώθη. ᾽Εστόβεον. ἐλοιδόρουν, υ βριζον, διὰ τοῦ στόματος ε λεγον. στομῶ γὰρ τὸ στοβῶ, κατὰ ἐναλλαγήν.῾Εστιᾶν. ἀριστοποιεῖν. τρέφειν.᾽Εστρέβλου. ἐκάκου.᾽Εστωμυλάμην. ἐφλυάρησα. Εστω. ὑπαρχέτω. ει ς δέ τις ἀνὴρ βουληφόρος ε στω. ἐκ τοῦ ε ω εἰμὶ γίνεται παράγωγον ῥῆμα. τὸ παθητικὸν ἐμὲν, ο περ μετὰ τοῦ ¯ς ἐσμὲν γέγονε. τὰ προστακτικὸν ε θι καὶ ἐπενθέσει τοῦ ¯ς καὶ τροπῇ τοῦ ¯ε εἰς τὸ ¯ι ι σθι. τὸ γὰρ ¯ε, ἡνίκα πλεονάζει σύμφωνον, τρέπεται εἰς ἰῶτα. ε πω, ε σπω καὶ ἐνίσπω. καὶ τὸ τρίτον ε στω. Εστυγεν. ἐστύγνασεν. ἀπὸ τῆς τοῦ προσώπου στυγνότητος. Ομηρος· –κατὰ δ' ε στυγε μῦθον ἀκούσας. epsilon.887᾽Εσφαδάζετο. διηγείρετο. διεπρίετο, ἐνεπίμπρατο η ἐλυπεῖτο. ᾽Εσφηκόωντο καὶ ἐσφήκωτο καὶ ἐσφηκῶσθαι, ἀντὶ τοῦ δεδέσθαι. Εσφηλε. κατέβαλεν η σφαλῆναι ἐποίησεν.᾽Εσχεδίασε. χωρὶς διασκέψεως ἐξεδόθη. ᾽Εσχεδίαζον. ἡτοίμαζον. η ἐκ τοῦ παρατυχόντος ε λεγον.᾽Ιώσηπος· τοῖς δὲ τὸν πόλεμον ἐξάψασιν ἐσχεδίαζον τὰ πρὸς ἡδονήν. Εσχετο. ἐπεσχέθη. Εσχεν. ἀντὶ τοῦ ε λαβεν. καὶ ἀντὶ τοῦ κατέπαυσεν. αἱ δὲ τριήρεις ε σχον κατὰ τὸ Μενδήσιον κέρας. ᾽Εσχηματισμένοσ. ὁ προσποίητον κόσμον ε χων καὶ δοκῶν ει ναι κόσμιος. ὡς παρὰ Λυσίᾳ.᾽Εσχολάρχησεν. η ρχε σχολῆς καὶ ἐδίδαξεν.᾽Εσωκράτουν. ἀντὶ τοῦ ἐκόμων,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐῤῥύπουν, ἐπείνων. ̓Εσωματοποίει. ε πλαττε. καὶ τύχη τις ἐσωματοποίει τοῦ Σκιπίωνος πράξεις. epsilon.888 ̓Εσωμάσκει. συνεκρότει, ηὐτρέπιζεν, ω δινεν, ἡτοίμαζεν. ὁ δὲ πολλοὺς δεκάζων τῶν ̓Ισαύρων τὰ κατὰ τὸν πόλεμον ἐσωμάσκει. ( ̓Επίῤῥημα.) ̓Εσαεί. διὰ παντός. ̓Ες νέωτα. ἐς τ' αυ ριον, εἰς τὸ μέλλον. ̓Ες ο . ἀντὶ τοῦ μέχρι τούτου. εἰς ο ἐξεῖλεν αὐτήν. ̓Ες ο τι μάλιστα. ἀντὶ τοῦ λίαν. καλάμους ἐς ο τι μάλιστα στεῤῥοὺς καὶ παχίστους. ̓Ες τ' α ν. ε ως ου . ̓Εσχάτωσ. α κρως. Μένανδρος· φοβοῦμαί σε ἐσχάτως. * ̓Ες σύμνωσ. ἐσπουδασμένως. πορευτικῶς, διερχομένως.* Τὸ Ε μετὰ τοῦ Τ. ( ̓Αρσενικόν.) Εται. οἱ πολῖται. πηοὶ δὲ οἱ κατ' ἐπιγαμίαν συγγενεῖς. epsilon.889 ̔Εταῖροσ. ὁ φίλος. Πλάτων καὶ οἱ α λλοι φιλόσοφοι τοὺς γνησίους ἐραστὰς τῶν λόγων ἑταίρους ἐκάλουν. ̔Εταιρειάρχησ. ἀξίωμα. ̔Εταιρεῖοσ. ὁ Ζεὺς παρὰ Κρησί. σημαίνει δὲ καὶ τὸν φίλον. ̔Ετερόχροιοσ. ἀλλοῖος κατὰ χροιάν. ̔Ετερόφθαλμοσ. στραβὸς, ἀλλοθεώρης. ̔Ετερόγναθοσ. ἀπειθής. η α πληστος. ἀμφοτέραις ταῖς γνάθοις ἐσθίων. ̓Ετερομάσχαλοσ. χιτὼν, η ν ἐξωμίδα λέγουσιν. ̓Ετεοβουτάδαι. γένος ̓Αθηναίοις πολὺ καὶ λαμπρόν. ἀπὸ Βούτου, ἀφ' ου οἱ ἱερεῖς καθίστανται ̓Αθήνησιν. ̓Ετεόκρητεσ. οἱ ἀληθινοὶ Κρῆτες, οἱ αὐτόχθονος. ἐτεὸν γὰρ τὸ ἀληθές. ̓Ετεὸς καὶ ἐτὸς ὁ ἀληθήσ. ἐκ τοῦ εἰμὶ ε σω, ἐτὸς ὑπάρχων. ὡς θήσω, θετὸς, καὶ δώσω, δοτὸς, δοτέος, καὶ θετὸς θετέος. Ετησ. κασίγνητοί τε ε ται τε. παρὰ τὸ ε τος, ὁ τῶν αὐτῶν ἐνιαυτῶν ω ν. οι ον ὁμοέτης. εἰρόμεναι παῖδάς τε κασιγνήτους τε ε τας τε. η παρὰ τὸ ε θος ἑταῖρος, ε θης τὶς ω ν. παρὰ epsilon.890 τὸ ε θος ὁ συνήθης λέγεται. καὶ ε της ὁ συνηλικιώτης. η καὶ ὁ πολίτης. ̓Ετήσιοσ. ὁ κατ' ε τος. ̓Ετησίαι. α νεμοι οἱ κατ' ε τος πνέοντες. πνέουσι δὲ ἐν ἀκμῇ τοῦ θέρους. διότι ὁ η λιος μετεωρότερος καὶ ἀπὸ τῶν μεσημβρινῶν τόπων ἀρκτικώτερος γενόμενος λύει τὰ ὑγρὰ τὰ ἐν τοῖς α ρκτοις· λυόμενα δὲ ταῦτα, ἐξαεροῦται καὶ πνευματοῦται. καὶ ἐκ τούτων γίνονται καὶ ἀπὸ τῶν ἀρκτώων τόπων φέρονται ἐπὶ τοὺς μεσημβρινοὺς, α προσπίπτει τοῖς ὑψηλοτέροις ο ρεσι τῆς Αἰθιοπίας καὶ πολλὰ καὶ ἀθρόα γινόμενα ἀπεργάζονται ὑετοὺς καὶ ἐκ τῶν ὑετῶν τούτων πληθωρεῖται ὁ Νεῖλος. Ετυμοσ. ὁ ἀληθής. παρὰ τὸ ἐτὸς, ο σημαίνει τὸν ἀληθῆ, γίνεται ε τυμος. ὡς ε λος, ἐλυμὸς, τὸ σπέρμα τὸ ἐν ε λεσι χαῖρον. †καὶ πλεονασμῷ ἐτεήτυμος καὶ ἐτήτυμος.† ̔Ετεροῖοσ. ἀλλοῖος. Ετησιν. συγγενέσιν. Ομηρος· τὸν δ' ευ ρον δαινύντα γάμον πολλοῖσιν ε τησιν. (Θηλυκόν.) ̔Εταίρα. ἡ πόρνη. καὶ ἑταιρίς. ̔Εταιρεία. τὸ ἀξίωμα καὶ ἡ συνήθης ὁμόνοια. ἑταιρία δὲ ἡ φιλία, ι. epsilon.891 ̔Ετεροδοξία. τὸ α λλως δοξάζειν. ̔Ετεραλκέα. ἑτεροδύναμον. ̓Ετερομόλιος δίκη. εἰς η ν ἀντίδικοι οὐκ η λθον. ̔Ετερόστομος φάλαγξ. ἡ ε χουσα τὸν ἡγούμενον ἐν εὐωνύμῳ παραγωγῇ, τοὺς δὲ ἡγεμόνας ἐν δεξιᾷ παραγωγῇ. ̓Ετνήρυσισ. τὸ κοχλιάριον. καὶ ἀθάρα μετὰ γάλακτος. ̓Ετυμολογία. ἀνάπτυξις λέξεων ἁρμόζουσα τὴν φωνὴν πρὸς τὸ τοῦ ὑποκειμένου πιθανώτατον· η ἡ τῆς δυνάμεως τοῦ ὀνόματος ὀρθότης, ἐξ αὐτοῦ τοῦ ὀνόματος ἑρμηνευομένη. οι ον· τί εἰρήνη; κατὰ τὸ ἠρεμεῖν τὸν νοῦν. γίνεται δὲ ἐτυμολογία ἐκ τοῦ εἰμὶ τὸ ὑπάρχω, †ἐτὸς† ὁ ὑπάρχων. καὶ ω σπερ ἀπὸ τοῦ ε λος ε λυμος, καὶ ἐτὸς ε τυμος. οἱονεὶ ὑπάρχων καὶ ἀληθής· τὸ γὰρ ἀληθὲς καὶ ὑπάρχει. ἐκ τοῦ ου ν ε τυμος καὶ τοῦ λόγου γίνεται ἐτυμολογία, οἱονεὶ ἀληθολογία τὶς ου σα. δεῖ δὲ γινώσκειν, ο τι αἱ ἐτυμολογίαι ἐοίκασιν ἰατρικαῖς καλουμέναις ἀνατομαῖς. ω σπερ γὰρ ἡ ἀνατομὴ διαίρεσίν τινα τῶν μορίων ποιεῖται, ου τως καὶ ἡ ἐτυμολογία τρόπον τινὰ διαίρεσιν τῶν λέξεων ἀπεργάζεται. ̔Ετεραλκὴς νίκη. ἐπὶ τοῦ ι ππου, ο ταν οἱ ἡττηθέντες νικήσωσιν. (Οὐδέτερον.) ̔Ετεροῖον. ἀλλοῖον. ̔Ετεροούσιον. τὸ κατὰ πάντα τρόπον τοῦ ἑτέρου epsilon.892 ἀνόμοιον, ὡς πῦρ καὶ υ δωρ, καὶ α γγελος καὶ α νθρωπος, καὶ πηλὸς καὶ η λιος πρὸς χλόην. † ̓Ετεόν. ἀληθές.† Eta. τὰ ε τη. παρ' ̔Ομήρῳ. Ετειον. χρόνιον η ἐνιαύσιον. ̓Ετήτυμον. ἀληθές. Ετνοσ. ει δος ὀσπρίου κυάμου η ε ψημα ἀθυρῶδες. παρὰ τὸ ε ω τὸ ἀπολύω, ἀφ' ου ε ως, ἡ ἡμέρα, ἐν ῃ πάντα ἐφίενται. ε τος πλεονασμῷ τοῦ ν ε τνος τὸ διαλελυμένον ἀπὸ τῆς ἑψήσεως καὶ τῆς τορύνης, ο ἐστι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χυτρόπους. Ετοιμον. πρόχειρον. †ο σημαίνει τὸν α νεμον.†᾿Ετώσιον. τὸ μάταιον. ἀπὸ τοῦ ἀήτης, ἡ γενικὴ ἀητῶν, καὶ ἐτῶν, ἀποβολῇ τοῦ α καὶ συστολῇ τοῦ η. ἐξ ου κατὰ παραγωγὴν ἐτώσιον. αἱ γὰρ παραγωγαὶ γίνονται καὶ ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν. ὡς τὸ ἀνέμων ἀνεμώλιος. ου τως ου ν ἐκ τοῦ ἐτὸς ὀνόματος, ο σημαίνει τὸ ἀληθὲς, γέγονεν ἐτώσιον τὸ μάταιον, κατὰ ἀντίφρασιν.῾Ετερόστοιχον. τὸ ἀσύμφωνον. τοῦ Ψελλοῦ· καὶ πάλιν τὸ ἀσύμφωνον ἑτερόστοιχον λέγε. Ετνοσ. τοῦ Ψελλοῦ· ε τνος δὲ ῥόφημα ἐστὶν ἐξ ἀλεύρων παντοίων. (῾Ρῆμα.)῾Εταιριζομένη. ἐρεθιζομένη. προσηνωμένη. πορνικῶς βλέπουσα.῾Εταιρίζειν. πορνεύειν. epsilon.893 ῾Εταιρισάμενοσ. συνεργήσας η φιλιωθείς.᾿Εταινίωσε. περιείλησε, συνέσφιγξεν. ὁ δὲ κατεταινίωσε τὸ τραῦμα τῇ ζώνῃ. καὶ ἐταινίωσεν ἀντὶ τοῦ ἐστεφάνωσεν. ταινία γὰρ ὁ στέφανος.᾿Ετέθησαν. ὑπέκυψαν, ἐπείσθησαν. οἱ δὲ τῇ τοῦ βασιλέως ἐτέθησαν βουλῇ.᾿Ετελέσθησαν. ἐμιάνθησαν, μετέσχον τῆς μιαρᾶς θυσίας, ἐκοινώνησαν. Δαβίδ· ἐτελέσθησαν τῷ Βεελφεγώρ.῾Ετεροιῶ. τὸ μεταβάλλω. Ετελλεν. ε λεγεν.᾿Ετεχνίτευε. μετὰ τέχνης καὶ δόλου ἠρεύνα.᾿Ιώσηπος· ἐτεχνίτευε μαθεῖν, τίνι τρόπῳ τοσοῦτον προέχει κατ' ἀρετήν.᾿Ετετρήχει. ἐτετράχυτο. Ετειρε. κατεπόνησεν, ἐδάμασεν. ᾿Ετειχηροῦντο. τοῖς τείχεσι περιετειχίζοντο. περιεκλείοντο. ἐντὸς δὲ τοῦ τάφρου καὶ τοῦ ἐρύματος ἐτειχηροῦντο. epsilon.894 Ετασον. ἐρεύνησον.᾿Εταλάνισα. α θλιον ἀπεκάλεσα. ἐθρήνησα.᾿Ετίθετο. προσέκειτο, προσεῖχεν. οὐδὲ τῇ ο ψει τῶν ὀνείρων προσέκειτο η ἐτίθετο.᾿Ετιμήσατο. ἐξηριθμήσατο. ἐτιμήσατο δὲ τὴν ζωὴν αὐτοῦ ὁ βάρβαρος λιτρῶν τριακοσίων.᾿Ετιμήσαντο. ἀντὶ τοῦ ἐζημίωσαν η κατεδίκασαν. τίμημα γὰρ ἡ ζημία καὶ ἡ καταδίκη.᾿Ετιμήσασθε. ἠγοράσασθε. Θουκυδίδης· η ν ὑμεῖς πολλῶν χρημάτων ἐτιμήσασθε.᾿Ετιθηνήσατο. ἐγαλούχησεν, ε θρεψεν.᾿Ετισάμην. ἐτιμωρησάμην. Ετισαν. ε δωκαν. ἀνθ' ω ν οἱ Φωκεῖς ε τισαν δίκας βαρυτάτας. Ετλησ. ὑπέμεινας.῾Ετοιμάσατε. εὐτρεπίσατε. γέγονε παρὰ τὸ ε τοιμος. Ετορεν. ἐτρύπησεν.᾿Ετόπασεν. ὑπενόησεν. ἐνόμισεν. epsilon.895᾿Ετραχηλίασεν. ἀντὶ τοῦ κατισχυρεύσατο. η ἐγαυρίασεν. ἀπὸ τῶν βοῶν τῶν ἀποβαλλόντων ἀπὸ τοῦ τραχήλου τὸν ζυγόν.᾿Ιώβ· ε ναντι κυρίου παντοκράτορος ἐτραχηλίασεν.᾿Ετρίβετο. ὑπερετίθετο, ἀνεβάλλετο. μέχρι πολλοῦ διαφερομένων ἐτρίβετο ἡ προσβολή. Ετρυχεν. ἐδάμαζεν.᾿Ετρύχωσεν. ἐξέτριψεν. ἡ δὲ γῆ ἀγονίαις κατειλημμένη ἐτρύχωσεν αὐτοὺς ἀλγεινότατα. η ε τρυχεν.᾿Ετύγχανε. χωρὶς τῆς μετοχῆς σπανίως εὑρεθείη.᾿Ετυρώθη. ἐσκληρύνθη. Δαβίδ· ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν.᾿Ετύθη. ἐσφαγιάσθη.᾿Ετύχθη. κατεσκευάσθη. ὑπέρμορα νόστος ἐτύχθη. ἀπὸ τοῦ τεύχω, κατ' ε λλειψιν τοῦ ¯ε. ὡς καὶ τό· τυκτὸν κακὸν ἀλλοπροσάλληλον. καὶ τό· γυναικὸς α ρ' α ν τέτυξο. τὸ δὲ ῥῆμα τὸ τεύχω ἀποβολῇ πολλάκις τοῦ ¯υ, τοῦ ¯ε μόνου μένοντος. epsilon.896᾿Ετώθαζον. ε σκωπτον, ἐχλεύαζον. καὶ ἐτώθασαν ἀντὶ τοῦ ἐκαυχήσαντο. Εταξαν. ἀντὶ τοῦ οι ον ἀφώρισαν. τοῦτον τὸν βίον ει λοντο. ου τως ὁ᾿Απόστολος· καὶ εἰς διακονίαν τοῖς ἁγίοις ε ταξαν ἑαυτούς.᾿Ετυμπανίσθησαν. ἀπετμήθησαν. η εἰς ῥόπαλον ἀπέθανον. ὁ᾿Απόστολος· α λλοι δὲ ἐτυμπανίσθησαν. (᾿Επίῤῥημα.)῾Ετέρωθεν. ἀλλαχόθεν, ἐν ἑτέρῳ τόπῳ. τὸ προτέρωθεν καὶ ἑτέρωθεν διὰ τοῦ ω μεγάλου. δεῖ γινώσκειν, τὸ ε κτοσθε καὶ προτέρωθε καὶ τὰ ο μοια χωρὶς τοῦ ν γράφεται, εἰ μὴ φωνῆεν ἐπιφέρει.῾Ετέρωσε. ἀλλαχόθεν η εἰς ε τερον μέρος.῾Ετεροίωσ. ἀλλοίως. ῾Ετεραλκέωσ. ἑτεροκλινῶς. Ετι. σὺν τούτοις, η ἀκμήν. παρέλκει ἀεὶ παρὰ τοῖς ᾿Αττικοῖς.᾿Αριστοφάνης· η ν ου ν ἐμοὶ πείθεσθε, σωθήσεσθ' ε τι.῾Ετοίμωσ. προχείρως. ἐτύμως δὲ, ἀντὶ τοῦ ἀληθῶς, ψιλόν.᾿Ετόσ. μάτην. παρέργως. epsilon.897 Τὸ Ε μετὰ τοῦ Υ. (᾿Αρσενικόν.) Εὐάγριασ. κύριον. ου τος ε γραψε διάφορα καὶ ὑπομνήματα εἰς τὰς παροιμίας Σολομῶντος. Εὐαγήσ. καλῶς περιηγμένος, η μεταφορικὸς, κύκλος. Εὐαγῶν. μεγάλων. Εὐαρίθμητοι. ὀλίγοι. Ευ γνωστοσ. καλῶς γινωσκόμενος. Εὐγηρότατοσ. ε ντιμος, καλὸς, γέρων. ἀξιότιμος. Ευ γνωστοσ. φανερός. Εὐδαίμων. ὁ κατ' ἀρετὴν ἐνεργῶν, εὐτυχὴς, ὁ μακαριστός. Εὐδιαῖοσ. χειμάῤῥους, καὶ τρῆμα τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νεὼς, δι' ου ἡ ἀντλία ἐκρεῖ. Εὐδοκιμώτατοσ. γενναῖος. Εὐδιάλογοσ. ὁ εὐόμιλος. Εὐδινὸς καιρόσ. ὁ εὐδίαν ε χων. εὐδιεινὸς δὲ δίφθογγον. Ευ δηλοσ. φανερός. Εὐάγκαλον. ἐλαφρόν. ὁ δὲ Αἰνείας τὸν πατέρα τοῖς ω μοις ἐπιθέμενος, ἐξῆγε φόρτον ὡς υἱεῖ φιλοπάτορι καὶ τοῦτον εὐάγκαλον. epsilon.898 Εὐερνήσ. εὐθαλὴς, βλαστός. ε ρνος γὰρ ὁ κλάδος. Εὐεργητικόσ. φιλότιμος, ἀγαθοποιός. Εὐεργέοσ. καλῶς καὶ ἐπιμελῶς κατεσκευασμένου. –εὐεργέος ε κπεσε δίφρου. Εὐέκτησ. ὁ ἐν ὑγείᾳ διαζῶν. ἐπεμελεῖτο καὶ σωμασκίας καὶ η ν εὐέκτης. Εὐεπήβολοσ. ὁ καλῶς ἐπιβάλλων. καὶ εὐεπηβόλως ἀντὶ τοῦ σαφῶς καὶ ὀρθῶς. Εὐεπίβολοσ. κακός. Εὐερκεῖ. καλῶς ἠσφαλισμένῳ καὶ πεφραγμένῳ. ο φρά μοι εὐερκεῖ καναχὰν δόμῳ ε νδοθι θείη. Ευ ειλοσ. ὁ θερμὸς τόπος. Εὐήλιοσ. καθαρός. Εὐηνέμουσ. ἀχειμάστους. εὐδιεινούς. Εὐήνορα. ἀνδρεῖον. Εὐηγενέων. εὐγενῶν, πλεονασμῷ τοῦ ι, η τῶν εὐαρχουμένων. παρὰ τὸν ἀγὸν, ο σημαίνει τὸν ἡγεμόνα. Εὐήθησ. ἀνόητος, μωρός. Εὐηκήσ. καλῶς ἠκονημένος. καὶ κλίνεται εὐηκέος. Ευ ζωνοι. ε νοπλοι, η ευ ζωνοι καὶ μονόζωνοι. οἱ εὐσταλεῖς καὶ κοῦφοι στρατιῶται καὶ μὴ κατάφρακτοι. ου τω Ξενοφῶν φησίν· οἱ ἑνί τινι χρώμενοι καὶ διαζωνευμένοι ο πλῳ. epsilon.899 Ευ ζωτοσ. καλοζώης. Εὐθυγενήσ. ι σα καὶ πρὸς τὸ εὐθὲς τεταγμένος. Εὐθύγλωττοσ. η ν δὲ καὶ εὐθύγλωττος πέρα τοῦ δέοντος. Εὐθυλήπτων. εὐχερῶς κρατουμένων. οὐκ εὐθυλήπτων ο ντων τῶν ἐπιθυμουμένων. Εὐθυῤῥήμων. ἐτυμολόγος. καὶ εὐθυῤῥημονῶ. Ευ θυμοσ. ευ ψυχος, περιχαρής. Εὐθυβόλῳ. ἐπ' εὐθείας βάλλοντι η πλέοντι. η εὐθυβόλῳ, ἀντὶ τοῦ συνετῷ. Ευ θυνοι. δικασταί. εὐθυνταί. παρὰ τὸ εὐθύναι τὸ ἐξετάσαι, ου ς ἡμεῖς λογιστὰς λέγομεν νόμων δώδεκα. δι' ω ν δεῖ πάντας τοὺς εὐθύνους θαυμαστῶς πᾶσαν ἀρετὴν μετιέναι. ἐκ τοῦ ῥητορικοῦ ἡ λέξις. Ευ κηλοσ. η συχος. παρὰ τὸ ει κω, τὸ ὑποχωρῶ, γίνεται ε κηλος, καὶ πλεονασμῷ τοῦ υ ευ κηλος· η ει κηλος καὶ τροπῇ τοῦ ι εἰς υ ευ κηλος. Ευ κολοσ. ἁπλοϊκὸς τὸν τρόπον καὶ ἐλευθέριος, καὶ ὁ ἐναντιούμενος τῷ δυσκόλῳ. ὁ δὲ ἁπλοῦς η ν καὶ μάλα ευ κολος. Ευ κρασ. ευ κρατος. Εὐκρινήσ. συνήθως ὁ ἐξ ἀῤῥωστίας ὑγιάνας· λέγεται δὲ διὰ τὸ ευ κεκρίσθαι. ου τοι δὲ ἐπὶ τοῦ νεκροῦ τίθενται κατὰ ἀντίφρασιν. σημαίνει δὲ τὸ εὐχερὲς καὶ καθαρὸν καὶ σαφές. epsilon.900 Ευ κηλοσ. ὁ καλῶς θελγόμενος. Εὐθεῖοσ. ὁ εὐόμιλος, καὶ ὁ καλοσύντυχος η τοι ὁ ὀρθολεκτῶν τοὺς λόγχους αὐτοῦ. Εὐλαβήσ. ὁ ευ τῶν πραγμάτων ἐπιλαβόμενος. ὁ μὴ προχείρως τὶ ποιῶν. η καὶ ὁ εἰς λαβὴν ἐπιτήδειος. οι ον εὐλαβὴς μάχαιρα. η ὁ ευ προσλαμβάνων τὸ μέλλον. δύσληπτος δὲ, ὁ δυσχερὴς, ἀπὸ τῶν χειρῶν. Εὐμαρήσ. ευ ληπτος, δῆλος, εὐχερής. παρὰ τὸ μαίρω τὸ λάμπω, ἐξ ου καὶ τὸ μαρμαίρω καὶ μάρμαρον, γίνεται μαρὴς καὶ εὐμαρὴς, ὁ μὴ ὑπὸ σκότει κείμενος. Ευ μαιοσ. ὁ Ὀδυσσέως δοῦλος, ἀπὸ τῆς πρὸς αὐτὸν εὐμενείας, ὡς καὶ Φιλοίτιος ἀπὸ τῆς πρὸς αὐτὸν φιλίας. Εὐμενήσ. ὁ ευ τισὶ διὰ ψυχῆς διακείμενος. ο πέρ ἐστι μένος. ἀντίκειται δὲ αὐτῷ δυσμενής. Εὐμελίῳ. τῷ καλῶς τῇ μελίᾳ χρωμένῳ. μελία δέ ἐστι ει δος δένδρου, ἐξ ου τὰ δόρατα ποιοῦσι τὰ πολεμικά. ὁ εὐμελίας, τοῦ εὐμελίαο, τοῦ εὐμελίεω. ου τω γὰρ τὸ ὁλόκληρον. ε στι δὲ πάθος Ἰωνικόν. Εὐνοῦχοσ. ἀπὸ τοῦ τὴν εὐνὴν ε χειν η γουν φυλάσσειν. ε χειν γὰρ τὸ ἐπιμελεῖσθαι φασὶ καὶ φυλάσσειν. –ε χει δέ τε κίονας αὐτός. epsilon.901 τινὲς δὲ φασὶ παρὰ τὸ ευ νοῦν ε χειν, καὶ ἀπηλλάχθαι τῶν ἀφροδισίων. οἱ δὲ ἀρχαῖοι τὰ ἀφροδίσια ἀνόητα ἐκάλουν, ὡς παρ' Ἀριστοφάνει· υ πνου τὲ ἀνέχεσθαι καὶ τῶν ἀνοήτων πάντων. Ευ ξεινοσ. πέλαγος. ἐνδότως τοῦ πόντου, η αὐτὸς ὁ πόντος. ου τος τὸ πρῶτον α ξεινος ἐκαλεῖτο διὰ τὸ ὑπὸ λῃστῶν οἰκεῖσθαι, καὶ μηδένα ἐκεῖ παραβαλεῖν τῶν ξένων. κατὰ ἀντίφρασιν δὲ ευ ξεινος ἐκλήθη, ο τι Ἡρακλῆς ἐκβαλὼν τοὺς λῃστὰς φιλοξένους κατῴκισεν. Ευ οδμοσ. εὐώδης. Εὐόρκου. εὐσεβοῦς. Ἡσίοδος· ἀνδρὸς εὐόρκου γενεὴ μετόπισθεν–. Εὐόφθαλμον. ευ οπτον. καὶ εὐοφθάλμως ἀντὶ τοῦ εὐπρεπῶς. Εὐπαλάμων υ μνων. ἀντὶ τοῦ ευ διακεχωρισμένων, η συντεταγμένων. τέκτονες εὐπαλάμων υ μνων. Εὐπαράγωγοσ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐπειθής.᾽Αριστοφάνης· ἀλλ' εὐπαράγωγος ει θωπευόμενός τε χαίρεις. Εὐπάροιστοι. οἱ εὐπαράγωγοι. Εὐπατρίδαι. εὐγενεῖς, η ἀπὸ χώρας καλῆς. Ευ πακτοσ. καλῶς πεπηγμένος. Εὑρεσιεπήσ. καινολόγος. Εὑρεσιλόγοσ. φλύαρος. Ευ ρινοσ. ὁ εὐόσφρητος. καὶ εὐρινώτατος. epsilon.902 Ευ ριποσ. πέλαγος στενόν. η τὸ ὑδατῶδες καὶ μεταξὺ δύο γαιῶν. Ευ ριποσ. ὁ μεταξὺ Βοιωτίας καὶ᾽Αττικῆς. ἑπτάκις δὲ τῆς ἡμέρας τὸ υ δωρ ἐκεῖσε τρέπεται. Εὐρυκρείων. μεγάλως βασιλεύων. Εὐρύοπα. μεγαλόφωνον. Εὐρύωπα δὲ, μεγαλόφθαλμον, μέγα. Εὐρυσθενοῦσ. μεγαλοδυνάμου. Εὐρώσ. ὑγρότης σεσηπυῖα. σηπεδών. παρὰ τὸ αυ ρα, αὐρὼς, καὶ τροπῇ εὐρὼς, τοῦ εὐρῶτος, τῷ εὐρῶτι. καὶ εὐρωτιῶ. Εὐρώεισ. πλατύς. Εὐριπίδησ. κύριον. καὶ γὰρ ἐν τῷ Εὐρίπῳ φασὶ γεννηθῆναι αὐτόν. τὰ διὰ τοῦ ¯ι¯δ¯η¯ς ἀπὸ τῶν εἰς ¯ο¯ς διὰ τοῦ ἰῶτα γράφεται. οι ον Κρόνος, Κρονίδης, Πρίαμος, Πριαμίδης, Ευ ριπος, Εὐριπίδης. χωρὶς τοῦ Κύθνος, Κυθνείδης, ο νομα κύριον. Εὐρύσ. ὁ πλατύς. παρωνύμως. παρὰ τὸ ευ ρος εὐρὺς, ὡς θράσος θρασὺς, κότος κοτὺς καὶ ι ππος ἱππύς. Εὐρύπυλοσ. ἀπὸ τοῦ εὐρὺς καὶ τοῦ πύλη. τὰ δὲ εἰς ¯υ¯ς ὀξύτονα σύνθετα ἀποβάλλει τὸ ¯ς, οι ον· ὠκὺς, ὠκύμορος, ταχὺς, ταχυθάνατος. σεσημείωται τὸ Πολύμνια ἀπὸ τοῦ Πολυύμνια ἀποβολῇ τοῦ υ. καὶ δεῖ γινώσκειν, ο τι τὰ εἰς η τα λήγοντα θηλυκὰ ἐν τῇ συνθέσει η φυλάσσει τὸ τέλος, ὡς μάχη,᾽Ανδρομάχη, η τρέπει αὐτὸ εἰς ¯ο¯ς, ὡς φωνὴ, ευ φωνος, η εἰς ¯ο¯ν, ὡς epsilon.903 τρίπυλον, η τὸ ¯ς προσλαμβάνει, ὡς γυνὴ μισογύνης. ου τως ου ν καὶ πύλη Εὐρύπυλος. Εὐρυτίων. κύριον. παρὰ τὸ Ευ ρυτος Εὐρυτίων, ὡς Ηφαιστος,῾Ηφαιστίων. Ευ σημοσ. περιφανής· λαμπρός· καλός· ἀγαθός. Ευ σκαρφοσ. εὐκίνητος. ταχύς. Εὐσταλήσ. καλῶς ἐστολισμένος, η κοῦφος. Ευ στομον. εὐπρόσωπον, ἀπὸ μέρους. Εὐσύνοπτον. εὐεπίγνωστον. Εὐτειχεῖ. καλῶς τετειχισμένῳ. εὐτειχεῖ πάγῳ, καὶ εὐτειχεῖ θαλάμῳ. Εὐτρεπισμόσ. ἡ ἑτοιμασία. Ευ τμητοσ. εὐκόλως η μετὰ τέχνης τεμνόμενος. Ευ τονοσ. γενναῖος. Εὐτράπελοσ. ὁ ἐπιμελῶς παίζων, η ὁ κοῦφος καὶ μωρὸς καὶ ἀπαίδευτος. κυρίως δὲ ὁ μιμολόγος, ὁ γελωτοποιός. η ὁ εὐχερῶς καὶ εὐκόλως τρεπόμενος κατὰ τὸν βίον, καὶ πάσας συμφορὰς ὑπομένων. ω σπερ παρὰ τὸ ει κω, τὸ ὁμοιῶ, γίνεται ει κελος, ου τως καὶ παρὰ τὸ τρέπω, ε τραπον, τράπελος καὶ εὐτράπελος. Εὐτελεῖσ. τὸ τέλος πολλὰ σημαίνει. σημαίνει γὰρ καὶ δαπάνην. ἀφ' ου τὴν πολυτέλειαν φασίν. καὶ εὐτελεῖς τινὲς τοὺς μὴ ἐπιπολὺ χωροῦντας.᾽Εΰσ. ἀγαθός. ὡς παρὰ τὸ η δω ἡδὺς καὶ βρίθω βριθὺς, ου τως καὶ παρὰ τὸ ε ω, τὸ ὑπάρχω, epsilon.904 ἐΰς. τὸ γὰρ ἀγαθὸν καὶ βέβαιον καὶ ἑδραῖον ὑπάρχει. η παρὰ τὸ ἐῶ, τὸ εὐφραίνομαι καὶ η δομαι. οι ον· –ἐπεί με πρῶτον ε ασας. ἀντὶ τοῦ η δυνας. ὁ δὲ῾Ηρωδιανὸς λέγει, παρὰ τὸ ἐῶ γίνεται ἐὸς καὶ ἐξ αὐτοῦ ἐΰς, ὡς ι ππος, ἱππύς. †Ευ φωροσ. ὁ καλῶς κλέπτων.† Ευ φοροσ. κοῦφος, ἐλαφρός. ὁ δὲ θυρεὸς τῶν᾽Ιβήρων ευ φορος. Ευ φροσ. ὁ ευ θυμος. Εὐχερήσ. κυρίως ὁ εὐκαταπάλαιστος η ὁ εὐκαταγώνιστος. καὶ εὐκατάγνωστος. ἀπὸ μεταφορᾶς τῶν παλαιστῶν, η τῶν πολεμιστῶν, παρὰ τὸ χεῖρα. καταχρηστικῶς δὲ ὁ ἐπιεικὴς καὶ μὴ ἀντιπαλαίων. Εὐχαίτησ. ὁ καλόθριξ. εὐχετὴς δὲ ὁ εὐχὴν ποιῶν, ψιλόν. Εὐχίδησ καὶ Ασσαπος καὶ Χρυσόμαζος καὶ᾽Εχίων. ὀνόματα κύρια. ὑπῆρχον ου τοι ὠκύτατοι τοῖς ποσίν. Εὐχυλότεροσ. ὁ ταχέως πεττόμενος. Ευ ωποσ. ὁ εὐόφθαλμος. Εὐώνυμοσ. ὁ ἀριστερός. Εὐώδησ. ε στιν α ω τὸ πνέω· μετὰ τοῦ δυς μορίου καὶ τοῦ ευ γέγονε δυσαὴς καὶ εὐαής· ἡ γενικὴ τῶν πληθυντικῶν δυσαέων καὶ εὐαέων, καὶ ἐξ epsilon.905 αὐτοῦ δυσαώδης καὶ εὐαώδης, καὶ κατὰ συγκοπὴν δυσώδης καὶ εὐώδης. Ευ ωροι. ἀπαραφύλακτοι. Εὐφορίων· οὐ δέ τι ευ ωροι θυέων. παρὰ τὸ ευ ὠρεῖν καὶ φυλάσσειν. κατὰ ἀντίφρασιν. Ευ ψυχοσ. ευ θυμος. καρτερικός. ἱλαρός. Ευ ρηνοσ. ὁ καλλιπρόβατος. πάμπαν ευ ρηνός τε καὶ ευ βοτος. Εὐσπειρῆ. καλῶς συνεσπειραμένον. τὸν εὐσπειρῆ δὲ δράκοντα. Εὐθὺς καὶ εὐθύ. καὶ ὡς ο νομα καὶ ἐπίῤῥημα. παρὰ τὸ ευ μόριον, καὶ τοῦ θύω τὸ ὁρμῶ. ὁ μέλλων θύσω, ὡς δώσω, δώς. τὸ εὐθὺ σημαίνει τὸ καλῶς ὁρμῶ· καὶ τὸ παραχρῆμα καὶ ταχύ. (Θηλυκόν.) Ευ α.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μήτηρ πάντων καὶ ζωή. Εὐάγητον. καθαράν. λαμπράν.᾿Αριστοφάνης· δροσερὰν εὐάγητον φύσιν. Εὐανθὴς γλῶσσα. ἡ α κρως ἠττικισμένη ὁμιλίαν. εὐανθὴς γλῶσσα καὶ πολλῶν γέμουσα χαρίτων καὶ μουσικῶν ἀπηχημάτων ἀπόζουσα. Εὐανδρία. γενναιότης. Εὐαριθμήτοισ. ὀλίγαις. εὐαριθμήτοις ἡμέραις τῷ Καίσαρι συνόντες. epsilon.906 Εὐβουλία. ἐπιστήμη τοῦ σκοπεῖσθαι, ποῖα καὶ πῶς πράξαντες πράξομεν συμφερόντως. Ευ βοτος γῆ. ευ τροφος, καλὰ βοσκήματα ε χουσα. Ευ βοια. ὁ Ευ ριπος καὶ νῆσος. Εὐβουλίασ. φρονήσεως. Εὐγνωμοσύνη. ἡ εὐχαριστία. Εὐγένεια. δόξα ἐκ γένους. Εὐδαιμονία. ευ ῥροια βίου. Εὐδικία. δικαιοσύνη. εὐδικία η ν πεπορισμένος. Εὐδοκία. ἡ θέλησις καὶ ἡ ἀρέσκεια. εὐδοκία τὸ ἀγαθὸν θέλημα τοῦ θεοῦ, παρὰ τὸ καλῶς δεδόχθαι. Εὐδία καὶ ευ διοσ. ἡ τοῦ ἀέρος ἠρεμία. κυρίως δὲ ἡ ἀβροχία. παρὰ τὸ δεύω, τὸ βρέχω, δευΐα καὶ κατὰ μετάθεσιν εὐδία. –ο φρ' ευ δῃσι μένος Βορέαο καὶ α λλων ζαχρείων ἀνέμων. Εὐδίοδον. βάσιμον, εὐπορέστατον. ἐσώρευον δὲ τὰ τεμνόμενα ξύλα ἐπὶ τῆς μεταξὺ χώρας, ὡς εὐδίοδος η ν. Εὐεστοῖ. εὐθηνίᾳ, καταστάσει. Εὐετηρία. ἡ ὑγεία. Εὐέπεια. ἡ καλὴ φράσις. Εὐεργὴς γῆ. ευ φορος, καλοέργαστος. epsilon.907 Εὐερμία. ἐπιτυχία, εὐτυχία. Εὐεξία. ἀκρότης ὑγείας. ἐπὶ καχεξίᾳ γὰρ γίνεται νόσος· ὡς καὶ ἡ εὐεξία ἐπὶ τῇ ὑγείᾳ. Ευ ερον. εὐάερον. ω σπερ σισύραν ευ ερον. Ευ εδρον. ἀσφαλῆ. βεβαίαν. ὁ δὲ ἐπὶ νώτοις ἐκάθισε καθέδραν ευ εδρον καὶ ὀχυρὰν, ο ἐστιν ἀσφαλῆ καὶ στερεάν. τοῦτο γὰρ σημαίνει τὸ ὀχυράν. Εὐηγορία. ἡ καλλιέπεια. Εὐηθείασ. μωρίας, ἀνοίας. ε τι δὲ ἀπολαύων τοῦ καιροῦ καὶ τῆς εὐηθείας τῶν ἐπιχωρίων. Εὐθιξία. ἀκρίβεια, εὐφυΐα. ε χων τὸν νοῦν εὐθιξίᾳ πρὸς τὴν θεραπείαν εὐθυβολοῦντα. Εὐθυδικία. ο ταν εἰσάγηταί τις κριθησόμενος περὶ ω ν μηδέπω γνῶσις ἐγένετο δικαστηρίου, εὐθυδικία καλεῖται. Εὐθυεπείαισ. ὀρθολογίαις. Εὐθύναι. τιμωρίαι καὶ δίκαι. Εὐθηνίαι. αἱ εὐφορίαι. Εὐθημοσύνη. τάξις. παρὰ τὸ θημὸς θημοσύνη καὶ εὐθημοσύνη, ὡς ἱπποσύνη καὶ δικαιοσύνη. Εὐκατεργάστου. εὐχειρώτου, εὐδιαλύτου. τῆς οἰκοδομῆς ου σης εὐκατεργάστου. epsilon.908 Εὐκατάπρηστος υ λη. ἡ εὐχερῶς καιομένη. Εὐκαιρία. χρόνου ἐπίτευξις, ἐν ῳ χρὴ παθεῖν τὶ η ποιῆσαι. εὐκαιρία καὶ ὁ πλοῦτος. ὁ δὲ θαυμάσας τὴν τῆς ἀκροπόλεως εὐκαιρίαν. Εὐκλείασ. δόξης. ἐνδοξότητος. τὰς εὐκλεῖας δὲ περισπῶμεν. Δὸς δὲ πάλιν ἐπὶ νῆας ἐϋκλείας– προπερισπωμένως. ἐκ γὰρ τοῦ εὐκλέας κατ' ἐπένθεσιν τοῦ ι. η εὐκλεέας καὶ κατὰ συναίρεσιν εὐκλείας. Εὐκληρίασ. εὐτυχίας. Εὐκρίνεια. ἡ καθαρότης. Ευ λαχα. τὸ α ροτρον παρὰ Θουκυδίδῃ. Δώρειος δὲ ἡ λέξις. Εὐλαί. σκώληκες οἱ ἐν τοῖς τραύμασι γινόμενοι. καὶ εὐλαίων, σκωλήκων. ζῶσα γὰρ ἐξέζεσεν εὐλαίων. Εὐλογία. πληθυσμὸς ἀγαθῶν ἐξ ἑκουσιότητος διδόμενος. εὐλογία δὲ καὶ ἡ εἰρήνη. Εὐλάβεια. φυλακὴ ἡ ἀπὸ κακοῦ, η ἐπιμέλεια φυλακῆς. Εὐμαρέη. ἀπόπατα. παρὰ῾Ηροδότῳ. Εὐμάρεια. ἡ εὐκολία. λέγεται καὶ ἡ εὐκοσμία. epsilon.909 οὐ βαθύπεπλος ευ μαρις. καὶ ἡ ἡσυχία.῾Ηρόδοτος. τοῦτο φυγῆς τῷ᾿Αννίβᾳ πλείονα εὐμάρειαν παρέσχεν. Εὐμολπία. ἡ εὐφωνία, καὶ ὁ καλὸς υ μνος. Εὐμοιρία. ἡ εὐτυχία, ἡ εὐκληρία. Εὐνοίασ. φιλίας. ἐλθεῖν αὐτὸν παρακαλοῦσι δι' εὐνοίας ει ναι τῷ θεῷ. Εὐνὴ καὶ εὐνάσ. ἡ α γκυρα. οι ον· –εὐνάς τ' ἐβάλλοντο. καί· ε κ τ' εὐνὰς ε βαλον–. παρὰ τὸ εὐνάζειν καὶ ἐν ἡσυχίᾳ ποιεῖν τὴν ναῦν, ο περ ἡμῖν ἐν τῇ εὐνῇ η γουν τῇ κοίτῃ συμβαίνει. εὐνὴ γὰρ ἡ κοίτη. παρὰ τὸ ευ δω εὐθίνη καὶ ἐν συγκοπῇ εὐνὴ, ἐφ' η καθεύδουσιν. η παρὰ τὸ νῶ, τὸ σωρεύω, καὶ τὸ ευ γίνεται εὐνὴ, οἱονεὶ τὰ καλῶς νενησμένα καὶ σεσωρευμένα στρώματα ἐν τῇ κοίτῃ. εὐνῇ ἐνὶ μαλακῇ– σημαίνει καὶ τὴν διατριβήν. ο θι φασὶ Τυφωέως ε μμεναι εὐνάς. Εὐνομία. νόμου πειθάρχησις. epsilon.910 Εὐορκία. τὸ καλῶς ὀμνύειν. Ευ οπτον. εὐόφθαλμον. η ν δὲ καὶ ἡ κόρη ευ οπτος. Εὐπάθεια. διάχυσις καὶ α νεσις τῆς ψυχῆς καὶ τρυφή. διαιρεῖται δὲ εἰς χαρὰν, εὐλάβειαν καὶ βούλησιν. καὶ φαμὲν τὴν χαρὰν ἐναντίαν ει ναι τῇ λύπῃ· τὴν δὲ εὐλάβειαν τῷ θυμῷ· τὴν δὲ ἐπιθυμίαν τῇ βουλήσει. Εὐπερίοπτον. εὐκαταφρόνητον. ᾐσθάνετο γὰρ τὴν τῶν Μακεδόνων ἀρχὴν εὐπερίοπτον ἐσομένην.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Εὐπήληκοσ. καλὴν περικεφαλαίαν ἐχούσης. Εὐποτμία. εὐτυχία. ζηλῶ τοῦτον τῆς εὐποτμίας. ο ἐστι τοῦ καλοῦ θανάτου. πότμος γὰρ ὁ θάνατος. †Εὐπάτειραν. πατέρα καλὸν ε χουσαν.† Εὐπλόκαμοσ. καλλίπλοκος. Εὐπερίστατον. τὴν εὐκόλως περιτρεπομένην. Εὐπραγία. ἡ εὐτυχία. Εὐπραξία. εὐημερία, εὐτυχία. ὁ δὲ ̓Οζίας ω λισθεν ἐπ' εὐπραξίας καὶ κατηνέχθη πρὸς τὰ τοῦ πατρὸς ἁμαρτήματα. epsilon.911 Εὐρυπρωκτίαν. μαλακίαν.̓Αριστοφάνης· τὴν εὐρυπρωκτίαν σοι ἐναποψήσεται. ο ἐστιν ἀπομάξει. Εὐρυοδείασ. μέγα τὸ ει δος ἐχούσης, ο ἐστιν ε δρασμα. ε στι δὲ, ὡς λέγει ὁ Ωρος ὁ Μιλήσιος, ἐπίθετον τῆς γῆς. ἡ εὐθεῖα εὐρυοδεία, παροξυτόνως, ἡ μεγάλη καὶ πλατεῖα α μφοδος. ω ς τῶν ω ρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης. τινὲς εὐρυόδεια λέγουσι προπαροξυτόνως. Εὑρεσιεπίαισ. λογοποιΐαις. Εὐρώπη. χώρα, ἐξ η ς καὶ ὁ ̓Οδυσσεύς. Εὐστάθεια. παγιότης. Εὐσθενείασ. δυνάμεως. Εὐσέβεια. δικαιοσύνη περὶ τὸ θεῖον. ἀσέβεια δὲ τὸ ἐναντίον. Ευ σκαρθμοι νῆεσ. εὐκίνητοι, ταχεῖαι. η ταχύποδες. σκαρθμὸς γὰρ ὁ ποῦς. Εὐσέλμου. καλὰς καθέδρας ἐχούσης. epsilon.912 Εὐστιβῆ. τετριμμένην. εὐστιβῆ ὁδὸν πορευόμενοι. στίβος γὰρ ἡ ὁδός. Εὐσήμῳ. ἀγαθῇ, καλῇ. ἐν εὐσήμῳ ἡμέρᾳ. Ευ στολον. ευ κοσμον. ὁ δὲ προῆγε ποιήσας ευ στολον τὴν ἀκολουθίαν. Ευ σοια. εὐσθένεια. ζῶντά τ' εὐσοίας χάριν. Ευ στρα. τὸ βαδιστήριον, η φλογίστρα. ̓Αριστοφάνης· ἐν ταῖσιν ευ στραις κονδύλοις ἡρμοττόμην. ἀντὶ τοῦ ἐπαιδευόμην ἀπὸ τῆς μουσικῆς. Εὐτραπελία. κουφότης, μωρολογία. Εὐτρόχαλον. περιφερῆ. ει ναι δὲ τὴν ἀσπίδα μικρὰν καὶ εὐτρόχαλον. Εὐοιώνιστον. ευ φημον, καλὰ προσημαίνουσαν. Εὐφορία. ἡ εὐκαρπία. ἐφορεία δὲ ἡ ἐπιτήρησις, δίφθογγον. Εὐφυΐα. ἀγαθὴ ἀρετή. ἐν φύσει πρὸς τάχος μαθήσεως. Εὐφροσύνη. ἀφορισμὸς λύπης ἐν ἐπιδημίᾳ καλῶν. epsilon.913 Εὐφρόνη. ἡ νύξ. παρὰ τὸ εὐφρονεῖν ἡμᾶς ἐν αὐτῇ· καὶ γὰρ ὁ λογισμὸς, ο τε ἀσχολεῖται, κριτὴς γίνεται τῶν πραγμάτων· η παρὰ τὸ εὐφραίνειν τὸ σῶμα διὰ τῆς ἀναπαύσεως. παρώνυμόν ἐστιν. ω σπερ γὰρ παρὰ τὸ ἀνακὸς γίνεται ἀνάγκη πλεονασμῷ τοῦ ¯γ, καὶ ἀμύμονος, ἀμυμόνη καὶ ἀμυμώνη διὰ τοῦ ¯ω, ου τως καὶ παρὰ τὸ ευ φρων, ευ φρονος, εὐφρόνη. Εὐχαί. αἱ ὑποσχέσεις. τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω. Εὐχή. ἐπαγγελία καὶ ὑπόσχεσις, ὡς ἐξ ἀνθρώπου θεοῦ ἀφιερουμένη· η σύστασις δώρου πρὸς θεὸν, ἡ παρὰ τῶν δούλων αὐτοῦ γινομένη ἑκούσιος. εὐχὴ ἡ τοῦ ευ ε χειν αι τησις. Εὐχαριστία, δέησις καὶ προσευχὴ διαφέρει. οι ς γὰρ ε τι ἐνδεῖ τινὰ, τοῦτό ἐστιν ἡ δέησις. ο ταν δὲ τὸ ἀξίωμα τοῦ θεοῦ νοήσας αἰτῶ τι αὐτοῦ, τότε προσεύχομαι. ο τε δὲ φίλος ἐπὶ πλέον γένωμαι, τότε εὐχαριστῶ. φησὶ καὶ ὁ μακάριος Παῦλος· πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας· ἀπὸ τῶν ἡττόνων ἐπὶ τὰ μείζω προβαίνων. Εὐχέρεια. εὐκολία, συντομία, ἐπιδεξιότης. Εὐχειρία. ἡ διὰ χειρῶν εὐκινησία. οἱ δὲ Μακεδόνες ταῖς εὐχειρίαις πολλοὶ περιῆσαν. Εὐχρηστία. ἡ καλὴ χρῆσις. Εὐχωλή. εὐχὴ η καύχημα. παρὰ τὸ ευ χω εὐχωλή. κατ' ε κτασιν τῆς συλλαβῆς. καὶ ε μεινε τὸ χω, μέγα, ὡς παύσω, παυσωλή. κὰδ δέ κεν εὐχωλὴν Πριάμου– σημαίνει δὲ τὴν καύχησιν. epsilon.914 Εὐωδία. ἡ μυρωδία. εὐοδία δὲ ἡ καλὴ ὁδὸς, μικρόν. Εὐώνυμοσ. κατ' εὐφημισμὸν τὴν ἀριστερὰν καλουμένην, τὴν οὐκ ου σαν ἀρίστην, ἀλλὰ τῇ ἑτέρᾳ ὑπηρετοῦσαν. παρὰ τὸ α ριστος ἀριστερὸς, ὡς φόβος, φοβερός. Εὐωχία. παρὰ τὸ ευ ε χειν, ο τι ἐπὶ τὰς τῶν θεῶν παραγίνεται τιμάς. βέλτιον δὲ ἀπὸ τοῦ τῶν τροφῶν ἡμῖν ευ ε χειν. καὶ γὰρ ἡ παροχὴ, ο τι πολλὴ ὀχὴ πρόκειται. Εὐκηλήτειρα. ἡσυχάστρια. Εὐδοκίαν τὴν ἐπ' εὐεργεσίαν βούλησιν ε θος τῇ θείᾳ καλεῖν γραφῇ. ὁ ̓Απόστολος· κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ. εὐδοκία γὰρ ἡ σφοδρὰ ἐπιθυμία. ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας. Εὐθυμία. ἡ εὐψυχία. ὁ ̓Απόστολος· ι να κἀγὼ εὐψυχῶ, γνούς. (Οὐδέτερον.) Εὐάγωγον. εὐχερές. καλῶς ἀναγόμενον. η εὐθήρατον η ευ ληπτον. Εὐαγέσ. ἁγνόν. εὐσεβές· ο σιον· θειότατον. γένους δὲ η ν εὐαγοῦς. Εὐαγγέλιον. τὸ τὰ κάλλιστα ἀπαγγέλλον. τὸ ἀγαθὰς ἀγγελίας φέρον. παρὰ τὸ ευ μόριον καὶ τὸ ἀγγελία. Εὐαφέσ. εὐμάλακτον. εὐψηλάφητον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Εὐάφορα. εὐθεώρητα. ευ σκοπα. κολωνὸν ἐπιλεξάμενος, ὑφ' ου τά τε ε μπροσθεν καὶ τὰ κατόπιν εὐάφορα η ν, λόχον ἐπ' αὐτοῦ ε στησεν. Εὐάλωτον. εὐκόλως χειρούμενον. Εὐάντυγα. εὐάξονα. epsilon.915 Ευ βοτα. εὐτραφῆ. καλὰ βοσκήματα ε χοντα. βοτὰ γὰρ τὰ πρόβατα. Εὐδείελον. τὸ εὐπεριόριστον, τὸ κυκλοτερές. Εὐδίνητα. ευ στροφα, εὐκίνητα. τρύπανά τ' εὐδίνητα καὶ ὠκήεντα τέρετρα. ο ἐστι τρύπανα η ἀρίδες. Ευ δμητον. καλῶς ᾠκοδομημένον. Εὐεπές. ευ λαλον, καλὴν ε χον φράσιν. Εὐήνυστα. εὐκατόρθωτα. Εὐήνιον. εὐπειθές. καλῶς ἡνιοχούμενον. Ευ ηθεσ. ἐπὶ τοῦ βελτίονος. Εὐῆρεσ. εὐάγωγον. ἀπὸ τῆς εἰρεσίας. Εὐήτριον. ἱμάτιον καλοΰφαντον. Εὐήλατον. τὸ καλῶς ἐληλασμένον. τὸ δὲ πεδίον epsilon.916 η ν υ πτιον καὶ εὐήλατον καὶ ἐπιτήδειον ι ππῳ ἐμμάχεσθαι. Ευ θικτον. εὐαφὲς, εὐψηλάφητον. καὶ εὐθίκτως. ευ θηκτον δὲ τὸ καλῶς ἠκονημένον, η τα. Εὐθύωρον. ̓Αντιφῶν ἀντὶ τοῦ κατ' εὐθεῖαν. καὶ Ξενοφῶν αὐτῇ τῇ ω ρᾳ. καὶ δὴ εὐθύωρον ἀπεβίω. Ευ θρυπτα. σαθρά. Ευ θραυστα. ἀσθενῆ. ευ θλαστα. Ευ ζωρον. καλοκέραστον. ζωρὸν γὰρ τὸ α μικτον ποτὸν καὶ α δολον. Εὐκέατον. τὸ ευ σχιστον. Εὐκρινές. εὐχερές· καθαρόν· σαφές· εὐδιάλυτον. Ευ κυκλον. στρογγύλον. epsilon.917 Εὐκτόν. ἐπιθυμητόν. πέρας εὐκτὸν ἐπιθήσαντες α παντι τῷ πολέμῳ. εὐκτὸν λέγεται, οὐχὶ εὐκταῖον. ου τως Δημοσθένης καὶ Ξενοφῶν. καὶ Ευ πολις· εὐκτότατον γάμον. τὸ δὲ εὐκταῖον ἐν Νόμοις Πλάτωνος ἐπὶ τοῦ κατευγμένου καὶ οι ον κατ' εὐχὴν ἀποδιδομένου, καὶ ἀξίου εὐχῆς. Εὐκοπώτερον. ῥᾴδιον. Ευ ληπτον. τὸ ευ κολον. Ευ ληρα. τὰ ἡνία. –ἐν δ' αὐτὸς ε χων ευ ληρα βεβήκει. παρὰ τὸ εἰλῶ ει ληρα καὶ ευ ληρα, τὰ εἰλοῦντα καὶ συνέχοντα τὰ ὑποζύγια. παρ' ̓Επιχάρμῳ καὶ αυ ληρα ει ρηται. παρὰ τὸν αὐλὸν καὶ τὸ ἐπίμηκες, ι ν' ῃ τὰ ἐπιμήκη. Ευ λογον. τὸ πλείονας ἀφορμὰς ε χον. ευ λογον ἀξίωμα. Εὐνούστατα. φίλια. καὶ ἀντὶ τοῦ φιλίως. Ευ ξοον. καλῶς ἐξεσμένον, καὶ κατεσκευασμένον. Εὐόριστον. τὸ ψηλαφώμενον καὶ φθειρόμενον. οι ον ὁ α ρτος καὶ τὰ ο μοια. Εὐπρόσιτον. τὸ εὐπρόσδεκτον. epsilon.918 Εὐπόριστον. εὐχερῶς ποριζόμενον. λέγεται γὰρ, ὡς παρὰ Τούρκοις οὐκ εὐπόριστον χρῆμα ὁ σίδηρος. Ευ πρεμνα. τὰ καλοὺς κλάδους ε χοντα. πρέμνος γὰρ ὁ κλάδος. Εὐπάρυφα. τὰ εὐκατέργαστα. η πλούσια. †Εὐπάρεδρα. τὰ καλῶς παραμένοντα.† Εὐρίζῳ. ἐπιμόνῳ, καλῶς ἐῤῥιζωμένῳ καὶ βεβαίως πεπηγμένῳ. Εὑρήματα. βουλεύματα. Εὐρύτερον. πλατύτερον. Ευ ροσ. τὸ πλάτος, δι' ου ἐστὶν εὑρεῖν καὶ φέρεσθαι. σημαίνει καὶ τὸν α νεμον τὸν ἀφηλιώτην. παρὰ τὴν αυ ραν, τὴν πνοήν. Εὐσύνοπτον. εὐθεώρητον, σαφὲς, εὐεπίγνωστον. Εὐσταθές. εὐτάραχον, βεβηκὸς, μὴ σεσοβημένον. Ευ χοσ. καύχημα. Ευ ωνον. καλοαγόραστον, εὐτελές. Εὐτρόχαλον. ὁμαλόν. ( ̔Ρῆμα.) Εὐδαιμονεῖ. εὐτυχεῖ, καλῶς πράττει. epsilon.919 Ευ δοντι. καθεύδοντι, κοιμωμένῳ. Εὐδοκουμένην. καλῶς προσδοκουμένην· ἀρέσκουσαν. πίστιν ε φην ποιήσειν εὐδοκουμένην. Εὐδοκεῖν. συγκατατίθεσθαι. ὁ δὲ ε φη εὐδοκεῖν τοῖς λεγομένοις. Εὐδόκησασ. σῆς ἠξίωσας οἰκειότητος. εὐδόκησα καὶ τὸ ἠθέλησα. εὐδόκησα καὶ τὸ ἀναπαύομαι καὶ τὸ ἀρέσκομαι, ὡς τό· ἐν ω εὐδόκησα ἐν τῷ εὐαγγελίῳ. Εὐεκτεῖ. ὑγιαίνει. Εὐηθίζω. τὸ μωραίνω. Εὐθύναι. ἐξετάσαι, ὀρθῶσαι. Εὐθύνοντασ. ὁρμῶντας. Εὐθύνουσιν. ἐρωτῶσιν. καὶ ἀντὶ τοῦ εἰσπράττουσιν. εὐθύνουσι δίκας. Εὐθετίζω. ἀλήθειαν λέγω. Εὐθηνούμενοι. ἐπὶ τὸ βέλτιον προκόπτοντες. καὶ κατ' ὀλίγον εὐθηνούμενοι δυνατώτεροι γίνονται. καὶ εὐθηνεῖν τὸ πλουτεῖν. Εὐθενεῖν οἱ ̓Αττικοί· οἱ δὲ Ιωνες εὐθηνεῖν. Κρατῖνος· ἀλλὰ τάδ' ε στ' ἀνακτέον. καὶ γὰρ ἡνίκα εὐθενεῖ. epsilon.920 ̔Ηρόδοτος· εὐθενέειν πᾶσαν Αι γυπτον. ἡ δὲ εὐθενία παρ' οὐδενὶ τῶν ̓Αττικῶν. Εὐϊλατεύοντα. εὐμενῆ ο ντα, εὐσυμπάθητον, ἐλεοῦντα. καὶ εὐϊλατεύειν ἀντὶ τοῦ εὐμενίζειν. Εὐκαιρεῖν. πλουτεῖν. ὁ δὲ ἐκάλει τῶν πολιτῶν τοὺς δοκοῦντας εὐκαιρεῖν τοῖς βίοις. Ευ κλεισον. ἀντὶ τοῦ δόξης καὶ ἀξίας ἀξίωσον. πρόφρων ἁμετέραν ευ κλεισον γενεάν. Εὐλαβεῖσθαι. φοβεῖσθαι. φυλάττεσθαι. Εὐλογήσατε. ὑμνήσατε. Εὐλογῆσαι. ὑμνῆσαι. ἐπαινέσαι. Δαβίδ· ἡ ψυχὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται. Εὐλόγηκεν. ἐβλασφήμησεν. ἐπὶ τοῦ Ἰώβ· εὐλογῶν εὐλογήσει σε. Εὐμοίρησε. καλῶς ἐκληρώσατο. Εὐνηθέντεσ. κοιμηθέντες. Εὐνοουμένη. εἰρηνεύουσα. καλῶς διακειμένη. καὶ ἐν εὐαγγελίῳ· ι σθι εὐνοῶν τῷ ἀντιδίκῳ σου. η ο τι καταδέχου μᾶλλον ἀδικεῖσθαι. η ου τως· δίκασον τῇ δίκῃ ὡσανεὶ τὴν ἐκείνου τάξιν ε χων. Εὐοδώσω. ὁδηγήσω. Εὐοδεῖν. εὑρίσκω παρὰ τοῖς Ἀττικοῖς. Θεόπομepsilon.921 πος· ἀλλ' εἰ δοκεῖ, χρὴ ταῦτα δρᾶν, εὐοδεῖν πορεύομαι. τὸ δ' ὁδεύειν οὐδὲ παρ' ἑνὶ τῶν ἐλλογίμων. Εὐόμενοσ. φλογιζόμενος. εὑόμενος δὲ ὁ φωτιζόμενος, δασεῖαν. Εὐπλοῦν. τὸ εὐημερεῖν. Εὐπλοῆσαι. τὸ καλῶς πλεῦσαι. Εὐριζῶν. πλατύνων, η καλὰς ῥίζας ε χων. Εὐρωτιῶντεσ. ἠφανισμένοι. Εὐρύνω. πλατύνω. *εὑρίσκω. ἐπαινῶ.* Εὐρυβατεύεσθαι. πονηρεύεσθαι. φασὶ γὰρ τὸν Εὐρύβατον τὸν ἑνὰ τῶν Κερκώπων τοιχωρύχον ει ναι· οἱ δὲ προδότην παρὰ τοὺς χρόνους τοὺς πρὸ Κροίσου. Εὐρύβατον α νδρα φασὶ τοῦτον Ἐφέσιον ει ναι καὶ λαβόντα χρήματα παρὰ τοῦ Κροίσου, ω στε στρατιὰν συναγαγεῖν εἰς τὸν epsilon.922 πόλεμον τὸν εἰς τοὺς Πέρσας, προδότην γενόμενον, ἐγχειρίσαι τῷ Κύρῳ τὰ χρήματα τοῦ Κροίσου. καὶ ἐντεῦθεν τοὺς πονηροὺς Εὐρυβάτας καλεῖσθαι. Εὐσκευοῦμεν. καλῶς παρεσκευασάμεθα· πρὸς θάνατον. ου τω μὲν εὐσκευοῦμεν. Εὐστομεῖν. τὸ εὐφημεῖν. καὶ οἱ Ιωνες ευ στομα κείσθω φασίν. Εὐσυνθετεῖν. εὐνοϊκῶς ε χειν. Μασσαγέται ἐβουλεύσαντο εὐσυνθετεῖν πρός τε Γελίμερα καὶ Βελισάριον. Εὐφημεῖ. καλῶς λαλεῖ. ἐπαινεῖ. Ευ χεται. παρακαλεῖ. Ευ χομαι. ἐπὶ τοῦ λέγειν τάττει Ομηρος. Μέντης Αἰγιάλοιο δαΐφρονος ευ χομαι ει ναι. Ευ χεται. καυχᾶται. epsilon.923 Ευ χομαι. ἀντὶ τοῦ καταρῶμαι παρὰ Ἀριστοφάνει. Εὐχροεῖσ. εὐσωματεῖς. Εὐωρεῖ. παίζει. Εὐδοκῶ. ἐπιθυμῶ, εὐφραίνομαι. καὶ ὁ Ἀπόστολος· διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν υ βρεσιν. ο ἐστιν ἐπιθυμῶ ει ναι ἐν τούτοις. Εὐπροσωπῆσαι. εὐδοκιμεῖν. ο σοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκὶ, η τοι παρ' ἀνθρώποις. (Ἐπίῤῥημα.) Ευ γε. καλῶς, ὁσίως. λέγεται καὶ ἐπὶ εἰρωνείας πολλάκις. Ευ σημαίνει τὸ καλόν. παρὰ τὸ ἐΰς, ο σημαίνει τὸν θεράποντα η τὸν ἀγαθόν. ὡς γὰρ ἀπὸ τοῦ τάχα γέγονεν ἐπίῤῥημα ταχὺ, καὶ ο νομα ταχὺ παιδίον, εὐρὺς εὐρὺ, ου τως καὶ παρὰ τὸ ἐΰς ἐῢ καὶ ἐν συναιρέσει ευ . ω φειλε δὲ ὀξύνεσθαι, ἀλλὰ πᾶσα δίφθογγος τελικὴ εἰς ¯υ λήγουσα, ἐφ' ἑαυτῆς ε χουσα τὸν τόνον, περισπᾶται. Εὐεκτῶσ. ὑγιῶς. Εὐεκτικῶσ. σχετικῶς. Εὐεπιβόλωσ. σαφῶς καὶ ὀρθῶς. epsilon.924 Εὐείκτωσ. εὐπειθῶς. Εὐθίκτωσ. εὐαφῶς, εὐψηλαφήτως. Εὐθύ. κατεναντίον. σημαίνει καὶ τὸ ε ως. καὶ εἰς οι ον καὶ εὐθὺ ὁρμῶ ἀντὶ τοῦ καλῶς. καὶ παρὰ Θουκυδίδῃ τὸ παραχρῆμα καὶ ταχέως καὶ τὸ ἐξ εὐθείας καὶ ἀσκόπως. Εὐθύσ. ἀντὶ τοῦ ἐν ἀρχῇ. καὶ εὐθέως, παραυτίκα. ἀμφότερα Ἑλληνικά. Ἀριστοφάνης· εὐθὺς γάρ σ' ε χω μέσον. Εὐθύωρον. ἀντὶ τοῦ κατ' εὐθείας Ἀντιφῶν. καὶ Ξενοφῶν αὐτῇ τῇ ω ρᾳ. καὶ δὴ εὐθυωρὸν ἀπεβίω. Εὐκτῶσ. μετὰ εὐχῆς, η εὐχερῶς. Εὐκρινῶσ. σαφῶς, καθαρῶς. Εὐκαρδίωσ. προαιρετικῶς. ἡ δὲ κόρη ὑπακούει τὲ εὐπροθύμως καὶ εὐκαρδίως. Εὐλόφωσ. γενναίως. ὁ δὲ πρὸς τοὺς ἐπαναστάντας εὐλόφως ἀγωνισάμενος. καὶ αυ θις· ὁ δὲ εὐλόφῳ αὐχένι τὴν α σκησιν ὑπομένων ἐφαίνετο. Εὐμαρῶσ. ὑγιῶς. εὐχερῶς· εὐκόλως· εὐμαρῶς· πρᾴως· ἱλαρῶς. Εὐνούστατα. φιλίως. Εὐνοϊκῶσ. φιλικῶς. εὐνοϊκῶς διακείμενος. epsilon.925 Εὐοργήτωσ. ἀντὶ τοῦ εὐτρόπως. ὀργὴ γὰρ ὁ τρόπος παρὰ Θουκυδίδῃ. Εὐοφθάλμωσ. ἀντὶ τοῦ εὐπρεπῶς, καὶ ἀντὶ τοῦ εὐόπτως. Εὐπετῶσ. εὐχερῶς. εὐκόλως. Εὐπρεπῶσ. κοσμίως. ὡραίως. Εὐπότμωσ. εὐτυχῶς. Ευ πράττειν. ου τως ἡ ἐπιγραφὴ τῶν ἐπιστολῶν. εἰσὶ τοῦ ἠθικοῦ ει δους. ευ διάγειν. ου τως Ἐπίκουρος ε γραφε. χαίρειν δὲ ὁ Κλέων. Εὐράξ. ἐκ πλαγίου. Εὐσυναλλάκτωσ. εὐμεταδότως. Εὐσχημόνωσ. εὐλαβῶς. σεμνῶς. Εὐσταθῶσ. βεβαίως, ἀσφαλῶς. ὁ δὲ ἐστρατοπέδευσεν εὐσταθῶς, η περ ἐβούλετο. Εὐσταλῶσ. κούφως. Εὐφραδέωσ. πεφρασμένως καὶ συνετῶς. παρὰ τὸ φράδην. η εὐπρεπῶς καὶ κοσμίως. ἀπὸ τοῦ φράζειν συνετῶς. epsilon.926 Εὐοὶ σαβοί. βακχικὸν ἐπίφθεγμα. τῇ δὲ φωνῇ τῶν Φρυγῶν τοὺς μύστας δηλοῖ. ἀφ' ου καὶ ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σαβάζιος Διόνυσος. Εὐανακλήτωσ. συμπαθῶς. εὐαναδιδάκτως. Εὐέδρωσ. βεβαίως. Τὸ Ε μετὰ τοῦ Φ. (Ἀρσενικόν.) Εφεδροσ. ἐγκάτοικος η ἐνεδρεύων.᾿Εφέστιοι. σύνοικοι. ᾿Εφελκυστήσ. βοηθός. ᾿Εφεκτικοί. φιλόσοφοί τινες. παρὰ τὸ ἐπέχειν περὶ τῶν πραγμάτων, καὶ δογματίζειν αὐτὰ ἀκατάληπτα.᾿Εφέται. α νδρες, οι τινες ὀγδοήκοντα ο ντες ἐδίκαζον. ἐφέται δὲ ἐκλήθησαν, ο τι ἐπὶ αι ματι δικάζουσι. η ο τι ε φεσις παρ' αὐτῶν οὐ δύναται εἰς α λλο δικαστήριον γενέσθαι. Εφεκτος τόκοσ. ὁ ἐπὶ τὸ ε κτον τοῦ κεφαλαίου.᾿Εφεκτικόσ. ἐπιθυμητικός. epsilon.927᾿Εφευρετὰς κακῶν. τοὺς ἐπὶ τοῖς παλαιοῖς κακοῖς ε τερα καινοτομοῦντας κακά. ᾿Εφάμιλλοσ. ι σος, ο μοιος. Εφηβοσ. παῖς νέος η τοι ἐτῶν ¯ι¯δ η ¯ι¯η. Εφηλοσ. ὁ ἐφηλίδας ε χων εἰς τὴν ο ψιν. ᾿Εφιάλτησ. κύριον. καὶ ὁ παρὰ πολλοῖς λεγόμενος Βαβουτζικάρης. παρὰ τὸ ἰάλλω, τὸ ἐμβάλλω.᾿Εφιζόμενοσ. ὁ ἐπάνω ι ππου καθεζόμενος.᾿Εφίππων ὀνόματα. ι λη ἱππέων ἀνδρῶν ¯ξ¯δ. ἐπιλαρχία δύο ι λαι ἱππέων ἀνδρῶν ¯ρ¯κ¯η. ταραντιναρχία δύο ι λαι ἱππέων ἀνδρῶν διακοσίων πεντήκοντα ε ξ. ἱππαρχία δύο ταραντιναὶ ἱππέων ἀνδρῶν δώδεκα. ἐφιππαρχία δύο ἱππαρχίαι ἱππέων ἀνδρῶν ¯α¯κ¯δ. τέλος δύο ἐφιππαρepsilon.928 χίαι ἱππέων ¯β¯μ¯η. ἐπίταγμα δύο τέλη ἱππέων ἀνδρῶν ¯θ¯ε¯. ῾Εφθαλέου. ἑφθοῦ. καὶ ἑφθοῦν τὸ ὀπτᾷν, η τοι τὸ δι' υ δατος ε ψειν.῾Εφθοὶ πυροί. διεγερτικοί εἰσὶ πρὸς συνουσίαν. Εφοροσ. ὁ πάντων ἐπόπτης καὶ θεωρὸς θεός. καλοῦνται δὲ ε φοροι καὶ οἱ τὰ πόλεων ω νια ἐπισκεπτόμενοι.᾿Εφραΐμ. κύριον. κυρίως δὲ ἑρμηνεύεται πλατυσμὸς η καρποφορία.᾿Εφραθά. ο ἐστι Βηθλεέμ. παρ' ῾Εβραίοις δὲ σημαίνει μαρία τὸ ἐφραθά. Εφυδροσ. υ δωρ ἐπάγων. ἐφύδρους δὲ ἁλύσεις διατείνας διὰ στόματος τοῦ λιμένος. epsilon.929᾿Εφ' ῳ πάρει. ἐπὶ τίνι παραγέγονας. ἐφ' ῳ καὶ ἐφ' ῳ τε ἑκάτερον αὐτῶν. καὶ ὁριστικῷ συντάσσεται ῥήματι καὶ ἀπαρεμφάτῳ. Θουκυδίδης· ἐν δ' ἐφ' ῳ φυλακῇ τῇ μετρίᾳ τηρήσονται. καὶ Κρατῖνος· ἐφ' ῳ τ' ἐμαυτὴν συγκαθεύδειν τῷ πατρί. (Θηλυκόν.) †᾿Εφέστριδεσ. αἱ α γαμοι παρθένοι.†᾿Εφαπτίδασ. ..... οἱ δὲ ψιλοὶ τῶν῾Ρωμαίων ε καστος αὐτῶν ει χον ἐφαπτίδας, καὶ κνηδυΐδας, καὶ λοχάστην καὶ ἀκόντιον δι' ο λου σιδήρου πεποιημένον. Εφεσοσ. πόλις τῆς᾿Ασίας. ἐκλήθη δὲ ου τως ἀπὸ᾿Εφέσου τινὸς ἐκεῖσε καπηλεύοντος καὶ πάντας λέγοντος πρὸς Εφεσον στέλλεσθαι, η ἀπὸ τῆς᾿Εφέσου, Λύδης᾿Αμαζόνος, η πρώτη Αρτεμιν ἐτίμησε καὶ ὠνόμασεν᾿Εφεσίαν. ἀπὸ δὲ τῆς ᾿Αρτέμιδος καὶ οἱ οἰκοῦντες ἐκλήθησαν. η ο τι Θησεὺς στρατεύσας῾Ηρακλεῖ ἐπὶ τὸν ῾Ιπepsilon.930 πολύτης ζωστῆρα ἐδίωξε τὰς ᾿Αμαζόνας μέχρι Λυδίας, κᾀκεῖ καταφυγούσας ἐπί τινα ναὸν᾿Αρτέμιδος δεῖσθαι σωτηρίας τυχεῖν· τὴν δὲ ἐφεῖναι αὐταῖς τὴν σωτηρίαν, ο θεν Εφεσος κληθεῖσα καὶ τὴν Αρτεμιν᾿Εφεσίαν ἐκάλεσαν. Εφεσισ. ἐπιθυμία, η ἐπίτασις θελήσεως η γουν ἐπιτεταμένη θέλησις. ε φεσις καὶ ἡ ὁρμή. ἀπὸ δὲ τῆς τῶν στρατηγῶν γνώμης λαβὼν ε φεσιν παρὰ τοῦ στρατηγοῦ ξένην καὶ παράδοξον βοήθειαν ἐπορίσατο πρὸς τὴν ἐπικειμένην περίστασιν. ε φεσις καὶ ἡ ἐξ ἑκατέρου δικαστηρίου εἰς ε τερον μεταγωγή. τὸ δ' αὐτὸ καὶ ε κκλητος καλεῖται. ᾿Εφεσπερεία. ἡ τῆς ἑσπέρας.᾿Εφετμή. ἡ ἐντολή.᾿Εφεστρίδεσ.῾Ρωμαϊκὰ ἱμάτια λέγονται καὶ ὁ μανδύας καὶ βίῤῥον.᾿Εφεδρία. ἡ ἐπίκληρος παραμονή.᾿Εφηβεία. ἡ νεότης καὶ ἀκμὴ τῆς ἡλικίας. epsilon.931᾿Εφήγησισ. δίκη εἰσαγομένη ἀπὸ τῶν ὑποδεξαμένων τὸν εἰργόμενον ὑπὸ τῶν νόμων ἐπιβαίνειν τῆς χώρας, οι ον φυγάδα η ἀνδροφόνον· η ο ταν τῶν δημοσίων τὶ κατέχει τὶς κρύφα.᾿Εφημερία. ἡ πατριά. λέγεται καὶ ἡ τῆς ἡμέρας λειτουργία καὶ ἑβδομάδος. ᾿Εφημερίσ. ἡ τῶν ἐφ' ἑκάστης ἡμέρας συμπιπτόντων ὑπογραφή.᾿Εφημοσύνη. ἡ ἐντολή. παρὰ τὸ εἰς αὐτὰ συμβάλλειν τὸν ἀμφότερον λόγον.᾿Εφηλίσ. ἡ ἐκ τοῦ ἡλίου περὶ τὸ πρόσωπον γινομένη ε κκαυσις καὶ μελανία. καὶ πάθος περὶ τὸ πρόσωπον γινόμενον. ει ρηται ἀπὸ τοῦ ἡλίου. γράφεται καὶ ε φηλος. Εφοδοσ. ὁρμή. ἐπέλευσις.᾿Εφετμῆσ. ἐντολῆς.῾Ησίοδος· –μεμνημένος αἰὲν ἐφετμῆς ἐργάζευ, Πέρση–. (Οὐδέτερον.)᾿Εφάλια. παραθαλάσσια. Εφαμμα. τὸ περίβλημα. οἱ δὲ διὰ τὸ βατώδη ει ναι τὸν τόπον καὶ μὴ ἐμπλέκεσθαι τοῖς ἐφάμμασι,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταῦτα ἀπέῤῥιπτον, γυμνοὶ μετὰ τῶν ο πλων στάντες. ̓Εφικτόν. δυνατόν. κατάληπτον.̓ Εφίερον. Δημοσθένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος. ἱερόν ἐστι τῶν δώδεκα θεῶν ἐν Βοσπόρῳ. epsilon.932̓ Εφίππιον. ἀγώνισμα ἐφ' ι ππων τρεχόντων. ̓Εφόλκια. τὰ μικρὰ πλοῖα.̓ Εφόδια. τὰ ἁρμόζοντα τῇ ὁδῷ ἀναλώματα.̓ Εφούδ. τὸ μὲν ο νομα αὐτοῦ ἑρμηνευόμενον δήλωσιν η λύτρωσιν σημαίνει, τὸ δὲ ει δος αὐτοῦ σπιθαμιαῖον η ν υ φασμα, δίκην περιστηθίου ἐκ χρυσονήμου τέχνης ποικίλης πεποιημένον· καὶ ἐν μὲν τῷ μέσῳ ει χεν ω σπερ ἀστέρα ὁλόχρυσον, ἑκατέρωθεν δὲ αὐτοῦ δύο σμαράγδους ε χοντας ἀνὰ ε ξ τοὺς δώδεκα φυλὰς τοῦ̓ Ισραὴλ, ἐν δὲ τῷ μεταξὺ τῶν σμαράγδων λίθον ἀδάμαντα. ἡνίκα γοῦν ε μελλεν ὁ ἱερεὺς ἐρωτᾷν τὸν θεὸν περὶ τινὸς κεφαλαίου, ἐδέσμει αὐτὸ ἐν τῇ ἐπωμίδι κατὰ τὸ μέσον τοῦ στέρνου καὶ ὑπετίθει τὰς χεῖρας αὐτοῦ ὑποκάτωθεν, καὶ εὑρίσκετο ἐν ταῖς παλάμαις αὐτοῦ ἐξηπλωμένον ω σπερ πυξίον, καὶ ἀποβλέπων εἰς τὸν ἐφοὺδ ἠρώτα τὸν θεὸν τὸ ἐρώτημα. καὶ εἰ μὲν ἀρεστὸν η ν τῷ θεῷ τὸ ἐρώτημα, εὐθέως ε στραπτεν ὁ ἀδάμας λίθος καὶ ἐφεγγοβόλει ἀκτῖνας ἐκπέμπων· εἰ δὲ οὐκ η ν εὐάρεστον, ε μενεν ἐν τῇ ἰδίᾳ τάξει ὁ λίθος. εἰ δὲ ε μελλεν ὁ θεὸς εἰς μάχαιραν παραδιδόναι τὸν λαὸν, ἐγένετο αἱματώδης. εἰ δὲ θανατικὸν ε μελλε, ἐγένετο μέλας.̓ Εφύμνιον. τὸ ἐπὶ τῷ υ μνῳ ᾀ σμα. epsilon.933 (̔ Ρῆμα.)̓ Εφαύλιζον. ηὐτέλιζον. οἱ δὲ ἐφαύλιζον αὐτὸν οὐδαμῆ σπουδαῖον ο ντα· μικρὸς γὰρ η ν τὸ σῶμα. Εφασκεν. ε λεγεν.̓ Εφάψασθαι. α ρξασθαι, η ψηλαφῆσαι.̓ Εφάμην. ει πα. Εφατο. ει πε. φημὶ, φήσω, ὁ μέσος ἀόριστος δεύτερος ἐφάμην, ε φασο, ε φατο.̓ Εφεθέν. ὁρισθὲν, παρασχεθέν. ὁ δὲ βασιλεὺς̓ Αντίγονος, ἐφεθέν οἱ δικάσαι, προσέταξε κλήρῳ διακριθῆναι.̓ Εφεδρεύοντεσ. ἐπιτηροῦντες, ἐπικαθήμενοι. συντάσσεται δὲ μετὰ δοτικῆς.̓ Εφέντεσ. ἐνδόντες, ὑποχαλάσαντες. ̓Εφέξει. σταθῇ. ἐφελκύσει. καὶ ἐφέξειν ἀντὶ τοῦ κωλύσειν. Εφεσ. ἐπίπεμψον. ̓Εφεσπόμενοσ. ἐπακολουθῶν. καὶ ἐφεσπόμενα. ̓Εφεστιασάμενοσ. εὐωχηθείς. ̓Εφειμένον. συγκεχωρημένον.̓ Εφείω. τὸ ἐπιβάλλω, τὸ ἐπενέγκω. ε στιν ει ω καὶ ἐν συνθέσει ἐφείω. epsilon.934̓ Εφείσθω τούτοις ἐξονυχίζειν. ἀντὶ τοῦ συγκεχωρήσθω ἀκριβολογεῖσθαι. ̓Εφεῖτο. τὸ συνεχωρεῖτο. γράφεται καὶ ἀντὶ τοῦ ἐνετέλλετο. ̓Εφείλιξαν. ἀντὶ τοῦ ε φυραν. σχοινίον τὲ ἐφείλιξαν. ̓Εφενάκιζον. ἠπάτων. ̓Εφήδεσθαι. χαίρειν. ἐπιτέρπεσθαι.̓ Εφῆκα. ε πεμψα.̓ Εφήλαντο. ἐπεπήδησαν. Εφηνεν. ε δειξεν.̓ Εφῆπτο. ἐπεκρέματο, ἐπέκειτο.̓ Εφίκοντο. ἐφήψοντο. Εφθη. προέλαβεν. ε φθασεν η ε βλαψεν. οι ον· ε φθη ὀρεξάμενος πρυμνὸν σκέλος–.̓ Εφθίατο. φθίω ο περ ἀπὸ τοῦ φθίνω γίνεται κατὰ ἀποβολὴν τοῦ ν. ε νθεν καὶ φθίσις, καὶ φθινόπωρον. ὁ παθητικὸς παρακείμενος ε φθιμαι, ὁ ὑπερσυντελικὸς ἐφθίμην, τὸ τρίτον πρόσωπον ε φθιτο, καὶ καθ' ὑποστολὴν τοῦ ¯ι καὶ πλεονασμῷ τοῦ ¯α ἐφθίατο.̓ Εφιᾶσι. συγχωροῦσιν. ἐφιᾶσιν, ο πη τὶς ἐθέλει, ἀπιέναι. καὶ ἐφιεὶς ἀντὶ τοῦ συγχωρῶν. epsilon.935̓ Εφιείσ. ἀντὶ τοῦ ἐκπέμπων. ἐκ τοῦ ι ημι, η σω· ἡ μετοχὴ ἱεὶς καὶ ἐφιείς.̓ Εφιέτω. ἀνείτω.̓ Εφίει. ἐπέτρεπεν. ὁ δὲ Καῖσαρ δῃοῦν τὰ πρὸ τῆς πόλεως ἐφίει. καὶ ἐφίει ἀντὶ τοῦ πέμπει.̓ Εφίῃ. ἐπιθυμεῖς. τί μοι τῶν δυσφόρων ἐφίῃ. ̓Εφίησιν. ἐπιπέμπει, ἀνατρέπει. ̓Εφικνούμενοι. ἐγγίζοντες. ̓Εφικνεῖσθαι. εἰς κατάληψιν ἐλθεῖν.̓ Εφίκοιτο. νοῆσαι. καταλάβοι.̓ Εφίεμαι. ἐπιθυμῶ.̓ Εφιζάνει. ἐπικαθέζεται.̓ Εφιστάμενοσ. ἀναμένων. σχολαίως βαδίζων. ὁ δὲ ἐπορεύετο α λλοτε καὶ α λλοτε ἐφιστάμενος.̓ Εφίστη. ε ταττεν, ω ριζεν. ὁ δὲ α ρχοντας ἐφίστη τούτοις. ̓Εφίλατο. ἠγάπησεν. εἰς λυκάβαντας διπλοῦς ἐφίλατο τὴν καλαμίτην. epsilon.936 ̓Εφλεγμάνθη οὐ δεῖ λέγειν, ἀλλ' ἐφλέγμηνεν.̓ Αριστοφάνης· ει τ' ἐφλέγμηνεν αὐτοῦ τὸ σφυρὸν γέροντος ο ντος. Εφλαδον. τὸ ἐσχίσθη η ἐθλάσθη. ἀπὸ τοῦ θλῶ, φλῶ, κατὰ τροπήν· παραγώγως φλάζω, καὶ ε φλαδον. Εφλα με. ε τυπτέ με.̔ Εφθοῦν. τὸ ὀπτᾷν. η τὸ δι' υ δατος ε ψειν.̓ Εφλέγετο. ἐν ἐπιθυμίᾳ η ν. ὁ δὲ̓ Ιάσων Θετταλὸς ἐπὶ τοῖς ἀναθήμασιν ἐν Δελφοῖς ἐφλέγετο. ̓Εφονοκτονήθη. ἐμιάνθη. ̓Εφορεύειν. ἐποπτεύειν. ̓Εφορμεῖν. ἐφεδρεύειν. ου τως Δημοσθένης. ἐνεδρεύειν ἐν πλοίοις.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

᾿Εφοινίσσετο. ἐρυθραίνετο. τὸ πρόσωπον ἐφοινίττετο.᾿Εφραγγέλωσαν. τουτέστιν ἐμάστιξαν. epsilon.937 ᾿Εφοδευσάτωσαν. κατασκοπευσάτωσαν. ᾿Εφοδεύεται. διοδεύεται. ᾿Εφόρουν. ἐκόμιζον. Θουκυδίδης· ἐφόρουν τὴν υ λην εἰς αὐτόν. ᾿Εφρύαξαν. ἐταράχθησαν. ι να τί ἐφρύαξαν ε θνη. ὁ δὲ᾿ Ακύλας ἐθορυβήθησαν, ὁ δὲ Σύμμαχος ἠναισχύντησαν ἡρμηνεύκασιν. Εφριξα. τὰς τρίχας ὠρθώθην. ἐπυκνώθη. καὶ Ομηρος· ε φριξε δὲ μάχη–. Εφυρον. ε βρεχον η ε πλυνον. Εφυ. ἐγένετο η ἐγεννήθη.᾿Εφυλάξατο. ἐξέκλινεν, ει ασεν. ἐφυλάξατο δὲ τὰ μαλακὰ καὶ ψαμμώδη. Εφυντο. ἐνέφυσαν, σφόδρα ἐπεβάλλοντο, ω στε δοκεῖν συμπεφυκέναι.᾿Εφώδευσαν. ἐπέτρεχον. ᾿Εφιλοτιμεῖτο. ἐνηβρύνετο, ἐλαμπρύνετο. τοῦ Θεολόγου· καὶ γὰρ ἐφιλοτιμεῖτο τοῖς ἐμοῖς λόγοις. Εφεπε. ἐδίωκε. τοῦ Θεολόγου· ε φεπε κλονέων. ᾿Εφόρεισ. ε φερες.῾Ησίοδος· –α λλα τε πολλὰ ἁρπάζων ἐφόρεις–. (᾿Επίῤῥημα.) * ᾿Εφφαθᾶ. διανοίχθητι.* epsilon.938 ᾿Εφεξῆσ. ἐπίσης, κατὰ τάξιν. ᾿Εφύπερθεν. ὑπεράνωθεν. Τὸ Ε μετὰ τοῦ Χ. (᾿Αρσενικόν.)᾿Εχέφρων. φρόνιμος.᾿Εχέμυθος καὶ ἐχεμυθότατοσ. ὁ φρόνιμος.᾿Εχέγγυοσ. ὁ ἀσφαλὴς ἐγγυητής. ὁ διὰ πίστεως α ξιος. παρὰ Θουκυδίδῃ. ἰσχυρὸν, ἐγγυῆσαι δυνάμενον. * Εχθιστοσ. μισητός.* Εχησ. ὁ πλούσιος. καὶ κλίνεται ε χητος.᾿Εχθρόσ. ἀντικειμένη ἐπὶ τὸ βλάπτειν πρόθεσις. ᾿Εχθοδοπόσ. ὁ ἐχθροποιός. Εχισ. ὁ ο φις. †᾿Εχέτησ. ο νομα κύριον.†᾿Εχῖνοσ. ὁ ἀκανθόχοιρος, παρὰ τὸ συνέχειν ἑαυτὸν στρογγυλούμενον. ἐν γὰρ τῷ ἀλέξασθαι τὸν ἐπερχόμενον, συνειλούμενος, τὸν τῶν ἀκανθῶν περίβολον προβάλλεται εἰς ε ρυμα. ἐχῖνος καὶ τοῦ βοὸς ὁ γαστὴρ, παρὰ τὸ ἐπέχειν ἐν ἑαυτῇ τὴν τροφήν. ἐχῖνος καὶ ὁ λέβης, ὁμοίως. ἐχῖνος καὶ α γγος τὶ, εἰς ο τὰ γραμματεῖα πρὸς epsilon.939 τὰς δίκας ἐτίθεντο. καὶ πόλις Θετταλίας ου τω καλουμένη, ἀπὸ᾿ Εχίνου ἑνὸς τοῦ τὴν Σπάρτην ἐνοικήσαντος. σημαίνει καὶ μέρος ἀστέρος. ει ρηται δὲ ἐχῖνος ὁ θαλάσσιος καὶ α λλος ἀπὸ τοῦ ε χειν ἑαυτὸν τῶν σαρκῶν ἀφανῶν οὐσῶν. η ἐχῖνος κατὰ ἀντίφρασιν ἀπὸ τοῦ μὴ δύνασθαι ε χεσθαι διὰ τὰς ἀκάνθας ὡς ἀγρόπτος. γράφεται δὲ διὰ τοῦ ἰῶτα, ὡς᾿ Ακραγαντῖνος.᾿Εχινόπουσ. ἀκάνθης ει δος. παρὰ τὸ ἐπέχειν τοὺς πόδας τῶν βαδιζόντων ἐπ' αὐτῆς. η ο τι ἐχίνου θαλασσίου ποσὶν ε οικεν.᾿Εχυρόφρονεσ. οἱ τῇ φρονήσει ἀσφαλεῖς.᾿Εχυρόσ. ὁ ἀσφαλής. παρὰ τὸ ε χειν ἐχυρὸς, ο θεν καὶ ἐνέχυρον, ἀείχυρόν τι ο ν· καὶ κατὰ στέρησιν τοῦ ¯α ἐχυρόν. (Θηλυκόν.)᾿Εχενῄσ. ει δος ἰχθύος. ει ρηται δὲ ἀπὸ τοῦ α ε χειν καὶ κρατεῖν τὴν ναῦν. ἐχενηῒς καὶ ἡ κρατοῦσα τὴν ναῦν α γκυρα. α γκυράν τ' ἐπὶ τοῖς ἐχενηῗδα δεσμὸν ἀέλλης.᾿Εχινάσ. ο νομα νήσου. ᾿Εχεμυθία. σιωπή. μυστήριον.᾿Εχέτλη. τοῦ ἀρότρου τὸ κράτημα, ου ε χεται τῇ χειρὶ ὁ ἀροτριῶν. ὡς παρὰ τὸ ε ξυσται ξύστρα, ου τως ε χεται ἐχέτλη κατὰ συγκοπήν. epsilon.940 ᾿Εχθραντέα. μισητή. Εχιδνα. ο φις. ᾿Εχυρά. ἀσφαλής. (Οὐδέτερα.) ᾿Εχέγγυον. ἀσφαλές.᾿Εχέμυθον. μυστήριον, κρυπτὸν η φρόνιμον. η ν δὲ ἐχέμυθος ἐς τὰ μάλιστα καὶ κρυψίνους. καὶ ἐχεμυθότατον, τὸ φρονιμώτατον. Εχθιον. ἐχθρότατον. μισητότατον. Σοφοκλῆς· βουλῆς γὰρ οὐδέν ἐστιν ε χθιον κακῆς. Εχθοσ. τὸ μῖσος. καὶ ε χθημα, τὸ μίσημα.᾿Εχθοδοπόν. τὸ ἐχθροποιόν.᾿Εχείδιον. ὀφείδιον. Εχμα. τὸ στήριγμα.᾿Εχύρωμα. ἡ ἀσφάλεια. ὁ δὲ σκόλοπας ὀξεῖς ἐπιφερόμενος ἐνάλλεται τῷ ἐχυρώματι καὶ μετεωροπορεῖ. (῾Ρήματα.)᾿Εχάτιζεν. ε χρηζεν. Εχε δή. ἀντὶ τοῦ α γε δή. η α ρα δὴ πρόσεχε. η τὶ τοιοῦτον. Εχεεν. ε χωσεν.᾿Εχεμυθεῖ. ε χει καὶ κρύπτει ἐν ἑαυτῷ τὸν λόγον. epsilon.941 Εχετον. ἀντὶ τοῦ ἐχέτωσαν. καὶ ἐχέτην ἀντὶ τοῦ ει χον. δυϊκά.᾿Εχέτω. κρατείτω.᾿Αριστοφάνης·᾿Εχέτω δὲ πνοὰς νήνεμος αἰθήρ· Κῦμα δὲ πόντου μὴ κελαδείτω Γλαυκόν.᾿Εχειρώθη. ἐκρατήθη. Εχει. ἀντὶ τοῦ τέθνηκεν. ε χει αὐτὸν ὁ τοῦ θανάτου ζόφος χαλινώσας.᾿Εχεῖτο. ἐξεκέχυτο. ᾿Εχηρώθησαν. ἀνδρῶν ἐστερήθησαν. ἐχήρευσαν. Εχηρα. ἐχάρην. ᾿Ιωνικῶς. ᾿Εχθόμενοσ. μισούμενος.᾿Εχθρεῦσαι. ἐχθροὺς γενέσθαι. ἐχθρεῦσαι φασὶν αἰετὸν καὶ κάνθαρον ἐκ τοῦ ἑκάτερον αὐτῶν τὰ ὠὰ θατέρου διασπᾷν.᾿Εχθραίνει. μισεῖ. ᾿Εχιλιώθη. χίλια ἐζημιώθη. ᾿Εχόμενα. ἐγγύθεν, πλησίον. Εχοντεσ. οἰκοῦντες.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

᾿Εχόντων ἀντὶ τοῦ ἐχέτωσαν. Εχουν. ἀντὶ τοῦ ἐχώννυον. κᾀκ τούτου οἱ μὲν ε χουν, οἱ δὲ τοῖς συμβάλλουσιν ἀντεμάχοντο.᾿Εχολώθησαν. ὠργίσθησαν.᾿Εχθοδοπῆσαι. ἐχθροποιῆσαι. καὶ κατὰ πλεοepsilon.942 νασμὸν τοῦ δ, καὶ κατὰ ἀποβολὴν τοῦ ρ, ἐχθοδοπῆσαι.᾿Εχρυσοῦ. ἀπὸ τρίτου προσώπου τῶν ἑνικῶν, οι ον ἐχρυσοῦτο, γίνεται ὑποστολῇ τοῦ τ ἐχρυσοῦο καὶ κατὰ κρᾶσιν ἐχρυσοῦ. Εχραον. μετὰ βλάβης ἐπῆλθον. ᾿Εχρηματίσθη. χρηματισμὸν ἐδέξατο. καὶ ἐχρήσθη ὁμοίως.᾿Εχρῆν. η ρμοζεν, ε πρεπεν. Εχριμπτ' ἀεί. ἐπλησίαζεν. Εχριμψαν. ὁμοίως. ᾿Εχρίπτοντο. ἐπλησίαζον, προσετρίβοντο. Εχρησε. χρησμὸν ε δωκε. καὶ ἀντὶ τοῦ ἐδάνεισεν. Εχρειεν. ἐμαντεύετο.᾿Εχύμισαν. ἀντὶ τοῦ ε γχυμον ἐποίησαν. οι περ ἁρμονίαν ἐχύμισαν. ᾿Εχύρωσεν. ἰσχυρὰν ἐποίησεν.᾿Εχώσατο. ὠργίσθη. Εχει. ἐπιμελεῖται. καί μοι κῆπον ε χει πολυδένδρεον. (᾿Επίῤῥημα.)᾿Εχθρωδῶσ. ἀπεχθῶς. μισητῶς. κακῶς.᾿Εχυρῶσ. ἀσφαλῶς. ἰσχυρῶς.᾿Εχθὲς καὶ χθέσ. οἳ Αττικοὶ χθὲς, οἱ δὲ κοινοὶ ἐχθές. πρῶτον δὲ τὸ ἐχθὲς τοῦ χθές· καὶ δῆλον, πρῶτον μὲν ἀπὸ τῆς ἐτυμολογίας, ο τι epsilon.943 ἐχθὲς ει ρηται παρὰ τὸ ἐκτὸς γεγενῆσθαι τῆς σήμερον· δεύτερον δὲ, ο τι πᾶν μονοσύλλαβον ἐπίῤῥημα η φύσει η θέσει γίνεται κατ' ἰδίαν μακρόν. οι ον· ναί· νή· πλήν· γνύξ· μάψ. οὐ μάχεται δὲ τὸ δὶς καὶ τρίς· ἀπὸ γὰρ διάκις καὶ τριάκις συγκέκοπται. χωρὶς τοῦ πρίν. πῶς ου ν τὸ χθὲς βραχύ; ἐὰν ει πωμεν χθὲς, ἠλόγηται· ἐὰν δὲ ἐχθὲς, μιμεῖται τὸ αἰές. τρίτον δὲ, ο τι τὸ ¯ε φωνῆεν πέφυκε πλεονάζειν, οι ον· ει πον, ε ειπον· ει κοσιν, ἐείκοσιν. ἀφεῖσθαι δὲ, ο τι μετὰ συμφώνου ὑπάρχει. ε βη, βῆ· ε στη, στῆ· ἐμοῦ, μοῦ. ου τως ου ν καὶ ἐχθὲς, χθές· ἀφαίρεσις καὶ οὐ πλεονασμός· ἐπειδὴ σύμφωνον ε χει ἐπιφερόμενον. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἐθέλω, θέλω. πρῶτον τὸ ἐθέλω καὶ δεύτερον τὸ θέλω. Τὸ Ε μετὰ τοῦ Ψ. (᾿Αρσενικόν.)῾Εψητόσ. ὁ ἑψημένος. †῾Εψητοί. τὰ λιτὰ ἰχθύδια.† (Θηλυκόν.)῾Εψία. ἡ ὁμιλία. †ἡ παιδιά.† epsilon.944 (Οὐδέτερον.) Εψανον. ἁπαλόν· καὶ ἀτέραμνον. τὸ δυσέψανον. ου τως Πλάτων.῾Εψητήριον. ἡ λοπὰς, ο ἐστι χύτρα. Εψια. τὰ ἀπὸ λόγων παίγνια. καὶ φιλέψιος ὁ φιλοπαίγμων. φιλολόγος ἐστὶν ὁ φιλέψιος.᾿Εψιάτιμον. γνωστικὸν παίγνιον. Εψιμον. τὸ παίγνιον. (῾Ρῆμα.) Εψηχον. κατέμασον, ε τριβον, ε ξεον, ὡμάλιζον. οἱ μὲν τοὺς ι ππους ε ψηχον.᾿Εψίω. τὸ λέγω. ἀπὸ τοῦ ε πω, ε ψω καὶ ἐψίω, ἀφ' ου · πανημέριον ἑψιόωντο.᾿Εψιᾶται. ἀντὶ τοῦ παίζει. ᾿Εψιάσθων. παιζέτωσαν. ᾿Εψιατέον. ἀντὶ τοῦ παικτέον. ᾿Εψιλωμένοι. γεγυμνωμένοι. Εψισαν. ἐψώμισαν. Εψων καὶ ἀπέψων. τὸ ε ψιον διὰ τοῦ ο μικροῦ, τὸ δὲ ἀπεσπόγγιζον διὰ τοῦ ω μεγάλου.᾿Εψύχθη. ἀπεπαύθη· ἠρέμησεν. –α γρια δ' αὐτοῦ ἐψύχθη χαλεπῆς πνεύματα θευφορίης. epsilon.945 ᾿Εψυχαγώγησε. παρεμυθήσατο. η ψυχὰς διὰ μαγγανείας ἀνήγαγεν. Εψυρεν. ἀπεδίωξεν.᾿Εψῶν. κνηθόμενος.᾿Εψώμισεν. ε θρεψεν. Τὸ Ε μετὰ τοῦ Ω μεγάλου. (᾿Αρσενικόν.)῾Εωθινόσ. ὀρθρινός.῾Εῷοσ. ἀνατολικὸς η ὀρθρινός.῾Εωσφόροσ. ὁ η λιος, ἀνατολικὸς ἀστὴρ πρωϊνὸς, ὁ αὐτὸς καὶ φωσφόρος καλούμενος. ὁ Ομηρος τοῦτον λέγει φέρειν τὴν ἡμέραν, οὐχὶ τὸν η λιον.῾Εωϋτόσ. ἑαυτός. (Θηλυκόν.)᾿Εώασ. ἀνατολῆς.῾Εωλοκρασία. τὸ χθιζὸν βρῶμα, η ἡ ματαία πόσις. Δημοσθένης· αι τιος δ' ου τος ἑωλοκρασίαν τινά μου τῆς πονηρίας αὐτοῦ κατασκεδάσας. ε θος η ν τοῖς νέοις δειπνοῦσι καὶ νυκτερεύουσι καταχεῖν τῶν κοιμωμένων τοὺς ζωμοὺς τῶν ἑώλων δείπνων, πρὸς τοιαύτην παιδίαν τετραμμένοις· ἡνίκα γὰρ συνέπινον ἀλλήλοις οἱ νέοι, ἐπὶ ἑκάστου κρατὴρ οι νου ἐτίθεepsilon.946 το, καὶ ει τις ἐκαθεύδησε μὴ πιὼν τὸν κρατῆρα, πρωῒ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἐξεχέετο.᾿Εωρκοπίαισ. ὑψηλοφροσύναις. Εωσ. ἡ πρώτη τοῦ ἡλίου ἀνατολή. η ἡ πρὸ τῆς ἡλίου ἀνατολῆς ω ρα. (Οὐδέτερον.) Εωλον. μάταιον· η χθεσινόν· η τὸ ψυχρὸν καὶ ἀνωφελές· η τὸ ἀνίσχυρον. τὸ εἰς τὴν ε ω λειπόμενον.῾Εῷον. ἀνατολικὸν, ὀρθρινόν. σὺν τῷ ¯ι. κτητικὸν ἀπὸ τῆς ε ως. τὸ δὲ ἑωσφόρος οὐκ ε χει. (῾Ρῆμα.) Εωγεν. ἐκ τοῦ οι γω. ὁ παρατατικὸς ε οιγον, ῳ γε καὶ πλεονασμῷ τοῦ ε ε ῳγε. χηλοῦ ἀπὸ τοῦ πῶμ' ἀνέῳγε.᾿Εῴη. συγχωροίη.᾿Εῴκει. ὡμοίαζεν. ἐῴκειν ε χει τὸ ι. ει κω τὸ ὁμοιῶ, ὁ μέσος παρακείμενος ει κα καὶ κατὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διάλυσιν ε ϊκα καὶ ἐπενθέσει τοῦ ο ε οικα. καὶ ἐπαυξήσει τοῦ ο μικροῦ εἰς ω μέγα ε ῳκα. καὶ μένει τὸ ι προσγεγραμμένον. ὁ ὑπερσυντελικὸς ἐῴκειν, ἐῴκεις.᾿Εώλπειν ὑπερσυντελικὸς ἀπὸ τοῦ ἐόλπω, τὸ ἐλπίζω.᾿Εῶμεν. συγχωροῦμεν. epsilon.947 ᾿Εωνημένων. ἀγορασθέντων.᾿Εωνῆσθαι. ὠνεῖσθαι δὲ δίφθογγον.᾿Εῳνοχόει. ἐκίρνα. ᾿Εών. ὁ ὑπάρχων. μηδ' ου τως, ἀγαθός περ ἐών,– ἐνεστὼς παρατατικὸς παρὰ τὸ ε ω, τὸ ὑπάρχω, ω ν καὶ ἐών· τὸ δὲ ἐὼν τοῦ ω ν ἐντελέστερόν ἐστι. καὶ ἐὼν ὁ πρὸ πολλοῦ τεθνηκώς. Εῳξεν. ἀνέῳξεν. Εωργε. διεπράξατω. καὶ ἐώργειν, ὑπερσυντελικός. ᾿Εωρίζω. τὸ μετεωρίζω.῾Εώρων. ἀπὸ τοῦ ὁρῶ. ὁ παρατατικὸς ω ρων καὶ πλεονασμῷ τοῦ ε ἑώρων, τῆς δασείας φυλαχθείσης. ὡσαύτως καὶ ἀπὸ τοῦ οἰνοχοῶ ὁ παρατατικὸς ᾠνοχόουν καὶ πλεονασμῷ τοῦ ε ἐῳνοχόουν, καὶ ἀπὸ τοῦ ὠνῶ, ὠνοῦμαι, καὶ ω νημαι καὶ ἐώνημαι. epsilon.948 ᾿Εώσαντο. βιαίως εἰσῆλθον. εἰσεπήδησαν. Εωσεν. ἀπώσατο, ἐνέβαλεν. ἀπὸ τοῦ ω θω ὁ μέλλων ω σω, ὁ ἀόριστος ω σα, τὸ τρίτον ω σε, καὶ πλεονασμῷ τοῦ ε ε ωσεν. ὡς ᾠνοχόει, ἐῳνοχόει.῾Εώρταζον. ἀπὸ τοῦ ἑορτὴ γίνεται ἑορτάζω, καὶ ὁ παρατατικὸς ἑώρταζον. καὶ ἐπειδὴ οὐδέποτε λέξις εὑρίσκεται ἀρχομένη ἀπὸ τοῦ ¯η ἐπιφερομένη τὸ η, χωρὶς εἰ μὴ εὑρεθῇ δίφθογγον, ὡς τὸ ἠοῦς, ἠοῖ, καὶ κατὰ διάλυσιν, ὡς ἠόα, τούτου χάριν ἐγένετο ὑπερβιβασμός· καὶ ἡ μὲν παραλλαγὴ ἐξετάθη, ἡ δὲ ἀρχὴ συνεστάλη εἰς ¯ε, καὶ ἐγένετο ἑώρταζον. Εω. τὸ ὑπάρχω. ἐῶ δὲ τὸ καταλιμπάνω. ᾿Εώμενοσ. καταλιμπανόμενος. (᾿Επίῤῥημα.) Εως τῶν οὐρανῶν. ε ως τοῦ τέλους. καὶ ε ως ἀντὶ τοῦ διηνεκῶς καὶ πάντα τὸν χρόνον. zeta.947 Ζ. Τὸ Ζ μετὰ τοῦ Α. (᾿Αρσενικόν.) Ζαβρόσ. πολυφάγος. Ζαβρῆσ. κύριον. καὶ κλίνεται τοῦ Ζαβρῆ. zeta.48 Ζαγρόσ. ἀνυπόδετος. Ζαὴν α νεμον. τὸν σφοδρῶς πνέοντα. καὶ Ομηρος· ω ρσε δ' ἐπὶ ζαὴν α νεμον– ὡς παρὰ τὸ πέτω γίνεται πετήν.῾Ησίοδος· zeta.949 –αἰετὸν μὴ πετῆνα γενέσθαι. ου τως καὶ παρὰ τὸ α ω, τὸ πνέω, γίνεται ἀήν, καὶ μετὰ τοῦ ζα μορίου ζαήν. τὸ γὰρ τέλειον ζαῆνα, ὡς πετῆνα. εἰ μὴ κατ' ε κθλιψιν γέγονεν. ου τως Ωρος ὁ Μιλήσιος. Ζαθέου. α γαν θαυμαστοῦ. Ζάκοτοσ. α γαν ὀργίλος. Ζάκοροσ. ὁ τοῦ νεὼ ἐπιμελούμενος. κορεῖν γὰρ τὸ σαίρειν. τὸ δὲ ζα οὐκ ε στιν ἐνταῦθα ἐπίτασις, ἀλλ' ἀντὶ τῆς διὰ προθέσεως, ι ν' ῃ ὁ διάκορος. οἱ Αἰολεῖς καὶ οἶ Αττικοὶ τὸν δία ζα φασίν. Ζακχαῖοσ. κύριον. Ζαλμώδησ. ὁ σθλάβος. Ζάλευκοσ. Πυθαγόρειος φιλόσοφος καὶ νομοθέτης. Ζαμενήσ. ὁ α γαν ἰσχυρός. Ζάλμοξισ. κύριον. zeta.950 Ζαφλεγεῖσ. λαμπροί. ἐπιφανεῖς. Ζάψ. τὸ πῦρ. (Θηλυκόν.) Ζάβα. τὸ λωρίκιον. Ζαβουλών. χώρα. ἑρμηνεύεται δὲ εὐωδία καὶ εὐλογία. ο Ζαβουλών ἐστι. Ζάλη. ἡ σύνομβρος πνοὴ, η ἡ μεγάλη α ελλα καὶ ταραχὴ τῆς θαλάσσης η τοῦ ἀέρος. παρὰ τὸ ζέειν τὴν α λα η γουν κορυφοῦσθαι. Ζακυνθίδεσ. κολοκύνθαι. Ζαμβύκη. μουσικὸν ο ργανον. Ζαθέην. α γαν θαυμαστήν. παρὰ τὸ θέαν καὶ τὸ ζα ἐπιτατικὸν μόριον, ὡς τὸ ἠγαθέην, τὴν θαυμαστὴν καὶ πολλῆς θέας ἀξίαν. †Ζαία. ἡ πόλις.† Ζάλη. ἡ ἐξ ἑκουσίων πραγμάτων ἐν τῇ ψυχῇ γενομένη περίστασις καὶ ταραχὴ βίου, η ἡ πρὸς κίνδυνον τὴν ψυχὴν συνωθοῦσα σύμβασις. zeta.951 (Οὐδέτερον.) Ζαβεῖον. ἐν ῳ αἱ ζάβαι. Ζάγκλον. τὸ δρέπανον. κέκρυπται γυνὴ ζάγκλον ὑποχθονίη. παρὰ τὸ ζα ἐπιτατικὸν μόριον καὶ τὸ ἀγκύλον, ζάγκυλον καὶ κατὰ συγκοπὴν ζάγκλον, τὸ λίαν ἀγκύλον. Ζαθρέσ. μεσημβρινὸν καῦμα τὸ δειλινόν. Ζαθέρει. α γαν θερμῷ. –οι δα καθίζων ἀείδειν ζαθερεῖ καύματι θαλπόμενος. Ζαμάτιον. τρυβλίον. Ζαέσ. μέγα, πολὺ, λαμπρὸν, ἰσχυρόν. Ζαπληθέσ. α πειρον, ἀμέριστον. Ζατρεφέσ. τὸ εὐτραφελές. Ζαφελέσ. τὸ ἀφελές. καὶ ζαφελῶς ἀντὶ τοῦ πάνυ ἀφελῶς. Ζαχρειέσ. ἀντὶ τοῦ α γαν χρειῶδες. κυρίως τὸ βιαίως ταῖς χερσὶ πραττόμενον. παρὰ γὰρ τὰς χεῖρας πεποίηται ἡ λέξις, ζαχερὲς, καὶ ἐν ὑπερθέσει ζαχρεὲς, καὶ ζαχρειὲς, καὶ ζαχρειὴς ἐπὶ ἀρσενικοῦ, καὶ ζαχρήεις, ζαχρήεντος. (῾Ρῆμα.) Ζατρεύω. τὸ ἐν μύλωνι βασανίζω. zeta.952 Ζαβάλλειν. ἐξαπατᾷν. Ζαπλουτεῖν. α γαν πλουτεῖν. Ζατῶ. τὸ φράζω. καὶ ζατῶσαι τὸ φράσαι. Ζαχρειῶ. α γαν χρῄζω. (᾿Επίῤῥημα.) Ζαφελῶσ. τὸ μεγάλως ὠφελημένον. η


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιμόνως ηὐξημένον. παρὰ τὸ ζα ἐπιτατικὸν μόριον καὶ τὸ ὠφέλλω, τὸ αυ ξω η ὠφελῶ καὶ τὸ μὲν ζάφελος βαρύνεται λόγῳ τοιούτῳ. τὰ εἰς ¯ς λήγοντα συγκείμενα παρὰ τὸ ζα προπαροξύνονται, οι ον· ζάθεος, ζάκοτος, ζάφελος· τὸ δὲ ζαφελῶς περισπᾶται, ἐπειδὴ τὰ παρὰ τοῦ ¯ε¯λ¯ω¯ς ἐπιῤῥήματα παραλήγοντα τῷ ¯ε ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, οι ον· εὐτελῶς, ἐπιμελῶς, οι ς καὶ τὸ ζαφελῶς συνέδραμε. πρόσκειται ὡς ἐπὶ τὸ πλεῖστον, διὰ τὸ εὐτραπέλως, εἰκέλως. –ἀλλ' αἰὲν ἐπιζαφελῶς– Τὸ Ζ μετὰ τοῦ Ε. (᾿Αρσενικόν.) Ζεβεδαῖος καὶ Ζεβεέ. ὀνόματα κύρια. Ζελείτησ. τοπικόν. zeta.953 *Ζειπήτησ. ὁ περιχύτης.* Ζεῦξισ. κύριον. Ζευξίλεωσ. ῳ ὑποζευγνύμενοι εἰσὶν οἱ λαοί. Ζεύσ. τούτου τὸ α γαλμα ἱστοροῦσι καθήμενον γυμνὰ ε χειν τὰ α νω, τὰ δὲ κάτω ἐσκεπασμένα, κρατοῦν τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δεξιᾷ δὲ ἀετὸν προτεῖνον. καὶ τὸ μὲν καθῆσθαι τὸ ἑδραῖον τῆς δυνάμεως αἰνίττεται, τὸ δὲ τὰ α νω γυμνὰ ε χειν, ο τι φανερῶς τοῖς νοεροῖς καὶ τοῖς οὐρανίοις τοῦ κόσμου μέρεσι· τὰ δὲ λοιπὰ σκέπεται, διότι τοῖς χαμαιζήλοις ὁ θεὸς α γνωστος. τὸ δὲ τῇ λαιᾷ σκῆπτρον κατέχειν σημαίνει τὸ ἐξουσιαστικὸν, τὸ δὲ τῇ ἑτέρᾳ προτείνειν ἀετὸν δηλοῖ, ὡς τῶν ἀεροφόρων πνευμάτων κρατεῖ, ὡς ὁ ἀετὸς τῶν μεταρσίων ὀρνέων κρατεῖ. Ζέφυρος. ὁ εὐκραὴς καὶ γαληνὸς α νεμος. καὶ οἱονεὶ ζωηφόρος τὶς ω ν ὁ ἀπὸ δυσμῶν πνέων. ὁ τὰ πρὸς ζωὴν φέρων, ἐπειδὴ τὰ φυτὰ κυΐσκειν ποιεῖ. αυ ρη ζεφυρίη πνείουσα τὰ μὲν φύει, α λλα δὲ πέσσει. η παρὰ τὸν ζόφον, ζόφυρος καὶ ζέφυρος· ἐκ γὰρ τοῦ ζόφου ῥέει. ζόφος δὲ καλεῖται ἡ δύσις. ου τος δὲ καὶ λὶψ καλεῖται. Ζεβεδαῖοσ. ὁ τοῦ Ἰωάννου καὶ Ἰακώβου τῶν ἀποστόλων πατὴρ, ο ς ἐν ἀπιστίᾳ ε μεινεν. zeta.954 (Θηλυκόν.) Ζειά. ει δος σπέρματος, η ὀλύρα η αἱ κριθαί. ἀπὸ τοῦ ζέω ζεαὶ καὶ ζειαί· αἱ τοῦ ζῆν αἰτίαι. Ζείδωροσ. ἡ ἀρόσιμος γῆ. ἡ δωρουμένη τὰ πρὸς τὸ ζῆν. κατὰ τροπὴν τοῦ ¯η εἰς τὴν ¯ε¯ι δίφθογγον. ὡς οὐτήσω, ὠτειλή. καὶ ὡς παρὰ τὸ κέκαυται καυτηρὸς καὶ καυστειρός. η παρὰ τὰς ζειὰς ζειόδωρος. η παρὰ τὸ ζέω, ζέει, ζεόδωρος καὶ ἐν συναιρέσει ζείδωρος. Ζειρά. ἡ ζώνη, η χιτὼν μέχρι τῶν ποδῶν διήκων. η ζειρὰς τὰς χλαμύδας λέγουσι τινὲς, η χιτῶνας ἀνακεκωλαμένους, η ἀνακώλους, η μίτρας. ου τως ῾Ηρόδοτος. Ζέλεια. πόλις ἀπὸ Ζέλου τινὸς ὠνομασμένου, η διὰ τὸ τὸν η λιον ἐν αὐτῇ λίαν εὐσεβεῖσθαι. Ζεύγλη. τὸ α κρον τοῦ ζυγοῦ. παρὰ τὸ ζεύγω, ζεύγλη. ὡς αι ξω, αι γλη μετὰ συναιρέσεως. Ζευξιδία. ἡ Ηρα. Ζεφυρία. πνοὴ ἡ τοῦ ζεφύρου. καὶ ζεφύριον πνεῦμα. (Οὐδέτερον.) Ζευγήσιον. τὸ τοῦ ζευγίτου τέλος. ζευγίσιον δὲ, τόπος, ἰῶτα. Ζεῦγμα. οὐ τὸ σχοινίον, ἀλλ' ἡ ἐζευγμένη σχεδία ἐν ποταμῷ η ἐν θαλάσσῃ, η ἡ τοῦ ποταzeta.955 μοῦ διάβασις η γέφυρα. ζεύγνυται δὲ Ῥωμαίοις ἀπονώτατα τῶν ποταμῶν τὰ ῥεύματα· ἐπί τε Ιστρῳ καὶ Ῥήνῳ καὶ Εὐφράτῃ. Ζεῦγμα καὶ ο νομα τόπου. Ζεῦγοσ. παρὰ τὸ ζεύγω. ὡς τεύχω τεῦχος. Ζεῖ. ἀντὶ τοῦ βράζει· δίφθογγον. ω σπερ καὶ ῥεῖ ἀντὶ τοῦ ῥέει, καὶ πλεῖ ἀντὶ τοῦ πλέει, καὶ πνεῖ ἀντὶ τοῦ πνέει, κατὰ συναίρεσιν. Ζέσας θυμῷ. ἐξαφθεὶς τὴν ψυχήν. Ζεύσασθαι. ἀντὶ τοῦ γεύσασθαι. Δωρικῶς. Ζεύξατο. βόας η ἡμιόνους ἑνῶσαι ὑπὸ τὸν αὐτὸν ζυγόν. καὶ ζεύξειν τὸ πρᾶγμα. παρὰ τὸ Ζεύς· αὐτὸς γὰρ πρῶτος ε ζευξεν ἡμιόνους ἐπὶ σπορᾷ καρπῶν. Ζέω καὶ ζῆν. ει ρηται κατὰ μίμησιν τοῦ κατὰ τὰ θερμὰ τῶν ὑδάτων η χου. η ἀπὸ τοῦ ζα καὶ τοῦ α ω τὸ πνέω, ζάω καὶ ζέω. Τὸ Ζ μετὰ τοῦ Η. (᾿Αρσενικόν.) Ζήβ. ο νομα κύριον ἑβραϊκόν. Ζήβηρεσ. ε θνος. Ζηλωτόσ. μακαριστός. zeta.956 Ζηλωτότατον. μακάριον. ζηλωτότατον βίον ἀνθρώπων διδάξεις. Ζηλήμονεσ. φθονεροί. Ζηλωταί. παρὰ Ἰουδαίοις οἱ τοῦ νόμου φύλακες. Ζῆλοσ. ἡ μίμησις τοῦ κρείττονος. ε στι δὲ καὶ ἡ λύπη ἐπὶ τῷ ε τερον ἐπιτυγχάνειν ω ν αὐτὸς ἐπιθυμεῖ, καὶ οὐ τυγχάνει. η μνήμη δευτέρου πρὸς τὸ πρότερον. η ὁ πόθῳ θείῳ κατ' ἐναντίων ὁπλιζόμενος. η δικαία ἀγανάκτησις, ὡς τό· ὁ ζῆλος τοῦ οι κου σου κατέφαγέ με. παρὰ τὸ ζέω καὶ τὸ λίαν γέγονε ζέλος καὶ ζῆλος· ὁ γὰρ ζῆλος θερμός ἐστιν. η παρὰ τὸ ζέειν, ὁ φλεγμαίνειν καὶ ἐκκαίεσθαι τὴν ψυχὴν ἐμποιῶν. η ὁ ζητῶν πρός τινα α λλον ζῆν. ῾Ησίοδος· ζηλοῖ δέ τε γείτονι γείτων. Ζηνόδοτοσ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

᾿Εφέσιος, ἐποποιὸς καὶ γραμματικὸς, μαθητὴς Φιλητοῦ, ἐπὶ Πτολεμαίου γεγονὼς τοῦ πρώτου, ο ς καὶ πρῶτος τῶν῾Ομήρου διορθωτὴς ἐγένετο. καὶ τῶν ἐν᾿Αλεξανδρείᾳ βιβλιοθηκῶν πρου στη καὶ τοὺς παῖδας Πτολεμαίου ἐπαίδευσε. Ζήτησ. ὁ τοῦ Βορέου παῖς. Ζῆκχοι. ε θνος. zeta.957 Ζῆλοσ. ἡ κίνησις. καὶ εἰ μὴ κατ' ἐπίγνωσιν ὁ ζῆλος. (Θηλυκόν.) Ζηλοτυπία. ἡ τοῦ ἀνδρὸς κατὰ τῆς γυναικὸς εἰς ε τερον ἀσελγὴς ὑπόνοια. Ζημία. ἡ τὴν ζωὴν μειοῦσα, τουτέστι τὴν περιουσίαν. ζωὴ γὰρ ἡ περιουσία. η ἡ τῶν ο ντων πρὸς τὸ ζῆν μείωσις. η παρὰ τὴν ζέσιν τὴν γινομένην ὑπὸ τοῦ θυμοῦ ἐν τῷ ἐκκτείνειν τὰ ἐπαγόμενα. η ζημία στέρησις τῶν ο ντων. Ζηρυνθᾶ. ἡ ᾿Αφροδίτη. καὶ Ζηρύνθιον, καὶ Ζήρυνθον α ντρον, ἐν ῳ τοὺς κύνας ε θυον. (Οὐδέτερον.) Ζητρεῖον. ὁ κοῦσπος. τὸ τῶν δούλων κολαστήριον. ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι. γίνεται δὲ ἐκ τοῦ ¯ζ¯α καὶ τοῦ τρέω, τὸ φοβοῦμαι. ζάτρεον καὶ ζητρεῖον, ἐν ῳ δεῖσθαι τρέουσι. κατὰ τροπὴν τῆς ¯ε¯ι διφθόγγου εἰς τὸ η τα δωρικῶς· ὡς τό· πλείων, πλήων· μείων, μήων. ευ ρηται καὶ διὰ τοῦ ἰῶτα συνεσταλμένως, ὡς παρὰ῾Ηροδότῳ· α γε αὐτὸν εἰς τὸ ζήτριον. ε στι δὲ χωλίαμβον τὸ μέτρον. τοῦτο δὲ ὁ μὲν Ωρος ὁ Μιλήσιος προπαροξύνει, ω σπερ γήτειον, ὁ δὲ ᾿Ωριγένης περισπᾷ, ζητρεῖον. Ζήτημα. λόγος ἀνθρώπων καὶ διάλεξις ἐπὶ πράγματι. zeta.958 Ζηλώματα. ζηλοτυπίας. κώμους καὶ τὰ νέα ζηλώματα καὶ τὰ ποθούντων κνίσματα. Ζῆτα. τὸ στοιχεῖον, ἀπὸ Ζήτου τοῦ Βορέου, ου μέμνηται Ηλιος. Ζῆ. ε στι ῥῆμα α ω τὸ πνέω. τοῦτο γίνεται κατὰ ἐπίτασιν τῆς ζα συλλαβῆς ζάω, ὡς πλοῦτος, πλουτάω, ζάπλουτος· ει τα κατὰ συναίρεσιν γίνεται ζῶ. καὶ πάλιν ζάεις, ζάει, καὶ κατὰ κρᾶσιν δωρικὴν τοῦ ¯α εις ¯η ζῇς, ζῇ. Ζηλώσαντεσ. μιμησάμενοι. Ζηλοτυπεῖν. τὸ εἰς ἀπέχθειαν ἐληλυθέναι. Ζηλοτυποῦν. Αἰσχίνης ἀντὶ τοῦ μισεῖν. Ζήλου. ἀντὶ τοῦ μιμοῦ. Σοφοκλῆς· καὶ νῦν τοῦτό γε ζηλοῦν ε χω. Ζηλοῦν. τὸ μακαρίζειν. Ζηλοῦν καὶ παραζηλοῦν διαφέρει. παραζηλοῦν γὰρ λέγεται τὸ ἐρεθίζειν καὶ κινεῖν εἰς ζηλοτυπίαν, ὁποῖον τό· αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ. τουτέστιν ἐκίνησαν ἐν ἐμοὶ ζῆλον καὶ οι ον εἰς ὀργήν με ἠρέθισαν εἰδωλολατροῦντες. ζηλοῦν δέ ἐστι τὸ βουλεύεσθαι καὶ ἑαυτῷ ὑπάρχειν, ο παρεῖναι τὸ πέλας νενόμικεν ἀγαθόν. Ζητήσεται. ἀντὶ τοῦ ζητηθήσεται. Ζητεῖν. ἐπὶ τοῦ βούλεσθαι τιθέασιν᾿Αττικοί. zeta.959 μὴ δὲ σὺ ζήτει τι πυθέσθαι. Ζητεύω. πτωχεύω. Τὸ Ζ μετὰ τοῦ Ι. (῾Αρσενικόν.) Ζιποίτης· Ζιήλας· Ζιβύτησ. ὀνόματα κύρια. Ζίρησ. καὶ κλίνεται ζίρη. Σκυθικὴ φωνή. Ζιφαῖοι. ε θνος. η τοι σκοτεινοί. (Θηλυκόν.) Ζιβύνη. ὁλοσίδηρον ἀκόντιον η σπάθη. τοῦ Ψελλοῦ· ἡ λόγχη δὲ ζιβύνη. (Οὐδέτερον.) Ζιγγίβερ. ει δος ἀρώματος. Ζιζάνιον. ει δος βοτάνης τὸ α νευ σπορᾶς παραφυόμενον τῷ σίτῳ. παρὰ τὸ σῖτος καὶ τὸ ἱζάνω, τὸ ἐπικαθήμενον τῷ σίτῳ, σιτοϊζάνιον, τὸ τῷ σίτῳ παρεδρεῦον καὶ συναῦξον. Ζιννίχιον. τὸ λῶρον τοῦ ὑποδήματος. zeta.960 (῾Ρῆμα.) Ζιγνῶ καὶ ζιγνῶσαι. τὸ σκυθρωπῆσαι. Ζέω. τὸ ζητῶ. Τὸ Ζ μετὰ τοῦ Ο. (᾿Αρσενικόν.) Ζολιμίηλοσ. κύριον. Ζοροβάβελ. κύριον. Ζοφοδορπίασ. ὁ σκοτεινὸς δεῖπνος. Ζοφώδησ. ὁ σκοτεινὸς καὶ ζοφοειδής. Ζόφοσ. σκότος η ἡ δύσις. παρὰ τὸ νέφος, νόφος, καὶ ἀποβολῇ τοῦ ν ζόφος. (Θηλυκόν.) Ζοφομηνία. ὁ σκοτισμὸς τῆς σελήνης η ε κλειψις. Ζοφερά. ἡ σκοτεινή. Ζόαρα. τόπος. Ζόντειον. τόπος. Ζοφερόν. σκοτεινόν. zeta.961 Τὸ Ζ μετὰ τοῦ Υ. (῾Αρσενικόν.) Ζυγόσ. ὁ νόμος παρὰ τῇ θείᾳ γραφῇ. Ζυγόσ. τὸ α ρμα τῶν ι ππων. ἱππείου δὲ ζυγοῦ θεὰ η ψατο. Ζυγόσ. ἡ τῆς κιθάρας πῆχυς. ὡς τό· ἐπὶ δ' ἀργύρεον ζυγὸν η εν. τὸ ζήγιον καὶ ἡ καθέδρα τῶν κωπηλάτων. ει ρηται δὲ ζυγὸς παρὰ τὸ δύο α γεσθαι καὶ ἐφέλκεσθαι ὑπ' αὐτοῦ, δυγὸς, καὶ Δωρικῶς ζυγός· ὡς τό· θερίσδω, θερίζω, ζευκτῆρες, δευκτῆρες. Ζυγόδεσμοσ. ὁ ἱμὰς τοῦ ζυγοῦ. Ζύγιοσ. ὁ ἐνεργῶν ὁμόνοιαν ἀνδρὸς καὶ γυναικὸς, η γουν συζυγίαν. Ζύθοσ. ὁ ἀπὸ κριθῆς οι νος. Ζυγίτησ. ὁ καθήμενος ἐν τῇ νηῒ μέσος. Ζυμήτησ. α ρτος. zeta.962 Ζύγιοι ι πποι. οἱ ὑποβαλλόμενοι τῷ τοῦ α ρματος ζυγῷ, τουτέστι ὁ μέσος ἀριστερὸς, ὁ μέσος δεξιός. (Θηλυκόν.) Ζύμη. τὸ συμπεφὲν σταῖς εἰς ο πτησιν. παρὰ τὸ ζέω ζύμη, ὡς ου σα οι μος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ὁδὸς τῆς ζωῆς. Ζύγαινα. ει δος ἰχθύος. Ζυγία. ἡ Ηρα. (Οὐδέτερον.) Ζύγωθρον. ὁ συνέχων τὰς δύο θύρας μοχλός. Ζύγαστρον. κιβωτός· κυρίως δὲ ἡ ξυλίνη σορός. Σοφοκλῆς· ξύλῳ ζυγάστρῳ. παρὰ τὸ ἐζυγῶσθαι τὰς σανίδας. καὶ Ξενοφῶν· τὰ δὲ α λλα χρήματα παραδεχομένους ἐν ζυγάστροις κομίζειν, ι να, ο πῃ καιρὸς ει η, διαλαμβάνοιεν ε καστος τὰ α ξια. παρὰ Δελφοῖς δὲ ζύγαστρον καλεῖται τὸ γραμματοφυλακεῖον. ἐκ τοῦ ῥητορικοῦ ἡ λέξις. zeta.963 (῾Ρῆμα.) Ζυγοφορούμενα. ἐν ζυγῷ σταθμιζόμενα. Ζυγομαχεῖν. τὸ τοῖς οἰκείοις διαφέρεσθαι η στασιάζειν η μάχεσθαι. μετῆκται ἡ λέξις ἀπὸ τῆς τῶν βοῶν πρὸς ἀλλήλους μάχης. Ζυγεῖν. τὸ ἐπ' εὐθείας κεῖσθαι τῷ κατὰ βάθος στίχῳ. τοῦτο γὰρ καὶ κυρίως λέγεται στίχος. Ζυγώθρησον. συνάρμοσον. σύμπηξον. ι σωσον. ζυγοστάτησον. ἀναζυγοῦν δὲ τὸ ε ξωθεν ἀνοίγειν τὴν θύραν. Ζυγῶσαι. τὸ ζεῦξαι. ζυγώσας εὐσθενεστάτῳ θράσει ταύρους. Ζυγάδην. συνεζευγμένως. Τὸ Ζ μετὰ τοῦ Ω. (᾿Αρσενικόν.) Ζωηρόσ. ὁ ζῶν, η ὁ παρέχων ζωήν. Ζωΐλοσ. ου τος᾿ Αμφιπολίτης ἐστί· πόλις δὲ Μακεδονίας᾿ Αμφίπολις. ου τος ὁ Ζωΐλος ἐπεκλήθη ὁμηρομάστιξ, ο τι ἐπέσκωπτε τὸν Ομηρον. zeta.964 Ζωμὸς μέλασ. ἡ λεγομένη αἱματίς. κυρίως δὲ ζωμὸς τὸ ἐπὶ τοῖς κρέασι τῶν ζώων α ρτυμα. Ζωροπόται. ἀκρατοπόται. Ζωροάστρησ. ἀστρονόμος. ου τος ἐπὶ Νίνου βασιλέως ᾿Ασσυρίων η ν· ο στις ηυ ξατο ὑπὸ πυρὸς οὐρανίου τελευτῆσαι, παρεγγυήσας᾿ Ασσυρίοις τὴν τέφραν αὐτοῦ φυλάττειν· ου τω γὰρ αὐτοῖς ἡ βασιλεία οὐκ ἐκλείψει διαπαντός. ο περ μέχρι νῦν πεφύλακται παρ' αὐτοῖς. Ζωρομάσδρησ. Χαλδαῖος σοφὸς, ο ς ε γραψε μαθηματικὰ καὶ φυσικά. Ζωσιμᾶς· Ζώσιμος. ὀνόματα κύρια. Ζωστήρ. ῳ ἐπάνω τοῦ θώρακος χρῶνται. (Θηλυκόν.) Ζωβία. κύριον. Ζωή. συμπλοκὴ ψυχῆς μετὰ σώματος η παρατήρησις καὶ μονὴ τῶν ο ντων. *καὶ ἡ κτῆσις μόνη τῶν ο ντων*, καὶ ἡ κτῆσις καὶ ἡ οὐσία. η ζωή ἐστιν ἡ ἐκ τοῦ μὴ ο ντος εἰς τὸ ει ναι δημιουργία τοῦ κτίσαντος· η ἀληθῶς ἀρετὴ ἑκούσιος γενομένη· η σύστασις τοῦ ζώου θανάτου ἀπείzeta.965 ραστος· η τὸ ἐκ τοῦ μὴ ο ντος εἰς τὴν παροῦσαν ζωὴν ἐληλυθός. διαφέρει δὲ ζωὴ ψυχῆς· ζῇ γὰρ καὶ τὰ φυτά. Ζωμήρυσις. μαγειρικὸν ἐργαλεῖόν τι. η τὸ κοχλιάριον. ζωμήρυσίν τε τὴν λίπους ἀφρολόγον. Ζωμαλμή. κύριον. Ζώνη. τὸ τοῦ σώματος μέρος. ει ρηται παρὰ τὸ ζῶ. ἐν ῳ μάλιστα τὸ τοῦ ζώου ἐστὶ δεκτικὸν καὶ τὸ ζωτικόν. ζώνη ὁμωνύμως καὶ τὸ περὶ αὐτὴν υ φασμα, ὡς καὶ θώραξ τὸ μέρος καὶ τὸ περιτιθέμενον ο πλον. η παρὰ τὸ δεῖν δώνη καὶ ζώνη ἡ περιδεομένη. τὰ δὲ παρ' αὐτῆς συγκείμενα διὰ τοῦ ω μεγάλου γράφονται. οι ον· α ζωνος, βαθύζωνος, χρυσόζωνος. ζώνη καὶ ἡ δύναμις τροπικῶς, ἐπειδὴ ὁ ἐσταλμένος εὐσταλέστερός ἐστι πρὸς τὴν πρᾶξιν. ζώνη καὶ τὸ ἀξίωμα. ἀναζητουμένης τῆς βασιλίδος ὠθεῖσθαι οὐ μόνον ἰδιώτας, ἀλλὰ καὶ τοὺς ὑπὸ ζώνην. ζώνη παρ῾ Ηροδότῳ τὸ πορφυροῦν ἱμάτιον. ζῶναι ἐπὶ γῆς πάντες βόρειος ὑπὲρ τὸν ἀρκτικὸν κύκλον, ἀοίκητος διὰ ψύχος, ευ κρατος καύματος ἡ λεγομένη διακεκαυμένη· ἀντεύκρατος νότιος, ἀοίκητος διὰ καῦμα. zeta.966 Ζωοδότειρα. ἡ παρέχουσα τὸ ζῆν. Ζώσασ. ἐναργεστέρας, οὐκ ἀπολλυμένας. Ζώνη. τὸ μέρος τοῦ σώματος, ἐν ῳ μάλιστα τὸ τοῦ ζώου ζωτικόν. τοῦτο δέ ἐστιν ἐν τῷ στήθει. καὶ ἡ συνήθης ζώνη, καὶ ὁ συνουσιασμός. ὡς τό· λύσατο δὲ παρθενίην ζώνην. (Οὐδέτερον.) Ζωαρκέσ. τὸ πρὸς ζωὴν ἀρκοῦν. Ζωάγρια. τὰ τῆς ζωῆς χαριστήρια. καὶ ζώγρια, δι' ω ν λύτρων τὸ ζῆν περιγίνεται. Προκόπιος· τῷ Χοσρόῃ ζώγρια δόντες τὴν πόλιν καὶ σφᾶς αὐτοὺς διεσώσαντο. Ζωγρεῖον. ει δος σπυρίδος. Ζώδιον. τὸ μικρὸν ζῶον. Ζῶμα. τὸν χιτῶνα, ἀπὸ τοῦ ζώννυσθαι. α λλοι τὸν θώρακα. οἱ δὲ κυρίως ζῶμα τὴν εἰρήνην. Ζώντειον. τὸ τῶν οἰκετῶν κολαστήριον. Ζώπυρα. φυσητῆρες. ο θεν οἱ χαλκεῖς τὸ πῦρ φυσῶσι. Ζώπυρον. πεπυρακτωμένον, ε νθερμον. Ζῷον. οὐσία ε μψυχος αἰθητική. η ζῶον ἐστὶ τὸ κατὰ παντὸς γένους νοεροῦ ἐμψύχου αἰσθητικοῦ κατηγορούμενον. η ὁλικὸν γνώρισμα πάντων τῶν zeta.967 ἐν αἰσθήσεσι πρὸς φύσιν λαχόντων τὴν υ παρξιν. η τὸ ε χον κατάλληλον τῇ φύσει καὶ τὴν ο ρεξιν, δι' η ς τὸ ἐμμόνιμον καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χρήσιμον συνεπάγεται. η τὸ ε χον ἐν ἑαυτῷ φυσικῶς τὴν πρὸς τὸ ὠφελοῦν στοργὴν καὶ ἐπιῤῥέπειαν. ζῷον παρὰ τὸ ζῶ, η ἀπὸ τῆς ζωῆς. γράφεται δὲ διὰ τοῦ ι, ἐπειδὴ ευ ρηται κατὰ διάστασιν, ὡς παρὰ Σιμωνίδῃ. φησὶ γάρ· τὸ δ' ἡμῖν ἑρπετὸν παρέπτατο ζώϊον κάκιστον. καὶ διὰ τὸν χαρακτῆρα τὸν διὰ τοῦ ¯ω¯ο¯ν· τὰ γὰρ διὰ τοῦ ¯ω¯ο¯ν οὐδέτερα μονογενῆ θέλουσιν ε χειν πάντοτε τὸ ι. οι ον· Πτῷον, ο νομα ο ρους, περιστῷον, προστῷον, ὑπερῷον. ου τως ου ν τὸ ζῶον σὺν τῷ ἰῶτα. Ζώγρια λαβεῖν. ἀντὶ τοῦ ζῶντα λαβεῖν, κρατῆσαι. οἱ δὲ γενόμενοι ζώγρια κύριοι τοῦ στρατοῦ τοῦτον ἐσταύρωσαν. Ζωρόν. τὸ ζωτικόν. καὶ ζωρότερον, ἀκρατότερον. ζωρὸν κεράσας ἰσοχειλέα– καὶ Ομηρος εἰπών· ζωρότερον κέραιε. διαφορᾶς κράσεων λέγει, ὡς μίγματος τινὸς στρεμνίους ποιοῦντος τοὺς πίνοντας. ἀπὸ τοῦ ζῆν ζωότερον, καὶ πλεονασμῷ τοῦ ¯ρ ζωρότερον, ἐν ῳ οι νος οὐκ ἠφάνισται, ἀλλ' ε τι ζῇ καὶ θερzeta.968 μότατός ἐστιν. ἀπὸ δὲ τούτου τὸ ἀκρατότερον ἐμφαίνει καὶ ἰσχυρόν. η παρὰ τὸ ζα καὶ τὸν ω ρον, ο σημαίνει τὸν ἐνιαυτόν· ζαωρὸς ὁ πολυετὴς καὶ παλαιὸς οι νος καὶ ευ ποτος παρὰ τὸν νέον. Ζώστειον. τόπος. Ζώστρειον. τόπος. Ζώτειον. ὁ μύλος, ο που αἱ ζειαὶ κόπτονται. Ζώστρα. ἐνδύματα τινὰ ἀνδρῶν. οι ον χιτῶνας βαθεῖς, οι ς ζώννυται ἡ ζώνη. Ζωΰφια. τὰ μικρὰ ζῶα, η τοι κνώδαλα η πτηνά. (῾Ρῆμα.) Ζώγρει. ζῶντα φύλασσε. οι ον· ζώγρει,᾿Ατρέως υἱέ– παρὰ τὸ ζῶ καὶ τὸ ἀγρεύειν. ὁ τὰ ζῶντα ἀγρεύων. καὶ ζωγρεῖ ἀντὶ τοῦ ζῶντας λαμβάνει. Ζώεσκον. ἀντὶ τοῦ ἐπλούτουν. ἐγὼν ε τι ζώεσκον. Ζώῃ. εὐκτικῶς. Ζώννυσθαι. καθοπλίζεσθαι. Ζωπυρεῖ. ἀναζῆν ποιεῖ. καὶ ἀντὶ τοῦ ἐκκαίει. καὶ ζωπυρῆσαι λέγουσιν οἱ᾿ Αττικοὶ τὸ ἀναθάλψαι. κυρίως δὲ ζωπυρῆσαι ἐστὶ τὸ ἐκ μικροῦ σπινθῆρος φυσῶντα μεγάλην φλόγα ἀνάψαι. λέγεται δὲ καὶ ἐπὶ πολέμου. καὶ ζωπυρήσεις ἀντὶ τοῦ ἀνεγερεῖς. εἰ μὴ τῷ θεῷ ζωπυzeta.969 ρήσεις, λύσω τὸν ἐμαυτῆς υἱὸν καὶ ποιήσω τήμερον τοὺς δημότας βωστρεῖν. ο ἐστι βοᾷν, καλεῖν, κράζειν. Ζῶσ. ἀντὶ τοῦ ζῶν. zeta.70 Ζωτεῖσθαι. τὸ ζωογονεῖσθαι. Ζωώσασ. ζωοποιήσας. Ζώων. ἀντὶ τοῦ ζῶν. ζώων μὲν σέο μητρί– eta.6 Η. Τὸ Η μετὰ τοῦ Α. (῾Ρῆμα.)᾿Ηᾶτο. ἐκαθέζετο. Ηια. η λθον. ἐπορευόμην. †ῃ α, τὸ ἐπορευόμην, σὺν τῷ ¯ι γράφεται, καὶ᾿ Ιωνικῶς η ϊα, η ϊσαν τὸ ῃ εσαν.† καὶ παρὰ Θουκυδίδῃ· ἀκμάζοντες η ϊσαν εἰς αὐτόν. οἱ δὲ Ιωνες η εσαν καὶ η σαν.᾿ Ηιακότεσ. θρηνήσαντες.᾿ Ηάριζον. τὰ τοῦ ε αρος ε λεγον. Ηατο. ἐκάθητο. Η η . ἀντὶ τοῦ σιώπα, παρὰ᾿ Αριστοφάνει. Η. ἀντὶ τοῦ ε φη. Η. ἀντὶ τοῦ ει πον. ε στι φῶ, τὸ λέγω, τὸ παράγωγον φημὶ, ἀφαιρέσει τοῦ φ, ἠμί. τὸ αὐτὸ σημαίνει. ὁ δεύτερος ἀόριστος η ν, η ς, η . Ηι. ἀντὶ τοῦ ὑπάρχει. Η. ἀντὶ τοῦ η μην. καὶ ἀντὶ τοῦ η ν. eta.970 Ηι. ἀντὶ τοῦ καθά. Ηι. ἀντὶ τοῦ ο που. καὶ ῃ , ἀντὶ τοῦ ῃ τινι. Τὸ Η μετὰ τοῦ Β. (᾿Αρσενικόν.)᾿ Ηβαιός. ὁ μικρός.῾ Ηβητὴρ καὶ η βη. ἡ πρώτη ε κφυσις τῶν τριχῶν. Οὐ καλὸν ἡβητῆρες· ἀπεχθαίρω γὰρ τὴν τρίχα τὴν ταχὺ φυομένην. (Θηλυκόν.) Ηβη. ἡ πρώτη ε κφυσις τῶν τριχῶν. η ἡ νεότης καὶ ἡλικία, ἡ τεσσαρεσκαίδεκα ἐτῶν. καὶ διέχει η βης α νθος. η δη τις ου σα· η δει γὰρ ἡμᾶς ὡς α νθος ου σα τῆς ἡλικίας. κατὰ τροπὴν τοῦ δ εἰς β, βοιωτικῶς. η παρὰ τὸ α πτω ἁφὴ καὶ η βη. κατὰ τροπὴν τοῦ α καὶ τοῦ φ εἰς β. πυρώδεις γὰρ οἱ ἡβῶντες. η ἁφὴ τὶς ου σα. τότε γὰρ ἁπτόμεθα καὶ ε ργων καὶ γυναικός. η eta.971 παρὰ τὸ ἠβαιὸν, ἡ ἐπ' ὀλίγον χρόνον ου σα. η ἀπὸ τοῦ βεβηκέναι α βη καὶ η βη. η η βη τὸ ἀκρότατον τῆς ἀκμῆς. καὶ ο νομα θεᾶς. (Οὐδέτερον.)᾿ Ηβαιόν. ὀλίγον, μικρόν. παρὰ τὸ βῶ, τὸ βαίνω, τὸ κατ' ὀλίγον ου τως βαῖνον. ο οὐκ ε στι διὰ σμικρότητα ἐπιβῆναι, πλεονασμῷ τοῦ η τα. οἱ δ' ἐλθόντες οὐδ' ἠβαιόν. καί· βαιῷ δ' ἐν αἰῶνι βροτῶν– καί· βαιὸν ἐπὶ ποταμοῦ– η ἠβαιὸν παρὰ τὴν η βην· ἐπεὶ αυ τη ὀλίγη καὶ ταχέως αυ ξεται καὶ ἐλαττοῦται. ἀφ' ου παρώνυμον ἡβαιός. ὀξύνεται δὲ, ὡς δηναιὸς, γηραιός· ι να μὴ βαρυνόμενον σχῇ κτητικὸν τύπον, ὡς῾ Ρώμη,῾ Ρωμαῖος.῾ Ηβητήριον. τὸ παιδευτήριον.῾ Ηβήτριον. ἡ κατάλυσις. Ηβητρον. τὸ ξόανον. καὶ ἡβητρόν. (῾Ρῆμα.)῾ Ηβᾷ. ἀκμάζει. σφριγᾷ. eta.972῾ Ηβάσκοντεσ. ἐκ δευτέρου ἀκμάζοντες. ῾Ηβήσαντεσ. ἀκμάσαντες. οἱ δὲ παῖδες ἡβήσαντες καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενόμενοι θυμοῦ καὶ χειρῶν κύριοι.῾Ηβήσασ. ἡλικιωθείς. καὶ ἡβῆσαι, ο ταν παραλαμβάνωσιν υἱοὶ τὸν πατρῷον κλῆρον.᾿Ηβολεῖν. τὸ ἀργεῖν.᾿Ηβουλόμην. οἱ πολλοί. ἐβουλόμην δὲ ὡς᾿Αττικώτερον.῾Ηβυλλιῶσαι. ἀκμάζουσαι τὴν ἡλικίαν. ᾿Αριστοφάνης· –ὀρχηστρίδες῾Ηβυλλιῶσαι κᾳ ρτι παρατετιλμέναι– τὰς τρίχας. αἱ γὰρ μελλόνυμφοι ε τιλλον τὰς τρίχας.῾Ηβῷμαι· ἡβῷμι· ἡβώοιμι. ἀντὶ τοῦ αὐξάνοιμι. εὐκτικά.῾Ηβώωσα. ἀκμάζουσα. (᾿Επίῤῥημα.)῾Ηβηδόν. κατὰ τάξιν. καθ' ἡλικίαν. ἡβηδὸν α παντας κατέσφαξαν. καὶ ἀντὶ τοῦ ἀθρόον. eta.973 Τὸ Η μετὰ τοῦ Γ. (᾿Αρσενικόν.)῾Ηγέτησ. ὁ ἡγεμών.῾Ηγεμών. ὁ τῆς ὁδοῦ ἡγούμενος. Ξενοφῶν· καὶ τὸν ἡγεμόνα δήσαντες παραδιδόασιν αὐτοῖς.῾Ηγεμὼν συμμορίασ. Δημοσθένης. ὁ προέχων πλούτου καὶ διὰ τοῦτο τῶν α λλων ἡγεμονεύειν ἐπειλημμένος.῾Ηγήτορεσ. οἱ ἡγεμόνες. (Θηλυκόν.)῾Ηγαθέη. ἡ α γαν θεία καὶ θαυμαστή.᾿Ηγαλλέη. θεραπευτική. ἀπὸ τοῦ ἀγάλλω.῾Ηγεσίαισ. ὁδηγίαις. οἱ μάγοι ἡγεμονίαις.῾Ηγητορία. ἡ ἡγεμονία. ἡγουμενεία δὲ δίφθογγον. λέγει δὲ καὶ ὁ Ψελλός· ἡγητορία πέφυκε τῶν σύκων ἡ παλάθη. παλάθη δὲ λέγεται ἡ μάζα τῶν σύκων. (Οὐδέτερον.)῾Ηγεμονικόν. ὁ νοῦς. η τὸ κυριώτατον τῆς ψυχῆς, ἐν ῳ αἱ φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται, καὶ ο θεν ὁ λόγος ἀναπέμπεται. καί· πνεύματι ἡγεμονικῷ στήριξόν με. τὸν αὐτοκράτορα λογισμὸν φησὶν ὁ Δαβίδ. Ηγημα. βουλή· γνώμη παρὰ τῷ προφήτῃ ει ρηται. eta.974 Ηγαλλεν. ἐθεράπευεν. ο τι τὸ θεῖον ἀκριβῶς η γαλλεν. κέχρηται δὲ τῇ λέξει ταύτῃ α λλοι τὲ καὶ Εὐνόμιος ὁ δυσσεβής, ὁ δὲ Δίων πολλάκις.᾿Ηγάσαντο. ἐθαύμασαν. καί· ἠγάσθη τοῦ ἀνδρὸς ὁ Καῖσαρ καὶ ε σχε σύμμαχον. Ηγεν. ἐτέλει. ὁ δὲ᾿Ιουλιανὸς ἐν Πέρσαις ω ν γυμνικοὺς ἀγῶνας η γε. καὶ ἀντὶ τοῦ ε φερεν. η ᾐχμαλώτιζε καὶ κατέτρεχεν. ὁ δὲ ἐκεῖθεν ὁρμώμενος η γε καὶ ε φερε τοῖς ὑπ' ἐκείνῳ οὐκ ὀλίγην, καὶ αὐτὸς οὐδαμῆ η ν αὐτῷ ἁλώσιμος.῾Ηγεμονεύω. διοικῶ.᾿Ηγερέθοντο. συνηθροίζοντο. ἀγείρω, ἀγερῶ, ἀγερέθω, ἠγερέθοντο. καὶ ἀγερέω, ἀγερῶ.᾿Ηγερέεσθαι. ἀθροίζεσθαι. Ηγερθεν. ἐγείρω, ὁ παρακείμενος η γερκα, ὁ παθητικὸς η γερμαι, ὁ ἀόριστος δεύτερος ἠγέρθην, καὶ τὸ τρίτον τῶν πληθυντικῶν η γερθεν. Ηγειρα. παρώξυνα. ῾Ηγείσθην. ἀντὶ τοῦ ἡγοῦντο.᾿Ηγμένουσ. ἀγομένους. καὶ ἀντὶ τοῦ πεπαιδευμένους· ἀγωγὴ γὰρ ἡ παίδευσις.᾿Ηγγέλη. ἀπηγγέλη.᾿Ηγηλάζω. α γω, ὁδηγῶ. ἐπιμελοῦμαι. Ομηρος· καὶ σὺ κακὸν μόρον ἠγηλάζεις. eta.975᾿Ηγόμην. ἐφερόμην, η ἐτρεφόμην, η ἐτύγχανον. ᾿Ηγορόωντο. ἐδημηγόρουν. ῾Ηγοῦμαι. νομίζω. Ηγρετο. ἠγέρθη. ᾿Ηγροικισάμην. κακῶς ἐφθεγξάμην.᾿Ηγρίωσαι. ἀντὶ τοῦ σκληρύνῃ. Ηγαγον. ὁ δεύτερος ἀόριστος α γον καὶ κατὰ ἀναδιπλασιασμὸν α γαγον καὶ η γαγον. Τὸ Η μετὰ τοῦ Δ. (᾿Αρσενικόν.)῾Ηδέσιν. εὐφραντοῖς.῾Ηδίων. εὐφραντός.῾Ηδυεπήσ. γλυκὺς ἐν τῷ λέγειν.῾Ηδυπαθήσ. φιλήδονος.῾Ηδύσ. εὐφραντὸς, καὶ ὁ εὐήθης· ἐκάλουν δὲ ου τω καὶ τοὺς ὑπομώρους.῾Ηδύοσμοσ. ει δος βοτάνης. Ηδυμοσ. γλυκύς. ἀπὸ τοῦ νήδυμον, η ἀπὸ τοῦ ἡδὺς η δυμος, ὡς παρ'᾿Επιχάρμῳ· α μα τὲ λόγων ἀκούσας ἡδύμων. τὸ συγκριτικὸν ἡδυμότερος, καὶ ἰωνικῶς ἡδυμέστερος, ὡς ἀνιηρέστερος.᾿Ηδωνοί. ε θνος, η Μακεδόνες.῾Ηδύσ. ὁ εὐφραντός. παρὰ τὸ η δω τὸ εὐφραίνομαι. τὰ διὰ τοῦ ¯ε¯ι¯δ¯ω ῥήματα διὰ τῆς ει διφθόγγου γράφεται, οι ον ει δω τὸ ὁμοιῶ, καὶ ει τι ο μοιον· πλὴν τοῦ η δω, μήδω, κήδω. eta.976 (Θηλυκόν.) Ηι δ' α ν ἡμέρα. ἀντὶ τοῦ, ῃ τινι α ν. Ηδε. ἀντὶ τοῦ αυ τη. καὶ ἠδὲ ἀντὶ τοῦ καί.῾Ηδεῖα. εὐφραντὴ, ἐρασμία. ῾Ηδονή. εὐφροσύνη.῾Ηδονῆς ἀκρότησ. τὸ πρὸς λύπην α μικτον. ἡδονὴ δέ ἐστι λεία κίνησις· πόνος δὲ τραχεῖα κίνησις. η ἡδονή ἐστι κίνησις ψυχῆς ὀξεῖα ἐκ μνήμης γινομένη. ἡδονὴ θεῖα ἐστὶν ἡ ἐπὶ τοῖς θείοις χαρίσμασι τοῦ νοῦ θελητικὴ ἐνέργεια καὶ εὐφροσύνη ἐπίμονος. ει ρηται δὲ παρὰ τὸ δονῶ, δονὴ, ἡ δονοῦσα καὶ συγχέουσα τὴν ψυχὴν, καὶ πλεονασμῷ τοῦ ¯η ἡδονή. η παρὰ τὸ η δω ἡδονή· ὡς φλέγω φλεγμονή· πλήθω πλημονή.῾Ηδυπάθεια. φιληδονία, πορνεία.᾿Ηδωνίσ. χώρα ου τως καλουμένη, η τις ἐστὶ κατὰ τὴν Θρᾴκην. (Οὐδέτερον.)῾Ηδέσιν. γλυκέσιν. Ηδιστα. εὐφραντά. Ηδιον. εὐφραντόν. καὶ ἡδίω τὰ εὐφραντά. Ηδοσ. τὸ ο φελος. τὰ εἰς ¯ο¯ς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ʾΙόβας·ʾΙόβακχος·ʾΙοβάτης·ʾΙοβιανός. ὀνο ματα κύρια.ʾΙόδδασ. κύριον.ʾΙόεντα. τὰ μέλανα. ἰόεντα σίδηρον. ὡς καί· ἰοειδέα πόντον. iota.1113ʾ Ιοθόρ. κύριον. ου τος η ν πενθερὸς τοῦ Μωυσέως. Ιονθοσ. ἡ πρώτη ε κφυσις τῶν τριχῶν. ἀπὸ τοῦ ἰέναι καὶ ἀνθεῖν.ʾΙορδάνησ. ποταμός. ἐκλήθη δὲʾΙορδάνης διὰ τὸ συμμίγνυσθαι δύο α μα ποταμοὺς, Ιορ καὶ Δάνην.ʾΙόρτιοσ. κύριον.ʾΙόλαοσ. κύριον. καὶʾΙόλεως. Ιουλοσ. ἡ πρώτη τοῦ γενείου βλάστησις. καὶ ὁ ἐν ταῖς ἀμπέλοις σκώληξ.ʾΙούδασ. κύριον. ἐγένοντο τούτῳ τρεῖς παῖδες, ὁ Ει ρ, ὁʾ Αννὰν, καὶ ὁ Σηλώμ. ἑρμηνεύεται δὲʾ Ιούδας ὁμολόγησις.ʾ Ιόσ. τὸ βέλος. παρὰ γὰρ τὸν ἰὸν τοῦ ο φεως γίνεται ἰὸς, τὸ βέλος. καὶ γὰρ ε χριον τὰ βέλη ἀπὸ τοῦ ἰοῦ τοῦ ο φεως, ι να τιτρωσκόμενος τὶς εὐθέως ἀναιρεθῇ. παρὰ τὸ ἰέναι ποιεῖν τοὺς τιτρωσκομένους εἰς ᾳ δην.ʾ Ιοδόκος καὶ ἰοδόκη. ἡ βελοθήκη.ʾΙοκάστη·ʾ Ιόλη. κύρια.ʾ Ιόπη. δι' ἑνὸς π καὶ ι. ε στι δὲ πόλις Παλαιστίνης. συστέλλει δὲ τὸ ι. ει ρηται δὲ Αἰθιοiota.1114 πία τις ου σα· κατεῖχον γὰρ αὐτὴν Αἰθίοπες. ου τως γὰρ ευ ρον ἐγώ.ʾ Ιότησ. βουλή. γνώμη, φροντίς. ἀπὸ τοῦ ἰοῦ, τοῦ βέλους, η γουν ἀπὸ τοῦ ι εσθαι καὶ εἰς πάντα ἰέναι. ἀλλήλων ἰότητι– καί· μὴ δι' ἐμὴν ἰότητα–.ʾΙουλόπεζοι. μεταφορικῶς. αἱ πολύκωποι νῆες. ἀπὸ τοῦ ἰούλου, τοῦ πολύποδος ζώου, τοῦ πολλοὺς καὶ πυκνοὺς ε χοντος πόδας. ὁμοίως καὶ ἡ πρώτη ἐξάνθησις κατὰ τὰς παρειὰς ι ουλος λέγεται ἀπὸ ἰούλου ζώου.ʾΙουδήθ. κύριον. ʾΙοχέαιρα. Αρτεμις. ἡ τοῖς ἰοῖς χαίρουσα. η παρὰ τὸ χέειν τοὺς ἰούς· ο ἐστι τὰ βέλει· τοξότης γάρ ἐστι. ἰοχέαιρα καὶ ἡ φαρέτρα ἡ ὑποδεχομένη τὰ βέλη.ʾΙοστέφανοι. λιπαραί. Πίνδαρος· ἰοστέφανοιʾ Αθῆναι.ʾ Ιόνιον πέλαγοσ. ὁ νῦνʾ Αδρίας. καὶʾ Ιόνιος κόλ πος. iota.1115 Ιον. παρὰ τὸ ἀνιέναι ταχύ.ʾ Ιορδάνεια ῥεῖθρα. δίφθογγον. ποτάμια δὲ νάματα, ι.ʾ Ιοῦσαν. πορευομένην.ʾ Ιού. ἀντὶ τοῦ οι μοι καὶ φεῦ μοι.ʾ Ιοῦ ἰοῦ. ἐπὶ χαρᾶς. περισπᾶται. Τὸ Ι μετὰ τοῦ Π. (ʾΑρσενικόν.)ʿΙππαλεκτρυόνοσ. ει δος ζώου. Ιπεσ. σκώληκες λυμαντικοὶ ξύλων καὶ καρπῶν. ὁ ι ψ, τοῦ ἰπός. Ιππειος ζυγός. ʿΙππημολγόσ. ὁ τοὺς ι ππους ἀμέλγων.ʿΙππίας καὶʿΙππιόθων. ὀνόματα κύρια. ʿΙππιοχάρμην. τὸν χαίροντα τὴν ἱππικὴν, η ἱππόμαχον. χάρμη γὰρ ἡ μάχη. iota.1116 Ιπνος καὶ ἰπνός. ὁ φοῦρνος. κυρίως ἡ κάμινος. καταχρηστικῶς δὲ ἡ ἐσχάρα. η τὸ μαγειρεῖον. η καπνοδόκη.ʿΙππόβοτος τόποσ. ὁ μεγάλην γῆν ε χων, δυνάμενος ι ππους τρέφειν.ʿΙππόδαμοι. εἰς ι ππους ἀναστρεφόμενοι. Ιπποσ. παρὰ τοῖς ποσὶν ι εσθαι. ι πτασθαι, ο ἐστι πέτεσθαι.ʿΙππότησ. ὁ ἱππεὺς, ὁ ὀχούμενος τῷ ι ππῳ. ʿΙπποφορβόσ. ὁ ἱπποτρόφος. φορβὴ γὰρ ἡ τροφή. Ιππερωσ. ι ππων ε ρως. (Θηλυκόν.) Ιποσ. ἡ τῶν μυῶν παγίς.ʿΙππαγωγούσ. τὰς ι ππους καὶ α νδρας ἀγούσας ναῦς. ʿΙππαφέσεων. τῆς ἀφετηρίας, ο ἐστι τοῦ καγκέλλου. iota.1117ʿ Ιππεία. ἡ ι ππευσις. καὶ ἱππεία φάτνη καὶ οὐρά. καὶ ἱππεία Ἀθηνᾶ.ʿ Ιππείων ὁπλέων. τῶν ὀνύχων τῶν ι ππων. ʿΙπποσύνη. ἡ περὶ τοὺς ι ππους ἐμπειρία. η ἐπιστήμη ἱππική. ε γχεϊ θ' ἱπποσύνη τε–. Ιππουριν. ἐξ ἱππείων τριχῶν λόφον ε χουσα. λόφος δὲ τὸ προνεῦον τῆς περικεφαλαίας ἀνάστημα καταπλήξεως χάριν καὶ κόσμου ο ν.ʿΙππαρχία. δύο ταραντιναὶ ἱππέων ἀνδρῶν ¯ι¯η.ʿΙππάκη. τυρὸς ι ππειος. Ιππευμα. πορείαν. ʾΑριστοφάνης· ὡς μακρὸν ι ππευμα διώκεις ἀστεροειδέα νῶτα διφρεύουσ' αἰθέρος–. iota.1118 Ιππειον κράτοσ. ἡ τοῦ ι ππου ἰσχύς. καὶ ι ππειον θράσος.ʿΙππήλατον. εὐρύχωρον, πλατύ. ἱππήλατον πεδίον διώδευον. Ιπνια. τὰ ἀποκαθάρματα τοῦ φούρνου. η τὰ πρὸς καῦσιν ἐπιτήδεια. λέγει δὲ Καλλίμαχος καὶ κόπρον τῶν ζώων· σὺν δ' α μυδις φορυτόν τε καὶ ι πνια λύματ' α ειρεν.ʿ Ιποκάμισον. .....ʿ Ιππάζεται. οὐχ ἁπλῶς τὸ περὶ ἱππικὴν ε χειν, ἀλλ' ἐφ' ἑνὸς ι ππου ὀχεῖσθαι, ο ν νῦν κέλητα καλοῦσιν. Ιππευε. ι ππων φρόντιζε.ʾΙπούμενοσ. ἀναγκαζόμενος, πιεζόμενος. ʾΑριστοφάνης· ἰπούμενος ταῖς συμφοραῖς. iota.1119 παρὰ γὰρ τὸ ι πος, ο σημαίνει τὴν παγίδα, γέγονεν ἰπῶ καὶ ἰπούμενος. ι πος δὲ σημαίνει τὴν παγίδα τῶν μυῶν. καὶ τοῦτο γὰρ τὸ ει δος φθαρτικόν ἐστιν αὐτῶν. Ιπτω. τὸ βλάπτω. μέγα δ' ι ψαο λαὸν ʾΑχαιῶν.ʾ Ιπῶ. τὸ θλίβω. Τὸ Ι μετὰ τοῦ Ρ. (ʾΑρσενικόν.) Ιρηξ. ὁ ἱέραξ.ʿΙρῆασ. τοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἱερέας.῾Ιρόσ. ὁ ἱερὸς κατὰ κρᾶσιν. χῶρος ο δ' ἱρὸς, ὡς ἀπεικάσαι, βρύων δάφνης, ἐλαίας, ἀμπέλου· πυκνότεροι δ' ει σω–. Ιροσ. πτωχός. πένης. μακρὸν τὸ ἰῶτα. παρὰ τὸ ει ρω, τὸ λέγω, ὡς δηλοῖ καὶ ὁ ποιητὴς λέγων· Ιρον δὲ νέοι κίκλησκον α παντες, Ου νεκ' ἀπαγγέλλεσκε κιὼν, ο τε πού τις ἀνώγοι. ἀλλ' ε στιν εἰπεῖν, ω σπερ ἀπὸ τοῦ ἱερεὺς, ἱρεὺς, κράσει τοῦ ¯ι καὶ ¯ε εἰς ¯ι μακρὸν, ου τω καὶ ἀπὸ τοῦ ἱερὸς γίνεται Ιρος. πολλὰ γὰρ εὑρίσκομεν ὀξύτονα, α τινα γινόμενα κύρια καὶ βαρύνονται. οι ον πυρὸς Πύῤῥος· ξανθὸς Ξάνθος· γλαυκὸς iota.1120 Γλαῦκος. ου τως ου ν καὶ ἱρὸς Ιρος. καὶ α λλως· τὰ διὰ τοῦ ¯ι¯ρ¯ο¯ς δισύλλαβα διὰ τοῦ ι γράφονται. οι ον Πῖρος, ο νομα ποταμοῦ· Κῖρος, κύριον· Μῖρος, ποταμὸς Φρυγίας· Τῖρος, ο νομα ποταμοῦ. ου τως ου ν καὶ Ιρος. Ιρτιοσ. κύριον. (Θηλυκόν.)῾Ιρά. ἐκκλησία. καὶ ἱραί. Ομηρος· – ἱράων προπάροιθε– καὶ ἱρῶν μηνίσας παρ'῾Ομήρῳ.῾Ιρή. πόλις. Ιρισ. νέφος ὑγρὸν κατὰ ε μπτωσιν ἡλίου πεποικιλμένον, ο καλεῖται τόξον. η αὐγαὶ ὑφ' ὑγρῶν νεφῶν ἀνακεκλασμένα. η ε μφασις ἡλίου τμήματος η σελήνης ἐν νέφει δεδροσισμένῳ, κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν, ὡς ἐν κατόπτρῳ φανταζομένην, κατὰ κύκλου περιφέρειαν. ἰστέον δὲ, ο τι τῆς ι ριδος τὸ χλωρὸν ἀέρος σημαντικὸν, τὸ πυῤῥὸν πνευμάτων, τὸ δὲ μελανίζον ὑδάτων. Ιρισ. παρὰ τὸ ῥεῖν καὶ κινεῖν τὸν ο μβρον. σημαίνει δὲ καὶ τὸν α γγελον τῶν θεῶν. παρὰ τὸ ει ρειν καὶ προλέγειν τὰ μέλλοντα. σημαίνει καὶ ποταμὸν παρὰ᾿Απολλωνίῳ· ποταμὸν ταχύῤῥουν Ιριν. καὶ Ιρις ο νομα τόπου. iota.1121 Ιροσ. πόλις Θεσσαλίας. ἀπὸ τοῦ Ιρου τοῦ κτίσαντος αὐτήν. Ιριγγασ. τὰς ἀρτηρίας φησὶν῾Ιπποκράτης. λέγει δὲ καὶ ὁ Ψελλός· τὰς ἀρτηρίας ι ριγγας, τὰ δὲ ὀστᾶ ῥοώδη· ὑπόξηρον τὸ α ποξυ, σφάκελος τὸ φλεγμαίνειν. (Οὐδέτερον.)῾Ιρά. τὰ ἱερά.῾Ιρεῖον. τὸ θῦμα. Τὸ Ι μετὰ τοῦ Σ. (᾿Αρσενικόν.)᾿Ισαάκ. κύριον. ἀγαλλίασις ἑρμηνεύεται. Ισακοσ. ὁ᾿Ισαὰκ ἑλληνιστί.᾿Ισακίῳ. ἀνδρείῳ.᾿Ισάγγελοσ. ι σος ἀγγέλῳ. iota.1122᾿Ισθμόσ. θάλασσα, μέσον ε χουσα γῆν. πορθμὸς δὲ γῆ ε νθεν κᾀκεῖθεν, καὶ μέσον θάλασσα. παρὰ τὸ ι σω, ἰσμὸς καὶ πλεονασμῷ τοῦ θ ἰσθμός. η παρὰ τὸ ι ημι. ου τως῾Ηρωδιανός.᾿Ισθμόσ. καὶ ὁ λαιμός. παρὰ τὸ εἰσιέναι παρ' αὐτοῦ τὰ ποτὰ καὶ τὰ βρώματα.᾿Ισσικὸς κόλποσ.᾿Ισκαριώτησ. μνήμη θανάτου ἑρμηνεύεται. Ισκοσ. ὁ κλέπτης. ἐξ ου καὶ ι σκω.᾿Ισμαήλ. κύριον. ἑβραϊστὶ ἑρμηνεύεται ὁ μεθ' ἡδονῆς γέλως.᾿Ισοτελεῖσ. ι σα τελοῦντες᾿Ισοχειλεῖσ. μέχρι χείλους πεπληρωμένοι. η σαν δὲ κρατῆρες οι νου ἰσοχειλεῖς. Ισοσ. ὁ ο μοιος. ἰστέον, ο τι τὸ ι σος ευ ρηται συνεσταλμένον· η λασε Κιμμερίω ψαμάθῳ ι σον– ου τω Καλλίμαχος. παρὰ τὸ ει δω, τὸ ὁμοιῶ, iota.1123 ὁ μέλλων ει σω, ῥῆμα ο νομα ει σος, καὶ ἀποβολῇ τοῦ ¯ε ι σος. οὐ μὲν σοί ποτ' ι σον ε χω γέρας–.᾿Ισουργόσ. ὁ τὰ ι σα ἐργαζόμενος.῾Ιστοριαγράφον, οὐχ ἱστοριογράφον λέγουσιν οἱ᾿Αττικοί. Ιστροσ. ὁ ποταμὸς ὁ παρ'῾Εβραίοις Φεισσὼν, παρὰ δὲ᾿Ινδοῖς Γάγγης, παρὰ δὲ Αἰθίοψιν᾿Ινδὸς, παρ' Ελλησι δὲ Δανούβιος.῾Ιστόσ. τὸ κατάρτιον. καὶ ἱστὸς τὸ ἱστάριον. παρὰ τὸ ι στημι. ο θεν καὶ στύλος. ἱστὸν ἐποιχομένην– τὸ γὰρ παλαιὸν αἱ γυναῖκες ἑστῶσαι υ φαινον. τὸ δὲ ἐποιχομένην, ἐπὶ τὸν ἱστὸν πορευομένην. Ιστωρ. ὁ ἐπ' α κρῳ τῷ ῥυμῷ ἐμπεπηγμένος πάτiota.1124 ταλος. καὶ κλίνεται ι στορος. ι στωρ καὶ ὁ ἐπιστήμων. ἀπὸ τοῦ ει δω, ει σω, ῥήματος. ῥηματικὸν ο νομα ι στωρ, καὶ κλίνεται ι στορος. καὶ ἐξ αὐτοῦ ἱστορία. Ιστορι. καὶ ἀντὶ τοῦ μάρτυρι η κριτῇ.᾿Ισραήλ. ἑρμηνεύεται νοῦς ὁρῶν τὸν θεὸν, η ο στις διὰ πίστεως ὁρᾷ τὸν θεὸν τῷ νοΐ.᾿Ισχυρόσ. ὁ ἰσχύος καὶ δυνάμεως ε χων.᾿Ισχυρογνώμων. σκληρὸς, ε ξαρνος.᾿Ισχνόφωνοσ. λεπτόφωνος.᾿Ισχνόσ. παρὰ τὸ ι σχω ἰσχνὸς, πλεονασμῷ τοῦ ν. ου τως Φιλόξενος.῾Ιστορικόσ. ὁ τὰ πρὸ αὐτοῦ γεγενημένα συγγράφων, ὡς῾Ηρόδοτος. συγγραφεὺς δὲ ὁ κατὰ τὸν χρόνον αὐτοῦ συγγράφων, ὡς Θουκυδίδης. iota.1125 Ισσοσ. ο νομα ποταμοῦ. (Θηλυκόν.) Ισ. ἡ δύναμις, τὰ νεῦρα. Ισσα. †ἡ Μιτυλήνη.† ο νομα πόλεως. Ισας δ' ὑσμίνη κεφαλὰς ε χον. ἀντὶ τοῦ· η τε τῶν῾Ελλήνων καὶ τῶν βαρβάρων μάχη ἰσοκέφαλος η ν.᾿Ισθμικὴ πίτυσ. α θλον ἐπινίκιον. Ισμαροσ. ἡ νῦν καλουμένη Μαρώνεια. ἀπὸ τοῦ᾿Ισμάρου, τοῦ Αρεως καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θρᾴκης παιδός.῾Ιστορία. θέα. διήγησις.῾Ιστία. ἡ καθέδρα.῾Ιστοπέδη. ξύλον ὀρθὸν ἀπὸ τῆς τροπώσεως, ᾧ προσδέδεται ὁ ἱστός. iota.1126῾Ιστοδόκη. ξύλον ὑποδεχόμενον τὸν ἱστόν.᾿Ισχνομυθίασ. λεπτολογίας. (Οὐδέτερον.) Ισθμια. περιστόμια· περιδέραια. καὶ ἑορτὴ τῶν῾Ελλήνων. καὶ ἰσθμιάζειν ἐπὶ τῶν κακῶς βιούντων. ἐπίνοσος γὰρ ὁ τῶν ἰσθμῶν καιρός. Ισμα. παρὰ τὸ ι ζω.᾿Ισόῤῥοπον. τὸ ἰσοστάσιον.᾿Ισοστάσιον. τὸ ι σον τῷ σταθμῷ. ᾿Ισοσθενέσ. τὸ ἰσοδύναμον. ᾿Ισοκλεέσ. τὸ ι σον ε χον δόξαν. ᾿Ισόπεδον. ε χον ι σην τὴν γῆν.᾿Ισόκωλον. τὸ ι σα μέρη ε χον.᾿Ισοπαλῆ. ἐν κλήρῳ ι σα. πάλος γὰρ ὁ κλῆρος. iota.1127᾿Ιστίον. τὸ α ρμενον. παρὰ τὸ ι ζειν ἐφ' ἑνὸς τόπου καὶ ἱδρύσθαι. ι ζω, ἱστὸς καὶ ἱστίον. ᾿Ισχίον. τὸ κοῖλον γλουτοῦ, ο που ἡ κοτύλη στρέφεται.᾿Ισχνόν. λεπτόν.᾿Ισχυρόν. μέγα. βαθύ. ε τι ἰσχυρὸν τραῦμα λαβοῦσ' ὑπ' ἐμοῦ. (῾Ρῆμα.) Ισαν. ἐπορεύθησαν. παρ'῾Ομήρῳ καὶ μόνον. ει μι, ὁ παρατατικὸς η ν, τὸ πληθυντικὸν τὸ ¯α ι μεν, ι τε ι σαν. καὶ ι σαν ἀντὶ τοῦ ε γνωσαν. Ισατο. καθίδρυσεν. Ισασι. γινώσκουσιν. ἀπὸ τοῦ ἰσῶ παράγωγον ι σημι. τοῦτο δὲ πάλιν ἀπὸ τοῦ ει δω τοῦ σημαίνοντος τὸ ἐπίσταμαι. τὸ πληθυντικὸν ι σαμεν, ι σατε, ι σασιν. ω σπερ δίδοσιν οὐ περισπᾶται. Ισθι. γίνωσκε. ε στιν εἰδῶ τὸ γινώσκω, ὁ μέλλων ει σω. ἐξ ου καὶ τὸ ει σομαι. ου ὁ μέλλων σπασθεὶς ἐνεστὼς γίνεται ἰσῶ, διὰ τοῦ ι. τὰ γὰρ εἰς ω λήγοντα ῥήματα κατ' ε νδειαν iota.1128 διχρόνῳ βραχεῖ παραλήγει. οι ον· πείθω, πιθῶ· στείχω, στιχῶ· φείδω, φιδῶ· τεύχω, τυχῶ· ου τως ου ν καὶ ει δω, ει σω, ἰσῶ, διὰ τοῦ ¯ι βραχέος. ἐκ τούτου γίνεται παράγωγον τῶν εἰς μι ι σημι, ὁ παρατατικὸς, ο περ Δωρικῶς γίνεται ι σαμι. τούτου τὸ πληθυντικὸν ι σαμεν, καὶ κατὰ συγκοπὴν ι σμεν. τὸ β ι σατε, καὶ κατὰ συγκοπὴν ι στε. τούτου τὸ προστακτικὸν ι σαθι, καὶ ἐν συγκοπῇ ι σθι. τὸ τρίτον ι στω. τὸ β τῶν δυϊκῶν ι στον· πλεονασμῷ τοῦ ε, ἰστέον. Ισθι. υ παρχε. ἀπὸ τοῦ εἰμί. τὸ ¯α τῶν πληθυντικῶν ε μεν, ο περ κατὰ πλεονασμὸν τοῦ ς γίνεται ἐσμέν. ἀπὸ τοῦ ε μεν γέγονε τὸ προστακτικὸν ε θι, καὶ πλεονασμῷ τοῦ ς ι σθι· τὸ γὰρ ¯ε πλεονάσαντος συμφώνου τρέπεται εἰς ¯ι. οι ον· ε χω, ι σχω. ου τως ου ν καὶ ε θι, ι σθι. τοῦτο δὲ τὸ ι σθι κατὰ τὸ τρίτον πρόσωπον τὸ ὀφειλόμενον ¯ε ἀναδέχεται καὶ γίνεται ε στω.᾿Ισηγορεῖ. ἐπ' ι σης λέγει. Ισημι. γινώσκω. καὶ ι σαμεν. Ισκω. τὸ κλέπτω. iota.1129 Ισκειν. τὸ εἰκάζειν.᾿Ισοφαρίζειν. ἐξισοῦσθαι. ι σος φαίνεται. ἐξισάζειν.᾿Ιστέον. γνωστέον.῾Ιστορῆσαι. θεάσασθαι. Ιστε. γινώσκετε. Ιστη. ἀντὶ τοῦ στῆσον. προστακτικῶς. *καὶ ι στης, εἰργάσω.*῾Ιστορημένα. πρὸς θέαν ἱστάμενα. ου τω γὰρ η σαν ἱστορημένα μόνον. Ισχανα. ε ξυσα. ἐλέπτυνα. ᾿Αριστοφάνης· ι σχανα τὴν τέχνην ἐπυλλίοις καὶ περιπάτοις.᾿Ισχάνει. κωλύει. καὶ ἰσχανόωσα. καὶ ἰσχανόωσιν.᾿Ισχανόω δὲ, τὸ ἐπιθυμῶ, γενικῇ. Ισχεο. πέπαυσο. καὶ ι σχεσθε. iota.1130 Ισχει. κρατεῖ.᾿Ισχυρίζεται. ἐνίσταται. διαβεβαιοῦται. φιλονεικεῖ. ᾿Ισχνομυθοῦντεσ. ἀκριβολογοῦντες. λεπτολογοῦντες. (᾿Επίῤῥημα.) Ισσα. ἐπίφθεγμα ἐπὶ τῶν ο λως δυσπραγούντων. Ισωσ. τάχα η ὁμοίως. Τὸ Ι μετὰ τοῦ Τ. (᾿Αρσενικόν.) ᾿Ιταμόσ. ἀναίσχυντος, ἀναιδής. παρὰ τὸ ι εσθαι, ο ἐστιν ὁρμᾷν. Ιτησ. ὁ πτωχός. ὁ ὁρμητικός. ὁ ἐπὶ πάντας ὁρμῶν. ἀπὸ τοῦ ἰέναι. ἀπὸ τούτου καὶ εἰσητήρια. ου τως Ωρος ὁ Μιλήσιος. iota.1131 Ιτυλοσ. ὁ ὀρφανός. (Θηλυκόν.)᾿Ιτέα. τόπος. ἀφ' η ς ὁ δημότης ὁ᾿Ιτεαῖος.᾿Ιτέα. *τὸ δένδρον. παρὰ τὸ ἰέναι· ταχέως γὰρ αυ ξεται. Ιτυσ. περιφέρεια ο πλου. ὁ δὲ Καλλίμαχος, ὡς ὁρᾷ αὐτὸν παριόντα, ἐπιλαμβάνεται αὐτῆς τῆς ι τυος. λέγει δὲ τὴν ἀσπίδα.᾿Ιτώνη. καὶ᾿Ιτωνία. ἡ Αρτεμις.᾿Ιτωνίσ. χώρα. καὶ κλίνεται᾿Ιτωνίδος. (Οὐδέτερον.)᾿Ιταβύριον. ο ρος ου τω καλούμενον. ε στι δὲ λίαν ὑψηλόν.᾿Ιτρία. καπυρώδη πλάσματα. καὶ ι τριον. ἀπὸ τοῦ ἰέναι· ἐπὶ λεπτὸν γὰρ ε λκεται. Ιτρον. τὸ ὑποκάτω τοῦ ὀμφαλοῦ μέρος. ἐξ ου καὶ ι τρα, καὶ μίτρα, ἡ περὶ αὐτὴν ζώνη.᾿Ιτρόγαλα. .....᾿Ιτέον. πορευτέον.᾿Ιτητέον. πορευτέον. iota.1132 (῾Ρῆμα.) Ιτην. ἐπορεύθησαν. ι ημι. καὶ σημαίνει τὸ πέμπω. τοῦτο γίνεται κατὰ συγκοπὴν τοῦ ¯η ι μι, ὁ παρατατικὸς ι ν, ι σι, τὸ δυϊκὸν ι τον, ι την. τὼ δ' αυ τ' ι την παρὰ νῆας ᾿Αχαιῶν. Ιτω. ἰέτω. ἐρχέσθω. ἀλλ' ι τω· χαιρέτω γῆν πρὸ γῆς, ο ποι βούλοιτο. ἀπὸ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ει μι. τὸ α τῶν πληθυντικῶν ι μεν. τὸ προστακτικὸν ι θι. τὸ τρίτον ι τω. Τὸ Ι μετὰ τοῦ Υ. (᾿Αρσενικόν.)᾿Ιϋγμόσ. βοὴ, φωνή. Ιϋξ. κύριον. (Θηλυκόν.) Ιϋγξ. ε ρως, η ὁ τοῦ λόγου ῥυθμός. καὶ τὸ ο ρνεον τὸ λεγόμενον σεισοπύγης. τοιαύτη τις προσῆν ι ϋγξ Διογένους τοῖς λόγοις τοῦ κυνός. Ιϋγγεσ. λεπτοὶ πόροι. καὶ αἱ τέρψεις. καὶ τὰ ἐφέλκοντα τὴν διάνοιαν εἰς ἐπιθυμίαν καὶ ε ρωτα. iota.1133 (῾Ρῆμα.)᾿Ιΰζει. βοᾷ. κράζει. ἀγροικικῇ τῇ φωνῇ φωνεῖ. πεποίηται δὲ τὸ ο νομα ἀπὸ τοῦ ἰοῦ ἐπιῤῥήματος. Τὸ Ι μετὰ τοῦ Φ. (᾿Αρσενικόν.) Ιφις, Ιφιδοσ. ο νομα κύριον. καὶ ὁ ταχύς.᾿Ιφίνοοσ· ᾿Ιφικλῆς· Ιφικλος·᾿Ιφικράτης· Ι τος·᾿Ιφίστιος. ὀνόματα κύρια. Ιφθιμοσ. ὁ ἰσχυρὸς καὶ γενναῖος. ὡς παρὰ τὸ α νθος γίνεται α νθιμος, καὶ κῦδος κύδιμος, ου τως καὶ παρὰ τὸ ι φι ι φιμος καὶ πλεονασμῷ τοῦ θ ι φθιμος. η παρὰ τὸ ι φι καὶ θυμὸς ἰφίθυμος καὶ συγκοπῇ ι φθιμος. (Θηλυκόν.) ᾿Ιφιγένεια. κύριον. iota.1134 ᾿Ιφικράτιδεσ. ει δος ὑποδήματος. ει ποτε δὲ τὰς ἀττικὰς ἰφικράτιδας. ὁ γὰρ᾿Ιφικράτης σκυτέως πατρὸς υἱός.᾿Ιφίη. ει δος ἀγρίου λαχάνου.᾿Ιφύσ. ἡ ὀφρύς. (Οὐδέτερον.) Ιφιον. τὸ λιπαρόν. Ιφια μῆλα. ἰσχυρῶς βαδίζοντα. εὐτραφῆ. η κατ' εὐφημισμόν. η ἰσχυροποιὰ τῶν ἀσθενούντων. μῆλα δὲ τὰ πρόβατα λέγει. (῾Ρῆμα.)᾿Ιφύει. βοᾷ. (᾿Επίῤῥημα.) Ιφι. ἰσχυρῶς. ω σπερ ἀπὸ τοῦ νόστου γίνεται νοστόφι καὶ ἐν συγκοπῇ νόσφι, ου τω καὶ ἀπὸ τοῦ ι ς, ἰνὸς, ἰνόσφι καὶ κατὰ συγκοπὴν ι φι. ἐπὶ δὲ τοῦ ι φι κατὰ ἀντίφρασιν ἐστί· σημαίiota.1135 νει δὲ τὰ ἀσθενῆ καὶ οὐ τὰ ἰσχυρά. ἡ εἰς φι συλλαβὴ κατὰ πᾶσαν πτῶσιν φυλάσσεται, οι ον· χαλκόφι· οὐρανιάφι. Τὸ Ι μετὰ τοῦ Χ. (᾿Αρσενικόν.) ᾿Ιχθυοβολεὺς καὶ ἰχθυουλκόσ. ὁ ἁλιεύς.᾿Ιχθῦσ. περισπᾶται. παρὰ τὸ θύω, τὸ ὁρμῶ, ἰθῦς καὶ πλεονασμῷ τοῦ χ ἰχθῦς.᾿Ιχνεύμονοσ. ει δος ζώου καὶ ἰχθύος.᾿Ιχώρ. τὸ σεσηπὸς αι μα. παρὰ τὸ ε χω, ι σχω, ἰσχὼρ, κατὰ ἀποβολὴν τοῦ ς ἰχώρ. ο θεν καὶ τὸ ¯ι φυλάσσει μακρόν. τὸ γὰρ ἰχὼρ θέσει μακρόν ἐστι· ὡς ἐν τῷ γίγνεται, γίνεται.᾿Ιχῶ. τὸν ἰχῶρα, κατὰ ἀποκοπήν. ἡ εὐθεῖα ὁ ἰχὼρ, τοῦ ἰχῶρος, τὸν ἰχῶρα, τὸν ἰχῶ. ἀπ' ἰχῶ χειρὸς ὀμόργnu. (Θηλυκόν.) Ιχλα. ἡ κίχλα. ᾿Ιχναίη. ἡ Μακεδονία. iota.1136 (Οὐδέτερον.) Ιχνοσ. βῆμα ποδός. παρὰ τὸ ι σχειν, ο ἐστι συνέχειν ο λον τὸ πόδα. η ἀπὸ τοῦ ἀνέχεσθαι τῆς γῆς. ου τως Ωρος ὁ Μιλήσιος.᾿Ιχθυόκεντρον. ἡ τρίαινα. η τοι καμάκιον. (῾Ρῆμα.)᾿Ιχθυάα. ἰχθύας ἀγρεύει.᾿Ιχνηλατῆσαι. διὰ τῶν ἰχνῶν ἀναζητῆσαι. ᾿Ιχνεύει. ἐρευνᾷ. ζητεῖ.᾿Ιχνᾶται. ἰχνοσκοπεῖ. Τὸ Ι μετὰ τοῦ Ψ. (᾿Αρσενικόν.) Ιψ. ὁ σκώληξ. καὶ κλίνεται ἰπὸς, ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς ἰψίν. (῾Ρῆμα.) Ιψασ. ε βλαψας. ει ψας δὲ ἀντὶ τοῦ ἠκολούθησας, δίφθογγον. Ιψω. ε βλαψας. μέγα δ' ι ψαο λαὸν᾿Αχαιῶν. iota.1137 Τὸ Ι μετὰ τοῦ Ω. (᾿Αρσενικόν.)᾿Ιωάσ. κύριον.᾿Ιωβάδασ. κύριον.᾿Ιωβηλαῖοσ. μὴν ου τω καλούμενος παρὰ᾿Ιουδαίοις καὶ τιμώμενος. ἰστέον, ο τι τὸ ἀργὸν ε τος κατὰ τὴν ἑπταετίαν ἠργεῖτο παρὰ᾿Ιουδαίοις ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις.᾿Ιώβ. κύριον. ἑρμηνεύεται δὲ πρόσωπον πόνου.᾿Ιωδαέ. κύριον. ᾿Ιώεσδρος. κύριον. †᾿Ιωήλ. κύριον.†᾿Ιωθάμ·᾿Ιωθήρ. ὀνόματα κύρια.᾿Ιώλκιος. κύριον. ᾿Ιωνάθασ. κύριον. Ιωνεσ. οἱ περὶ τὴν᾿Ασίαν.᾿Ιωάννησ. κύριον. ἑρμηνεύεται χάρις, η θεωρητικὸς, η θεολογικὸς, η ἀγαπώμενος, διὰ παρθενίας καὶ καθαρότητος.᾿Ιωάχαζ. κύριον.᾿Ιωάβ. κύριον.᾿Ιωσῆσ. κύριον.᾿Ιώσηπος·᾿Ιωσεδέκ. κύρια. iota.1138᾿Ιωσίασ. κύριον. ου τος ὑπὲρ τῆς εὐσεβείας κατὰ τοῦ θεοῦ ἐζήλωσεν, ὡς καὶ τὰ ὀστᾶ τῶν πάλαι ἀποθανόντων ἱερέων τῶν εἰδώλων ἀνασκάψαι καὶ διαλικμῆσαι. *᾿Ιωάθαμ. κύριον. ἑρμηνεύεται δὲ καὶ συντέλεια.*᾿Ιωρόσ. κύριον. σημαίνει καὶ τὸν θυρωρὸν, καὶ τὸν φύλακα.᾿Ιωχμόσ. θόρυβος. παρὰ τὸ διώξω, διωγμὸς, καὶ τροπῇ τοῦ γ εἰς χ καὶ ἀποβολῇ τοῦ δ, ἰωχμός.᾿Ιωφονίασ. κύριον.᾿Ιωάννησ. ὁ τῷ λόγῳ διὰ πραότητα καὶ πολλὴν καθαρότητα τῆς καρδίας ἀγαπώμενος. (Θηλυκόν.) ᾿Ιωάννα. κύριον. ἑρμηνεύεται περιστερά.᾿Ιωγή. ἡ σκέπη. Βορέω ὑπ' ἰωγῇ. ἀπὸ τοῦ ἰέναι. τὸ γὰρ σκέπον ἐπὶ πᾶν, ο σκέπει, ι εται. Ιων. ο νομα πόλεως.᾿Ιωή. ἡ πνοή. παρὰ τὸ ι ημι, ἰὴ, καὶ πλεονασμῷ τοῦ ω, ἰωή, καὶ ἡ φωνή. παρὰ τὸ ι ω γίiota.1139 νεται ἰωὴ ἡ διϊκνουμένη εἰς ἀκοήν. ου τως Ωρος ὁ Μιλήσιος.᾿Ιωκή. ἡ βοή. δίωξις. παρὰ τὸ διώκω διωκὴ, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποβολῇ τοῦ δ, ἰωκή.᾽Ιῶκα. τὴν ἰωκὴν λέγει, ο ἐστι τὴν ὁρμὴν, τὴν δίωξιν. ου τως Ωρος. ὡς῾Ησίοδος τὴν κρόκην, κρόκα. ω στε μεταπλασμός ἐστιν. Ομηρος· ἰῶκά τε δακρυόεσσαν.᾽Ιωκάσ. ὁρμὰς, διώξεις.᾽Ιῶλκα. αυ λακα. Ιωξισ. ἡ δίωξις. ὡς ἀπὸ τοῦ λέγω, λέξω, λέξις, ε ξω, ε ξις, ου τως καὶ ἀπὸ τοῦ διώκω, διώξω, δίωξις, καὶ ἀποβολῇ τοῦ δ, ι ωξις, ἡ δίωξις.᾽Ιωνία. χώρα.᾽Ιώνυμφα. κύριον.᾽Ιωνιά. ἡ τῶν ι ων πρασιά. ὡς καὶ κρινωνιὰ καὶ ῥοδωνιά. iota.1140 (Οὐδέτερον.)᾽Ιωτάπατα. τόπος.᾽Ιά. τὰ βέλη καὶ τὰ φάρμακα.᾽Ιῶτα. τὸ στοιχεῖον. παρὰ τὸν ἰὸν τῶν ἰοβόλων ζώων. εἰς ὀρθὸν γὰρ βαδίζειν ὁ ἰὸς, ὡς καὶ ἡ τούτου γραφή. η ἀπὸ τοῦ ἰοῦ, τοῦ βέλους. (῾Ρῆμα.)᾽Ιώθη. ἐχολώθη. †η ἰοῦ ἐπληρώθη.† Ιωμεν. ε λθωμεν. *βαδίσωμεν.* ᾽Ιών. ἀντὶ τοῦ πορευθεὶς, ὀξυτόνως, καὶ ἀντὶ τοῦ ἐλθών.᾽Ιώ. ἀντὶ τοῦ φεῦ. ἰὼ τραυμάτων ἐποδύνων. ἰὼ, βαρύβρομοί τε βρονταί. ἐκ τοῦ ἰωὴ κατὰ συγκοπὴν ἰώ. Τρύφων δὲ λέγει, τὸ ω κλητικὸν προσέλαβε τὸ ι καὶ ἐγένετο ἰώ. kappa.1141 Κ. Τὸ Κ μετὰ τοῦ Α. (᾽Αρσενικόν.) Κάβαξ. ὁ πανοῦργος. Κάβαισοσ. α πληστος. κάβον γὰρ μέτρον σιτικόν. Καδδίσκοσ. ἀγγεῖόν τι, εἰς ο ἐψηφηφόρουν οἱ δικασταί. Καθηγητήσ. διδάσκαλος. Κάθιδροσ. κεκμηκώς. Καθαπτόσ. ἐνδεδυμένος. ᾽Αριστοφάνης· νεβρῶν δοραῖς καθαπτός. Καθαροί. οἱ τὴν καθολικὴν ἀρετὴν κεκτημένοι, καὶ μηδὲν ἑαυτοῖς συνειδότες πονηρόν. η οἱ ἐν σωφροσύνῃ διάγοντες. ὡς τό· μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ. Καθαρόσ. ὁ πάντα καλῶς θεωρῶν. η ὁ μὴ λαμβανόμενος ἑαυτοῦ ἐπὶ ἀθετήσει ἐντολῆς θεοῦ kappa.1142 η ἐλλείψει η ἀμελείᾳ. εἰ δὲ βούλει, ὁ μὴ μόνον τῆς κατ' ἐνέργειαν καὶ διὰ σώματος τελουμένης ἁμαρτίας ἀπεχόμενος, ἀλλ' ὁ καὶ τοῖς λογισμοῖς καθαρεύων καὶ οὐδὲ ἐν τῇ ψυχῇ πλημμελῶν. ἱκανὴ γάρ ἐστιν ἡ τῆς ψυχῆς καθαρότης τὸν θεὸν κατ' αὐτῆς κατοπτρίζεσθαι. τῶν γὰρ τῆς ἰδίας φύσεως ἀγαθῶν ὁ θεὸς ἐνετύπωσε τῇ ἡμετέρᾳ κατασκευῇ τὰ τιμήματα, οι όν τινα κηρὸν σχήματι γλυφῆς προτυπώσας. *Κάϊν. ζῆλος ἑρμηνεύεται. ὁ δὲ Αβελ, πένθος.* Κακοδαίμων. δυστυχής. Κακήγοροσ. ὁ λέγων κακά. Κακόσ. ὁ μὴ θέλων τὸ καλὸν, καὶ ὁ δειλός. Ομηρος· κακοὺς δ' ἐς μέσον η λασεν. Κακόχαρτοσ. ὁ τοῖς κακοῖς χαίρων. Κακόσχολοσ. πονηρός. ἀπὸ τοῦ σχολάζειν τοῖς κακοῖς. kappa.1143 Καλάσιρισ. χιτὼν πλατύς. ου τως Αἰγύπτιοι. Κάμμοροσ. ταλαίπωρος. οἱονεὶ κακόμορος. κατὰ συγκοπὴν κάμμορος. Κάμαξ. χάραξ η ξύλον ὀρθόν. Κάνωτοσ. τόπος ἐν᾽Αλεξανδρείᾳ. Κανών. λόγος ε ντεχνος δηλωτικὸς, ἀπευθύνων ὁμοιότητι πρὸς τὸ καθόλου τὸ διεστραμμένον τῶν λέξεων. η κανών ἐστι νόμος ἀπαράβατος, καὶ μέτρον ἀδιάψευστον, πᾶσαν πρόθεσιν καὶ ἀφαίρεσιν μηδαμῶς ἐπιδεχόμενον. †ἐκ τοῦ κανόνος, ο ς ἐστι ξύλον, ῳ κέχρηνται οἱ τεχνῖται εἰς ξύλων η λίθων ἀπόρθωσιν. παρατιθέντες γὰρ τὸν κανόνα τοῖς παρ' αὐτῶν ἐργαζομένοις, δι' αὐτοῦ, ει τινα εὑρίσκουσιν ἐν αὐτοῖς λοξότητα, εἰσοχάς τε καὶ ἐξοχὰς, εἰς εὐθύτητα ἀποξέουσι καὶ ὀρθοῦσι τὸ ἐργαζόμενον.† Κάπετοσ. σορὸς, θήκη. Καπνόσ. ἀναθυμίασις ξυλώδης ξηρὰ καὶ θερμή. η ἀτμὸς δριμὺς ὑπὸ τῆς τοῦ πυρὸς ἀναφορᾶς, ἐκ τῶν ὑποτυφομένων ἀναπεμπόμενος. α νθραξ δὲ πῦρ γεῶδες μετὰ τὴν τῆς φλογὸς πάροδον τῇ παχυτέρᾳ καὶ γεωδεστέρᾳ υ λῃ ἐναπομεῖναν. μετὰ γὰρ τὸ παρελθεῖν τὸ ἀνθηρὸν τῆς φλοkappa.1144 γὸς, ἡ περὶ τὴν παχεῖαν υ λην τοῦ πυρὸς ὁμιλία α νθρακες ὀνομάζονται. Καρδιανόσ. ἀπὸ πόλεως Καρδίας. Καρθμόσ. ὁ ποῦς. Καρπόσ. ὁ πρὸς α μητον ἡτοιμασμένος στάχυς. σημαίνει καὶ τὸ κοῖλον τῆς χειρός. ὡς τό· κύσε χεῖρ' ἐπὶ καρπῷ. ε νθεν καὶ ὁ τῆς χειρὸς ξηρὸς τόπος καὶ α σαρκος καρπὸς λέγεται. Καρχαροδόντων. τραχεῖς ὀδόντας ἐχόντων η ὀξεῖς. παρὰ τὸ χαράσσω κάρχαρος κατὰ ἀναδιπλασιασμόν· τὸ γὰρ τραχὺ καὶ σκληρὸν χαράσσεται. *Κατοβλέψ. ει δος θηρίου.* *Καταπέλτησ. τιμωρητικὸν ο ργανον, ἐν ῳ προσδεσμούμενός τις ου τως κολάζεται.* Κατηφήσ. στυγνός. Κατάλληλοσ. ἁρμόζων. Καταπρανοῦσ. η τοι κατωφεροῦς. Κατάγελωσ. ὀνειδισμός. ἐξουδένωσις. Κατάδουποσ. ὁ κατάκτυπος. δοῦπος γὰρ ὁ κτύπος. η ὁ καταῤῥάκτης. Κατάῤῥυτοσ. ἀρδεύσιμος. kappa.1145



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Καυλῷ. τῷ α κρῳ τοῦ δόρατος. Καχρυδίασ. ὁ ἐκ κριθῆς α ρτος, ο ν παξαμᾶν λέγομεν. Καχύποπτοι. κακὰ ὑποπτεύοντες. Καιρόσ. χρόνος ἐπιτήδειος εἰς ἐργασίαν. Καινόσ. ὁ νέος. οι μαι, ο τι κραινός τις ω ν. κατ' ε λλειψιν τοῦ ρ. οἱονεὶ ὁ η δη ἐπιτελεσθείς. Κακόσ. ὁ δειλός. παρὰ τὸ χάζω, χακὸς καὶ
κακὸς, ὁ ὑποχωρῶν καὶ φεύγων. Κάβειροι. δαίμονες η ὀνόματα θεῶν.᾿Αξιόκερσα ἡ Περσεφόνη·᾿Αξίερος ἡ Δημήτηρ·᾿Αξιοκέρσης δὲ ὁ Αιδης. προσηγορεύθησαν δὲ ἀπὸ Καβείρων, ὀρέων Φρυγίας, ἐπεὶ ἐντεῦθεν μετηνέχθησαν. †Κάϊκοσ. ο νομα ποταμοῦ.† Κάδοσ. παρὰ τὸ χαδῶ, τὸ χωρῶ, περισπωμένως. ὁ μέλλων χαδήσω. ἀφ' ου τὸ κεχάδηκα κατὰ ἀναδιπλασιασμὸν, ῥῆμα ο νομα χάδος, καὶ κάδος, τὸ χωρητικὸν ἀγγεῖον. Κάκιθοσ. ὁ κακιζόμενος. παρὰ τὸ κακίζω κάκιστος καὶ κάκιθος. kappa.1146 Κακόσχολοσ. ὁ χρόνον διατιθέμενος ἐπὶ τὸ χεῖρον. Κάλαθοσ. εἰς ο ν τὰ κάλλη ἀποτίθενται. κυρίως δὲ κάλλη τὰ βεβαμμένα ε ρια. καταχρηστικῶς δὲ καὶ ὁ ἐπιδεκτικὸς τῶν πυρῶν καὶ σταφυλῶν. η γάλαθος, εἰς ο ν τὸ γάλα ἀπετίθεσαν τυρεύοντες. Κάλλιμοσ. ἡ διὰ τοῦ ι παραγωγὴ ἐκ τριῶν γίνεται. οι ον· σπόρος, σπόριμος· ἀγωγὴ, ἀγώγιμος· κῦδος, κύδιμος. ου τως κάλλος, κάλλιμος. γίνεται καὶ ἀπὸ ῥήματος· προσδοκῶ, προσδόκιμος. Καλόπουσ. κυρίως ὁ ξύλινος ποῦς. κᾶλον γὰρ τὸ ξύλον. Καλόσ. ε στι ῥῆμα κάζω, τὸ κοσμῶ. ὁ μέλλων κάσω. ῥῆμα ο νομα καλός. η παρὰ τὸ καλῶ ῥῆμα γίνεται καλός· διὰ τὸ καλεῖν πρὸς ἑαυτὸν ε καστον, ὡς ἀγαθὸν, ἐφ' ῳ α γαν θέομεν. Κάμαξ. ἀρσενικῶς μὲν σημαίνει τὸ ο ρυγμα, η τοὺς πασσάλους τοὺς ἐν τῷ τάφρῳ πεπηγμένους πρὸς τὴν τῶν πολεμίων ἐρωήν. θηλυκῶς δὲ τὰς ῥάβδους, η δόνακας πεπηγμένους ταῖς ἀμπέλοις.῾Ησίοδος· kappa.1147 σειόμενος σταφυλῇσι καὶ ἀργυρέῃσι κάμαξι. παρὰ τὸ κάμνειν ἐν τῷ βαστάζειν τὴν α μπελον. οἱονεὶ κάμναξ τὶς ου σα, κατὰ ἀποβολὴν τοῦ ν κάμαξ. Καμπανοί. ο τι Καμπτὸν ε κτισαν πρὸς τὴν Κύμην τόπον ου τω λεγόμενον. ο θεν καὶ Καμπανοὶ ἐκλήθησαν. ου τως Ωρος ὁ Μιλήσιος. Κανθόσ. ὁ ἐπὶ τοῦ ὀφθαλμοῦ. οἱονεὶ κνηθός τις ω ν, ἀπὸ τοῦ κνήθεσθαι, συνεχῶς δακνομένους. Κάπηλοσ. ὁ μεταβολεὺς καὶ οἰνοπώλης. παρὰ τὸ χέειν τὸν πηλὸν, η γουν τὸν οι νον. η παρὰ τὸ κακύνειν τὸν πηλόν. Κάπετοσ. ἡ τάφρος. παρὰ τὸ σκάπτω, σκάπετος, καὶ κάπετος. παρὰ τὸ ἐσκάφθαι. Κάραβοσ. παρὰ τὸ τὴν κάραν βαίνειν, τῆς κεφαλῆς προεχούσης. η καὶ τὴν ναῦν ὡσαύτως, κάρα γὰρ ἡ τρόπις. Καρκῖνοσ. ὁ πάγουρος, καρακῖνος τὶς ω ν, ὁ κινῶν ἐπὶ συχνῷ τὴν κάραν. Κάροσ. ἡ σκότωσις. ἡ μέθη. παρὰ τὸ τὴν κάραν βλάπτειν. Καρπόσ. ὁ πρὸς α μητον ἡτοιμασμένος στάχυς. παρὰ τὸ κάρφος, ο σημαίνει τὸ ξηρὸν, γίνεται καρφὸς καὶ καρπός. ε νθεν καὶ ὁ τῆς χειρὸς ξηkappa.1148 ρὸς τόπος καρπὸς λέγεται παρὰ τὸ κάρφος. ου τως Ωρος ὁ Μιλήσιος. Καρχαρόδουσ. τὰ ζῶα τὰ κεχαραγμένους ε χοντα τοὺς ὀδόντας, τουτέστι στρογγύλους καὶ ὀξεῖς, ἐναλλάσσοντας ἑαυτῶν. ὡς λύκος, λέων, πάρδαλις. ει ρηται δὲ παρὰ τὸ χαράσσω ῥῆμα. ο περ ἐν συνθέσει μετὰ τοῦ ὀδοὺς γίνεται χαρόδους, καὶ κατὰ ἀναδιπλασιασμὸν χαρχαρόδους καὶ καρχαρόδους. ἀμφόδοντα δὲ λέγει ζῶα, ο σα οὐκ ἐνηλλαγμένους ε χει τοὺς ὀδόντας στρογγύλους καὶ ὀξεῖς, ἀλλὰ παχεῖς καὶ πλατεῖς. ὡς α νθρωπος, ι ππος καὶ τὰ ο μοια. χαυριόδοντα δὲ, ο σα ε χει τοὺς ὀδόντας ὑπερφερεῖς. ὡς ἐλέφας, σῦς, ἀσπάλαξ. Κασίγνητοσ. ὁ γνήσιος ἀδελφός. παρὰ τὸ κάσις, ὁ ἀδελφὸς, καὶ τὸ γνὴς γνητὸς, ο σημαίνει τὸν ι διον ἀδελφόν.῾Ησίοδος· μὴ δὲ κασιγνήτῳ ι σον ποιεῖσθαι ἑταῖρον. Κατηφήσ. ὁ ὑπὸ αἰσχύνης κάτω νεύων τοὺς ὀφθαλμοὺς, η γουν ὁ αἰσχυνόμενος. παρὰ τὸ φῶ, τὸ φαίνω, γέγονε παράγωγον φαίω, φάος, καὶ ἐν συνθέσει μετὰ τῆς κατὰ προθέσεως γέγονε καταφαὴς, καὶ ἐν συγκοπῇ κατηφὴς, ὁ ε χων κάτω τὰ φάη, η γουν τοὺς ὀφθαλμούς. Καύηξ. ὁ λάρος. διὰ τὸ ἀδδηφάγον. καύη γὰρ ἡ τροφή. Εὐφορίων· kappa.1149 τῆς οὐδ' αι θυιαι οὐδὲ κρυεροὶ καύηκες. η ἀπὸ τοῦ καῦ καῦ λέγειν. καύηξ ἐρινοῦ προσκαθήμενος κλάδου. Καυλόσ. τὸ α κρον τοῦ δόρατος, εἰς ο τὸ ξύλον ἐντίθεται. γέγονε κατὰ πλεονασμὸν τοῦ κ. αὐλῷ γὰρ ε οικε. πᾶν γὰρ ἐπίμηκες


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐλὸς λέγεται. Καῦροσ. ὁ κοῦφος ταῖς φρεσὶν, οἱονεὶ αυ ρος τὶς ω ν. καὶ πλεονασμῷ τοῦ κ, καῦρος. τὸν γὰρ κατὰ νοῦν ἐλαφρὸν καῦρον ἐπονομάζουσι. βέλτιον δὲ διὰ τοῦ γ γαῦρον λέγειν. ι ν' ῃ ὁ σφοδρὸς καὶ ὑπερήφανος. παρὰ τὸ ἀπὸ γῆς αι ρεσθαι. Καυστειρόσ. ἀπὸ τοῦ καίω, καύσω, κέκαυμαι, κέκαυσαι, καυστειρὸς, κατὰ τροπὴν δωρικὴν τοῦ ¯η εἰς τὴν ¯ε¯ι δίφθογγον. Κατὰ καιρόν. κατὰ τὸν ευ καιρον καὶ προσήκοντα καιρὸν καὶ χρόνον. ου τως ὁ᾿Απόστολος· κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. kappa.1150 Κάμασος καὶ κάμασον. τὸ πικούτζουλον. Κάδησ. ἁγιασμὸς ἑρμηνεύεται. (Θηλυκόν.) Καθαίρεσισ. ἡ καταστροφή. Κάθοδοσ. ἀγωγὴ, περίοδος. Καθ' ὁμοίωσιν. τὴν τῆς ἀρετῆς κατὰ τὸ δυνατὸν ὁμοίωσιν. Καθ' ω ραν. κατὰ καιρόν. Καθοσίωσισ. δικαίωσις. Κακοῤῥαφία. ἡ κακοφροσύνη, κακοσυνθεσία. Κακοέπεια. ἡ βλασφημία. Κακανδρία. ἡ δειλία. Κακεντρέχεια. ἡ πονηρία. Καλάβροψ. ἡ ποιμενικὴ ῥάβδος. †Καλλιτόκεια.† Κάλυξ. α νθος ῥόδου μήπω ἀνοιγέν. Καλλιῤῥόη. πηγὴ καλῶς ῥέουσα. Καλοκἀγαθία. ἡ ἀγαθότης. kappa.1151 Καλιά. ἡ νοσσιά. Καλύπτρα. κόσμος καὶ σκέπασμα τῆς κεφαλῆς. Καλλιέπεια. ἡ εὐφράδεια. Κακία. διώνυμός ἐστιν ἡ λέξις. ἡ ο ντως κακία, οι ον μοιχεία, πορνεία, πλεονεξία. λιμὸς δὲ καὶ λοιμὸς, θάνατος καὶ νόσοι καὶ τα λλα οὐκ ε στι κακία, διότι πολλάκις ἡμῖν ἀγαθῶν αι τια γίνονται. καὶ περὶ ταύτης φησὶν ὁ προφήτης· οὐκ ε στι κακία ἐν πόλει, η ν κύριος οὐκ ἐποίησεν. κακία καὶ ἡ παρεκτροπὴ τοῦ ἀγαθοῦ η κρίσις διεφθαρμένη τοῦ νοῦ. η τὸ δι' ἑαυτοῦ φευκτὸν ο ν καὶ βλάπτον. †Καβήνη. ἡ κρήνη Λυκίας.† †Κακιθή. κύριον.† †Καμμονίη. ἡ μονομερὴς νίκη.† Κακοεργέτισι. κακοεργοῖς. Καθ' ὑπόστασιν. τὸ ἐκ διαφόρων φύσεων ὑπεστὼς πρᾶγμα. Καμπύλαι. σκολιαί. kappa.1152 Κάμηλοσ. τὸ ἀχθοφόρον ζῶον. κάμηλος καὶ τὸ παχὺ σχοινίον, ἐν ῳ δεσμεύουσι τὰς ἀγκύρας οἱ ναῦται. ὡς τὸ ἐν εὐαγγελίοις· κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν. Κάμιλος δὲ ὁ στρατηγὸς, ι. Καρδοπόσ. ε νθα τὰ α λευρα μαλάσσονται. Καρυκεία. ἡ ἡδύτης τῶν ζωμῶν. Καρχηδών. πόλις γειτονοῦσα᾿Ιταλοῖς καὶ Αφροις. Καρήνασ. κορυφὰς, κεφαλὰς, ἀκρωτήρια. Κάσση καὶ κασσωρίσ. ἡ πόρνη. Κασσία. φλοιός τις λεπτότατος καὶ εὐώδης, ξυλώδει κάρφει περιτεινομένη. Κάλχη. βοτάνη τις, δι' η ς ἡ πορφύρα βάπτεται. Κατὰ πρόσκλησιν. κατὰ χάριν, κατὰ προσωποληψίαν. Κατὰ συναίρεσιν. κατὰ συνάφειαν. Καταιγίσ. ἐπιφορὰ ἀνέμου σφοδρά. λέγεται δὲ καὶ ἡ τῶν ὑδάτων ζάλη. Κατ' εἰκόνα. τὸ νοερὸν καὶ αὐτεξούσιον. kappa.1153 Κατηγορία. λόγος λέγων τὶ κατά τινος η ἀπό τινος. Κατὰ φύσιν. τὸ κοινῶς ὁρώμενον ἐν τῷ γένει συστατικὸν τῆς οὐσίας. Κατάφασισ. δόξα η γουν κατηγορία περί τινος λεγομένη. οι ον· ὁ ποταμὸς ἀνέρχεται. η ὁ α ρχων εἰσέρχεται. η κατάφασίς ἐστι λόγος τινὸς ἀποφαντικὸς κατά τινος. οι ον· Σωκράτης φιλόσοφός ἐστι. καὶ ἰδοὺ ἐπάνω Σωκράτους τὴν φιλοσοφίαν κατηγόρησεν. η κατάφασίς ἐστι λόγος ἀποφαντικός τινος κατά τινος. πᾶσα δὲ κατάφασις η ἀλήθειαν σημαίνει η ψεῦδος. οι ον· Σωκράτης φιλόσοφός ἐστι. καὶ ἰδοὺ ἀλήθεια. εἰ δέ· Σωκράτης ἰδιώτης ἐστὶ, ψεῦδος. οὐδὲν δὲ ε τερον ἐστὶν ἡ ἀπόφασις εἰ μὴ κατάφασις μετὰ τῆς οὐ ἀρνήσεως. οι ον· Σωκράτης φιλόσοφός ἐστι. Σωκράτης φιλόσοφος οὐκ ε στι. καὶ ἰδοὺ χωρὶς τοῦ οὐ καὶ αὐτὸ καὶ αὐτό ἐστιν. ἐξ ἀνάγκης ου ν πᾶσα ἀπόφασις η ἀλήθειαν η ψεῦδος δηλοῖ. οι ον· Σωκράτης φιλόσοφος οὐκ ε στι· ψεῦδος. Σωκράτης ἰδιώτης οὐκ ε στιν· ἀλήθεια. ἡνίκα δὲ ἡ οὐ α ρνησις τῷ τρόπῳ συνάπτεται, κατάφασιν ποιεῖ. οι ον· Σωκράτης καλῶς διδάσκει. ἰδοὺ κατάφασις αὐτότροπος. πάλιν· Σωκράτης οὐ καλῶς διδάσκει. καὶ ἰδοὺ τοῦτο οὐ συνῆψε τῷ τρόπῳ, καὶ ἐγένετο ἀπόφασις. ῥητέον ου ν τὴν κατάφασιν λόγον ἀποφαντικὸν τινὸς κατά τινος· τὴν δὲ ἀπόφασιν ἐκ τοῦ ἐναντίου· ἀποφαντικὸς τινὸς ἀπό τινος. οι ον· Σωκράτης οὐ καλῶς διδάσκει. διὰ τὸ εἰπεῖν οὐ, ἀπὸ Σωκράτους ἀπῆρεν. Κατηγορία. ἡ κατηγορία οὐ πάντως ἐπὶ κακῷ λέγεται, ἀλλὰ καὶ ἐπὶ ἀγαθῷ. κατηγορία ἐστὶ πᾶσα περὶ οἱουδήποτε πράγματος ὁριστικὴ ε μkappa.1154 φασις. οι ον· ὁ θεὸς ἀγαθὸς φύσει· ὁ διάβολος πανοῦργος· δολερὸν ἡ ἀλώπηξ· κλεπτικὸν ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γαλῆ. Καταφθορά. ἡ παντελὴς ἀπώλεια. διαφθορὰ δὲ, ο ταν α λλη οὐσία δι' ἑτέρας ἀφανίζηται, ω σπερ τὸ σῶμα ὑπὸ σκωλήκων. Κατάγνωσισ. ἡ κατὰ γνῶσιν λαβὴ τοῦ ταύτην διαμαρτόντος. Κάχρυσ. τὰς ἀληλεσμένας κριθάς. Καιρία. ἡ ἀπειλοῦσα θάνατον πληγή. Καινοτομία. τὸ κατὰ πάντα τρόπον παρηλλαγμένον τῆς κοινῆς φύσεως, καὶ ἐν μηδενὶ τῇ τῶν ἀνθρώπων συνηθείᾳ ἐξομοιούμενον. τοῦτον δὲ τὸν ο ρον ἀναγκαῖον ἐπίστασθαι διὰ τοὺς κακῶς νοοῦντας τὴν καινοτομίαν ἐν Χριστῷ. εἰ γὰρ ἐκαινοτόμησε τὴν φύσιν ἀσπόρως γεννηθεὶς, ἀλλ' ο μως μετὰ τὸν τόκον τὴν αυ ξησιν τῆς ἡλικίας, καὶ τὰ πολλὰ τὰ ἐν τῷ σώματι, καὶ τὰς εἰσκρίσεις καὶ τὰς ἐκκρίσεις, καὶ περιτομὴν καὶ μετάστασιν, καὶ τὸ ει δος καὶ τὰ μέλη, καὶ τὰς ἐκφύσεις τῶν τριχῶν καὶ ὀδόντων καὶ ὀνύχων, καὶ ψελλισμάτων καὶ νηπίων περιπάτου, πάντα ταῦτα οὐ κατὰ καινοτομίαν ε σχεν, ἀλλὰ καθ' ὁμοιότητα ἡμῶν χωρὶς ἁμαρτίας, ὡς Παῦλος βοᾷ ὁ Χριστοκήρυξ᾽Απόστολος. Κάπη. ἡ φάτνη. παρὰ τὸ κάπτειν, τὸ ἐσθίειν, γέγονε κάπτη καὶ κάπη. η παρὰ τὸ κάπος, κάπη. κάπος δέ ἐστι τὸ πνεῦμα. ἡ ὑπὸ τῶν ἀσθμάτων τῶν ι ππων καταπνεομένη. η παρὰ τὸ ἐσκάφθαι καὶ κοιλάνθαι. Καβησόσ. πόλις Θρᾴκης. ἀπὸ Καβησοῦ τινός. Κακκάβη. σκεῦος πρὸς ε ψησιν ἐπιτήδειον. παρὰ τὸ κάπτω, τὸ κοιλαίνω. ἀφ' ου ῥηματικὸν kappa.1155 ο νομα κάβη, καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμὸν τοῦ κ, κάκκαβος. ἀναλογώτερον δὲ θέλουσι λέγειν ἡ κάκκαβος, θηλυκόν· τὸ γὰρ ἀρσενικὸν παντελῶς ἀδόκιμον. ου τως Ωρος ὁ Μιλήσιος. Κακόχαρτοσ. ἡ ἐπὶ κακῷ χαίρουσα. η ἐφ' ῃ οἱ κακοὶ χαίρουσιν.῾Ησίοδος· μὴ δέ σ' ε ρις κακόχαρτος ἀπ' ε ργου θυμὸν ἐρύκοι. Καλάβροπα. τὴν ποιμενικὴν ῥάβδον. παρὰ τὸ ῥέπειν τὸ κάλον εἰς ε ν μέρος, ἐν ῳ ἐστι τὸ παχύ. καὶ ἡ καλουμένη κορδύλη. Καλιά. ἡ φωλεὰ, η ἡ ἐκ κάλων, ο ἐστι ξύλων, κατασκευαζομένη οἰκία, μήπω εὑρεθέντων λίθων εἰς ἐργασίαν. καταχρηστικῶς δὲ ἡ ἐπὶ τῶν λίθων τῶν οἰκιῶν.῾Ησίοδος· μηδ' ἀναβάλλεσθαι εἰς αυ ριον ε στ' ε ννηφι. οὐ γὰρ ἐτωσιεργὸς ἀνὴρ πίμπλησι καλιήν. Καλλιπάρηον. παρὰ τὸ κάλλος καὶ τὸ παρειά. καλλιπάρηον κατὰ τροπὴν βοιωτικὴν τῆς ¯ε¯ι διφθόγγου εἰς ¯η. τὸ δὲ παρειὰ διὰ τῆς ¯ε¯ι διφθόγγου. τὰ γὰρ διὰ τοῦ ¯ε¯ι¯α τρισύλλαβα διὰ τῆς ¯ε¯ι διφθόγγου γράφονται, ο ντα ὀξύτονα, οι ον· φορβειὰ, παρειὰ, πλὴν τοῦ καλιά. πρόσκειται τρισύλλαβα διὰ τὸ ἱμονιά. kappa.1156 Κάλπη. ἡ ὑδρία. Κάλπις δὲ ποταμὸς Βιθυνίας, ι. Καλύβη. οἱονεὶ καλύφη τις ου σα. παρὰ τὸ καλύπτω, κατὰ τροπὴν τοῦ π εἰς φ. Κάμηλοσ. ἀπὸ τοῦ κάμπτειν τοὺς μηροὺς ἐν τῷ καθέζεσθαι, κάμηρός τις ου σα καὶ κάμηλος. Κάμινοσ. παρὰ τὸ ὑπομένειν καιομένην. Κάμπη. ο τι τὰ μὲν τελευταῖα μέσον ἀποτείνει, τὰ δὲ πρὸς τῷ τραχήλῳ κάμπτει, καὶ ει θ' ου τως ἐπισύρει τὰ ο πισθεν, κάμπτουσα ἑαυτήν. Καναχή. κτύπος. καὶ καναχίζειν. ἀπὸ τοῦ κενὸν ἀχεῖν. Κάππαρισ. ο τι ἡ καλὴ καὶ πολλὴ ἐν κάμποις φύεται, οὐχ ου τως ἐν κρημνοῖς. ει η α ν ου ν κάμπαρις καὶ μεταβολῇ τοῦ μ εἰς π κάππαρις. ου τως Ωρος ὁ Μιλήσιος. Καπύη. πόλις᾽Ιταλίας, η ν῾Ρῶμος καὶ῾Ρωμύ λος υἱοὶ Αἰνείου ε κτισαν· ὡς φησὶ Κεφάλων ὁ Γεργήθιος. ου τως Ωρος ὁ Μιλήσιος. Κάρα. ἡ κεφαλή. ἀπὸ τοῦ κέρας, κέρα καὶ κάρα. ἀπὸ τοῦ τετριχῶσθαι κάρα ει ρηται. κέρας γὰρ ἡ θρίξ. Καρίσ. παρὰ τὸ σκαίρω σκαρίς. η παρὰ τὸ κάρα καρίς. καὶ γὰρ ο λη ἡ καρὶς σχεδὸν κεφαλή ἐστι. Καρόσ. σημαίνει τὴν θανατηφόρον μοῖραν. ἀπὸ τοῦ κὴρ κηρός· συστολῇ τοῦ ¯η καρός. διὰ τοῦ kappa.1157 κῆρ τὸ ¯η εἰς ¯α ἐτράπη καὶ οὐκ εἰς ¯ε, ω σπερ φρὴν, φρενὸς, ο τι οὐκ ε στι τὸ καρὸς κατὰ ἀνάλογον κλίσιν, ἀλλὰ συστολῇ ποιητικῇ. καὶ τούτου χάριν οὐκ ἐφύλαξε τὴν ἀκολουθίαν τοῦ φρὴν, φρενός. Καστανία.* πόλις Μαγνησίας. Κασσαβάσ. ἡ πόρνη. παρὰ τὸ καλεῖν καὶ σοβεῖν. Κατ' ἐνῶπα. κατὰ πρόσοψιν. ἐνωπὴ γὰρ ἡ πρόσοψις. ο ν ου ν τρόπον τὴν ἰωκὴν ἰῶκα ει πε μεταπλάσας, ου τως καὶ τὴν ἐνωπὴν ἐνῶπα. Κατηλυσίη. ἡ κάθοδος, καὶ ἡ ἐπέλευσις. οι ον· – κατηλυσίῃ ζεφύροιο. ἐλευσίη τὶς ου σα καὶ ἠλυσία, καὶ μετὰ τῆς κατὰ προθέσεως κατηλυσία. Κατουλάσ. ἡ σκοτεινὴ νύξ. διὰ τὸ ὀλοὴν αὐτὴν ει ναι. οι ον· νὺξ ἐφόβει,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τήνπερ κατουλάδα κικλήσκουσι. Καυμασία. καυμελαύκιον η καυμελαύχιον. διὰ τὸ πρὸς τὸ καῦμα ἐπιτήδειον. Ἀντίπατρος ἐν ἐπιγράμματι· Καυσίη ἡ τοπάροιθε Μακηδόσιν ευ κολον ο πλον, kappa.1158 καὶ σκέπας ἐν νιφετῷ καὶ κόρυς ἐν πολέμῳ. κυρίως καλυμαύκιον λέγεται ἀπὸ τοῦ καλύπτειν τὸν αὐχένα. Καταχήνη. ἡ χάσμησις. παρὰ τὸ χαίνω ῥῆμα χήνη καὶ καταχήνη. Κακίαν. τὴν τοῦ κακῶσαι τὸν πέλας σπουδήν. ου τως Παῦλος ὁ Ἀπόστολος κακοήθειαν τὴν κακοτροπίαν λέγει. †Καρχηδών. ἐπὶ τῆς Λιβύης.† †Καλχηδών. ἡ ἐν Βυζαντίῳ, η καὶ Χαλκηδὼν λέγεται.† (Οὐδέτερον.) Κάγκανον. ξηρόν. Καθῆκον. πρέπον. Καθ' αὑτό. τὸ πρώτως καὶ κατ' οὐσίαν προσὸν τινὶ καὶ μὴ κατὰ συμβεβηκός. ω σπερ τὸ λογικὸν, τοῦτο γὰρ οὐσιωδῶς πρόσεστι τῷ ἀνθρώπῳ. Κακόν. τὸ δι' ἑαυτοῦ φευκτὸν, καὶ πρὸς ε τερον βλαβερόν. Καλλιέρημα. θυσία εὐπρόσδεκτος. Καλώδια. σχοινία. Καλλίπνοα. εὐώδη. †Κάλαιον. τὸ γένειον.† kappa.1159 Καλοπόδιον. σκυτοτομικὸν ἐργαλεῖον. Καλτίκια. τὰ καλλίγια. Καλόν. ο περ ἀγαθόν ἐστι καὶ ἡδύ. καλὸν φύσει ἐστὶν, ο ἀεὶ καὶ πᾶσι τοιοῦτόν ἐστιν, ο μὴ α λλου τινὸς ε νεκεν αἱρετὸν, ἀλλ' αὐτὸ δι' αὑτὸ ἐπιθυμητὸν ἀεὶ καὶ ὡσαύτως ε χον καὶ οὐδέποτε ἀμβλυνόμενον κόρῳ. Καμελαύκιον.῾Ρωμαία ἡ λέξις· ῥηθείη δ' α ν καὶ ἑλληνιστὶ παρὰ τὸ καῦμα ἐλαύνειν καυμελαύκιον. Κανοῦν. τὸ κανίσκιον. Καπιτώλιον. ἱερὸν η παλάτιον η ἀγορά. καπιτωλεῖον δὲ ὁ ἀγὼν, δίφθογγον. Κάποσ. τὸ πνεῦμα. Καππαδόκιον τέρασ. Κάππα. τὸ στοιχεῖον. ο τι Κάπιος ἐστὶν ευ ρεμα. η κάππα τὶ ο ν τὸ ε χον ο πα, ο ἐστι φωνήν· τὰ γὰρ ψιλὰ ἀπὸ κάτω τῆς γλώσσης ε χει τὴν προφορὰν τῆς φωνῆς. Κάλανδα. ἡμέραι, η μηνῶν ἀρχαὶ κατὰ ῾Ρωμαίους. Καρφαλέον. τὸ ξηρόν. kappa.1160 Κάρφοσ. ξύλον ξηρόν. Καρχαλέον. κατάξηρον. τραχύ. Κάρχαρον. τραχὺ η ὀξύ. Κάρσιον. πλάγιον. Καρυκεύματα. τραγήματα. η πολυτελῆ ἀρτύματα. Καρχήσιον. τὸ α κρον τοῦ ἱστοῦ. Καρμεντάλια. ἑορτή. Καταδεέστερον. ταπεινότερον. Καταθύμιον. κατὰ νοῦν. Καταγώγιον. τὸ κατάλυμα. τὸ οι κημα. Κάταντεσ. τὸ κατωφερές. Κατάῤῥυτον. ἀρδεύσιμον. Κατωμοτικόν. τὸ μεθ' ο ρκου βεβαιωτικόν. οι ον· νὴ τὸ σκῆπτρον τοῦτο. Κατὰ κάθετον. τὸ ἀπὸ υ ψους εἰς βάθος διάστημα. Καταχρηστικόν. πᾶν τὸ μὴ ὁριστικῶς, ἀλλ' ἐν ἀφελότητι καὶ ἀκακίᾳ εἰρημένον ὑπό τινος. α τινα οὐδὲ εἰς νόμον η ο ρον ἀναφέρεσθαι δύνανται, οι όν ἐστι τὸ εἰρημένον· ο τι τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ. οὐ γὰρ τοῦkappa.1161 το δυνάμεθα πρόσωπον ἰδικὸν εἰπεῖν τὸ α γιον σῶμα αὐτοῦ, ἀλλὰ φύσιν. Καυνάκιον. στρῶμα. Καινοτάφια. μεθ' ω ν ἐλίσσεται ὁ νεκρός. Καίριον. ἀπὸ τοῦ κὴρ, ο σημαίνει τὴν θανατηφόρον μοῖραν, γίνεται καρὸς καὶ καίριον, η γουν τὸ θανάσιμον καὶ ἐπικίνδυνον. Κάλλυντρον. κόσμιον. παρὰ τὸ κορῶ, ο σημαίνει τὸ σαίρω, τὸ καλλύνω. Κάγκανα. τὰ ξηρὰ ξύλα καὶ εἰς καῦσιν ἐπιτήδεια, οἱονεὶ κατάκανα τινὰ ο ντα. παρὰ τὸ καίνειν, τὸ κόπτειν. καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ ¯γ κάγκανα. η ω σπερ ἀπὸ τοῦ τέκω γίνεται τέκανον, καὶ κατὰ συγκοπὴν τέκνον, ου τω καὶ παρὰ τὸ καίω ῥῆμα γίνεται κάνον καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμὸν τοῦ ¯γ κάγκανον. ε νθ' ε πειθ' οἱ μὲν ξύλα κάγκανα–. Κάλλη. κυρίως τὰ βεβαμμένα ε ρια. Καλῴδιον. σὺν τῷ ¯ι γράφεται· συνεξηκολούθησε γὰρ τὸ λαγῴδιον, στῴδιον, κῴδιον. σημαίνει τὸ στῴδιον τὴν στοάν. kappa.1162 Κανὸν καὶ κανοῦν. τὸ κανίσκιον. παρὰ τὸ χαίνειν χανοῦν καὶ κανοῦν, ἀπὸ τοῦ κεχηνέναι. Κάρηνα. ἀκρόπολις. ἐξοχαί. ἀπὸ τοῦ κάρα κάρηνα. σημαίνει δὲ καὶ τὴν κεφαλήν. –τῇ ῥα μάλιστα ἀνδρῶν πίπτε κάρηνα–. Κάρητοσ. τῶν εἰς ¯α¯ρ οὐδετέρων τὰ μὲν ὑπὲρ δύο συλλαβὰς α παντα διὰ τοῦ τος κλίνονται. ο νειαρ, ὀνείατος. ου τως ου ν κάρηαρ, καρήατος, καὶ κατὰ συγκοπὴν κάρητος. τῶν δὲ δισυλλάβων τὰ μὲν φύσει μακρὰ διὰ τοῦ ¯τ¯ο¯ς κλίνονται, οι ον η παρ, η πατος. τὰ δὲ βραχέα η θέσει μακρὰ παραλήγοντα διὰ τοῦ ρος κλίνονται. οι ον θέναρ, θέναρος, υ παρ, υ παρος· σημαίνει δὲ τὸ ἀληθὲς ἐνύπνιον, τὴν λεγομένην ὀπτασίαν· ε αρ, ε αρος καὶ κατὰ κρᾶσιν η ρος, κέαρ, κέαρος καὶ κῆρος, α λκαρ, α λκαρος, ο



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σημαίνει τὴν βοήθειαν. σεσημείωται τὸ φρέαρ, φρέατος, καὶ στέαρ, στέατος, ο τι βραχέα παραλήγεται, καὶ διὰ τοῦ ¯τ¯ο¯ς ἐκλίθη. λέγει δὲ ὁ Ἡρωδιανός· τὰ εἰς ¯α¯ρ οὐδέτερα παραληγόμενα τὸ ω α κλιτά εἰσιν. οι ον· μῶμαρ· σημαίνει δὲ τὸν μῶμον· kappa.1163 βῶβαρ· σημαίνει δὲ τὸν μέγαν· νῶκαρ· σημαίνει δὲ *τὸν ἀσθενῆ, καὶ* τὴν στέρησιν τῆς ψυχῆς. Καῦμα. τὸ κεκαυμένον α ημα. Κατώτερα μέρη τῆς γῆσ. τὸν θάνατον λέγει ὁ Ἀπόστολος. (Ῥῆμα.) Κατηρτισμένα. τέλεια. καὶ ὁ Ἀπόστολος· σκεύη ὀργῆς κατηρτισμένα. Καγχάζων. ἀσέμνως γελῶν. Καγχαλόων. χαίρων. Καββαλεῖν. ἀντὶ τοῦ καταβαλεῖν. Καθωσιωμένοσ. ἀνατεθειμένος τῷ θεῷ. kappa.1164 Καθικνεῖσθαι. καθάπτεσθαι. Καθέξει. κρατήσει. Καθεῖναι. χαλάσαι. καὶ καθείς. Καθεῖρκτο. ἐγκέκλειστο. Καθῆστο. ἐκαθέζετο. Καθυφῆκεν. ἐνέδωκεν. Καθεδοῦμαι. καθεσθήσομαι. Καθαπτόμενοσ. ἐπιπλήττων. Καθιεροῖ. θεῷ ἀνατίθησι. Καθίδρυσεν. ἐστήριξε. Καθίστησι. προχειρίζεται. Καθαιρήσετε. ἀντὶ τοῦ καθελεῖτε. ου τως Θουκυδίδης καὶ τῶν α λλων οἱ πλεῖστοι. kappa.1165 Καθαιρήσονται. καταλήψονται. Καθελών. ἀντὶ τοῦ καταβιβάσας. Δημοσθένης δὲ καὶ Στησίχορος καὶ Σοφοκλῆς ἀντὶ τοῦ ἀνελὼν, η τοι ἀποκτείνας. Καθεσταμένοσ. ἀντὶ τοῦ ἐπιτεταγμένος. Καθεστῶτα. ἠρεμοῦντα. Καθεστώτων. ὡρισμένων. καθεστώτων τῶν νόμων. Καθεῖντο. ἐκρέμαντο. kappa.1166 Καθῆκαν. προεβάλλοντο. οἱ δὲ ἐπ' ἐξαπάτῃ Ῥωμαίων καθῆκαν τὸν λόγον. Καθηκούσαισ. πρεπούσαις, καὶ ἀντὶ τοῦ διεκτρεχούσαις. Ξενοφῶν· ἐν πέτραις καθηκούσαις ἐπ' αὐτὸν τὸν τόπον. Καθίδρυσαν. ἀσφαλῶς κατῴκισαν. Καθιδρύσασθαι. βεβαιῶσαι. Καθίεσαν. κατῆλθον. Καθίζεσθε. καταπήξατε. kappa.1167 Καθίει. ἐπεχείρει. ἐνέβαλεν. ὁ δὲ καθίει πεῖραν ἐς τὸν α νδρα, οἰόμενος αὐτὸν ε ξειν κοινωνὸν ω ν ω ρμηται. Καθιείσ. ἐπιπέμπων. Καθικόμενοι. καθαψάμενοι. Καθιππάζεσθαι. συνελαύνειν, *συντρέχειν,* ἐρίζειν. Καθίστα. ἑτοίμαζε. Καθιστάμενοσ. πρὸς τὸ βέλτιον μετάγων. Καθυφίεντο. ἀντηλλάττοντο. Καθαγιάζεται. ἀφιεροῦται. Καθαγιάσω. καύσω. καθιερώσω. Καθαλλόμενοσ. καταπηδήσας. ὁ δὲ καθαλλόμενος τοῦ ι ππου καὶ τὸ ξίφος ἑλκύσας, παίει αὐτόν. kappa.1168 Καθελεῖν. καταβαλεῖν. Καθηγεῖσθαι. ἀντὶ τοῦ ἡγεῖσθαι παρὰ Ἡροδότῳ· φησὶ γοῦν, ο τι καθηγέοντο οἱ Σκύθαι ἐς τῶν ἀνδροφάγων τοὺς χώρους. χρῶνται δὲ καὶ οἱ Ἀττικοὶ τῷ καθηγεῖσθαι καὶ ἀφηγεῖσθαι. ε στι δὲ καὶ τὸ προηγεῖσθαι παρ' αὐτοῖς. Κάθου καὶ κάθησο. α μφω Ἑλληνικά. Ἀριστοφάνης·* οὐχ ο τι σ' ἐκεῖνο λάχεν οἰμώζων κάθου. Κρατῖνος· τὴν χεῖρα μὴ ἐπίβαλλε, μὴ κλάων κάθῃ. λέγει γὰρ τὸ ὑποτακτικὸν ἀπὸ τοῦ κάθημι καὶ κάθῃ καὶ κάθηται ὁριστικῶς. Ἀριστοφάνης· ἰδοὺ κάθημαι. καὶ Ὑπερίδης· ἀπόκριναί μοι, Ἑρμεία, ω σπερ kappa.1169 κάθῃ. τὸ δὲ κάθισον οὐκ ε τι, ἀλλ' ἀντὶ τοῦ καθίζου. σὺ δ' ω τέκνον τέως καθίζου μοὐνθαδί. λέγουσι δὲ καὶ καθίζανε. Φερεκράτης· δεῖπνον παρασκεύαζε, σὺ δὲ καθίζανε. Αρχιππος· φέρε καθίζωμεν ἐνθαδί. Κρατῖνος· εἰ πρῶτος ε λθοις, κα ν καθίζεσθαι λάβοις. καὶ καθίζοντας, καθίζηται, καθιζόμενον· καθήμαθα, καὶ σὺν τῷ ε, ἐκαθήμεθα. Αἰσχίνης· ἀλλ' εἰ μέν που χρήματ' ἀναλώσει, προκαθιζήσει. καὶ Πλάτων· ἀλλὰ ποῦ δὴ δοκεῖ καθιζόμενοι ἀναγνῶμεν. καὶ προελθών· ἐς ο πη α ν δόξῃ, ἐν ἡσυχίᾳ καθιζησόμεθα. καὶ πολὺ καθέζεσθαι. kappa.1170 Καθεδοῦμαι. τὸ καθεδοῦμαι καὶ καθεδῇ καὶ καθεδεῖται, Ἑλληνικά. τὸ δὲ καθεσθήσομαι καὶ ἐκαθέσθην καὶ καθεσθῆναι, ε κφυλα. Ἀριστοφάνης· κᾳ τα καθεδεῖ δῆτα μοι– καὶ ἐν Ἀχαρνεῦσι καθεδεῖται. καὶ πάλιν· καθεδῶ δικαστάς. φησί. καὶ Τηλεκλείδης· καθεδοῦμαι. καὶ Φερεκράτης· καθεστέον. καὶ Μένανδρος· καθεδοῦμαι ἐνθαδὶ τὸν Λοξίαν αὐτὸν καταλαβών. καὶ Πλάτων· πρόαγε δὴ καὶ σκόπει α μα, ο που καθεδούμεθα. καὶ χωρίσαι χωρὶς μὲν τοὺς ὁπλίτας, χωρὶς δὲ τοὺς ἱππέας. καὶ καθέσαι, καὶ καθῆσθαι, καὶ καθιεῖ, καὶ καθίζειν, οὐ kappa.1171 καθιζάνειν. καὶ καθῆστο, καθοίμην, καθήkappa.1171 μην, κάθηντο. Καθηλωκυῖα. κατηλοκυῖα δέ. Κακύνειν. ὑβρίζειν. κακύνειν τὸν πηλὸν, ο ἐστι τὸν α ξιον υ βρεως ὑβρίζειν. καὶ κακύνειν ἀντὶ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μωραίνειν. Κακχεῦσαι. τὸ καταβαλεῖν. Κακίζει. ἐπισκώπτει. Κακερουτίασ. ἀντὶ τοῦ μετεωρίζου, μέγα ἐφρόνεις. ἀπὸ δὲ τῶν κερατοφορούντων ἡ λέξις. Καλχαίνειν. κατὰ βάθος μεριμνᾷν. καὶ κάλχη ἡ πορφύρα, ο θεν καὶ πορφύρειν τὸ μεριμνᾷν. Καλαμῶνται. πλεονεκτοῦσι. καὶ καλαμᾶται, ἐπανατρυγᾷ, η τὰ ἀποθερίσματα συλλέγει. Καλπάζειν. τὸ α κρως βαδίζειν. kappa.1172 Καλινδούμενοσ. κυλιόμενος. Καλλύνει. κοσμεῖ. Καπηλεύουσιν. ἀγοράζουσιν, η πιπράσκουσιν. Καρποφορήσει. προσφέρει. Καρηβαρῶν. τὴν κεφαλὴν βαρούμενος. Καρωθείσ. τὴν κεφαλὴν σεισθεὶς, η βαρυνθεὶς, η σκοτοδινήσας. Κατανύγητε. κολάσατε, τιμωρήσατε, νύξατε, κεντήσατε. Κατημαξευμένοσ. τετριμμένος. Κατηγλαϊσμένοσ. λελαμπρυσμένος. Κατεστυγημένον. μεμισημένον. Κάτιδε. θεώρησον. Καταπτήσσει. δειλιᾷ. φοβεῖται, συστέλλεται. Κατεδηδοκέναι. καταφαγεῖν. Καταλεάνασ. κατατρίψας. ὁμαλίσας. Κατάρδεται. ποτίζεται. kappa.1173 Κατεπιάνθη. ἐλιπάνθη. Καττύω. ῥάπτω, κατασκευάζω. Κατέλευσαν. ἐλιθοβόλησαν. Κατεξανίσταται. κατεπαίρεται. Κατεπτηχέναι. πεφοβῆσθαι. Κατοιόμενοσ. ὁ νομίζων ἑαυτὸν μέγαν, καὶ φυσῶν καὶ ὑπερηφανευόμενος. Κατακήλει. καταθέλγει. Κατοῤῥωδεῖ. φοβεῖται. Κατεγνυπῶσθαι. ἀντὶ τοῦ παρειμένος ει ναι καὶ μελανός. ἀπὸ τοῦ εἰς γόνυ πίπτειν. Κατακερματίζει. κατακόπτει. Κατηχήθησαν. ἐδιδάχθησαν. Κατέληξε. κατέπαυσε. Κατευνάσαι. κοιμίσαι, καταπραῧναι. Κατευμεγεθήσασ. ὑπερβαλὼν, νικήσας. Κατῃκίσατο. ἐβασάνισεν. ἐμάστιξε. Κατοιμώζοντεσ. στενάζοντες. kappa.1174 Κατολιγώρησαν. ἐμικροψύχησαν. καὶ ἀντὶ τοῦ κατεφρόνησαν. Καταδύντοσ. βυθισθέντος. Κατῄδεσα. αἰσχυνθῆναι ἐποίησα. Κάτεισι. κατέρχεται. Καταληΐζεται. διαρπάζει. Καταῤῥαψῳδεῖ. φλυαρεῖ. Κατασείει. καταβάλλει. Κατεστόρεσεν. ἐπράϋνεν. κατέστρωσεν. Κατέστικται. πεποίκιλται. Καταψηφίζεται. κατακρίνεται. Κατεσκίῤῥωται. ἐσκλήρωται. σκίῤῥος γὰρ ὁ γύψος. Καταθρήσωμεν. θεωρήσωμεν. Κατασκίδναται. διασκορπίζεται. Κατειρωνεύεται. ὑποκρίνεται. Κατώλισθον. ε πεσον. Καταφοιτῆσαι. κατελθεῖν, παραγενέσθαι. kappa.1175 Κατανδρίζεται. καταπαλαίει. Κατεκαλλύνετο. ἐκοσμεῖτο, ἐλαμπρύνετο. Κατακερτομοῦντεσ. σκώπτοντες. Κατασπέρχειν. κατασπουδάζειν. Κατεαγώσ. καταθλάσας. Καταδύεται. κατακρύπτεται. Κατωρχήσαντο. ἐνέπαιξαν. Κατορυγῶσι. ταφῶσι. Κατεῤῥύη. ἠφανίσθη. Κατενεμήσατο. ἐβοσκήθη. Καταλάμπεσθαι. τὴν ὁλοτελῆ ο ψιν δηλοῖ. Καταιδέσῃ. ἀξίους αἰδοῦς παρασκευάσῃ. Καταβραβευέτω. παραλογιζέσθω· η κατακρινέτω. Καταθοινήσασθαι. καταφαγεῖν. θοίνη γὰρ ἡ εὐωχία. Κατευθυνθείησαν. εὐοδωθείησαν. kappa.1176 Κατεστρατοπέδευσε. κατέδραμε πολεμικῶς. Κατισχυμένοσ. κεκρατημένος. Κατῃσχυμμένος δὲ, ὁ α ξιος αἰσχύνης, ¯η. Κατοιχομένων. ἀπελθόντων, τεθνεώτων. Καταδαρθεῖν. ἀναπεσεῖν ἐπὶ κλίνης, η ὑπνῶσαι. καταδαρθεῖν τάπησι. Καρδαμύττειν. τὸ συνεχῶς τὰ βλέφαρα κινεῖν, καὶ εἰς ἐπίμυσιν α γειν. ει ρηται ἐκ τοῦ καρδάμου. Καταργῶ. τὸ ἀποπαύω καὶ πληρῶ. κατηργήθη γὰρ ὁ νόμος ἀντὶ τοῦ ἀπεπαύθη. γίνεται δὲ ἐκ τῆς κατὰ προθέσεως καὶ τοῦ ἀργῶ. τοῦτο ἐκ τοῦ ἀργὸς, ο σημαίνει τὸ α πρακτον. τοῦτο παρὰ τὸ ἀεργὸς κατὰ συγκοπήν. Καχλάζει. ἀντὶ τοῦ βράζει. Καινοτομοῦνται. νεουργοῦνται. Καιροφυλακῆσαι. καιρὸν ἐπιτηρῆσαι. kappa.1177 Καραδοκεῖν. τὸ τῇ κεφαλῇ προσβλέπειν ἐκδεχόμενον, μήποτε κέαρ ε γκειται. Καρηβαρεῖν. τὴν κεφαλὴν καταβαρεῖσθαι. η παρὰ τὸ βάλλειν αὐτὴν ἀπὸ μέθης. Καταδημοβορῆσαι. ἀντὶ τοῦ καταναλῶσαι. Καγχαλᾷν. χαίρειν. ὡς παρὰ τὸ χῶ γίνεται κατὰ παραγωγὴν χαίρω, ου τως καὶ παρὰ τὸ χῶ, χλῶ, καὶ κατὰ παραγωγὴν χαλῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμὸν τοῦ γ γίνεται χαγχαλῶ καὶ καγχαλῶ. Κάθημαι. ἐκ τοῦ καθίζω. τοῦτο ἐκ τοῦ ε ζω, ι ζω. καὶ ἐν συνθέσει καθίζω. α λλους μὲν κάθισον Τρῶας– καὶ τὸ διὰ τοῦ η. –ἀλλ' αὐτός τε κάθησο–. Καθ' ἡμῶν. δεῖ γινώσκειν, ο τι φωνήεντος δασέος ἐπιφερομένου τρέπεται τὸ ψιλὸν σύμφωνον εἰς ἀντίστοιχον τοῦ δασέος. οι ον· κατὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμῶν, καθ' ἡμῶν. ἐπὶ ἡμᾶς, ἐφ' ἡμᾶς. ψιλουμένου δὲ φωνήεντος ἐπιφερομένου, οὐ τρέπεται τὸ δασὺ σύμφωνον εἰς ψιλόν. οι ον· ἀμφὶ ἀγαθὸν, ἀμφ' ἀγαθόν. τοῦτο δὲ γίνεται, ἐπειδὴ τὰ δασέα ἐπικρατέστερά εἰσι καὶ ἰσχυρότερα τῶν ψιλῶν. Καθῆστο. ε ω, ὁ μέλλων ε σω, ὁ παρακείμενος η κα, ὁ παθητικὸς η σμαι, ὁ ὑπερσυντέλικος kappa.1178 η σμην, η σο τὸ δεύτερον, τὸ τρίτον η στο, καὶ ἐν συνθέσει καθῆστο. Κατάκτανε. φόνευσον. ἡ κατὰ συγκοπτομένη, ἐὰν ἐπάγηται δύο σύμφωνα παντελῶς ἀποβάλλει τὸ τ. κατάκτανε, κάκτανε. κατάσχεθε, κάσχεθε. Καταρτίζω. ἁρμόζω. ἐκ τοῦ ἀρτῶ, ἀρτίζω. Καταποντωθῆναι. ἀντὶ τοῦ καταποντισθῆναι. τῶν᾽Αττικῶν δέ ἐστι. Καταπροΐξασθαι. ἀπὸ τῆς προικὸς, η ν διαιροῦντες οἱ Ιωνες πρόϊκα λέγουσι. Κατέκτανθεν. ἀπὸ τοῦ κτείνω, κτανῶ· ὁ ἀόριστος παθητικὸς ἐκτάνθην, ὡς φαίνω ἐφάνθημεν· τὸ πρῶτον τῶν πληθυντικῶν ἐκτάνθημεν, ἐκτάνθητε, ἐκτάνθησαν, ε κτανθεν· ὡς ἐφάνθημεν, ἐφάνθησαν, ε φανθεν. Κατέκτανεν. ἀπὸ τοῦ κτείνω, κτενῶ, ε κτεινα· ὁ δεύτερος ἀόριστος ε κτανον, ε κτανες, ε κτανε, καὶ κατέκτανε. Κατισχνωθέντα. λεπτυνθέντα. ἀπὸ τοῦ ι σχω ἰσχνῶ τρίτης συζυγίας τῶν περισπωμένων. Κατεπόθη. ἐποντίσθη. ε στι ῥῆμα παράγωγον πῶμι, ὁ μέλλων πώσω, ὁ παρακείμενος πέπωκα, ὁ παθητικὸς πέπομαι, διὰ τοῦ ο μικροῦ· ὡς δέδωκα, δέδομαι· ὁ δεύτερος ἀόριστος ἐπόθην καὶ κατεπόθην. ου τω Γεώργιος ὁ Χοιροβοσκός. kappa.1179 Κατηόνων. κατήντλουν. ε χει τὸ ι. ἀπὸ γὰρ τοῦ καταιονῶ, καταιονᾷς, καταιονᾷ. Κατῄρεε. κατέλαβε. παρὰ τὸ αἱρῶ περισπώμενον, ο σημαίνει τὸ καταλαμβάνω. καὶ Ομηρος· –μὴ δέ σε λήθη αἱρείτω–. Καχλάζω. τὸ ταράσσω. πεποίηται ἡ λέξις. ὁ γὰρ η χος τοῦ κύματος ἐν τῷ κοιλώματι τῶν πετρῶν γινόμενος δοκεῖ μιμεῖσθαι τὸ κάχλα κάχλα. Καταλαλεῖν. τὸ εἰς ἀπόντα ὑπὸ τινῶν βλασφημεῖν. Καταργήσῃ. παύσῃ· νικήσῃ. ο ταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν. νῦν μὲν γὰρ ἐνεργοῦσιν αἱ πονηραὶ δυνάμεις, τότε δὲ οὐκ α ν ἐνεργήσωσιν εἰς κόλασιν παραδιδόμενα. (᾽Επίῤῥημα.) Καθάπαξ. παντελῶς, συντόμως, συλλήβδην. Καθαρῶσ. ἀκριβῶς· σαφῶς. Κἀνθάδε. ἀντὶ τοῦ ἐνθάδε. Καναχηδόν. μετὰ κτύπου. καναχὴ γὰρ ἡ βοὴ καὶ ἡ κραυγή. Κάρτα. ἀντὶ τοῦ λίαν. Καταφορικῶσ. σφοδρῶς. kappa.1180 Κατὰ κράτοσ. ἰσχυρῶς. Κατὰ πόδασ. παραυτά. Καταλλήλωσ. ἁρμοδίως, ἀκολούθως. Καταμόνασ. ἀντὶ τοῦ κεχωρισμένως. ὡς τό· ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὡς λογικός φησι παρὰ τὰς τῶν λοιπῶν ζώων. Κατ' εὐθύ. κατ' εὐθεῖαν. Κατωμαδόν. κατὰ τοὺς ω μους τῶν ι ππων. κατωμαδὸν η λασεν ι ππους. †Κατ' ι σον. ὁμοίως.† Καρπαλίμωσ. ταχέως. ὡς παρὰ τὸ γόνος γίνεται γόνιμος, καὶ πομπὸς, πόμπιμος, ου τως καὶ παρὰ τὸ κάπω, τὸ πνέω, ἐξ ου καὶ καπύω, οι ον· ἀπὸ δὲ ψυχὴν ἐκάπυσε– γίνεται κάπος καὶ πλεονασμῷ τοῦ ν, κάπνος, ει τα μετὰ πλεονασμοῦ τοῦ ρ πάλιν κάρπνος καὶ κάρπνιμος. ἀποβολῇ ου ν τοῦ ν καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, καρπάλιμος, καὶ καρπαλίμως ἐπίῤῥημα. Κάρτα. λίαν. παρὰ τὸ κρατὸς κρατέα, ὡς ταχὺς, ταχέα, καὶ κατὰ συγκοπὴν καὶ μετάθεσιν κάρτα. Καλῶσ. παρὰ τὸ κάλλος. τὸ δὲ κάλλος παρὰ τὸ κάζω, τὸ κοσμῶ. Κακῶσ. παρὰ τὸ χάζω, τὸ ὑποχωρῶ. τῷ γὰρ κακῷ πάντες ὑποχωροῦμεν. kappa.1181 Τὸ Κ μετὰ τοῦ Ε. (᾽Αρσενικόν.) Κεγχρίνησ. ει δος ο ρνιθος, ο λέγεται μηδ' ο λως διψᾷν. η ει δος ο φεως· διὰ τὸ φαίνεσθαι αὐτὸν κατὰ καιρὸν τοῦ κέγχρου, η διὰ τὸ ποικίλον ει ναι καὶ κατεστίχθαι· ω σπερ γὰρ κέγχρους τινὰς ἐπὶ τὰ νῶτα ε χει. Νίκανδρος· Θήεις κεγχρίνοις δολιχὸν τέρας. Κεδνόσ. συνετὸς, σώφρων, φρόνιμος, κηδεμονικώτατος. κεδνὰ βουλεύματα. ε στι ῥῆμα κοῶ, τὸ νοῶ, ὁ μέλλων κοήσω, καὶ ῥηματικὸν ο νομα κόεδνος, ω σπερ τέρπω, τερπνός· καὶ κατὰ συγκοπὴν κεδνός. η κηδανός τις ω ν, ου α ν τις κήδοιτο. Κεηρόσ. κοῦφος. Κέθηγοσ. κύριον. Κέκροψ. ἀπατεὼν, η γένος πιθήκων. κέρκωψ δὲ μέγα. kappa.1182 Κέλωρ. κύριον, η ὁ παῖς. Κέλησ. ὁ μόνος ι ππος καὶ γεγυμνωμένος, η καὶ σελλάριος ὁ μονοκάβαλλος. Κέλκοισ. συάγροις. Κέλυφοσ. τὸ λέπυρον τοῦ ᾠοῦ. Κελαδεινόσ. ἠχητικὸς, η ὁ θορυβώδης. παρὰ τὸ κέλαδος, ο σημαίνει τὴν ταραχήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλῆτο ῥόος κελάδων. βαρυτονητέον τὴν μετοχὴν, κελάδοντος γὰρ ἡ μετοχὴ γενική· καὶ ἡ αἰτιατικὴ κελάδοντα, οὐ κελαδοῦντα. Κελαινεφήσ. μελανός. ε στι φῶ, τὸ φαίνω, καὶ τὸ κελαίνειν, γίνεται κελαινοφὴς, καὶ τροπῇ κελαινεφής. *ἀπὸ γὰρ τοῦ Διὸς γέγονε καὶ τοῦ νέφους κελαινενοφής.* Κεκραγμόσ. ἡ βοή. κεκραγμὸν γάρ τινα σκαιὸν ὁ χοῖρος ἠρτημένος ἠφίει. kappa.1183 Κέπφοσ. ει δος ὀρνέου κούφου. καὶ κεπφωθεὶς ἀντὶ τοῦ ἐπαρθείς. †Κέπφοσ. ὁ λάρος.† Κενεῶνα. τὸν περὶ τὸν λαγόνα τόπον. Κεντυρίων. ἑκατόνταρχος. η τοι ταγματάρχης ἑκατοντάδος. κέντυ γὰρ παρὰ ῾Ρωμαίοις τὰ ἑκατόν. Κενόσ. ὁ μάταιος. ὁ κοῦφος. καὶ κενήριον τὸ κενοτάφιον. Κεῖνοσ. ἀντὶ τοῦ ἐκεῖνος. οὐκ ε στιν ἐνταῦθα σχηματισμός· ε στι γὰρ εἰπεῖν, τὸ ¯ε φωνῆεν πέφυκε πλεονάζειν, οι ον η νδανεν, ἑήνδανεν, ω ρων, ἑώρων. Κέρα ἀγλαέ. λαμπρὲ τὴν τρίχα. κεραγλαέ. Κεραυνόσ. ἀστραπὴ σφοδρὰ, κατιοῦσα ἐπὶ γῆν καὶ τὰ περιτυχόντα φλογίζουσα. Κερασβόλοσ. ὁ τοῖς κέρασι βάλλων. kappa.1184 Κερδαλέοσ. ποικίλος, πανοῦργος. κερδὼ γὰρ ἡ ἀλώπηξ, ο ἐστι ζῶον πανοῦργον. κερδαλεόφρων, ὁ ἀπατεὼν, πανοῦργος. ὁ διόλου πείθων. Κέρβεροσ. ο νομα κυνὸς, ο ς μυθεύεται ει ναι ἐν τῷ ᾳ δη, ὑπάρχειν δὲ καὶ τρικάρηνος η γουν τρικέφαλος. Κερουλκοί. οἱ τοὺς βόας ε λκοντες τοῖς κέρασι. καὶ κερουλκούς τινας ει δον α νδρας ἐγώ. Κεστόσ. ὁ κεντητὸς λῶρος, η τὸ τῆς᾿ Αφροδίτης ε νδυμα. καταχρηστικῶς δὲ καὶ πάντα τὰ τῶν γυναικῶν φαντασιώδη ἐνδύματα. Κεχὼς καὶ Κεχρέας. ὀνόματα κύρια. Κελεόσ. ο ρνεον ταχύτατον. ἀφ' ου καὶ τὸ κέλλειν, ο ἐστι ταχέως βαδίζειν. καὶ τὸν ἱστόποδα κελεὸν λέγει ἀστεϊζόμενος. Κενεών. ἡ λαπάρα. παρὰ τὸ κενεὸν ει ναι ὀστέων. kappa.1185 Κέλησ. ὁ μονάμπυξ ι ππος καὶ δρομικός· ἐφ' ου κάθηταί τις διεσκελισμένος. ου τως᾿ Επαφρόδιτος. ὁ δὲ᾿ Ωρίων λέγει, ο τι παρὰ τὸ κέλλειν, τὸ τρέχειν. ο θεν κέλευθος, ἡ ὁδός. παρ' αὐτὸ γὰρ τὸ ἐξώκειλε φαμὲν, ο ἐστιν ἐξέβαλεν, ἐξέῤῥιψε. Κελτοί. ε θνος. ἀπὸ Κελτοῦ, υἱοῦ῾ Ηρακλέος. Κενόσ. ὁ μάταιος, ὁ κοῦφος. οι μαι, ο τι παρὰ τὸ καίω κανὸς, καὶ κενὸς, ὁ κεκαυμένος καὶ σποδὸς ω ν. η ο τι τὰ κεκαυμένα κοῦφα καὶ ἐλαφρὰ γίνεται. Κεραβάτησ. ὁ τὰ ἀκρωτήρια τῶν ὀρέων, τουτέστι τὰς κορυφὰς βαίνων, οἱονεὶ ὀρειβάτης. κέρατα γὰρ καλοῦσι πάντα τὰ α κρα, ὡς φησὶ Πίνδαρος· ὑψικέραντα πέτραν. ο ἐστι τὸ ὑψηλὸν ἀκρωτήριον. Κεραμικόσ. ἀπὸ τοῦ κεραμεὺς, κεραμέως, κεραμεικὸς καὶ κεραμικός. καὶ κέραμος. παρὰ τὴν ε ραν ε ραμος, καὶ πλεονασμῷ τοῦ κ, κέραμος. οἱ δὲ παρὰ τὸ κεκαῦθαι τῇ ε ρᾳ. Κεραοξόοσ. ὁ κερατουργὸς, ὁ κερατογλύφης. kappa.1186 †Κέρβεροσ. κύων τρικέφαλος, ὁ ἐν τοῖς τρισὶ στοιχείοις, υ δατι, γῇ, ἀέρι, πονηρὸς δαίμων.† Κερδαλέοσ. κερδαλέος κ' ει η καὶ ἐπίκλοπος, ο ς σε παρέλθοι– ἀντὶ τοῦ συνετὸς καὶ παραλογιστικὸς, ο ς α ν σε νικήσῃ. τὰς γὰρ ἐντρεχείας κέρδη ἐκάλουν. παρὰ τὸ ἡδύνειν τὸ κέαρ, ο ἐστι τὴν ψυχὴν διὰ λόγων κλέπτειν. καὶ κερδαλεόφρων ὁ κερδαίνειν φρονῶν. παρὰ τὴν φρένα καὶ τὸ κερδαλέον. Κέρδιστον τὸν συνετόν φησιν. Κέρκουροσ. τὸ μακρὰν πρύμναν ε χον σκάφος. Κέρκωπεσ. διὰ τὸ κερδαλέον αὐτῶν καὶ πανοῦργον. η ἀπὸ τῆς μητρὸς Κερκώπης. η κέρκωπες οἱ ἀπατεῶνες. ἀπὸ τῶν κυνῶν ἡ μεταφορὰ, οι ταῖς ο ψεσι καὶ τῇ κέρκῳ δάκνουσι σαίνοντες. ου τως Ωρος ὁ Μιλήσιος. Κερόεισ. παρὰ τὸ κέρα γέγονε κερατόεις καὶ συγκοπῇ τοῦ ατ κερόεις. ἐξ ου τὸ θηλυκὸν κερατόεσσα. καὶ συγκριτικὸν κερόεσσα. καὶ γράφεται κεροῦσα. οι ον· νόμος δέ τι κεροῦσα. kappa.1187 Κεστόσ. ὁ κεντητὸς λῶρος. παρὰ τὸ κάζω, τὸ κοσμῶ, γίνεται ῥηματικὸν ο νομα καστός. καὶ κεστὸς ὁ κεκοσμημένος. η παρὰ τὸ κέντω ο νομα Βαρύτονον. ε νθεν καὶ κέντορες ι ππων. ὁ μέλλων κένσω. κένσαι ὁμοκλήσας. γίνεται ο νομα ῥηματικὸν κενστὸς καὶ κεστός· ὡς κλαύσω, κλαυσμὸς καὶ κλαυθμός. ἐξ ου καὶ πολύκεστος ἱμὰς ὁ πολυκέντητος. Κευθμόσ. σκότος, κρύψις. ἐκ τοῦ κεύθω, τὸ κρύπτω, κευσμὸς καὶ αἰολικῶς κευθμὸς, ὡς κλαύσω, κλαυσμὸς καὶ κλαυθμὸς, καὶ μηνισμὸς, μηνιθμός. ἐκ δὲ τοῦ κευθμὸς γίνεται κευθμών. Γαίης ἐν κευθμῶνι, κακῷ δ' ἐτέρπετο ε ργῳ. Κεραυνόσ. ἡ μεταφορὰ ἀπὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν ζώων, τῶν τοῖς κέρασι χρωμένων καὶ διαφθειρόντων. παρὰ τὸ κεραΐζειν καὶ τὸ αυ ειν, ο ἐστι καίειν. Κεκρύφαλοσ. μέρος τῆς γαστρός. Κενοῦχοσ. τὸ βαλάντιον. Κέλωρ. ὁ κελλάριος. παρὰ τὸ κέλλω, τὸ προστάσσω. kappa.1188 (Θηλυκόν.) Κέδροι. δένδρα ὑψήκομα. ταύταις δὲ ἀπεικάζει Δαβὶδ τὴν εἰδωλολατρείαν. Κεμάσ. ἡ κοιμωμένη ἐν σπηλαίῳ ε λαφος, κοιμάς τις ου σα η νεογενής. Κέλευθοσ. ἡ διὰ θαλάσσης ὁδός. Κενοφωνία. ἡ ματαιοφωνία. Κενή. ἡ ματαία. Κενὴν μακαρίαν. εἰς κενὸν καὶ μάταιον *λογιζομένην καὶ* μακαριζομένην. Κέρκοσ. ἡ οὐρά. Κεραία. τὸ κερατάριον, τὸ διὰ πλαγίου ξύλον τῷ ἱστῷ ἐπικείμενον. ου καὶ τὴν ὀθόνην ἐξάπτουσι. Κειρίαι. οἱ ἐπιτάφιοι δεσμοί. Κεχρέα. πόλις. καὶ Κεχρέαι, τόπος. Κεγχραμίδεσ. τῶν συκῶν καὶ τῶν ἐλαιῶν οἱ πυρῆνες. Κενοδοξία. κενῶν ο ρεξις. η κενοδοξία ἐστὶν ὁ πρὸ τῆς ἀπαθείας θέλων ὑπὸ τῶν ἀνθρώπων δοξάζεσθαι, ἐπὶ τοῖς πεφυκόσι γενέσθαι δι' ἀπάθειαν καὶ γνῶσιν θεοῦ. kappa.1189 Κέβλη. ἡ κεφαλή. κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ φ εἰς β γέγονε κέβλη. Κέδροσ. παρὰ τὸ κέντρος· κεντρώδης γάρ ἐστιν. η παρὰ τὸ καίεσθαι ῥαδίως. Κειρία. οἱ δεσμοί· τὰ σχοινία. θηλυκῶς. παρὰ τὸ κείρω, τὸ κόπτω, τουτέστι παρὰ τὸ εἰς λεπτὰ κόπτεσθαι αὐτά. η παρὰ τὸ κέρας, τὸ σημαῖνον τὰς τρίχας, κερία, καὶ πλεονασμῷ τοῦ ι κειρία. καὶ γὰρ ἐκ τριχῶν η σαν κατὰ τὸ παλαιόν. Κέλευθοσ. ἡ ὁδός. παρὰ τὸ κέλλειν, ο σημαίνει τὸ τρέχειν· ἐν ταύτῃ γὰρ τρέχομεν. η παρὰ τὸ ἐλεύθω, ε λευθος καὶ κέλευθος, πλεονασμῷ τοῦ κ. καὶ ἐπὶ οὐδετέρου· –ὑγρὰ κέλευθα. κατὰ μετάπλασιν γένους, ὡς ἀπὸ τοῦ ὁ τράχηλος τὸ τράχηλον. Καλλίμαχος· τὰ τράχηλα γυμνάζει. καὶ τάρταρος καὶ ἡ τάρταρος καὶ οὐδέτερον τὰ τάρταρα. Πίνδαρος· τάρταρά τ' ἠερόεντα– καὶ λύχνους λύχνα, δίφρους δίφρα, δακτύλους δάκτυλα. kappa.1190 Κεντρηνεκέασ. παρὰ τὸ διηνεκῶς καὶ συνεχῶς κεντρίζεσθαι. Κερκίσ. παρὰ τὸ κρέκω, τὸ ἠχῶ, κρεκὶς καὶ κατὰ ὑπερβιβασμὸν κερκὶς, ἡ ἠχοῦσα. γλυκεῖα μᾶτερ, ου τι δύναμαι κρέκειν τὸν ἱστόν. Κερκόλυρα. ου τως ὁ Ἀλκμὰν ἐχρήσατο ἀντὶ τοῦ κρεκόλυρα. ε στι δὲ τοῦτο πάθος. τὸ δὲ κερκόλυρα ἠχητικὴ λύρα· τὸ γὰρ κρέκε, κρέκε η χος ἐστὶ τῆς κιθάρας. Κεφαλή. παρὰ τὸ κάρφος καρφαλὴ, καὶ κεφαλή· ὁ κατάξηρος καὶ ὀστώδης τόπος. η κατὰ Ἀπολλόδωρον κελύφη τις ου σα, παρὰ τὸ καλύφειν καὶ σκέπειν τὸν ἐγκέφαλον. τινὲς δὲ παρὰ τὸ ἐκεῖ κεῖσθαι τὰ φάη, κεφάη τις ου σα καὶ κεφαλή. οἱ δὲ παρὰ τὸ κάπω, τὸ πνέω, καπαλὴ καὶ κεφαλή· οἱονεὶ ἡ διαπνέουσα. ο θεν καὶ κῆπος, ὁ διαπνεόμενος τόπος. διὸ καὶ ἐν ταῖς οἰκίαις τὸν ἀποπνεόμενον τόπον πρὸς ἀνάπαυσιν κῆπον λέγομεν. παρὰ τὸ κάπω, τὸ πνέω. ἀπὸ δὲ ψυχῆς ἐκάπυσεν. ο ἐστιν ἀνέπνευσεν. kappa.1191 †Κερωσσός. πόλις Ἀπολλωνιάδος.† Κεφαλληνία. ἀπὸ Κεφάλου τινὸς, ο ς ἑκουσίως ἀνελὼν τὴν Ἐρεχθέως θυγατέρα ε ξεισι τῆς Ἀττικῆς καὶ σὺν Ἀμφιτρύωνι στρατεύεται κατὰ τῶν Τηλεβόων. Κέωσ. ἡ νῆσος. ἀπὸ Κέω τοῦ Ἀπόλλωνος καὶ Ῥοδοέσσης νύμφης. Κενοφωνίασ. τὸ νέα τινὰ ἐφευρίσκειν, ὡς Ἀρειανοὶ καὶ Νεστοριανοί. καὶ ὁ Ἀπόστολος· ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις. (Οὐδέτερον.) Κέαρ. ἡ ψυχή. παρὰ τὸ κεκρᾶσθαι ἐκ ψυχροῦ καὶ θερμοῦ ἐπίσης ε χον. κέαρ τὴν καρδίαν φησὶν Ἀριστοφάνης· ἐφ' ῳ γε τὸ κέαρ εὐφράνθη. †Κέρμα. σωρεία λεπτῶν τε καὶ ὀβολῶν.† Κεκρύφαλον. σουδάριον, κεφαλοδέσμιον. Κεκράγμασιν. Ἀριστοφάνης· δικροῖς ἐώθουν τὸν θεὸν κεκράγμασιν. ε δει δὲ εἰπεῖν ξύλοις, καὶ ει πε κεκράγμασι. τὸ δὲ δικροῖς ἀντὶ τοῦ διφυέσι ξύλοις. Κελήτιον. μικρὸν πλοιάριον. ἀπὸ μεταφορᾶς τοῦ κέλητος ι ππου, ῳ ει ς ἀνὴρ ἐπικάθηται. kappa.1192 Κελαινόν. μέλαν. κελὸν γὰρ τὸ μέλαν κατὰ διάλεκτον. αι ψά τοι αι μα κελαινὸν ἐρωήσει περὶ δουρί. Κέμεννα. ο νομα ο ρους. καὶ Κέμμενα ει δον ἐγώ. Κερασβόλα. α καρπα, η τὰ τοῖς κέρασι βάλλοντα. Κενήριον. τὸ κενὸν μνημεῖον. Κεφάλαιον. ἡ ἀρχὴ, η τὸ ζήτημα. Κέρδιον. βέλτιον, κρεῖσσον. ἀπὸ τοῦ κέρδους. Κερτόμιον. παραλογιστικόν. παρὰ τὸ κέαρ τέμνειν, ο ἐστι τὴν ψυχὴν χλευάζειν διὰ λόγων. Κειμήλια. τὰ ἀπόθετα χρήματα. ὡς παρὰ τὸν θείσω μέλλοντα γίνεται


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θειμέλια, ου τως καὶ παρὰ τὸν κείσω μέλλοντα γίνεται κειμήλιον. η παρὰ τὸ ἐκεῖ κεῖσθαι τὰ μῆλα, δι' ω ν τινὰ ἐκμειλισσόμεθα. Κελύφη. τὰ καλύμματα. ἀπὸ τοῦ καλύπτω. καὶ ἡ κάλυξ ἡ καλύπτουσα τὸ ῥόδον. Κέρασ. ἡ θρίξ. διὰ τὸ τοῖς κέρασιν ὁμοίως ἐκφύεσθαι. οἱ δὲ φασὶ, ο τι ἡ ἐκ βάθους ἰκμὰς ἀπὸ τῆς θερμασίας ἀναφερομένη, κα̨ πειτα τῆ̨ τοῦ δέρματος τάσει σφιχθεῖσα, κερατοῦται. η ἡ συνεχῶς κειρομένη. kappa.1193 Κέρασ. καὶ ο νομα ποταμοῦ. καὶ τὸ κέρατον καὶ τὸ κερατάριον καὶ α λλα πολλὰ σημαίνει. Κέδματα. τὰ χρόνια ἀλγήματα λέγει ὅ Ιπποκράτης. γράφει δὲ καὶ ὁ Ψελλός· χρόνια δὲ ἀλγήματα τὰ κέδματα τυγχάνει. *Κέντο. τὰ ἑκατὸν παρὰ ῾Ρωμαίοις.* (῾Ρῆμα.) Κέαται. κεῖνται. ο τι οὐ μόνον ἐπὶ παρακειμένου καὶ ἐπὶ πάθους ποιοῦσιν οἱ Ιωνες τρίτον παθητικὸν, ἀλλὰ καὶ ἐπὶ ἐνεστῶτος. οι ον· κεῖμαι, κεῖσαι, κεῖται, κέαται. Κεδάζω. σκορπίζω. Κεκομψευμένοσ. κεκαλλωπισμένος, σεμνός· ἀστεῖος, η κομπηρὸς, η τεχνικὸς, η φαντασιώδης. Κέκραθι. κράξον. Κέκτημαι καὶ ε κτημαι. ἀμφότερα ῾Ελληνικά. Θουκυδίδης ἑκατέρως· καὶ οὐδὲν τὸ πρότερον kappa.1194 κεκτημένων· καὶ τὰ προεκτημένα φιλεῖ ἐλασσοῦσθαι. Δημοσθένης δ' ἀεὶ σὺν τῷ κ. Κεκωδωνισμένοσ. ἐξητασμένος. ἀπὸ τῶν τοὺς φύλακας διὰ τοῦ κώδωνος ἐξεταζόντων. καὶ διακωδωνίσαι τὸ ἐξετάσαι. ᾿Αριστοφάνης· ὡς αἰσχρὸν ἀκωδώνιστον ἐᾶν. Κεκαυτηριασμένος τὴν συνείδησιν. τουτέστι μὴ ε χων ὑγιᾶ. Κεκοσυρῶσθαι. πεποικίλθαι. Κέκλυτέ μου. ἐπακούσατέ μου. Κεκόπακεν. ἐπαύσατο. Κεκόλαπται. γέγλυπται. Κεκραιπαληκώς. μεθύσας· εὐφρανθείς. Κέκμηκα. κεκοπίακα. Κεκλοφέναι. κλέψαι. Κεκολουμένοσ. ἐκτετηγμένος· ἀδυνάτως ε χων· ἀμηχανῶν. Κεκονιαμένοσ. σπουδάζων πάnu. ε τι τὴν κόνιν τοῖ ποσὶ περιφέρων. kappa.1195 Κεκονιαμένοισ. ἀσβέστῳ κεχρισμένοις. Κεκριγότεσ. μηδὲν διασαφοῦντες. κριγμὸς γὰρ ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος. Κεκασμένον. κεκοσμημένον. κάζω γὰρ τὸ καλλωπίζω. Κεκαφηότα. ἐκπνεύσαντα. κάπος γὰρ τὸ πνεῦμα. Κεκληγότεσ. κράζοντες. Κεκλόμενοσ. παρακελευόμενος. Κεκινέαται. κεκίνηνται. Κεκαδησόμεθα. φροντίσομεν. Κεκάδοντο. ἀντὶ τοῦ ἐκεχάδοντο, ὡς τό· – ὑπὸ δὲ Τρῶες κεκάδοντο. Κεκαδήσει. ἀπὸ τοῦ χάζω, τὸ ὑποχωρῶ, ὁ δεύτερος ἀόριστος ε χαδον, ὁ μέσος ἐχαδόμην, ἐχάδοντο, καὶ κατὰ τροπὴν ἐκάδοντο. ἀπὸ δὲ τοῦ χάζω γίνεται χαδῶ, χαδήσω, τὸ τρίτον χαδήσει, καὶ τροπῆ̨ καδήσει, καὶ κατὰ ἀναδιπλαkappa.1196 σιασμὸν κεκαδήσει. καὶ ποιητικῷ ἀναδιπλασιασμῷ κεκάδοντο. Κελαρύζει. μετὰ η χου ῥέει. Κελαδοῦσιν. ἠχοῦσιν η θόρυβον ἐμποιοῦσι. Κέλλεται. προστάττει. Κελευτιόων. παρακελευόμενος. Κεπφωθείσ. ἐπαρθείς. κέπφος γὰρ ει δος ὀρνέου κούφου. Κενῶσαι. ἀντλῆσαι. ε στι δὲ καὶ ἀντὶ τοῦ τῆξαι. Κεραννύσ. κιρνῶν. Κεραΐζων. διακόπτων, ἀναιρῶν, διαρπάζων. Κερατιοῦμεν. καταγωνισώμεθα. ἐκ μεταφορᾶς τῶν ζώων, α τοῖς κέρασι καταπαλαίει τὸν ἀντίπαλον. Κενεμβατεῖ. εἰς κενὰ ἐμβαίνει. Κεύθω. τὸ κρύπτω. Κεχαριτωμένη. πεφιλημένη, εὐλογημένη. Κείρειν. κόπτειν. ἀπὸ τοῦ αι ρειν καὶ ἀποκόπτειν τὰς τρίχας. kappa.1197 Κείω. τὸ κέω. ἀνεφάνη γὰρ τὸ ε, ὡς ἐν τῷ· κέδρου τ' εὐκεάτοιο. Κείων. κοιμησόμενος. ἀπὸ τοῦ κέων. ω ρσο κέων. πλεονασμῷ τοῦ ¯ι, κείων. κίω δὲ τὸ πορεύομαι διὰ τοῦ ¯ι, ἀπὸ τοῦ ι ω. Κέραιρε. κίρνα. ἀπὸ τοῦ καιρῶ κεραίρω, ὡς μενῶ μεναίνω. Κερδαίνειν. παρὰ τὸ κέρδος. η παρὰ τὸ κέαρ ἰαίνειν, ο ἐστιν εὐφραίνειν. †Κεκρηγέναι. ἀντὶ τοῦ κεκραγέναι.† Κεκαδησόμεθα. λυπηθησόμεθα, φροντιοῦμεν. οι μαι ἀπὸ τοῦ α χος, ἀχῶ, ἀχάζω, ἀχαδῶ, καὶ κατὰ ἀποβολὴν χαδῶ, χαδήσω, χαδήσομαι, καὶ καδήσομαι, καὶ κατὰ ἀναδιπλασιασμὸν κεκαδήσομαι, κεκαδησόμεθα. Κεκαδών. στερήσας, χωρίσας. παρὰ τὸ χάζω ε χαδον, ἡ μετοχὴ χαδὼν καὶ καδών. θυμοῦ καὶ ψυχῆς κεκαδών–. †Κεκασμένοσ. κεκαλλωπισμένος· κεκοσμημένος. ἀπὸ τοῦ κάζω, τὸ κοσμῶ.† Κεκινέαται. ἀπὸ τοῦ κινῶ, κινήσω, κεκίνηκα, κεκίνημαι, κεκίνηται καὶ ᾿Ιακῶς κεκινέαται. οἱ δέ μευ ὀδόντες ἐν τοῖσι γνάθοισι πάντες κεκινέαται. kappa.1198 Κεκαφηότα. ἐκπεπνευκότα. κάπφος γὰρ τὸ πνεῦμα, ἀπὸ τοῦ κάφω, καφῶ, καφήσω.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κεκλαυμένην. ἀντὶ τοῦ κεκλαυκυῖαν. ε στι δὲ ποιητικόν. Κέκληκα. ἐκ τοῦ καλῶ, καλέσω, κεκάληκα, καὶ κατὰ συγκοπὴν κέκληκα. ἐξ ου καὶ τὸ κεκληγὼς τροπῇ τοῦ ¯κ εἰς ¯γ. Κεκλίαται.᾿Ιστέον, ο τι οἱ καθαριεύοντες παρακείμενοι τὸ α μόνον προσλαμβάνουσι κατὰ τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν. καὶ εἰ μὲν μακρᾷ παραλήγει, ταύτην συστέλλει. καὶ ου τως τὸ᾿Ιωνικὸν ποιοῦσιν. οι ον ἐρύω, ε ρυται, ἐρύαται. ου τως καὶ ἀπὸ τοῦ κλείω κέκλειται, κεκλίαται, κατὰ συστολὴν τῆς ¯ε¯ι διφθόγγου. οι ον· αι ἀλὶ κεκλίαται. Κεκλόμενοι. παρακελευόμενοι. ἀπὸ τοῦ κέλλω κελλόμενοι, καὶ πλεονασμῷ τοῦ κ κεκλόμενοι. ἀλλήλοισί τε κεκλόμενοι–. Κέκλυθι καὶ κέκραθι. οἱ πλεῖστοι, ὡς καὶ ἡ χρῆσις μαρτυρεῖ, παρακείμενοι εἰσί. τοῦ δὲ παρακειμένου τὰ προστακτικὰ ποτὲ μὲν εἰς ε λήγουσιν, οι ον τέτυφε, ποτὲ δὲ εἰς θι, οι ον τέτυφθι. ου τως ου ν καὶ κέκλυθι. τὸ δὲ ¯κ¯λ¯υ μακρόν ἐστι. Κεκορυθμένα. καθωπλισμένα, ἠκονημένα. ἀπὸ τοῦ κόρυθος, κορυθῶ, κεκορυθημένα καὶ κεκοkappa.1199 ρυθμένα. η ἀπὸ τοῦ κορύσσω, τὸ καθοπλίζω. οι ον τῷ σιδήρῳ ἠμφιεσμένα. ἀπὸ τοῦ τὴν κορυφὴν θήγειν καὶ ἀκονᾷν εἰς ὀξύτητα. Κέκλω. εἰ παρὰ τὸ κέλλω λάβοιμεν, πλεονασμός ἐστι τοῦ κ· εἰ δὲ παρὰ τὸ καλῶ, κλῶ, οὐ πλεονασμὸς, ἀλλὰ διπλασιασμός. Κέκμηκα. ἐκοπίασα. ἀπὸ τοῦ καμῶ, καμήσω, κεκάμηκα, κέκμηκα ἐν συγκοπῇ. Κελαρύζειν. κυρίως ἐπὶ τῶν ὑδάτων. τὸ μετὰ ποιοῦ η χου ῥεῖν καὶ ψόφου. σημαίνει δὲ τὸ ἁπλῶς ἠχεῖν. γίνεται παρὰ τὸ κρῶ, τὸ φωνῶ, ου παράγωγον κρύζω, καὶ μετὰ τοῦ ¯λ¯α ἐπιτατικοῦ μορίου, καὶ πλεονασμῷ τοῦ ¯ε, κελαρύζω. ἐκ τούτου γίνεται καθ' ὑπέρβασιν. ἀφ' ου ῥηματικὸν ο νομα λακέρυζα κορώνη. Κέλεαι. κέλλω, ὁ παθητικὸς ἐνεστὼς κέλομαι, καὶ τὸ δεύτερον᾿Ιωνικὸν κέλεαι. Κελητίζειν. τουτέστι διεσκελισμένως καθῆσθαι. τούτου ἡ γενικὴ κέλητος καὶ ἐξ αὐτοῦ ῥῆμα κελητῶ, κελητίζω, κατὰ παραγωγὴν, ἀντὶ τοῦ ἱππεύω. Κελευτίω. κελεύω. ὡς κυνηγέτης κυνηγῶ, ου τω κελευτὴς κελευτῶ. παράγωγον κελευτιόω, ὡς φυσῶ, φυσιόω. ε νιοι δὲ διὰ τοῦ ¯ς, κελευσιόων. κελευσιόων τοὺς Ελληνας, ἀντὶ τοῦ ὁδηγῶν. kappa.1200 Κένσαι. ἀπὸ τοῦ κέντω, κένσω. δύναται δὲ καὶ ἀπὸ τοῦ κεντῶ, κεντήσω, καὶ ἐν συγκοπῇ κένσω. ἐκέντησα, κεντῆσαι, καὶ ἐν συγκοπῇ κένσαι. ε στιν ἀόριστος α΄ καὶ μέλλων. Κεραννύσ. ἀπὸ τοῦ κερῶ κεραννύω, κεράννυμι, καὶ ἡ μετοχὴ κεραννὺς, διὰ δύο νν. τὰ ἀπὸ τῶν εἰς υω περισπωμένων διὰ νύω γινόμενα, διὰ δύο νν γράφεται, οι ον χῶ χωννύω, ῥῶ ῥωννύω. Κέρσαι. κόψαι. κείρω τὸ κόπτω, καὶ αἰολικῶς κέρσω. Κερτομέων. ἀντὶ τοῦ ἐρεθίζων. καί· –κερτομίοις ἐπέεσσιν. ἐρεθιστικοῖς, παροξυντικοῖς, χλευαστικοῖς· ἀπατηλοῖς. Κεύθομαι. ἐνταῦθα εἰς ᾳ δου τὴν κέλευθον, ο ἐστι τὴν ὁδὸν, ποιήσομαι. συγκέκοπται δὲ ἀπὸ τοῦ κελεύθομαι, καὶ σημαίνει τὸ πορεύομαι. οι ον· –α ϊδι κεύθομαι. καὶ ἀντὶ τοῦ κρύπτομαι. κεύθω γὰρ τὸ κρύπτω. Κεχανδότα. χωροῦντα. χάζω, χάσω, κέχαδα, κεχαδὼς, κεχαδότος, κεχαδότα, καὶ πλεονασμῷ τοῦ ν κεχανδότα, ὁ δεύτερος ἀόριστος ε χαδον, ε χαδες, ε χαδε. kappa.1201 Κεχαρηότα. ἀπὸ τοῦ χαίρω γέγονεν, ου ὁ παρακείμενος κεχάρηκα, ἡ μετοχὴ κεχαρηκὼς, κεχαρηκότος, καὶ κατὰ ἀφαίρεσιν ᾿Ιωνικὴν κεχαρηότος, κεχαρηότα. –ἐμῷ κεχαρηότα θυμῷ. Κεχαροίατο. χαίρω, χαρῶ, ὁ δεύτερος ἀόριστος ε χαρον, ἐχαροίμην, ἐχάροιο, ἐχάροιτο, καὶ πλεονασμῷ τοῦ κ, κεχάροιτο, καὶ ἰωνικῶς κεχαροίατο. Κεχολώσεται. ἀπὸ τοῦ χολῶ, χολώσω, κεχόλωκα, κεχόλωμαι, κεχόλωσαι, ὁ μετ' ὀλίγον μέλλων κεχολώσεται. διαφέρει δὲ ὁ μέλλων τοῦ μετ' ὀλίγον μέλλοντος, ο τι ὁ μὲν μέλλων ἀοριστός ἐστιν, ὁ δὲ μετ' ὀλίγον μέλλων ὡρισμένος. Κεχρημάτισται. ἀκήκοεν· ει δε. καὶ ὁ᾿Απόστολος· καθὼς κεχρημάτισται Μωυσῆς. Κενωθῇ. οι ον βλάβην καὶ ἐλάττωσιν ὑπομένει. ἀποστολικὴ ἡ λέξις. ι να μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ. Κεάσαι. σχίσαι. Κεῖθεν. ἀντὶ τοῦ ἐκεῖθεν. ἐκ τοῦ ἐκεῖνος ἐκείνοθεν, καὶ κατὰ συγκοπὴν ἐκεῖθεν καὶ κεῖθεν. η ἐκ τοῦ κεῖνος κεινόθεν, ὡς Λέσβος Λεσβόkappa.1202 θεν. οὐδὲν εἰς θεν λῆγον ἐπίῤῥημα τῇ ει διφθόγγῳ λήγεται χωρὶς τούτου. Κεῖθι. ἐκ τοῦ ἐκείνοθι, η κεινόθι. καὶ ἐκ τοῦ ἐκεῖσε, κεῖσε. Τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κ μετὰ τοῦ Η. (᾿Αρσενικόν.) Κηδάρ. χώρα παρακειμένη Βαβυλωνίοις, οἰκήτορας ε χουσα βδελυρούς. σκότος ἑρμηνεύεται. Κηδεστήσ. ὁ πενθερός. καὶ ὁ φροντιστής. κήδω γὰρ τὸ φροντίζω. Κηδεμών. φροντιστής. Κηκασμόσ. λοιδορησμός. καὶ κηκὰς ὁ λοίδορος. καὶ κηκὰς ἡ ἀλώπηξ ἡ κακωτικὴ καὶ πανοῦργος καὶ πονηρά. Κηλέστησ. ὁ ἀπατεών. ἀπὸ τοῦ κηλῶ, τὸ θέλγω. Κηληθμόσ. ἡ μετ' ᾠδῆς τέρψις. Κηλεόσ. καυστικός. Κήλων. θερμὸς εἰς συνουσίαν. παρὰ τὸν κήσω μέλλοντα, ο δηλοῖ τὸ καύσω. Κημόσ. ει δος χαλινοῦ. Κῆνσοσ. τὸ νόμισμα. kappa.1203 Κῆποσ. ὁ καταπνεόμενος τόπος πρὸς ἀνάπαυσιν. παρὰ τὸ κάπω, τὸ πνέω, κάπος καὶ κῆπος. †Κήρυλοσ. ὁ τῶν ἀλκυόνων α ῤῥην.† †Κῆσοσ. ο νομα ποταμοῦ.† Κηφήν. ει δος μελίσσης. ε στι δὲ ἀργόν. τινὲς δὲ τοὺς ὑδροφόρους τῶν μελισσῶν κηφῆνας λέγουσι. Κηώεις καὶ κηώδησ. ὁ εὐώδης καὶ τεθυμιασμένος οι κος. Κήσ. ὁ σκώληξ. Κηδεόσ. ὁ νέκυς, ὁ φροντίδος καὶ κηδεμονίας α ξιος τῆς κηδεύσεως. παρὰ τὸ κήδω, τὸ φροντίζω, γέγονε κηδεύω, κηδεὸς, ὡς φωλεύω, φωλεός. Κηδεστήσ. ὁ κατ' ἐπιγαμβρίαν συγγενής. τουτέστιν ὁ πατὴρ τῆς γαμουμένης, καὶ αὐτὸς ὁ γαμῶν. παρὰ τὸ κήδω ῥῆμα ο νομα κῆδος, ο ἐστιν ἡ κατ' ἐπιγαμίαν συγγένεια. ἐπεὶ ἐκ προνοίας καὶ κηδεμονίας συνίσταται. παρὰ τὸ κῆδος ου ν κηδεστής. η παρὰ τὸ κήδω. τὸ δὲ κηδεστὴς ὀξύτονον ὡς προσηγορικὸν, τὸ δὲ κύριον ο νομα βαρύτονον. ὡς θύω, Θυέστης. Κήδιστοσ. φροντιστικώτατος. ο ς μοι κήδιστος ἑτάρων η ν κεδνότατός τε. καὶ ω σπερ παρὰ τὸ κάλλος γίνεται καλλίων, καὶ τὸ ὑπερθετικὸν κάλλιστος, ου τως ου ν παρὰ τὸ κῆδος κήδιστος. kappa.1204 Κηλεύσ. παρὰ τὸ κηλεῖν καὶ τέρπειν. οι ον· κηλιθμῷ δ' ε σχοντο κατὰ μέγαρα. τὸ δὲ κηλιθμὸς οἱονεὶ κηλιδιθμός· καὶ κατὰ συγκοπὴν κηλιθμός. ου τως ευ ρον ἐν ὑπομνήματι᾿Οδυσσείας. Κῆρυξ. ὡς παρὰ τὸ πτερὸν γίνεται πτερῶ καὶ πτερύσσω, ου τως καὶ παρὰ τὸ ἐρῶ, τὸ λέγω, ἐρύσσω καὶ ἠρύσσω καὶ πλεονασμῷ τοῦ κ κηρύσσω, ὁ μέλλων κηρύξω. ου τως καὶ ἀποβολῇ τοῦ ω κῆρυξ. Κηώεισ. ἐπὶ τοῦ θαλάμου. παρὰ τὸ κέω, τὸ κοιμῶμαι. ω ρσο κέων ω ξεῖνε. γέγονε κεώεις καὶ κηώεις, ὁ εἰς τὸ κοιμᾶσθαι εἰργασμένος. σημαίνει δὲ τὸν τεθυμιαμένον θάλαμον καὶ οι κον. ἀπὸ τοῦ τὰ θυμιάματα εἰς αὐτὸν καίεσθαι. Κηφισσόσ. ο νομα ποταμοῦ. (Θηλυκόν.) Κηδεμονία. φροντίς. Κηδεία. ἡ ταφή. καὶ ἡ συγγαμβρία. Κηδαλία. χώρα. Κηκίσ. ἡ ὀξύτης. Κήλη. τὸ πάθος. καὶ κηλήτης. Κηλίσ. ὁ ῥύπος. καὶ κλίνεται κηλῖδος. kappa.1205 Κήλησισ. ἡδονὴ καὶ θέλξις μετὰ μέλους. Κηπαία. ἡ ἐν τῷ κήπῳ κηπαία παγὶς ἱσταμένη. Κηπεία. ἡ κήπευσις. Κηρουλκόσ. ἡ εἰς θάνατον ε λπουσα. παρὰ τὴν κῆρα, τὴν θανατηφόρον μοῖραν. Κήρινθοσ. πόλις. Κηρυκίνη. ῥάβδος. Κηφηΐσ. ἡ Αἰθιοπία γῆ. ἀπὸ Κηφέως. Νίκανδρος· Περσεὺς η ν ποτε λιπὼν Κηφηΐδα γαῖαν. Κηλάσ. ἡ ἀλώπηξ. Κῆδοσ. ἡ συναλλαγὴ τοῦ γάμου. Κήδεα. φροντίδες, λῦπαι, η τὰ κακά. Κηκίδιον. τὸ τοῦ μέλανος. Κηλώνιον. ι ππος ἐπιβατήριος. παρὰ τὸ κήλων, ο σημαίνει τὸν θερμόν. κήλων γὰρ ὁ θερμὸς εἰς συνουσίαν. η παρὰ τὸν κήσω μέλλοντα, ο δηλοῖ τὸ καύσω. Κηλόνειον δὲ τὸ γεράνιον. μικρὸν καὶ δίφθογγον. παρὰ τὸ κάλον, τὸ ξύλον, καὶ μετὰ τοῦ νεύειν γέγονε καλόνειον καὶ κηλόνειον, τὸ ἀνανεῦον καὶ κατανεῦον ξύλον. Κῆλον. τὸ βέλος τὸ ξύλινον. παρὰ τὸ κάλον, ο δηλοῖ τὸ ξύλον. η βέλος θεῖον, τουτέστιν ἀστραπὰς καὶ βροντάς. kappa.1206 –ῳ χετο κῆλα θεοῖο. παρὰ τὸν κήσω μέλλοντα τὸν δηλοῦντα τὸ καύσω. ο θεν καὶ τό· πυρὶ κηλέῳ, τουτέστι καυστικῷ. Κήναιον. ο ρος. Κήπιον. κῆπος. Κῆρ. ἡ ψυχὴ, ἀπὸ τοῦ δίκην κηροῦ ἀπομάττεσθαι τὰ μαθήματα. Κῆρ. περισπωμένως μὲν τὴν ψυχήν· παρὰ τὸ κέαρ. ὀξυτόνως δὲ τὴν θανατηφόρον μοῖραν, ἡ τὸ κακύναι ἐπιφέρουσα. Κηρύκειον. ο ρος᾿Εφέσου. καὶ ὁ τῶν κηρύκων μισθός. κηρύκιον δὲ πᾶσα ῥάβδος, ¯ι. (῾Ρῆμα.) Κήδεται. φροντίζει. Κῆεν. ε καυσεν. καὶ κήσω. Κήκιεν. ἐφέρετο. κατέβαινεν. ε ῤῥει. παρὰ τὸ κίω, τὸ περιπατῶ καὶ πορεύομαι, ε κιε, καὶ πλεονασμῷ τοῦ κ καὶ ἐκτάσει κήκιεν. αι μα δ' ἀνεκήκιε. †Κηλοβλάπτω. ἀπατῶ.† Κηλάζω. τὸ λοιδορῶ. Κήδω. τὸ λυποῦμαι. καί· –ἀνάσχεο,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κηδομένη περ. kappa.1207 οι μαι παρὰ τὸ καίεσθαι ει ρηται· τοῖς γὰρ λυπουμένοις ε πεται ἡ ε κκαυσις. Κηλῆσαι. θέλξαι. Κημῶ. χαλιναγωγῶ. Κηρύσσω. παρὰ τὸ γῆρυς, ο σημαίνει τὴν φωνὴν, κατὰ τροπὴν τοῦ ¯γ εἰς ¯κ. η παρὰ τὸ ἐρύσσω, ἠρύσσω, καὶ πλεονασμῷ τοῦ ¯κ, κηρύσσω. Κηρόθι. ἐκ ψυχῆς. εἰ δέ τοι᾿Ατρείδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον. Κῆχοσ. πρὸ ὀλίγου, η ο που. Τὸ Κ μετὰ τοῦ Ι. (᾿Αρσενικόν.) Κιανόσ. κόλπος. καὶ Κιανὶς ποταμός. Κιβυῤῥαιώτησ. τοπικόν. Κίβδηλοσ. ἀδόκιμος, ἀπεῤῥιμμένος. Κιθαιρών. ο ρος ἐν τῇ Βοιωτίᾳ. kappa.1208 Κίκυσ. ὁ ὀξὺς, ὁ ἰσχυρός. σημαίνει τὴν ἰσχύν. παρὰ τὸ κίω, τὸ πορεύομαι. ὁ γὰρ ἰσχυρὸς ἐκ τῆς κινήσεως φαίνεται. Κιλίκιοι. δασεῖς. κιλίκιοι τράγοι. τοιοῦτοι γὰρ οἱ ἐν Κιλικίᾳ γίνονται τράγοι. ο θεν τὰ ἐκ τριχῶν ἐκτιθέμενα κιλίκια λέγονται. Κίμβροσ. ὁ ληστής. Κίμβισ. ποταμός. Κιμμερίουσ. φησὶν῾Ηρακλείδης ὁ Ποντικὸς, ὑποκάτω τοῦ Πόντου ει ναι τοὺς Κιμμερίους. †ἀεὶ γὰρ οἱ τοιοῦτοι ἐν χειμῶνι εἰσίν.† κέμμερον γὰρ λέγουσι τὴν ὁμίχλην. καὶ Σκυθικὸν ε θνος οἱ Κιμμέριοι. †Κίνιψ. ὁ λιμήν.† Κίναιδοσ. ὁ πόρνος, ὁ ἀσελγής. ὁ κενὸς αἰδοῦς. ου τως Διονύσιος. η παρὰ τὸ κινεῖν τὰ αἰδοῖα. ου τως Ωρος ὁ Μιλήσιος. Κίναδοσ. ἐπὶ τῶν θηρίων. παρὰ τὸ α δδην κινεῖσθαι. πολυκίνητα γὰρ τὰ θηρία. οἱ δὲ καταποθῆναι ὑπὸ τοῦ κινάδεος. καὶ τῷ κινάδει. kappa.1209 Κινδαψόσ. ει δος ὀρνέου. λέγει δὲ καὶ Διονύσιος, ο τι ε θνος ἐστὶν᾿Ινδικόν. Κίνδυνοσ. φοβεροῦ πλησιασμός. Κίρκοσ. ὁ κωπηλάτης. η ὁ ἱέραξ. Κιῤῥόσ. ὁ κίτρινος. Κιῤῥαῖοσ. ἐθνικός. καὶ ὁ Κιῤῥαίων λιμήν. Κίσ. ὁ σκώληξ. καὶ κλίνεται κιός. Κιχηλάσ. ὁ κίχλας, πλεονασμῷ τοῦ ¯η. κρεάτων ὀρνίθασι κιχηλῶν. Κίων. ἀπὸ τοῦ κίειν καὶ ἀνιέναι εἰς υ ψος. παρὰ τὸ τὴν ἰὼν μετοχὴν γέγονεν ι ων καὶ κίων. τοῦτο οἱ᾿Αττικοὶ ἀρσενικῶς λέγουσιν, οἱ δὲ Ιωνες θηλυκῶς. Κίῤῥισ. ζῶον. Κιγκλισμόσ. ἀντὶ τοῦ τάραχος. ου τως Μένανδρος. ἀπὸ μεταφορᾶς τῆς κιγκλίδος. †Κιλλαγητήρ. ὀνειλάτης.† †Κίλλοι. ο νοι.† kappa.1210 †Κίνιφοσ. ὁ ποικίλος.† †Κίγκλοσ. ει δος ὀρνέου.† Κίμβιξ. ὁ φιλοχρήματος. Κιχλισμόσ. μικρὸς γέλως. (Θηλυκόν.) Κίαροσ. ο νομα πόλεως. Κία. ἡ μέθη. Κιβωτόσ. ω φειλε διὰ τῆς ¯ε¯ι διφθόγγου, ἐπειδὴ διὰ τὸ κεῖσθαι ἐκεῖ τὴν βόσιν ει ρηται. ἀλλ' ἡ παράδοσις τὸ ¯ι ε χει. καὶ λέγει Ωρος ὁ Μιλήσιος· ι σως παρὰ τὸ κίβος γέγονεν, ο σημαίνει τὴν τροφήν. καὶ κίβισος ἡ πήρα η ἡ κιβωτός. παρὰ τὸ κεῖσθαι ἐκεῖ τὴν βόσιν, ο σημαίνει τὴν τροφὴν, ἡ εἰς τὸ κίειν καὶ ἰέναι βόσιν ε χουσα. Κιγκλίσ. τὸ τοῦ δικαστηρίου κάγκελον, η ἡ σωλεία. kappa.1211 Κιβωτόσ. διὰ τοῦ ¯ι γράφεται, τῷ λόγῳ τοῦ θλίβω. Κίδαρισ. περίθεμα κεφαλῆς ευ κοσμον, δι' ου οἱ ἱερεῖς τὸ παλαιὸν ἐκοσμοῦντο. η ἐκ τριχῶν καμελαύκιον. ἀνὴρ παρὰ Πέρσαις τὴν κίδαριν ἀνεδήσατο. Κίθαρισ. παρὰ τὸ κεύθειν τὸν ε ρωτα. †Κικονία. γῆ.† Κιμωλόσ. νῆσος. Κιμωλία. νῆσος. καὶ ὁ γύψος. Κίμαρα. τόπος. Κιναύρα. ἡ τῶν τράγων δυσοδμία. Κιννύρα. ο ργανον μουσικόν. Κίνησισ. ἀγὼν, πόλεμος, σεισμός. η κίνησις ἐστὶν ἡ ἐντεύχεια καὶ ἐντελέχεια τοῦ δυνάμει, καθὸ τοιοῦτόν ἐστιν ο η ν. κίνησις θεωρεῖται ἐν τῇ οὐσίᾳ, καὶ ἐν τῷ ποσῷ καὶ τῷ ποιῷ, καὶ ἐν τῇ ποῦ κατηγορίᾳ. ἐν μὲν τῇ οὐσίᾳ γέkappa.1212 νεσις καὶ φθορά· ἐν τῷ ποσῷ αυ ξησις καὶ μείωσις· ἐν δὲ τῷ ποιῷ ἀλλοίωσις· ἐν δὲ τῷ ποῦ τὸ κυκλοφορούμενον καὶ τὸ ἐπ' εὐθείας κινούμενον. καὶ καλεῖται τὸ μὲν πρότερον περιφορά· τὸ δὲ δεύτερον ἁπλῶς ἐπ' εὐθείας κίνησις. ἑπτὰ δὲ εἰσὶν ἐν τῇ ποῦ κατηγορίᾳ κινήσεις· τουτέστιν αἱ τοπικαὶ καὶ μεταβατικαί· ἡ α νωθεν· ἡ κάτωθεν· ἡ ἐντός· ἡ ἐκτός· ἡ δεξιά· ἡ ἀριστερὰ καὶ ἡ κυκλοφορουμένη. Κῖοσ. πόλις Μυσίας. ἀπὸ Κίου τοῦ ἡγησαμένου τῆς τῶν Μιλησίων ἀποικίας. τὸ ἐθνικὸν Κιανός. †Κίσηρισ. τὸ κισήριον. παρὰ τὸ ἐν τῷ κινεῖσθαι σαίρειν.† Κίσσηρισ. βούνευρον. η ει δος ὁμαλιστηρίου. Κισσία. χώρα. Κίσσινα. πόλις. Κίσσα. τὸ ζῶον. Κίστη. ἡ θήκη. kappa.1213 Κίτωρα. πόλις. τινὲς δύο ¯τ¯τ γράφουσι. †Κιφήν. ἡ ἀλώπηξ.† Κιχῶναι. τὰ μεσόσκελα. Κίνησιν. κίνησιν ὁ θεόλογος Γρηγόριος τὴν τοῦ θεοῦ πρὸς ἑαυτὸν ἐπιστροφήν τε καὶ σύννευσιν. ἐκινεῖτο μὲν γὰρ ὁ θεὸς τοῦ οἰκείου κάλλους τὴν αι γλην θεωρῶν. ἐκινεῖτο δὲ βλέπων καὶ τοὺς τύπους τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κόσμου, ου ς ε στησεν ἐν τοῖς ἰδίοις μεγάλοις νοήμασιν ὁ κοσμογόνος νοῦς. (Οὐδέτερον.) Κιβύσιον. φλασκίον. Κίβδηλον. ἀδόκιμον. ἀπεῤῥιμμένον. ἀπὸ ἱστορίας τινός. οἱ᾿Αθηναῖοι τῷ πρὸς τοὺς Χίους μίσει φερόμενοι, ἐν τοῖς ἀδοκίμοις ἑαυτῶν νομίσμασι τὸν τοῦ ¯χ τύπον ἐγχαράττοντες ἀπέῤῥιπτον βδελυττόμενοι. κυρίως δὲ λέγεται κίβδηλον τὸ ὑπόχαλκον χρυσίον. †ἐπειδὴ τὰ κακυνόμενα πάντα η τῇ υ λῃ τὸ κακύνεσθαι ε χουσιν, ὡς τοῦτο, η τῷ ει δει.† Κίκι. ει δος ἐλαίου. kappa.1214 †Κίλον. βιανόν.† †Κίμωρα. τόπος.† Κινάμωμον. α ρωμά τι μυρεψικόν. Κιννάβαρ. χρῶμα κόκκινον. καὶ κλίνεται κινναβάρεως. Κινώπεον. ο ρνεον. καὶ κινώπετα, ἑρπετά. τὰ ἀεὶ κινούμενα ἐν τῷ πέδῳ. κινώπεδα καὶ κινόpeta. ου τως Ωρος ὁ Μιλήσιος. †Κιόκρανον. τὸ α κρον τοῦ κίονος.† Κιῤῥόν. τὸ κίτρινον. Κισσύβιον. ποιμενικὸν ποτήριον. ι σως ἀπὸ τοῦ κισσοῦ, ἐξ ου κατεσκευάζοντο τὰ ποτήρια. κοινοτέρως δὲ καὶ ἐπὶ πάντων τῶν ξυλίνων ποτηρίων ἡ λέξις τίθεται. παρὰ τὸ κεχύσθαι εἰς αὐτὸ τὸν οι νον. οι ον χύω, χύσω, χυσσύβιον καὶ κισσύβιον.῾Ησίοδος· ὀλίγῳ δ' ει σεται κισσυβίῳ. Κίτιον. τόπος. Κιτρίον. ἡ κέδρος. Κίτρον. ὁ καρπός. kappa.1215 Κιχώριον. βοτάνιον. λέγει δὲ τὸ α γριον ἰντύβιον. (῾Ρῆμα.) Κίδναται. σκεδάννυται, σκορπίζεται. Κιγκλίω καὶ κιγκλίσαι. τὸ ἀσφαλίσαι. παρὰ τὴν᾿Αττικὴν κιγκλίδα, η τις ἐστὶ καγκελοθυρίς. τοιαῦται γὰρ η σαν αἱ τοῦ δικαστηρίου κιγκλίδες, ι να ταχέως ἀνοίγωνται καὶ κλείωνται· συνεχῶς γὰρ εἰσῄεσαν καὶ ἐξῄεσαν. γέγονεν ου ν παρὰ τὸ κλείω. τινὲς δὲ ἀπὸ κίγκλου τοῦ ὀρνέου. ου τως λέγεται ἡ σεισοπυγίς. καὶ Μένανδρος κιγκλισμὸς φησὶν ἀντὶ τοῦ τάραχος. Κίε. πορεύου. Κίω. τὸ πορεύομαι. πλεονασμῷ τοῦ κ. ἀπὸ τοῦ ι ω. Κικλήσκω. τὸ καλῶ. ἀπὸ τοῦ κλῶ, τὸ καλῶ, γίνεται κλήσκω, καὶ κατὰ ἀναδιπλασιασμὸν κικλήσκω, ὡς τρώσω, τιτρώσκω. Κικυμώειν. τυφλώττειν. Κικύω. τὸ ταχύνω, τὸ ἰσχύω. καὶ γέγονε παρὰ τὸ κίκυς. ε χει δὲ καὶ τοῦτο τὸ ¯υ κατὰ τὴν δευτέραν συλλαβήν. Κινόμενος, κινούμενος καὶ κιννύμενοσ. ἀντὶ τοῦ ἐπὶ πρᾶξιν ὁρμῶν. ἀπὸ τοῦ κινῶ, κιννύω, κίννυμι. kappa.1216 Κινῶ. παρὰ τὸ ι ς, ἰνὸς, ο σημαίνει τὴν δύναμιν, γίνεται ἰνῶ καὶ κινῶ. Κισσῶ. μεθ' ἡδονῆς συλλαμβάνω. παρὰ τὸ τὴν κίσσαν κισσῶ. λαγνότατον γὰρ ἡ κίσσα, τὸ ο ρνεον, καὶ πρὸς τὰς ἡδονὰς καὶ συνουσίας καταφερέστατον. ἐτυμολογεῖται δὲ παρὰ τὸ κίειν καὶ μετὰ σφοδρότητος σεύεσθαι πρὸς τὸ συνουσιάζειν. Κιχήσατο. κατέλαβε. καὶ κιχείω τὸ καταλαμβάνω. κιχῶ κιχείω, ὡς τελῶ τελείω, ο ψω ὀψείω. ἀπὸ δὲ τοῦ κιχῶ γίνεται καὶ κιχάνω. κιχῶ ἀπὸ τοῦ κιῶ. κιχῶ τὸ καταλαμβάνω. Κιχρῶ. τὸ δανείζω. Τὸ Κ μετὰ τοῦ Λ. (᾿Αρσενικόν.) Κλεόπασ. κύριον. Κλέπτησ. ὁ κρυφῇ τὰ ἀλλότρια λαμβάνων ἐπὶ βλάβῃ τοῦ πλησίον. ἀπὸ τοῦ καλύπτειν καλύπτης καὶ κλέπτης, λάθρα γὰρ ἀφαιρεῖται. Κλεβηνοί. ε θνος. Κλειτόσ. ὁ ε νδοξος. κλητὸς δὲ ὁ καλούμενος, η. κλιτὸς δὲ ὁ κλινόμενος, ι. Κλεινόσ. ὁ ε νδοξος. Κλειτοπῶλοσ. ὁ περὶ τοὺς ι ππους ε νδοξος. kappa.1217 †Κλέψ. ὁ κλέπτης.† Κλῆθροσ. δένδρον. καὶ κλήθρη. Κληρονόμοσ. παρὰ τὸ κλῆρος καὶ τοῦ νόμος· τὸ δὲ κλῆρος παρὰ τὸ κλῶ. η διὰ τὸ κάλον καὶ τὸ ξύλον κλῆρος γέγονεν, ἐπειδὴ ἐν ξύλῳ οἱ κλῆροι ἐχαράσσοντο. Κληδόνιοσ. κύριον. Κλαζομένιοσ. τοπικόν. Κλίβανοσ. φοῦρνος η κάμινος. Κλισμόσ. ἡ καθέδρα καὶ ὁ θρόνος ὁ ε χων ἀνάκλισιν. παρὰ τὸ κλίνω. Κλόνοσ. ἡ ταραχή. Κλοιὸς καὶ κλοιά. τὰ σίδηρα, α φοροῦσιν οἱ κατάδικοι. παρὰ τὸ κλείω, κλοιός. κλείει γὰρ τὰ περιτιθέμενα. Κλωβόσ. κύριον. Κλωπᾶσ. κύριον. Κλὼν, κλωνόσ. τὸ κλωνάριον τοῦ δένδρου. Κλώψ. ὁ κλέπτης καὶ ὁ ληστής. παρὰ τὸν κλέψω μέλλοντα γίνεται κατὰ ἀποβολὴν τοῦ ω κλὲψ, καὶ κλὸψ, καὶ κατὰ ε κτασιν κλώψ. ὡς βλέπω, βλὲψ, καὶ βλὼψ, ὁ στράβος. Κλιμακισμόσ. πάλαισμα ποιόν. καὶ διακλιμακίσας. τὸ διαπαλαίσας. (Θηλυκόν.) Κλαζομενὴ καὶ Κλαζομεναί. πόλις. kappa.1218 Κλεωναί. τόπος. Κλεψύδρα. ο ργανον ἀστρολογικὸν, ἐν ῳ αἱ ω ραι μετροῦνται. Κλεῖν. τὴν κλεῖδα. ἀπὸ τοῦ κλεὶς, κλειδὸς, κλεῖδα, καὶ συγκοπῇ τῆς δα συλλαβῆς κλεῖ. ἀλλ' ἐπειδὴ πᾶσα αἰτιατικὴ μονοσύλλαβος ἑνικὴ ἀρσενικὴ η θηλυκὴ, αὐτὴ καθ' ἑαυτὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ου σα, εἰς ¯ν θέλει λήγειν, οι ον μῦν, σῦν, δρῦν, τούτου χάριν προσέλαβε τὸ ¯ν καὶ γέγονε κλεῖν. Κλητή. ἡ καλεστὴ καὶ ἡ ἐξοχωτάτη. ὡς τό· αυ τη ἡ κλητὴ καὶ ἁγία ἡμέρα. κλειτὴ δὲ, κύριον, καὶ ἡ ε νδοξος, δίφθογγον. κλιτὴ δὲ ἡ κλινομένη, ἰῶτα. Κληδόνοσ. μαντείας η φήμης. παρὰ τὸ κλέος, ο σημαίνει τὴν φήμην. Ομηρος· ἡμεῖς δὲ κλέος οι ον ἀκούομεν.– ἀπὸ τοῦ καλῶ, κλῶ, κληδὼν, ἐξ ου καὶ κλῆσις ἡ κάλεσις. Κληΐδεσ. αἱ τῶν ἐρεσσόντων καθέδραι. καὶ φεύγειν σὺν νηυσὶ πολυκληΐσι κελεύσω. παρὰ τὴν κλάσιν τῶν γονάτων. ο θεν καὶ τὸ μετοκλάζειν, παρὰ τὸ ἐγκλᾷν καὶ κάμπτειν τὰ γόνατα. Κλαγγή. ποιὰ φωνή. –κλαγγὴ γεράνων ἠεροφώνων. kappa.1219 Κλίμαξ. ἡ σκάλα. παρὰ τὸ κλίνω, κλίνη, κλίναξ καὶ κλίμαξ, ὡς χλαῖνα, χλαμύς. κλῆμαξ δὲ, ἡ α μπελος. η κλίνη παρὰ τὸ κλῶ. κλάσιν γὰρ λαμβάνουσι τὰ κλινόμενα, στερισκόμενα τῆς ὀρθότητος. Κλισιάδεσ. αἱ δίπτυχοι θύραι. Κλισία. ἡ σκηνή. οι μαι, ο τι καὶ τοῦτο ἀπὸ τοῦ κλίνω τοῦ σημαίνοντος τὸ περιέχω γίνεται. κλίνω, κλίσις καὶ κλισία. Κλιτύσ. ἡ ἐξοχὴ τοῦ ο ρους. Κλυταιμνήστρα. κύριον. Κλοποφορία. κλωπεία δὲ μέγα καὶ δίφθογγον. Κληϊσταί. ἠσφαλισμέναι. Ομηρος· κληϊσταὶ δ' ε πεσαν σανίδες πυκινῶς ἀραρυῖαι. (Οὐδέτερον.) Κλέοσ. ἡ δόξα, ὁ ε παινος. κλαῖος δὲ, ὁ θρῆνος, δίφθογγον. kappa.1220 Κλέα. τὸ κλέα καὶ χρέα οὐδέτερα ἀπὸ τοῦ κλέεα καὶ χρέεα γίνεται κατὰ συγκοπήν. Κλείσιον. ἐν ῳ ι στανται οἱ βόες. κλίσιον δὲ, ε νθα οἱ θρόνοι ι στανται, ¯ι. Κλῆτοσ. τὸ πλῆθος. Κλίτος δὲ, τὸ μέρος. καὶ κλῖμα καὶ κλίματα, τὰ μέρη, ¯ι. Κλῇθρα. τὰ κλειδία. ἀπὸ τοῦ κλεῖς γέγονε κλῇθρα. η ἀπὸ τοῦ κλείσω. τὸ δὲ κλήω οἱ Ιωνες διὰ τοῦ η καὶ ι γράφουσιν, ἐξ ου καὶ τὸ κλῇθρα διὰ τοῦ ¯η καὶ ¯ι γράφεται παρ' ἐκείνοις. ἡμεῖς δὲ τὸ κλῆθρα διφθογγογραφοῦμεν. Κλητώριον. Κλοπιμαῖον. τὸ ἀπὸ κλοπῆς πρᾶγμα. Κλυστήριον. ἰατρικὸν ἐργαλεῖον. καὶ κλυσταί. Κλάρια. τὰ ψέλλια. Κλέοσ. ἡ δόξα. παρὰ τὸ καλῶ. τὴν γὰρ δόξαν πάντες καλοῦμεν πρὸς ἑαυτούς. kappa.1221 (Ῥῆμα.) Κλάειν. ἀντὶ τοῦ κλαίειν. Κλαίω. τὸ θρηνῶ. κλῶ, τὸ κλαύω. καὶ γίνεται κατὰ παραγωγὴν κλαίω. κλᾶται γὰρ τῶν ἀνθρώπων ἡ φωνὴ, καὶ ἡ ψυχὴ τοῦτο πάσχουσα. η παρὰ τὸ καλῶ, κλῶ, κλαίω. ἐπικαλοῦνται γὰρ τοὺς ἀποθανόντας οἱ κλαίοντες. Κλεΐζω. τὸ δοξάζω. Κλείω. τὸ δοξάζω. παρὰ τὸ κλέος, κλέω καὶ κλείω. Κλείωμεν. ὀνομάσωμεν. παρὰ τὸ κλείω, η παρὰ τὸ κλύειν, ο ἐστιν ἀκούειν. Κληδονίζεται. μαντεύεται η φημίζεται. Κλυδωνίζεται. ἀντὶ τοῦ ταραχίζεται. ψιλὸν καὶ μέγα. Κληΐζω. τὸ δοξάζω, τὸ καλῶ. Κλιμακίζω. τὸ ἀνατρέχω. kappa.1222 Κλίνθη. ἀπὸ τοῦ κλίνω. αἰολικόν ἐστι τὸ τοιοῦτον. Κλῦθι. α κουσον. ἀπὸ τοῦ κλύω, κλῦμι. καὶ τὸ προστακτικὸν κλῦθι. Κλύω. ἀκούω. παρὰ τὸ καλῶ, κλῶ, ο σημαίνει τὸ φωνῶ, γίνεται κατὰ παραγωγὴν κλύω. Κλώζω. καλῶ. Κλωπεύω, κλωπιτεύω. ἀντὶ τοῦ κλέπτω. κλοτοπεύω δὲ μικρόν. (Ἐπίῤῥημα.) Κλαγγηδόν. μετὰ η χου. Κλήδην. κλητικῶς· καλεστικῶς. Τὸ Κ μετὰ τοῦ Ν. (Ἀρσενικόν.) Κναφεύσ. ὁ τὰ δέρματα ξύων. παρὰ τὸ κνάπτω, ο πέρ ἐστιν ἀπὸ τοῦ κνῶ, τὸ ξύω. Κνεφαῖοσ. σκοτεινός. kappa.1223 Κνίδιοσ. τοπικός. κνίδειος δὲ καρπὸς, δίφθογγον τὸ ¯δ¯ε¯ι. Κνόσαρ. ὁ ξηρός. Κνυζηθμόσ. ἡ ἀσαφὴς τῶν κυνῶν βοή. καὶ ὁ κλαυθμός. Κνώψ. ὁ τυφλός. Κνησμόσ. ὁ τραχὺς τόπος. τοῦ Ψελλοῦ· κίμβιξ ὁ φιλοχρήματος, κνησμὸς ὁ τραχὺς τόπος. (Θηλυκόν.) Κνήμη. ἡ τοῦ σκέλους τραχύτης. ἀπὸ τοῦ κινῶ, κινήμη, καὶ κατὰ συγκοπὴν κνήμη, οἱονεὶ τὰ τῆς κινήσεως αι τια. ἰστέον, ο τι τὰ ε μπροσθεν λέγεται ἀντικνήμια, τὸ δὲ ο πισθεν γαστροκνήμιον. κυρίως δὲ κνῆμαι λέγονται τὰ διαιροῦντα ξύλα τὴν χοινικίδα τοῦ τροχοῦ. σημαίνει δὲ καὶ τὰς ἐξοχὰς καὶ προβάσεις, καὶ καθύδρους τόπους τῶν ὀρῶν. kappa.1224 †Κνίδη. βοτάνη στυπτική.† Κνημίσ. τὸ ὑπόδημα, η ἡ κάλτζα. Κνῆστισ. ἡ μάχαιρα. τὸ πληθυντικὸν τὰς κνήστεις. –κνῆ τυρὸν κνήστι χαλκείῃ–. Κνίδοσ. νῆσος. καὶ Κνιδίη. Κνιδεία. ἡ φειδωλία. Κνίσσα. τὸ λίπος, η ἡ τῶν κρεάτων ἀναθυμίασις. παρὰ τὸ κνῶ, κνίζω, ὁ μέλλων κνίσω, καὶ κνίσα. τὸ δὲ κνῶ σημαίνει τὸ ξύω. κνησμὸς γίνεται κατὰ τῆς ὀσφρήσεως. Κνωσσόσ. πόλις. καὶ Κνωσσία. (Οὐδέτερον.) Κνάφοσ. ἀκανθῶδές τι,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ῳ ξύουσι τὰ ἱμάτια. Κναφεῖον. ἐν ῳ τὰς ἐσθῆτας κνάπτουσιν, ο ἐστι βάπτουσι. kappa.1225 Κνέφας. τὸ σκότος. διὰ τὸ κενὸν ει ναι φάους, κενέφας καὶ ἐν συγκοπῇ κνέφας. καὶ κνέφος. ὡς ου δας, ου δος. Κνισσάριον. τὸ μικρὸν λίπος. Κνώδαλα. κυρίως μὲν τὰ θαλάσσια θηρία, διὰ τὸ ἐν ἁλὶ κινεῖσθαι, κινόδαλα τινὰ ο ντα. ποτὲ δὲ καὶ τὰ χερσαῖα, διὰ τὸ ὑπὸ κυνῶν ἁλίσκεσθαι.῾Ησίοδος· κνώδαλα, ο σ' η πειρος πολλὰ τρέφει ἠδὲ θάλασσα. (῾Ρῆμα.) Κνάθω. τὸ πορεύομαι. Κνάπτω. τὸ βάπτω. Κνάω. τὸ κνήθω. Κναίω. τὸ λυπῶ. Κνησθεῖεν. ἐκ τοῦ κνήθω, καὶ κνήσας. Κνίζω. τὸ λυπῶ. ἀπὸ τοῦ κνισμός. καὶ κνίσας ἀντὶ τοῦ κόψας καὶ λυπήσας. Κνίζειν. κατατέμνειν, ἐκθλίβειν. συκάμινα κνίζειν. φασὶ γὰρ τὴν συκάμινον κάθυγρον ου σαν κατατέμνεσθαι ξίφεσι τῶν γεωργῶν τὸν φλοῦν αὐτῆς, ι ν' ο πως τὸ ὑγρὸν καὶ πλεονάζον ἐκκενούμενον, καταναγκάζῃ αὐτὴν κατέχειν καὶ πεkappa.1226 παίνειν τοὺς καρποὺς αὐτῆς. καὶ γὰρ εἰ μὴ τοῦτο η ν, ἀπώλοντο α ν οἱ καρποὶ αὐτῆς ἐκ τῆς ου τω πολλῆς ὑγρότητος, ὡς γεννώσας σῆψιν αὐταῖς. †Κνήσας. ξύσας. τὸ δὲ λυπήσας, ¯ι, ὡς ἀπὸ τοῦ κνίζω.† Κνύειν. κρούειν. Κνυζόμενοσ. ἐπὶ κυνός. καὶ κνυζῶσαι ἀντὶ τοῦ λυπῆσαι. Κνώζει. βοᾷ. Κνώμενοι. γαργαλιζόμενοι, η κνηθόμενοι, η θελγόμενοι. Κνώσσω. τὸ κοιμῶμαι. παρὰ τὸ ο σσω, τὸ βλέπω. η παρὰ τὸ κενὸν, τουτέστι κενοῦσθαι τοῦ βλέπειν. η παρὰ τὸ κενὰ καὶ ἀργὰ ει ναι τὰ ο σσα, η τοι τοὺς ὀφθαλμοὺς, εἰς τὸ κοιμᾶσθαι. κενώσσειν, καὶ κατὰ συγκοπὴν κνώσσειν. Κνηθόμενοι. τερπόμενοι. ᾿Απόστολος· κνηθόμενοι τὴν ἀκοήν. Κνίζειν. τὸ φυλλοκοπεῖν τὰ συκάμινα πρὸς τροφὴν τῶν αἰγῶν. κατὰ δὲ τὸν α γιον Κύριλλον τὸ ἀποκόπτειν τὰ συκάμινα, η γουν τοὺς καρποὺς τῆς συκαμίνου, καὶ ἐσθίειν. kappa.1227 Τὸ Κ μετὰ τοῦ Ο. (᾿Αρσενικόν.) Κοάλεμοσ. ὁ μωρὸς, ὁ μάταιος. παρὰ τὸ κοεῖν καὶ τὸ ἐλύματα. οι ον ὁ μάταια νοῶν. η κοιάλεμος. Κόβαλοσ. ὁ πανοῦργος, ὁ λῃστὴς, καὶ ὁ λάλος. ἀπὸ τοῦ κόψαι πεποιημένης τῆς λέξεως. ο θεν καὶ κόπιν λέγουσι τὸν λάλον. ὁμοίως καὶ κόψ. Κοδράντησ. τὸ πᾶν. η λεπτὰ δύο, η τὸ ε σχατον τοῦ λεπτοῦ. λέγεται καὶ ἡ πρᾶξις, καὶ αὐτὸ τὸ ἐνθύμημα. Κόθορνοσ. τὸ ἀμφοτεροδέξιον ὑπόδημα. Κόθουροσ. ὁ κούντουρος. κηφήνεσι κοθούροις ι κελος ὀργήν. παρὰ τὸ κεύθειν τὴν οὐράν. η ὁ κολοβὴν τὴν οὐρὰν ε χων. kappa.1228 Κόθουροσ. καὶ ὁ κλέπτης. †Κοῖτοσ. ὁ υ πνος.† Κοινόσ. οι μαι, ο τι παρὰ τὸ κείω, τὸ κεῖμαι. κεῖος καὶ κοινὸς, ὁ πᾶσι προκείμενος η γενόμενος. η παρὰ τὸ γῶ, τὸ χωρῶ καὶ δέχομαι, γίνεται γοινὸς καὶ κοινὸς, ὁ δεκτικὸς καὶ εὐπρόσδεκτος. Κοίρανοσ. ὁ βασιλεὺς, ὁ α ρχων. παρὰ τὸ καιρὸς γέγονε καίρανος, καὶ μεταθέσει τοῦ ¯α¯ι εἰς ¯ο¯ι κοίρανος, οἱονεὶ ὁ ἐν καιρῷ α ρχων. Κοκύασ. ὁ πρόγονος. †πάππος.† Κόκκυξ. ὁ κοῦκος. Κόλαξ. ὁ ἐπαινῶν ὑπὲρ τὸ πρέπον· ὁ ὡς φίλος ὑπερχόμενός τινα· ὁ ταπεινῶς θεραπεύων τινά. παρὰ τὸ κόλον παράγωγον κόλαξ. †κόλον δὲ, τὸ ταπεινὸν καὶ μὴ ὁλόκληρον.† τινὲς δέ φασι παρὰ τὸ κολλᾶσθαι, ἐξ ου καὶ δύσκολος ὁ δυσχερῶς τινὶ κολλώμενος. κόλαξ καὶ ὁ παράσιτος. kappa.1229 Κολοσυρτόσ. ὁ ἐκ φρυγάνων συρφετός. ἀπὸ τοῦ τὰ κόλα σύρειν, τουτέστι τὰ φρύγανα. –κόνιός τε καὶ ἀργαλέου κολοσυρτοῦ. σημαίνει δὲ καὶ ταραχὴν καὶ θόρυβον ἀνδρῶν. ἀνδρῶν ἠδὲ κυνῶν δέχατο κολοσυρτὸν ἐόντα. Κόλλαβοι. οἱ μικροὶ α ρτοι. παρὰ τὸ ἐκ τῶν μεγάλων κολοβοῦσθαι. Κόλλαβοι καὶ οἱ πασσαλίσκοι τοῦ ψαλτηρίου η τῆς κιθάρας. †Κορβωνάσ. τὸ θησαυροφυλάκιον, τὸ δωροδοχεῖον, τὸ γαζοφυλάκιον. γάζα γὰρ παρὰ῾Ρωμαίοις ὁ πλοῦτος καλεῖται.† †Κόλυβοσ. ὁ ὀβολός.† Κόλιξ. τὸ γαρδούμιον. Κολοβόσ. ὁ παλαιὸς, καὶ ὁ μικρὸς καὶ ὀλίγος. Κολοιόσ. †ο καὶ κλωὸς γράφουσι.† παρὰ τὸ κλῶ ῥῆμα, τὸ φωνῶ, γίνεται κλὸς καὶ πλεοναkappa.1230 σμῷ τοῦ ¯ο καὶ ¯ι κολοιός. κρακτικὸν γὰρ τὸ ζῶον. Κόλλοψ. ἡ χορδὴ, καὶ τὸ νωτιαῖον, καὶ τὸ τραχηλιαῖον δέρμα τοῦ βοός. διὰ τὸ εἰς κόλλαν ἐπιτήδειον ει ναι. Κολοβρόσ. ὁ μικρὸς χοῖρος. Κολοφών. τὸ μέγα καὶ ὑψηλὸν ἀκρωτήριον. λαμβάνεται δὲ καὶ ἐπὶ μεγάλων κακῶν. Κολεὸς καὶ κουλεόσ. ἡ ξιφοθήκη. παρὰ τὸ κεκοιλάνθαι. η παρὰ τὰ κῆλα, ο ἐστι τὰ τόξα καὶ τὰ βέλη.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κωλεὸς δὲ ο νομα τὸ ε ντερον, μέγα. Κολλυβιστήσ. ὁ τραπεζίτης. Κολωνόσ. τόπος ὑψηλός. Κολωόσ. ὁ θόρυβος. παρὰ τὸ κλῶ, τὸ καλῶ, γίνεται ῥηματικὸν ο νομα κλὼς, ὡς σῶ, σὼς, καὶ πλεονασμῷ τοῦ ¯ω κολωός. η παρὰ τὸ κολοιὸς, ο δηλοῖ τὸ ο ρνεον. kappa.1231 Κομμόσ. παρὰ τὸ κόπτω κομμός. κόψω γὰρ ὁ μέλλων, ὡς καὶ παρὰ τὸ γράψω γραμμὸς καὶ ὑπογραμμός. Κομψόσ. ει ρηται μὲν ἡ λέξις ἐπὶ τοῦ πανούργου, καὶ ἐπὶ τοῦ μετρίου, καὶ ἐπὶ τοῦ ἐπιεικοῦς. ἀμφότερα ου ν παρὰ τὸ κάμπτω ῥῆμα. ἀλλ' ἐπὶ μὲν τοῦ πανούργου παρὰ τὸ εὐκάμπηλον καὶ διεστραμμένον τῇ διανοίᾳ· ἐπὶ δὲ τοῦ ἐπιεικοῦς παρὰ τὸ εὐκαμπῆ αὐτὸν ει ναι, οι ον εὐπειθῆ καὶ προσηνῆ. ου τως Εἰρηναῖος ὁ᾿Αττικός. η κομψὸς ὁ πιθανολόγος, ὁ μετὰ ὑπερηφανίας καὶ κόμπου ῥητορεύων. Κομπαστήσ. ψεύστης. Κόμποσ. ἡ κενοδοξία. παρὰ τὸ κενὴν ο πα ε χειν, ο ἐστι φωνήν. Κομποῤῥήμων. ὁ κενόδοξα λέγων. Κόμαροσ. ει δος φυτοῦ. Κομενταρήσιοσ. χαρτουλάριος. Κόναβοσ. ψόφος· η χος. παρὰ τὸ τὴν βοὴν κινεῖν. Κόνδυλοσ. παρὰ τὴν κάμψιν τῶν δακτύλων. kappa.1232 οἱονεὶ κάνδυλοι ο ντες. περὶ αὐτοὺς γὰρ ἡ κάμψις τῶν δακτύλων ἐγγίνεται. η κένδυλος τὶς ω ν, ὁ εἰς τὰ κενὰ δυόμενος τῶν ῥαπιζομένων. κενὰ δὲ σαρκῶν τὰ μέρη ταῦτα. Κονιορτόσ. ὁ χοῦς. παρὰ τὸ ο ρω, τὸ διεγείρω, ὁ μέλλων ο ρσω, αἰολικῶς. ῥῆμα ο νομα ὀρτὸς, ὡς κείρω κορμὸς, καὶ ἐν συνθέσει μετὰ τοῦ κόνις κονιορτὸς, ὁ τὴν κόνιν ὀρούων καὶ ὁρμῶν καὶ διεγείρων. Κοντόσ. παρὰ τὸ κέντω κοντὸς, ὡς τρέφω τροφός. Κονσουλάριοσ. ὑπατικός. Κόνων. ο νομα κύριον. καὶ κλίνεται Κόνωνος. Κόπισ. σύντομος, ὀξὺς τῷ λόγῳ, η γουν λάλος. Κοπετόσ. ὁ θρῆνος. ἀπὸ τοῦ κόπτεσθαι. Κορύβαντεσ. ε θνος βακχικὸν καὶ μανικόν. παρὰ τὸ κρύβειν τὸν Δία, κρύβαντες καὶ πλεονασμῷ τοῦ ¯ο κορύβαντες. η οἱ τὴν κόρην καταβάντες ἀναγαγεῖν καὶ μὴ ὑποστρέφειν. Κορύβαντες δέ εἰσι δαίμονες τινὲς φυλάσσειν ταχθέντες τὸν Δία. kappa.1233 Κόρταφοσ. παρὰ τὴν κόρσην ει ναι κόρσαφος καὶ κόρταφος, καὶ ἐν ὑπερβιβασμῷ κρόταφος. η ο τι τῆς κόρσης καὶ τῆς κεφαλῆς ἁφὴ ἐστί. Κορυθαίολοσ. ὁ τὴν κόρυθα εὐκίνητον ε χων η ποικίλην. ε στι γὰρ αἰόλλω τὸ κινῶ καὶ συνεχῶς στρέφω. η ἀπὸ τοῦ αἰόλος, ὁ ποικίλος. Τυδεὺς κορυθαίολος. καί· κορυθαίολος Εκτωρ. Κορβανᾶσ. ὁ θησαυρός. Κορβάν. οὐκ ε στιν ἡ δωρεὰ καὶ ἡ προῖξ, ἀλλὰ κυρίως ἡ προσφορὰ λέγεται. ου τως ὁ α γιος Κύριλλος. Κόροιβοσ. ὁ μωρός. ἀπὸ τοῦ Κοροίβου, τινὸς μετροῦντος τὰ κύματα. Κορδυλησμόσ. ἡ περιβολή. Κορυφαῖοσ. ε νδοξος, μέγας. καὶ κορυφαιότατος, ὁ ἐξοχώτατος. Κόρβουσ. τοὺς κόρακας λέγουσιν οἱ῾Ρωμαῖοι. Κόσυμβοσ. κροσσὸς, η ὁ ἀνάδεσμος. kappa.1234 Κόσσοσ. ῥωμαϊστὶ μαξίλλα, γραικιστὶ δὲ, ῥάπισμα. Κόσμοσ. καλλωπισμὸς η σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ. κόσμος παρὰ τὸ ε χειν ἐν ἑαυτῷ πάντα κεκοσμημένα καὶ διατεταγμένα. η παρὰ τὸ κάζω, κάσω, κέκασμαι, κασμὸς, ῥηματικὸν ο νομα, καὶ μεταθέσει τοῦ ¯α εἰς ¯ο καὶ ἐναλλαγῇ τοῦ τόνου κόσμος. ου τως Φίλων. Κότοσ. ὀργὴ ἐπιτηροῦσα καιρὸν εἰς τιμωρίαν, η ἐναπομένουσα ὀργή. παρὰ τὸ κέω, ο σημαίνει τὸ κεῖμαι, κέημι, ὁ παθητικὸς κέαμαι, κεῖμαι, τὸ τρίτον κεῖται, ῥηματικὸν ο νομα κότος. η παρὰ τὸ κέεσθαι, κεῖσθαι, κότος. Κοτόεισ. ὀργίλος. Κότινοσ. ὁ ἐξ ἀγριελαίας στέφανος. Κότταβοσ. ὁ η χος. Κουροτρόφοσ. παιδοτρόφος. Κούρουσ. νεωτέρους. Κοινωνικούσ. τουτέστι πρᾴους, προσηνεῖς, ἀτύφους, συγκαταβατικούς. ὁ ᾿Απόστολος· εὐμεταδότους ει ναι, κοινωνικούς. kappa.1235 Κόσμον. τοὺς ἐν ἀπιστίᾳ καὶ ἐν ἁμαρτίαις ἀνθρώπους λέγει ὁ᾿Απόστολος· ι να μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. (Θηλυκόν.) Κοίτη. ἡσυχία η στρωμνή. παρὰ τὸ κέω, τὸ κεῖμαι· ὁ παθητικὸς ἐνεστὼς τῶν εἰς ¯μ¯ι κεῖμαι, κεῖται, καὶ ἐξ αὐτοῦ ο νομα ῥηματικὸν κοίτη. Κοίταισ. γυναικείαις ἐπιθυμίαις. Κοιλία. ἀπὸ τοῦ κοίλην ει ναι, η ἀπὸ τοῦ λεαίνειν τὴν τροφὴν καὶ χυλοῦν, χολία καὶ κοιλία. Κοινωνία. ἡ τῶν θείων μυστηρίων μετάληψις, διὰ τὸ τὴν πρὸς Χριστὸν ἡμῖν χαρίζεσθαι ε νωσιν, καὶ κοινωνοὺς ἡμᾶς τῆς αὐτοῦ βασιλείας ποιεῖν. Κοιτίσ. τὸ σπυρίδιον, καὶ ἀγγεῖόν τι. Κολακεία. ε παινος ὑπὲρ τὸ πρέπον. Κολοβότησ. ὀλιγότης.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μικρότης. Κολώνη. †ο χθος.† τόπος. καὶ Κολώνεια, πόλις. Κολοφωνία. ει δος τὶ παρόμοιον πίσσῃ. Κομιδή. ἡ ἐπιμέλεια. παρὰ τὸ κομίζω, τὸ ἐπιμελοῦμαι καὶ περιποιοῦμαι. κομιδή. Κόμη. ἡ θρίξ. παρὰ τὸ κόσμον ει ναι τοῦ σώματος. οἱ δὲ, παρὰ τὸ κομᾷν καὶ ἐπιμελείας ἀξιοῦσθαι. kappa.1236 Κομψεία. σοφιστεία. Κονίστρα. ὁ ἀγών. ἡ παλαίστρα η ἡ κυλίστρα. Κόνυζα. βοτάνη τίς. Κόνισ. χοῦς. κονιορτός. Κονία. ἡ λευκασία. Κόνισ. παρὰ τὸ καίνω, τὸ διακόπτω καὶ διαφθείρω. ἡ εἰς μικρὰ κατακεκομμένη γῆ. Κονίσσαλοσ. κονιορτός. οἱονεὶ ἡ σεσαλευμένη γῆ. Κόπροσ. οἱονεὶ κόπος τὶς ου σα. βαρεῖ γὰρ τὸ περισσὸν καὶ κοποῖ ἐγκείμενον. η χήπορος τὶς ου σα, ἀπὸ τοῦ χεῖσθαι διὰ τοῦ πόρου, κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ ¯χ εἰς ¯κ κόπρος. Κόρινθοσ. ἀπὸ Κορίνθου τοῦ Μαραθῶνος, η ἀπὸ Κορίνθου τοῦ Πέλοπος. Κόρση. ἡ κεφαλή. ἀπὸ τοῦ κορυφοῦσθαι, η ἀπὸ τοῦ κείρεσθαι, ο θεν κορσωτὴρ λέγεται, ὁ τὰς τρίχας κουρεύων. καὶ κόρσαι αἱ τρίχες. Αἰσχύλος· λευκὰς δὲ κόρσας τῇδ' ἐπαντέλλειν νόσῳ. καὶ κόρση, ὁ κρόταφος. Κόρυσ. ἡ περικεφαλαία. καὶ κλίνεται κόρυθος. παρὰ τὸ κάρη, κάρυς καὶ κόρυς. η παρὰ τὸ κόρση γέγονε κόρυς. κόρση δὲ ἡ κεφαλή. καὶ kappa.1237 τὸ κορσοῦσθαι ἐπὶ τοῦ κείρειν ε λεγον οἱ Ιωνες. καὶ κορσωτῆρα τὸν κουρέα. Κορυφή. τὸ μέσον τῆς κεφαλῆς. παρὰ τὸ τῆς κάρας κορυφὴν ει ναι. η παρὰ τὸ κεκρύφθαι αὐτὴν ὑπὸ τῶν τριχῶν, κρυφὴ τὶς ου σα, καὶ πλεονασμῷ τοῦ ¯ο κορυφή. κορυφὴ καὶ τὸ α κρον τοῦ ο ρους. Κορώνη. τὸ ο ρνεον. παρὰ τὸ καῦρον, ο σημαίνει τὸ κακόν. κορώνη καὶ ὁ τῆς θύρας κρίκος. τίθεται ἡ λέξις καὶ ἐπὶ τοῦ ἐπικαμποῦς τόξου. κορωνὶς δὲ, ἐπὶ τῶν νεῶν. σὺν νηυσὶ κορωνίσιν. ο ἐστι καμπυλοπρύμνοις. διὰ τὸ εἰς υ ψος ἀνέχειν. ἐκ τοῦ κάρα. Κορωνίσ. τὸ α κρον η τὸ τελευταῖον τῆς οἰκοδομῆς ἐπίθεμα. κυρίως δὲ ἡ ἀκρώρεια. Κόρη. ἐπὶ τοῦ ὀφθαλμοῦ. οἱονεὶ χόρη τὶς ου σα, ἀπὸ τοῦ δι' αὐτῆς χεῖσθαι τὸ διορατικὸν πνεῦμα. κόρη δὲ, ἡ παρθένος, ἀπὸ τοῦ κορεῖν, τὸ καλλωπίζειν, ο καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ ει ρηται. η ἡ καθαρὰν καὶ α φθορον ε χουσα τὴν ἡλικίαν. κορεῖν γὰρ τὸ καθαίρειν, ε νθεν καὶ νεωκόρος. kappa.1238 Κοριθαλίσ. ἡ δάφνη. καὶ κόρος, ὁ κλάδος, καὶ κορεῖν, τὸ τοῖς κλάδοις σαροῦν. Κορύνη. ἡ ῥάβδος, η ῥόπαλον. οἱ δὲ ξίφος. ε τεροι ξύλον ἐπικαμπές. ἡ κατὰ τὸ κάρα νεύουσα. Κόρυζα. κατάῤῥους. ἀρχὴ η πλῆθος μυξῶν. Κοσμιωτάτη. εὐγενεστάτη, εὐκαλλώπιστος. Κοσμογένεια. ἡ κοσμοποιΐα. Κοτύλη. ο που ἐγκλίνεται ἡ κεφαλὴ τοῦ μηροῦ. παρὰ τὴν κοιλότητα τὴν ἐν αὐτῷ γινομένην. λέγεται κοτύλη τὸ κοῖλον τῆς χειρός. ο θεν κοτυλήρυτον, τουτέστι τοσοῦτον τῷ πλήθει, ω στε καὶ κοτύλην ἀρύεσθαι. παρὰ τὸ ἀρύω, ἀρύσω, ἀρυτὸν, καὶ ἐν συνθέσει κοτυλήρυτον. λέγεται καὶ κοτύλη ει δος ποτηρίου καὶ μέτρου. κυρίως δὲ τὸ ὁποσοῦν μέτρον κοτύλην ε λεγον οἱ ἀρχαῖοι παρὰ τὴν κοιλότητα. Κομμώτρια. ἐμπλέκτρια. Κοῦραι. παρθένοι, νεάνιδες. Κουριδίησ. παρθενικῆς. Κουστωδία. τὸ στράτευμα. ο περ οἱ ῾Ρωμαῖοι βάνδον καλοῦσι. kappa.1239 Κοινωνία. ἡ ἐλεημοσύνη. παρὰ τῷ Αποστόλῳ· εὐδόκησαν γὰρ Μακεδονία καὶ Αχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν῾ Ιερουσαλήμ. (Οὐδέτερον.) Κόϊ. μίμημα φωνῆς χοίρου. Κοινὸν γένοσ. τὸ τὰς μὲν πτώσεις ε χον τὰς αὐτὰς, ὑποτασσόμενον δὲ ἰδίοις α ρθροις, οι ον ὁ α νθρωπος καὶ ἡ α νθρωπος, ὁ κύων καὶ ἡ κύων, ὁ ι ππος καὶ ἡ ι ππος. Κοινόν. η τὸ ἐν πολλοῖς θεωρούμενον, η τὸ πολλῶν κατηγορούμενον. κοινὸν πάλιν τετραχῶς· η εἰς τὰ μέρη διαιρετὸν, ὡς ἡ κληρουχουμένη γῆ· η τὸ ἀδιαιρέτως ἐν χρήσει κοινῇ λαμβανόμενον, οὐχ α μα δὲ, ὡς ει ς δοῦλος, ει ς ι ππος δύο δεσποτῶν· η τὸ ἐν προκαταλήψει ἰδιοποιούμενον, εἰς δὲ τὸ κοινὸν ἀναπεμπόμενον, ὡς ὁ ἐν θεάτρῳ τόπος η ὁ ἐν βαλανείῳ· η τὸ ἀδιαιρέτως εἰς κοινὴν καὶ τὴν αὐτὴν ε ννοιαν προβαλλόμενον, ὡς ἡ φωνὴ τοῦ κήρυκος. kappa.1240 Κοινὸν καὶ καθόλου ἐστὶν ἡ οὐσία, η γουν ἡ φύσις. Κοινόν. τὸ ἀκάθαρτον. Κοινεῖον. πορνεῖον· καπηλεῖον. Κοινοδήμιον. τὸ δημόσιον. Κοκκύμηλα. ει δος ὀπώρας. Κόκκυ. ἐπιφώνημά τι. Κοκκότιον. ὁ δῆμος ἑλληνιστὶ, ἁπάσης οἰκουμένης. Κόλον. τὸ κεκλασμένον δόρυ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κολοβόν. ἐλλιπές. Κόλυθρον. ει δος συκῆς. Κόλυβα. σῖτος ἑψητός. Κόλον. τὸ μὴ τέλειον, ἀλλὰ κολοβόν. Κολλούριον. ἀπὸ τοῦ κολοβόν. κόλλιξ γὰρ ὁ α ρτος. Κόμμι. τὸ ψιμμίθιον. Κομμωτικόν. ἐπίπλαστον. Κομίδιον. τὸ τοῦ δένδρου δάκρυον. Κομμονιτήριον. ε γγραφον ἐνταλτήριον εἰς ὑπόμνησιν κατὰ῾Ρωμαίους. kappa.1241 Κονσίστριον. κατὰ Λατίνους θεῖον συνέδριον. Κόνδυ. ει δος ποτηρίου. *Κόνειον. βοτάνη ὀλεθρία.* Κόριον. τὸ μικρὸν κοράσιον. λέγεται δὲ καὶ τὸ μάννα, ὡς λευκοειδές. Κοράλλιον. λίθος θαλάσσιος. Κορδύλημα. τὸ περίβλημα. Κόρημα. τὸ σάρωμα. Κόσμιον. ευ τακτον. Κότυ. τὸ ταχύ. Κοτυάειον. τόπος. Κοτυλήρυτον. τουτέστι τοσοῦτον ἐν πλήθει, ω στε καὶ κοτύλῃ ἀρύεσθαι. παρὰ τὸ ἀρύω, ἀρύσω, ἀρυτὸν, καὶ ἐν συνθέσει κοτυλήρυτον. η ο σον ἡ παλάμη κρατεῖ. kappa.1242 Κουροτρόφον. τὸ τρέφον τοὺς νέους καὶ γενναίους ι ππους. Κουρόσυνα. ἡ ἐν χρῷ κουρεία τῆς γενειάδος. *Κουράτωρασ. φροντιστάς. διοικητάς.* Κουρατωρεῖον. ἐν ῳ ὁ κουράτωρ. Κοχλιάριον. παρὰ τὸ κόχλος κοχλάριον καὶ πλεονασμῷ τοῦ ¯ι κοχλιάριον. Κοχλίδιον. ω σπερ ἀπὸ τοῦ κοιλία κοιλίδιον, ου τως καὶ ἀπὸ τοῦ κοχλίας κοχλίδιον. Κορκορύγημα καὶ κορκορυγή. ὁ θόρυβος τῆς γαστρός. τοῦ Ψελλοῦ· κορκορυγὴ ὁ θόρυβος· ὁ δόλιος δὲ κέρκωψ. κορδακισμὸς ἡ ο ρχησις· κωμάζει κῶμον ᾳ δει. †Κοττάβια. τὰ ὑπολύχνια.† Κογχύλια. τὰ ο στρεα. kappa.1243 (῾Ρῆμα.) Κοινολογεῖται. διαλέγεται κοινῇ. Κοινῶ. τὸ μολύνω. καὶ κοινόω. Κοισυροῦται. καλλωπίζεται. Κοιρανέων. διατάσσων, ἐπερχόμενος, καὶ τὸ τοῦ κοιράνου ε ργον ἐπιτελῶν. Κοιμῶμαι. ἀπὸ τοῦ κῶ τοῦ σημαίνοντος τὸ ὑπνῶ γίνεται κείω, ὡς θῶ, θείω, σῶ, σείω. ὁ παθητικὸς ἐνεστὼς κεῖμαι κατὰ συγκοπὴν, ἀφ' ου ο νομα ῥηματικὸν κοίμη, ἐξ ου ῥῆμα δευτέρας συζυγίας τῶν περισπωμένων κοιμῶ, κοιμᾷς· τὰ γὰρ ἀπὸ τῶν εἰς η θηλυκῶν γινόμενα ὀνόματα δευτέρας συζυγίας εἰσὶν ὡς ἐπὶ τὸ πλεῖστον. ὁ δὲ Ωρος ὁ Μιλήσιος παρὰ kappa.1244 τὸ κείω κοιμὸς, ὡς λείπω, λοιμὸς, καὶ ῥῆμα κοιμῶ. Κοκκύζω. ἐπὶ ο ρνιθος. κωκύω δὲ, τὸ θρηνῶ, ἐπὶ ἀνθρώπου, μέγα. Κολαβρισθείησαν. περιῤῥαγείησαν. χλευασθείησαν. ἐκτιναχθείησαν. εὐτελεῖς νομισθείησαν. ἐν τῷ᾿Ιὼβ ἡ λέξις αυ τη. Κολάπτει. γλύφει. Κολοβεῖ. ἐπικόπτει. ἀκρωτηριάζει. Κολαφίζειν. πυγμῇ παίειν. παρὰ τὸ κωλύειν τὸ φῶς η τὸ τυφλοπανιάζειν. Κολούω. τὸ βλάπτω. Κολυμβᾶν. οἱ Δωριεῖς κολυφᾷν λέγουσιν. ἀπὸ τοῦ κόλους, ο ἐστι κολοβοὺς, φαίνεσθαι τοὺς ἐν υ δατι καὶ μὴ ὁλοτελεῖς. kappa.1245 Κομείτην. ἐπιμελείας ἠξίουν. ἀπὸ τοῦ κομέω κομῶ, κομέεις κομεῖς. Κομμεῖν. τὸ τὸ σῶμα ὡραΐσαι. Κομμωτίζω. ἐπιμελοῦμαι τὰς παρειὰς τῷ ψιμμιθίῳ. κόμμι γὰρ τὸ ψιμμίθιον. Κομῶ. τὸ θάλλω. καὶ κομόωντες. Κομᾶ. γαυριᾷ, μέγα φρονεῖ. Κομίζω. τὸ ἐπιμελοῦμαι καὶ περιποιοῦμαι. παρὰ τὸ κομῶ, ο θεν καὶ ἱπποκόμος, ὁ ἐπιμελούμενος τῶν ι ππων. Κομψεύεται. σεμνύνεται, ἀλαζονεύεται. Κονάβησαν. η χησαν. Κονίζεσθαι. ἀγωνίζεσθαι. η κονιορτοῦσθαι. Κονίζω. τὸ ἀγωνίζομαι, καὶ παρασκευάζω πρὸς τὸν πόλεμον. ἀπὸ τοῦ κόνις. οἱ γὰρ ἀρχαῖοι, ο τε ε μελλον ἀγωνίζεσθαι, εἰς χεῖρας αὐτῶν kappa.1246 πτύοντες, κόνιν προσελάμβανον, διὰ τὸ ἰσχυρῶς κρατεῖν. †Κοικύλλει. περιτρέπει.† †Κοισυροῦσθαι. ἐπὶ τῆς κοίτης σύρεσθαι.† †Κοννῶ. τὸ νοσῶ.† †Κομπτεῖ. τρυφᾷ, θεραπεύει.† Κονίσουσιν. ἀντὶ τοῦ φεύξονται. εὐρὺ κονίσουσι πεδίον– ἐκ τοῦ παρακολουθοῦντος νοεῖται τὸ φεύξονται· οἱ γὰρ φεύγοντες κατὰ δρόμον ἐγείρουσι κόνιν. ου τως ευ ρον ἐγώ. Κονίω. τὸ ἀγωνίζομαι. ω σπερ ἀπὸ τοῦ μῆτις μητίω, καὶ δῆρις δηρίω, καὶ μῆνις μηνίω, ου τως καὶ ἀπὸ τοῦ κόνις κονίω. Κονίησι. κονιορτὸν ποιήσει. καὶ κονίσουσιν ὁμοίως. kappa.1247 Κονιάω. τὸ τοῖχον χρίω. Κορεῖν. τὸ σαίρειν, καὶ φιλοκαλεῖν παρὰ᾿Αττικοῖς, η βίβλους κοσμεῖν. Κορδακίζει. αἰσχρῶς ὀρχεῖται. Κορθύεται. αυ ξεται, κορυφοῦται. ἀπὸ τοῦ κορύσσω, η ἀπὸ τοῦ κόρυθος. ε νιοι δὲ ἀπὸ τοῦ σωρεύεσθαι η κουσαν, κόρθυς γὰρ ἡ σωρός. Κοτταβίζειν. ἀποσπογγίζειν. η τὸ ἠχεῖν. Κουρήσατε. ἐπιμελήθητε. Κουριῶ. ἐπιθυμῶ κουρευθῆναι. Κουρίζω. νέα φρονῶ. κοῦροι γὰρ οἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νέοι. Κόχλω. τὸ γυρίζω. ἐξ ου καὶ κοχλίας. τὸ δὲ κοχλίας παρὰ τὸ ὀλῶ, τὸ συστρέφω. γίνεται ὀλίας, καὶ πλεονασμῷ τοῦ ¯κ¯χ κοχλίας. Κοβαλεύω. ληστεύω. πανουργεύω. Κομιστέον. δεῖ κομίζειν. Κορυβαντιῶν. μέγα κτυπῶν. η ὀρχούμενος. η μαινόμενος. Κοινωνείτω. μεταδιδότω.᾿Απόστολος· κοινωkappa.1248 νείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν. (῾Επίῤῥημα.) Κομιδῆ. ἀντὶ τοῦ λίαν η παντελῶς. Κοσμίωσ. σεμνῶς. Κολαφιστικῶσ. κολάφισμά ἐστι κοίλης ἁφῆς πληγὴ κατὰ τοῦ τραχήλου γινομένη λεληθότως, καὶ ψόφον ἐμποιοῦσα. Τὸ Κ μετὰ τοῦ Ρ. (᾿Αρσενικόν.) Κρατύσ. ἀπὸ τοῦ κράτος, κρατὺς, ὡς πλάτος, πλατύς. Κραδοφάγοσ. συκοφάγος. κράδη γὰρ ἡ συκῆ. διὰ τὸ συνεχῶς κραδαίνεσθαι. Κράνειοσ. καρπός. Κραιπνόσ. ὁ ταχύς. ἀπὸ τοῦ κάπω, τὸ πνέω, ο θεν καὶ κάπος, τὸ πνεῦμα, καὶ καπνὸς, τὸ ἐκ ξύλων καυθέντων ἀναπνεόμενον πνεῦμα. τοῦτο kappa.1249 κατὰ πλεονασμὸν τοῦ ρ καρπνὸς καὶ καθ' ὑπερβιβασμὸν καὶ πλεονασμὸν τοῦ ι κραιπνός. ου τω Φίλων. Κρείων. ὁ βασιλεύς. Κρείσσων. ὁ βελτίων. ὡς ἀπὸ τοῦ τάχα γίνεται ταχίων, καὶ ὁ τρίτος τύπος θάσσων, ου τως καὶ παρὰ τὸ κρατὺς γίνεται κρατίων, καὶ ὁ τρίτος τύπος κράσσων, καὶ τροπῇ τοῦ ¯α εἰς ¯ε κρέσσων, καὶ πλεονασμῷ τοῦ ¯ι κρείσσων. οὐδέποτε γὰρ πρὸ τῶν δύο ςσ εὑρίσκεται δίφθογγον, οι ον φρίσσω, ἀΐσσω, πλὴν τοῦ κρείσσων, καὶ τοῦ ῥήματος τοῦ ἐξ αὐτοῦ γινομένου. χωρὶς καὶ τοῦ γλαύσσω, τὸ φωτίζω. Κρητήρ. ὁ κρατήρ. Κνημνόσ. παρὰ τὸ κρεμῶ κρεμὸς, καὶ τροπῇ τοῦ ¯ε εἰς ¯η καὶ πλεονασμῷ τοῦ ¯ν κρημνός. η παρὰ τὸ κάρα καὶ τὸ νεύω κάρανος καὶ κρημνὸς, ὁ ἐπὶ κάρα νεύων. κριμνὸς δὲ, ἡ κριθὴ, ι. Κρίβανοσ. ἡ κάμινος, ε νθα ω πτουν τοὺς α ρτους. παρὰ τὸ κρῖ καὶ τὸ βαῦνος, ἡ κάμινος. Κρίκοσ. τὸ κρικέλλιον. παρὰ τὸ κλείω, ἀποβολῇ τοῦ ε κλίκος, ὁ πάντοθεν περικεκλεισμένος, καὶ κρίκος, τοῦ ¯λ τραπέντος εἰς ¯ρ. ε στι δὲ καὶ κίρκος ἐν ὑπερθέσει. ὡς κραδία καρδία. Κριόσ. ω σπερ λέγεται κρείων, ὁ βασιλεὺς, ου τως καὶ κριὸς, ὁ ἐξέχων τῆς ποίμνης. ὁ δὲ῾Ηρωkappa.1250 διανὸς φησὶ παρὰ τὸ κεκρίσθαι τὰς τρίχας· διαφέρουσι γὰρ αἱ τρίχες τοῦ κριοῦ τῶν α λλων. Κριτήσ. ἀπὸ τοῦ κρίνω, τὸ χωρίζω καὶ διακρίνω. ε νθεν καὶ ἀκριτόμυθος, ὁ μὴ διακρίνων τὰ λεγόμενα. Κριμνόσ. ἡ κριθή. Κριτόσ. ὁ κατάκριτος, ὁ κρινόμενος καὶ πάσχων. Κριγμόσ. ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος. Κροσσόσ. τὸ κράσπεδον. κρωσσὸς δὲ, ἡ ὑδρία η τι α γγος α λλο εἰς τὸ ἐπιχέαι υ δωρ, μέγα. παρὰ τὸ κρῶ, τὸ ἐπιχέω. τοῦτο γέγονε παρὰ τὸ κερῶ, κατὰ συγκοπὴν κρῶ. Κροκωτόσ. ε νδυμα ποικίλον. τὸν κροκωτὸν ἡ γαλῆ. Κρόκοσ. παρὰ τὸ ἐν τῷ κρύει ε χειν τὴν αυ ξησιν. οἱονεὶ κρύσκιός τις ω ν. Κροκόδειλοσ. παρὰ τὸ δειλὸς καὶ τὸ κρόκος γίνεται κροκόδειλος. καὶ γὰρ ὁ χερσαῖος κροκόδειλος φοβεῖται τὸν κρόκον, ο θεν καὶ οἱ μελιτουργοὶ, ἐπειδὰν ἀνέρχεται καὶ ἐσθίει τὸ μέλι, ἐπιτιθέασιν ε ξω κρόκον, ο νπερ ὁρῶν φεύγει. ὁ δὲ θαλάσσιος, παρὰ τὸ δειλαίνεσθαι τὰς κρόκας, ο σημαίνει τοὺς αἰγιαλούς· οἱονεὶ ὁ περὶ τὴν γῆν δειλός. ὁ δὲ κροκόδειλος ζωΰφιόν kappa.1251 ἐστι μικρόν. γράφεται καὶ κρεκόδειλος κατὰ ἐναλλαγὴν τῶν στοιχείων. Κρόταφον. τὸν μήνιγγα λέγει. ὁ α μα τῇ κρούσει τὸν τάφον φέρων. η ο τι τῆς κόρσης καὶ τῆς κεφαλῆς ἐστὶν ἁφή. κρόταφος δὲ κυρίως ἐπὶ τῶν ζώων τῶν κερατοφόρων, διὰ τὸ ἐξ αὐτῶν τῶν μερῶν φύεσθαι τὰ κέρατα· οἱονεὶ κερατοφόροι τινὲς ο ντες. η ο τι κρούουσι τὴν ἁφὴν παλλόμενοι, οι ον κρούταφοι. ὁ δὲ᾿Απολλόδωρος, ο τι συγκεκρότηνται ἀμφοτέρωθεν. ὁ δὲ̓ Απίων, ο τι τοῦ κροσσοῦ α πτονται, τουτέστι τῆς κεφαλῆς. Κρῆτεσ. παρὰ τὸ ἐπὶ κρέασι βιοτεύειν· κυνηγετικοὶ γάρ. ὁ δὲ̓ Απολλόδωρος παρὰ τὸ ευ κεκρᾶσθαι τὸν περὶ τὴν νῆσον ἀέρα. Κρυεροῦ. φοβεροῦ. καὶ κρυόεντος, φοβεροῦ, ψυχροῦ. συμβαίνει γὰρ τοὺς φοβουμένους συγκρούειν τοὺς ὀδόντας. Κρυμόσ. αὐτὸ τὸ πάγος. παρὰ τὸ κρύπτω, κρυμμὸς, καὶ ἀποβολῇ τοῦ ¯μ κρυμός. ἐν χειμερίῳ γὰρ καιρῷ ἐπικρυπτόμεθα. Κρυψίνουσ. πανοῦργος, δόλιος. Κρύσταλλοσ. τὸ πεπηγὸς υ δωρ. Κρουνόσ. ε στι ῥῆμα κρῶ μονοσύλλαβον, πλεοkappa.1252 νασμῷ τοῦ ¯υ κρούω, ο περ γίνεται ἀπὸ τοῦ κεkappa.1252 ρῶ, κρῶ. ἐκ τούτου γίνεται κρονὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ κρουνός. Κρῶποσ. ἡ ὑδρία. Κρόκασ. τοὺς αἰγιαλούς. Κρωβύλοσ. ει δος πλέγματος τῶν τριχῶν ἀπὸ ἑκατέρων εἰς ὀξὺ καταλῆγον. ἐνέρσει κρωβύλων ἀναδούμενοι. Κραντῆρασ. τοὺς ὀδόντας φησὶν ὁ῾Ιπποκράτης. (Θηλυκόν.) Κράμβη. τὸ λάχανον. τινὲς κοράμβη, ἡ ἀμβλύνουσα τὰς κόρας. βέλτιον δὲ ἡ τῷ κόρῳ ἀναβαίνουσα. Κραναῆσ. τραχείας, σκληρᾶς, κάρηνα ἐχούσης. παρὰ τὸ κραναὸν, τοῦτο παρὰ τὸ κράνιον, ο πέρ ἐστι καὶ τραχὺ καὶ ὀστῶδες. Κρᾶσισ. σωμάτων παράθεσις, ποιοτήτων ἀντέμβασις. η σύντευξις σωμάτων, τὰς ἐν αὐτοῖς ἀλλήλας ἀντικιρνῶντος ποιότητας. η κρᾶσις ἐστὶν οὐσιῶν ἀλλήλαις ἑτεροία συνδρομὴ, καὶ τῶν περὶ αὐτὰς ποιοτήτων ἀντεμβολή. Κράδη. ἡ συκῆ. παρὰ τὸ συνεχῶς κραδαίνεσθαι. Κραιπάλη. τρυφὴ, μέθη. η ὁ ἐκ πολλῆς οἰνώσεως ἐπακολουθῶν παλμὸς καὶ κλόνος τῇ κεφαλῇ. παρὰ τὸ κάρα καὶ τὸ πάλλω, τὸ κινῶ, καραπάλη, καὶ πλεονασμῷ τοῦ ¯ι κραιπάλη. kappa.1253 Κρεοδοσία. κρεωδαισία δὲ ἡ κρεωφαγία, μέγα καὶ δίφθογγον. Κρείουσα. ἡ βασίλισσα. παρὰ τὸ κρατείνω. ὡς κιχῶ, κιχείω, καὶ ὀλῶ, ὀλείω. καὶ τὸ θηλυκὸν κρατείουσα, καὶ συγκοπῇ κρείουσα. καὶ κρείων ὁ βασιλεύς. †Κράτεια. τόπος. τὸ δὲ κύριον ¯ι.† †Κρανεία. δένδρον. κρανία δὲ, αἱ κεφαλάι.† †Κρατῆρα. σκύφον· σίτλον.† †Κροιόσ. κολοβός.† †Κροκώδησ. δεσμός.† †Κρόταλοσ. λάλος.† †Κρυβηλόσ. πύργος.† †Κρωσσόσ. κεράμιον. κρατήρ.† Κρηπίσ. θεμέλιον· ὑποβάθρα. καὶ ει δος ὑποδήματος. παρὰ τὸ ε ρπειν ἑρπὶς, καὶ πλεονασμῷ τοῦ ¯κ καὶ ὑπερβιβασμῷ καὶ τροπῇ τοῦ ¯ε εἰς ¯η κρηπὶς, δι' η ς ε ρπειν δυνάμεθα. Κρήνη. πηγή· ἐκροὴ υ δατος. Κρίσεωσ. δοκιμασίας. Κρίσισ. τῶν ἐφ' ἡμῖν ο ρεξις διαγνωστική. kappa.1254 Κρίσισ. ἡ κόλασις ἐν τῷ εὐαγγελίῳ. καὶ εἰς κρίσιν οὐκ ε ρχεται, τουτέστιν εἰς κόλασιν. †Κριγή. ὁ γινόμενος τοῖς ὀδοῦσι τῶν ἀποθνησκόντων τρισμός.† Κριθή. παρὰ τὸ προκριθῆναι τῶν ἀκροδρύων· ἀκρόδρυα γὰρ η σθιον πρὸ τῶν καρπῶν. η παρὰ τὸ διακρίνεσθαι τῆς α χνης, η γουν διαχωρίζεσθαι. κρίνει ἐπειγομένων ἀνέμων–. Κρόκη. παρὰ τὸν κρούσω μέλλοντα, ἀποβολῇ τοῦ υ κρόκη· ῃ τὸ κρούεσθαι διόλου παρακολουθεῖ. Κρόσσασ. οἱ μὲν τὰς κεφαλίδας τοῦ τείχους, α λλοι τοὺς προμαχῶνας.᾽Αρίσταρχος κλίμακας τινὰς η ο ργανα τινὰ πρὸς τειχομαχίαν ἐπιτήδεια. οι ον καὶ τὰς μὲν προκρόσσας κλιμακηδόν. α λλοι δὲ τὰ ἀποκρηδώματα. καὶ γὰρ κροσσοὺς τὰ α κρα τῶν ἱματίων λέγουσι. ο καὶ βέλτιον. οἱονεὶ κορσοὺς τινὰς ο ντας, παρὰ τὴν κόρσην, τὴν κεφαλήν. ἡ μεταφορὰ ἀπὸ τῶν πλοκάμων, μεταθέσει τοῦ ρ, κρόσσας. ου τω Φίλων ἐν τῇ περὶ᾽Ιάδος διαλέκτῳ. kappa.1255 Κρυόεσσα. ψυχρὰ, φοβερά. ἀπὸ τοῦ κρύος, κρυόεις καὶ κρυόεσσα. Κρῶμνα. πόλις †Παφλαγονίας.† Κρωπία. πόλις. (Οὐδέτερον.) Κράσπεδον. τὸ τοῦ ἱματίου α κρον. ε νιοι δὲ τὸ θυσανωτὸν τοῦ χιτῶνος, ο ἐστι τὸ κροσσωτόν. παρὰ τὰ α κρα καὶ τὸ πέδον, κατὰ ἀφαίρεσιν τοῦ α, καὶ πλεονασμὸν τοῦ ς, κράσπεδον. Κράμα. μίγμα. κέρασμα. †Κρεῖον. τὸ δεκτικὸν τῶν κρεῶν ἀγγεῖον.† Κράνοσ. περικεφαλαία. Κραταιγυίαλον. τὸ κρατοῦν τὰ μέλη. Κρανίον. ἀπὸ τοῦ κάρα καρανεῖον καὶ κρανεῖον, καὶ κατ' ἐκβολὴν τοῦ ε κρανίον. Κρατερόν. ἰσχυρόν. Κραταίωμα. ἰσχὺς, ἀσφάλεια. Κράτιστον. ἰσχυρότατον. Κρέασ. παρὰ τὸ κρατύνειν καὶ ἰσχυροποιεῖν τὸ σῶμα. Κρεοδόχον. τὸ δεχόμενον τὰ κρέα ἀγγεῖον. Κρειῶν. τῶν κρεάτων. παρὰ τὸ κρεάτων γέγονε ἀποβολῇ τοῦ τ κρεάων, καὶ κατὰ κρᾶσιν κρεῶν, καὶ πλεονασμῷ τοῦ ι κρειῶν. οὐκ ε στι δὲ μετοχὴ, ἀλλ' ο νομα. ου τως Ωρος ὁ Μιλήσιος. kappa.1256 Κρήγυον. ἀληθὲς, ἀγαθόν· ὑγιές. –οὐδέποτέ μοι τὸ κρήγυον ει πας. παρὰ τὸ κῆρ καὶ τὸ ἡδὺ γέγονεν κηρήδυον καὶ κατὰ συγκοπὴν κρήδυον καὶ τροπῇ τοῦ τ εἰς γ κρήγυον, τὸ τὴν ψυχὴν ἡδύνον. †Κρησέριον. τὸ κόσκινον.† Κρήδεμνον. τὸ κεφαλοδέσμιον. παρὰ τὸ κάρη, ο σημαίνει τὴν κεφαλὴν, καὶ τὸ δέω, τὸ δεσμεύω, καρήδεμνον καὶ ἐν συγκοπῇ κρήδεμνον. †Κρίμνα. βρώματα.† Κρησφύγετον. τὸ καταφύγητον. Κρῖ. ἡ κριθή. –κρῖ λευκὸν ἐρεπτόμενοι– ο ἐστιν ἐσθίοντες. η ἀπὸ τοῦ κριθὴ γέγονε κατὰ ἀποκοπήν. η ἀπὸ τοῦ κρίμνον, τοῦ σημαίνοντος τὸ παχὺ τοῦ ἀλεύρου, κατὰ συγκοπὴν κρῖ. Κρισσαῖον. πέλαγος. Κρίμα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ κατάκριμα καὶ ἡ καταδίκη. ὡς τό· κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. κρίμα τὸ δίκαιον, ὡς τό· κρίμα δίκαιον κρίνατε. καὶ οἱ ἐξητασμένοι τοῦ θεοῦ λόγοι. Κρησφύγeta. φρούρια τινὰ ου τω λεγόμενα, ἐν οι ς ἐκρύπτοντο οἱ νησιῶται τὸν Μίνωα φεύγοντες. παρὰ τὸ Κρῆτα αὐτὸν ει ναι. τὸ ου ν κρησφύγετον ε λεγον χρήσιμον τοῖς φεύγουσιν εἰς τὸ κρύπτεσθαι. kappa.1257 †Κροκύλιον. πόλις.† Κρόμυον. παρὰ τὸ τὰς κόρας μύειν ἐσθιόντων αὐτό. δριμὺ γάρ ἐστι. †Κροκύλειον. κροκίδιον.† †Κρύοσ. ψύχος· παγετός.† †Κρώσσιον. ἡ στάμνος.† Κρῶφι καὶ Μῶφι. ὀνόματα ὀρῶν. Κρύοσ. παρὰ τὴν γενομένην κροῦσιν τῶν ὀδόντων ἐν τῷ ψύχει, κροῦος καὶ κρύος. Κρυπτάδια. οἱονεὶ κρυφαῖα, λαθρίδια. ἐκ τοῦ κρύπτω κρυπτάδιον. Κρέασ. παρὰ τὸ κείρω, τὸ κόπτω. (Ῥῆμα.) Κρατῶ. παρὰ τὸ κράτος· τοῦτο παρὰ τὸ κάρα· ὁ γὰρ κρατῶν καὶ α ρχων ἐκεῖνος ἐστὶ κεφαλή. Κραδαίνει. τὸ σείει. Κρατυνθέν. βεβαιωθέν. Κραίνω. τελειῶ, ἀποπληρῶ. παρὰ τὸ κάρα καραίνω, ὡς χεῖμα χειμαίνω, καὶ συγκοπῇ κραίkappa.1258 νω. κυρίως δὲ ἡ λέξις ἐπὶ τοῦ τελειοῦσθαι καὶ τῇ κεφαλῇ κάτω νεύειν τὸν ὑποσχόμενον. Κρεοδοτῶ. κρεωδαιτῶ δὲ μέγα καὶ δίφθογγον. Κρεωνομῶ. Κρητίζει. ψεύδεται. ψεῦσται γὰρ οἱ Κρῆτες. Κρηφαγεῖν. τὸ κρέας ἐσθίειν. Κρήμνη. ἐκρήμνα. ἐκ τοῦ κρήμνημι, κρημνίζω. Κρηῆναι καὶ κρήηνον. ἀντὶ τοῦ τελείωσον καὶ πλήρωσον. ε στι κραίνω, κρανῶ, ε κρανα, τὸ ἀπαρέμφατον κρᾶναι, καὶ κρῆναι, ἰωνικῶς, καὶ πλεονασμῷ τοῦ ¯η κρηῆναι· τὸ προστακτικὸν κρῆνον, κρήηνον. Κρίνοντεσ. ἀντὶ τοῦ κατακρίνοντες. †ὡς ἐν τῷ εὐαγγελίῳ· κρίνοντες† τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Κρίνε. ἀντὶ τοῦ χώριζε. Κρίκε. συνεσχέθη. η ἀντὶ τοῦ ἐψόφησεν, η χησεν, ποιὸν η χον ἀπετέλεσεν. ἀπὸ τοῦ θέματος τοῦ κρίζω. καὶ κριγὴ ῥηματικὸν ο νομα, οι ον· κριγὴ δὲ νεκρῶν α γγελός τε καὶ κήρυξ. kappa.1259 Κροτήσατε. ἀλαλάξατε, βοήσατε. Κροαίνειν. τοῖς ποσὶ κρούειν, πηδᾶν. κροαίνειν κατὰ πεδίου. †Κρυαίνει. ἱμείρει.† †Κρυμῶσα. ῥιγῶσα.† Κρούειν. ε στι ῥῆμα κρῶ, ου τὸ παράγωγον κρόω καὶ πλεονασμῷ τοῦ υ κρούω, ὡς ὀρῶ, ὀρόω, ὀρούω. κυρίως δὲ τὸ κρούειν ἐπὶ τῶν κερατοφόρων ζώων ει ρηται. κορούειν γὰρ τὸ τοῖς κέρασι κρούειν καὶ παίειν, καὶ κατὰ συγκοπὴν κρούειν. ου τω Φίλων. Κρώζει. κράζει, ὡς κορώνη η κόραξ. †Κρῶσι. βοῶσι.† Κριθήσονται. ἀντὶ τοῦ κατακριθήσονται. καὶ ὁ Ἀπόστολος· διὰ νόμου κριθήσονται. καὶ κρινεῖ ἀντὶ τοῦ κατακρινεῖ. καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον, τελοῦσα δὲ τὸν διὰ γράμματος. Κρήτηθεν. ἀπὸ Κρήτης. Κρουνηδόν. δίκην κρουνοῦ. Κρύβδην. λαθραίως. kappa.1260 Τὸ Κ μετὰ τοῦ Τ. (Ἀρσενικόν.) Κτείς, κτενόσ. τὸ κτένιον. παρὰ τὸ ἐκτείνειν τὰς χεῖρας η τὰς τρίχας. κτεὶς δὲ ἐπὶ τοῦ θαλασσίου, παρὰ τὸ ἐκτείνεσθαι καὶ ἁπλοῦσθαι. Κτηνώδησ. ἀλογώτερος. Κτησίασ· Κτήσων, Κτήσωνος· Κτησίοχος· Κτησίδαμος· Κτησιφῶν, Κτησιφῶντος, καὶ Κτῖμος. ταῦτα ὀνόματα κύρια. τὸ Κτῖμος δὲ διὰ τοῦ ι. Κτήσιοσ. Ζεύς. Κτίλοσ. ὁ προηγούμενος τῶν προβάτων κριός. οἱονεὶ κίλος τὶς ω ν, πλεονασμῷ τοῦ τ κτίλος. παρὰ τὸ κίειν, ο ἐστι πορεύεσθαι. οἱ δὲ νεώτεροι τάσσουσι τὴν λέξιν ἐπὶ τοῦ εἰθισμένου γεγονότος ἡμέρου ζώου. η ἀπὸ τοῦ ι κω, ἱκτός. ὡς τάσσω τακτὸς, καὶ πλέκω πλεκτός. ω σπερ ἀπὸ τοῦ πένθους γίνεται πενθίλος, καὶ ἀπὸ τοῦ ναῦς ναυτίλος, ου τως ου ν καὶ ἱκτὸς ἱκτίλος, καὶ μετὰ τῆς ἐπάρσεως τοῦ ¯ι κτίλος. τὸ μὲν πρῶτον Ωρος ὁ Μιλήσιος, τοῦτο δὲ Ἡρωδιανός. Κτείσ. παρὰ τὸ κτείνειν τοὺς φθεῖρας. Κτόνοσ. ὁ φόνος. ἐξ ου καὶ κτιννύω, τὸ φονεύω. kappa.1261 Κτύποσ. παρὰ τὸ τύπτω, τύπος, καὶ πλεονασμῷ τοῦ κ κτύπος. τὰ γὰρ τυπτόμενα ψοφεῖ. †Κτηνεία.† Κτῆσισ. ἡ περιουσία, ὁ πλοῦτος. Κτιδέα. ει δος περικεφαλαίας ἐξ ι κτιδος δέρματος. ι κτις δὲ ζῶον γαλῇ παραπλήσιον. καὶ κτιδιώτις τέχνη τῆς περικεφαλαίας. Κτίσισ. ὁ κόσμος. πᾶσα ἡ τοῦ θεοῦ κτίσις διαιρεῖται εἰς ε ξ· εἰς ἀόρατα λογικά· εἰς σύνθετα λογικά· εἰς σύνθετα α λογα· εἰς αὐξητικὰ καὶ γεννητικά· εἰς ἐκπορευτὰ καὶ κινητά· εἰς ἀναισθητὰ καὶ ἀκίνητα. Κτητήν. ἀγοραστήν. Ἡσίοδος· κτητὴν, οὐ γαμετήν–. Κτέαρ. τὸ κτῆμα. καὶ κλίνεται κτέατος. Κτένιον. ἐν ῳ κτείνομεν τοὺς φθεῖρας. καὶ τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ ποδός. Κτητικόν. τὸ ὑπὸ τὴν κτῆσιν ἐμπεπτωκός. ἐμπεριειλημμένου τοῦ κτήτορος. Κτῆνοσ. τὸ ζῶον. Κτησείδιον. ὀλίγη περιουσία. Κτίσμα. κτιστόν. Κτήνη. κυρίως τὰ η μερα. θηρία δὲ τὰ α γρια. πολλάκις δὲ ἡ γραφὴ καὶ τὰ α γρια κτήνη ὀνομάζει. ὡς ο ταν λέγει· ε τι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου. Κτέρεα. τὰ ἐντάφια. kappa.1262 Κτᾶσθαι. καρποῦσθαι, η ἀγοράζειν, η φυτεύειν. Κτεάτισα. ἐκτισάμην. Κτεριοῦσι. θάψουσι. Κτείνει. ἀναιρεῖ, φονεύει. κτιννύει δὲ, ο ἐστι φονεύει, ι. †Κτησάμενοσ. ἀεί.† †Κτίζω.† †Κτῶ. τὸ κτῶμαι.† Κτερεΐξαι. ἐνταφιάσαι. Ομηρος· σῆμα δέ οἱ χῶσαι καὶ ἐπὶ κτέρεα κτερεΐξαι. Τὸ Κ μετὰ τοῦ Υ. (᾿Αρσενικόν.) Κυανοχαίτησ. μελανόθριξ. κυανὸν γὰρ τὸ μέλαν, καὶ χαίτη ἡ θρίξ. Κυδάλιμοσ. ὁ δίυγρος. λέγεται δὲ καὶ ὁ ε νδοξος καὶ ε ντιμος. ἀπὸ τοῦ κῦδος, ο σημαίνει τὴν δόξαν. Κυδοιμόσ. θόρυβος, ταραχὴ, η πόλεμος. ἀπὸ τοῦ κύειν τὸ δέος η τὸ δεῖμα. Κύδιμοσ. ὁ ε νδοξος. ἀπὸ τοῦ κῦδος κύδιμος, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς κυδάλιμος. Κυδρόσ. ἀγαθὸς, τίμιος. ἀπὸ τοῦ κῦδος κυδρός. Κυδωνιάτησ. τοπικός. Κύβηλισ. ὁ πέλεκυς. Κυβιστήρ. ὁ ὀρχηστής. kappa.1263 Κύβοσ. πᾶν τετράγωνον. ὁ κύκλωθεν βάσιν ε χων. Κύβειροσ. ἀναιδής. Κυκεών. ει δος ποτοῦ. η πόμα δηλητήριον. ἀπὸ τοῦ κεχύσθαι. χυχεὼν καὶ κυκεών. ε στι δὲ πόμα κατασκευασθὲν, παυστικὸν δίψης. Κυκεῶ. ἀποκοπή ἐστι. κυκεῶνα γάρ ἐστιν ἡ αἰτιατική. κυκῶ δὲ τὸ ταράσσω. Κυκλάμινοσ. ει δος βοτάνης. Κύκλοσ. σφαῖρα· ἐνιαυτός· κόσμος. Κύκλωπεσ. κυκλόωπες, καὶ κατὰ συγκοπὴν κύκλωπες, ο τι κυκλοτερὴς ὀφθαλμὸς ε εις ἐνέκειτο μετώπῳ. Κύκνοσ. ζῶον. ἀπὸ τοῦ κλῶ, τὸ φωνῶ, γίνεται κλύω, κλύκος, καὶ καθ' ὑπερβιβασμὸν καὶ μετάθεσιν τοῦ λ κύκνος. η ὁ κυκλοτερῆ ε χων τὸν τράχηλον. παρὰ τὸ κύκλος. Κυλλόσ. ὁ χωλός. Κυλλοποδίων. ὁ Ηφαιστος. ὡς ἀπὸ τοῦ Οἰδίπους, Οἰδίποδος, Οἰδιποδίων διὰ τοῦ ¯ι, ου τως καὶ ἀπὸ τοῦ κυλλόπους κυλλοποδίων. Κύμβαχοσ. ἐπὶ κεφαλῆς πεσών. η κατὰ κεφαλῆς. η κύμβαχός ἐστι τὸ σκεπάζον τὴν κεφαλὴν βρέγμα. παρὰ τὸ κῦφον, τουτέστι τὸ πεkappa.1264 ριαγὲς καὶ περιφερές. κύμβη γὰρ ἡ κεφαλή. ο θεν τὸ κυμβητιᾷν. σημαίνει δὲ καὶ τὸ α κρον μέρος τῆς κεφαλῆς, ᾡ ἐμβάλλεται ὁ λόφος. οι ον· κύμβαχον ἀκρότατον νύξ' ε γχεϊ–. Κύμινδοσ. ὁ ἀετός. Κυνικοί. οἱ φιλόσοφοι, διὰ τὸ αυ θαδες καὶ θρασὺ καὶ ἀναιδές. τοιοῦτοι γὰρ οἱ κύνες. Κυνοραϊσταί. οἱ κρότωνες, οἱ τὸ αι μα τῶν κυνῶν ἐκμυζῶντες. Κύρβαντες καὶ Κρύβαντεσ. οἱ τὸν κόρον φυλάξαντες. βαίνειν γὰρ τὸ φυλάττειν. –ο ς Χρύσην ἀμφιβέβηκας. ἀντὶ τοῦ φυλάττεις. η , ὡς῾Ηρωδιανὸς, παρὰ τὸ κρύβειν, Κρύβαντες καὶ Κύρβαντες. ο θεν καὶ κυρβασία καὶ κρυβασία. ε νιοι δὲ τὸ τὴν κεφαλὴν καλύπτειν. α λλοι δὲ τὰς περικεφαλαίας φασὶ κυρβασίας. Κυρηναῖοσ. ἀπὸ τῆς Κυρήνης πόλεως. ἑρμηνεύεται δὲ ἑτοιμότης. Κύριοσ. ο νομα δηλωτικὸν τῆς θεότητος. Κύριοσ. ὁ ἐξουσιαστής· η ὁ ἐν ἀξιώματι ὑπάρχων. kappa.1265 Κύρτοσ. τὸ δίκτυον· η βρυλλίνη σπυρὶς, ἐν ῃ οἱ καρκῖνοι ἀγρεύονται. Κύφων. ὁ δεσμὸς τοῦ ξυλοπανταρίου. Κύων. ὁ σκύλος. ἀπὸ τοῦ κινεῖν καὶ σαίνειν. η παρὰ τὸ ὀξὺ ει ναι τὸ ζῶον· κατὰ μετάθεσιν τοῦ στοιχείου. η παρὰ τὸ κύω, ο σημαίνει τὸ φιλῶ· κύνω καὶ ἐξ αὐτοῦ κύων· τὸ γὰρ ζῶον φιλοδέσποτον. Κύων. ὁ κυνικός. Κύτωρισ. ο νομα ποταμοῦ. Κυφών. ἡ κυνάγχη. τοῦ Ψελλοῦ· κηλὰς ἀλώπηξ πέφυκε καὶ κυφὼν ἡ κυνάγχη. Κύβιτον. τὸν ἀγκῶνα. Κύαθοσ. ἀντλητήριον· μέτρον η παλάμη. (Θηλυκόν.) Κυβέρνησισ. φρόνησις. η κυβέρνησίς ἐστι ψυχῆς ἐπιστήμη περὶ τὴν α στατον φύσιν τῶν ἀνθρωπίνων πραγμάτων. παρὰ τὸ τὰ κύματα ἐρευνᾷν, καὶ πρὸς αὐτὰ ἰθύνειν τὴν ναῦν. τροπῇ τοῦ μ εἰς β. kappa.1266 Κυβεία. πανουργία. η παίγνιον. Κύβη καὶ κύμβη. ἡ κεφαλή. Κυβαρσία. κεφαλὴ ἀλέκτορος. α λλοι κυβαρσίας φασὶ τὰς περικεφαλαίας. Κυβίστησισ. συστροφή. ο ρχησις. †Κυβιστία. ἡ ο ρχησις.† Κυδιάνειρα. ἡ δοξάζουσα τοὺς α νδρας. κῦδος γὰρ ἡ δόξα. Κυκλάμινοσ. ει δος βοτάνης. Κυκήθρα. συμφορά· ταραχή· κυκῶ γὰρ τὸ ταράσσω. Κυθέρεια. ἡ ᾿Αφροδίτη. παρὰ τὸ κεύθειν τοὺς ε ρωτας. η ἡ κευθόμενον ε χουσα ἐν ἑαυτῇ τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ε ρωτα. Κύθηρα. πόλις τῆς᾽Αφροδίτης. Κύθρα. γέλως σκωπτικός. ἀπὸ τοῦ κῦτος γέγονε κῦθος καὶ κύθρα. Κυλλήνη. ο ρος᾽ Αρκαδίας. καί· Κυλλήνιος῾ Ερμῆς. Κυλλάδεσ. τὰ ἀπὸ τῶν ὀφθαλμῶν μέρη. kappa.1267 ο θεν καὶ τὸ ταῦτα οἰδεῖν κυλοιδιῶ καλοῦσι. συνέσταλται δὲ τὸ υ. Κύλιξ. τὸ ποτήριον. ἀπὸ τοῦ κύκλος κύκλιξ καὶ κύλιξ. Κυλίχναι. λεκανίδες· τρυβλία η φιάλαι. καὶ κυλικνίδες παρὰ᾽ Αθηναίοις αἱ πυξίδες, η οἱ λιβανωτοὶ, η ἀγγεῖα κεράμεια. Κύμβη. ἡ κεφαλή. Κυνόμυια. τὸ ο νομα ε σχηκεν ἀπὸ τοῦ κυνὸς καὶ τῆς μυίας· ὁ μὲν γὰρ ἀναιδὴς, ἡ δὲ θρασεῖα. Κυνέη. περικεφαλαία. †Κυπάσ. ἱμάτιον.† Κύπρισ. ἡ᾽ Αφροδίτη. ἡ τὸ κύειν παρέχουσα. η ο τι ἐν Κύπρῳ τιμᾶται. Κύπροσ. παρὰ τὸ κυοφόρον καὶ λιπαρὰν γῆν ε χειν. †Κύρα. ἡ κρήνη.† †Κυρεία. ἡ ἐξουσία. κυρία δὲ ἡμέρα καὶ ω ρα, ¯ι.† †Κύρβεσισ. ἑορτή τις, καὶ τὸ πινακίδιον.† kappa.1268 Κύῤῥοσ. πόλις ἐν Συρίᾳ, η ν ε κτισε Σέλευκος καὶ ὠνόμασεν ὁμωνύμως τῇ ἐν Μακεδονίᾳ. Κύρβεις. τρίγωνοι πίνακες, ἐν οι ς οἱ περὶ τῶν ἱερῶν καὶ πολιτικῶν νόμων ἐγγεγραμμένοι η σαν. Κύστισ. ἡ κοιλία η τὰ ὑπογάστρια. Κυψέλλη. πλεκτὸν ἀγγεῖον. Κυψελλίσ. ὁ ῥύπος τοῦ ὠτίου. Κυτωρίσ. ο νομα ποταμοῦ. Κύστισ. ἀπὸ τοῦ κεύθειν η κρύπτειν τὸ ου ρον. σημαίνει καὶ τὸ οὐροδόχον ἀγγεῖον. Κύμβαι. περιφερῆ πλοῖα παρὰ῾ Ρωμαίοις. (Οὐδέτερον.) Κυανόν. τὸ μέλαν. Κῦδοσ. ἡ δόξα. Κύκλα. οἱ τροχοί. καὶ κυκλήσομεν ἀντὶ τοῦ ἐφ' ἁμαξῶν α ξομεν. Κυκλίον. Κυλώνειον α γοσ. Κυλικεῖον. ἡ ποτηριοθήκη. κυλίκιον δὲ, ¯ι. kappa.1269 Κύμβαλα. ο ργανα ευ ηχα. παρὰ τὸ κύφον, κύφαλα τινὰ ο ντα. Κυμβία. τὰ κύφα ἐκπώματα. διὰ τὸ περιφερῆ ει ναι καὶ κύφα. Κῦμα. παρὰ τὸ κύω, τὸ γεννῶ. καὶ κύματα κωφὰ, τὰ α νευ ἀνέμου ἠρεμοῦντα. Κύντερον. ἀναιδέστερον· χαλεπώτερον. παρὰ τὴν κυνὸς γενικὴν κυνότερον καὶ ἐν συγκοπῇ κύντερον· ὡς μέλαν, μελανότερον καὶ μελάντερον. Κύπελλον. ε κπωμα. παρὰ τὸ κύφον, κύφελλον καὶ κύπελλον. η χύπελον, ε νθα ὁ πηλὸς η τοι ὁ οι νος χεῖται. Κύπειρον καὶ κύπερον. ει δος βοτάνης. Κῦροσ. ἡ ἐξουσία. Κυριακὸν δεῖπνον. τὸ τοῦ κυρίου. η τὸ ε γκληρον ἐν ἐκκλησίᾳ α ριστον. Κύρμα. τὸ ἐπιτύχημα. παρὰ τὸ κύρω, τὸ ἐπιτυγχάνω. Κυρτόν. τὸ παρ' ἡμῖν ἀπὸ τοῦ κύπτω. κυρτὸν καὶ τὸ μετέωρον καὶ ὑψηλόν. ἀπὸ τοῦ κύειν εἰς υ ψος η τοι ἐπαίρεσθαι. kappa.1270 Κυρναῖον. πέλαγος. Κῦφον. τὸ περιαγές· τὸ περιφερές· τὸ κυρτοειδές. παρὰ τὸ κύπτω. Κύφελλα. τὰ νέφη. οἱονεὶ κρύφελλα, τὰ ἀποκρύπτοντα τὴν σελήνην. ἐτμήγη δὲ κύφελλα– Καλλίμαχος δὲ τὰ κούφως ἐλαυνόμενα. Κυψελλόβυστον. τὸ ὑπὸ ῥύπου κεκαλυμμένον. Κυρήβια. τὰ ἀπὸ τῶν κυάμων σχίσματα. Κυβήβειν. κυρίως τὸ ἐπὶ κεφαλῆς ῥιπτεῖν. Ομηρος· κύμβαχος ἐν κονίῃσιν. ἐπεὶ οἱ μανιώδεις, περὶ τὴν κεφαλὴν πάθους γινομένου, τοιοῦτοι γίνονται. (῾Ρῆμα.) Κυβιστᾷν. τὸ ἐπὶ κεφαλῆς πηδᾷν. κύβη γὰρ ἡ κεφαλή. Κυβεύειν. δουλεύειν. Κυδιόων. γαυριῶν, χαίρων καὶ κυδιούμενος. Κυδαίνω. ἀπὸ τοῦ κῦδος κυδαίνω. λέγεται καὶ κυδάνω. kappa.1271 Κυδάζεται. ἀντὶ τοῦ λοιδορεῖται. τοῖς πᾶσιν ᾽Αργείοις κυδάζεται. Κυδοίμεον. ἐθορύβουν. Κύειν. γεννᾷν. κυρίως τὸ ἐν γαστρὶ φέρειν τὸ ε μβρυον. ἀποκύειν δὲ τὸ τίκτειν καὶ προσφέρειν εἰς φῶς τὸ ἐν γαστρὶ φερόμενον. Κυθρίσαι. ἐπὶ τοῦ σκῶψαι καὶ γελάσαι. καὶ πανήγυρις παρ᾽᾽ Αθηναίοις οἱ κύθροι, ἐν ῃ ἀλλήλους ε σκωπτον. Κυΐσκω. τὸ γεννῶ. Κυκλοφορεῖται. κατὰ κύκλον φέρεται. Κυκῶ. τὸ ταράσσω. καὶ κυκῶσαι. Κυκηθήτην. ἐταράχθησαν. καὶ κυκηθρήτην. κυκήθρα γὰρ ἡ ταραχή. Κυλοιδιῶ. τοὺς ω πας ὀγκῶ. Κυλινδούμενοσ. κυλιόμενος. Κυμαίνεται. ταράσσεται. Κυνῶ. τὸ προσκυνῶ. Κυνοραϊστέων. κακῶς ἐκπνέων. kappa.1272 Κυοφοροῦσα. ἐγκυμονοῦσα. Κυπρίζουσαι. ἀνθοῦσαι, αυ ξουσαι. Κύρσασ. προσκρούσας· η ἐντυχών. Κυρίττω. τὸ κερατίζω. Κύσασ. φιλήσας. Κυκλήσομεν. ἐφ' ἁμαξῶν α ξομεν. κύκλα γὰρ οἱ τροχοί. Κυρηβάσει. μαχήσεται. τοῦ Ψελλοῦ· κυρηβάσει. μαχήσεται· Κύρητα ἡ Δημήτηρ. Κυλινδοῦται. κυλίεται. καὶ καλινδοῦται ὁμοίως. Κυθήρηθεν. ἀπὸ Κυθήρων. Κυνηδόν. δίκην κυνός. Κυνόσαργεσ. μακράν. καὶ ἐπὶ οὐδετέρου. Κύκλω. ει τε ο νομα, ει τε ἐπίῤῥημα, σὺν τῷ ¯ι γράφεται.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ε στι γὰρ κύκλος, κύκλου, κύκλῳ. καὶ λοιπὸν αυ ται αἱ δοτικαὶ μετερχόμεναι εἰς ἐπιῤῥήματα σύνταξιν τῆς δοτικῆς τῇ γραφῇ φυλάττει. οι ον· ἰδίᾳ, δημοσίᾳ. †Κύκλῳ.† κύκλῳ στῶμεν. kappa.1273 Τὸ Κ μετὰ τοῦ Ω. (Ἀρσενικόν.) †Κωδαλοῦ. μέτρον γῆς.† †Κωδαλοῦχοσ. σχοῖνιξ. μέτρον.† †Κώδιξ. ὁ χάρτης.† †Κῶθοσ. τὸ κοίμημα.† †Κώθων. κωρᾶς ει δος.† Κωκυτόσ. ὁ θρῆνος· η μίμημα φωνῆς θρηνώδους. ἀπὸ τοῦ τὰ α χη εἰς αὐτὸν ῥεῖν. χοάκυτος καὶ κωκυτός. †Κωλαγρέτησ. ὁ ταμίας.† Κωλήν. τὸ †ε ντερον.† τὸ ἀντζίον. Κώληψ. τὸ ὀστοῦν. καὶ κλίνεται κώληπος. †Κωλωνόσ. τὸ μέτρον.† kappa.1274 †Κωλώτησ. ὁ ἀσκαλαβώτης.† †Κωλύβδαινοσ. ὁ κίνδυνος.† Κωμαστήσ. μέθυσος, η ἀσελγὴς ἐκ μέθης. η ὁ ἐν παραφορᾷ οι νου ᾳ δων. Κῶμοσ. ἡ μετ' ὀρχήσεως ᾠδή. καὶ ἡ ἐκ μέθης ἀσέλγεια. καὶ κῶμος ὁ υ πνος. Κώμυθοσ. ἡ δέσμη τοῦ χόρτου. Κῶνοσ. ὁ στρόβυλος. καὶ κύριον ο νομα. η κῶνος ἐστὶ σχῆμα ἀπὸ πλατείας βάσεως εἰς ὀξὺ λῆγον. †Κῶποσ. ὁ μεθ' ἡδονῆς ποτός. καὶ ὁ στενωπός.† †Κωπτίλοσ. ὁ βάτραχος.† †Κώρυκοσ. θάλαμος.† kappa.1275 Κώρυκοσ. ὁ θύλαξ καὶ ἀκρωτήριον. †Κωρυκῶοσ. ἐπακροώμενος.† Κωτίλλοσ. ο ρνεον ου τω καλούμενον. ἀφ' ου καὶ οἱ πολλὰ λαλοῦντες κωτίλλοι καλοῦνται. Κωφήν. ποταμός. καὶ κλίνεται Κωφῆνος. Κωφόσ. παρὰ τὸ κεκόφθαι τὴν ο πα. η κένοπος τὶς ω ν, ὁ μήτε φθεγγόμενος, μήτε ἀκούων. Κῷοσ. σὺν τῷ ¯ι γράφεται· ἐπειδὴ ευ ρηται κατὰ διάστασιν. Καλλίμαχος· τὸ ι κελον τὸ γραμματεῖον τὸ Κώϊον. η ο τι τὰ εἰς ος κτητικὰ τῷ ¯ι θέλει παραλήγεσθαι. ε στωσαν δὲ παραδείγματα ταῦτα· Ξενοφώντειος· ῾Ηροδότειος· ᾿Αριστάρχειος· πατρῷος· μηνῷος· ἡρῷος. ου τως ου ν καὶ Κῷος. οὐκ ε στι δὲ θηλυκὸν, ἀλλὰ ἀρσενικόν. (Θηλυκόν.) †Κωβύλη. ἡ συνουσία.† Κώδεια. ἡ κεφαλὴ τῆς μήκωνος. ὑπνωτικὸν γὰρ τὸ τοιοῦτον φυτόν. καὶ κῶμος ὁ υ πνος. Κωλύμη. ἡ κώλυσις. τὴν κωλύμην ε χειν δοκῶ. kappa.1276 Κώμη. ἡ πόλις. παρὰ τὸ κῶ, τὸ κοιμῶμαι, κώμη. ὡς α ν ει ποι τις κωμητήρια καὶ ἀναπαύσεις ζώων τὲ καὶ ἀνθρώπων ἀπὸ τῶν ε ργων. †Κωμῳδία. γέλως, υ βρις, διασυρμός.† †Κῷοσ. σὺν τῷ ¯ι γράφεται, ἐπειδὴ ευ ρηται κατὰ διάστασιν. Καλλίμαχος· τὸ ι κελον τὸ γράμμα τὸ Κώϊον.† †Κωπαΐσ. ε γχελυς.† Κώπη. ἡ λαβὴ τοῦ ξίφους, ῃ κόπτειν δυνάμεθα. παρὰ τὸ κόπτω κοπὴ, καὶ ἀναβιβασμῷ καὶ τροπῇ τοῦ ¯ο εἰς ¯ω μέγα κώπη. κώπη καὶ ἡ τῶν κωπηλατῶν, παρὰ τὸ κόπτειν τὸ υ δωρ. Κῶσ. ἡ νῆσος. ἀπὸ Κῶς, θυγατρὸς Μέροπος καὶ᾿Εχεμείας. η παρὰ τὸ κῶ, τὸ κοιμῶμαι. ἐξ ου καὶ κῴδιον, τὸ τοῦ προβάτου δέρμα. (Οὐδέτερον.) Κῴδιον. τὸ δέρμα. κωίδιον γέγονε καὶ συναιρέσει κῴδιον. καὶ τὸ λαγῴδιον ε χει τὸ ι, ο τι ἀπὸ τοῦ λαγωὸς, λαγωοῦ, γέγονε. κατὰ συνδρομὴν τοῦ κῴδιον καὶ στῴδιον· σημαίνει δὲ τὴν μικρὰν kappa.1277 στοάν. συνεξέδραμε τούτοις καὶ τὸ καλῴδιον, καὶ ε χει τὸ ¯ι προσγεγραμμένον· σημαίνει δὲ τὸ σχοινίον. †Κώδιστρον. ὁ ποὺς τοῦ μήκωνος.† Κώεα. τὰ δέρματα. μεταπέπλασται τὸ κῶας εἰς τὸ κῶος, τοῦ κώους, ὡς τεῖχος, τείχους. ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ κώεα. καὶ῞Ησίοδος μετέπλασε τὸ υ δας εἰς τὸ υ δος, εἰπών· γαῖαν υ δει φύρειν. †Κωκόν. τὸ ἀναίσθητον.† Κῶλα. κυρίως ἐπὶ τῶν μελοποιῶν· μεταφορικῶς δὲ ἐπὶ τῶν πεζῶν τῷ λόγῳ, κώλοις μὴ χρωμένων. καὶ κῶλον τὸ ὀστοῦν. Κῶμα. ὁ υ πνος. παρὰ τὸ κῶ, τὸ κοιμῶμαι, γίνεται κῶμα, ἐξ ου καὶ κείω, τὸ κοιμῶμαι. Κωμύδριον. ἡ μικρὰ καὶ εὐτελὴς πόλις. Κώνειον. τὸ φάρμακον. τὸ κώνειον παραπλήσιόν ἐστι τῷ καρπῷ τῆς λαπάθου, τὰ δὲ φύλλα σελίνῳ ἀγρίῳ. λέγεται δὲ καὶ ὑπόπικρον. καλεῖται δὲ καὶ ἐφήμερον, διὰ τὴν ὀξύτητα τῆς ἀναιρέσεως. κώνειον δὲ αὐτὸ καλοῦσι διὰ τὸν γινόμενον εἰλιγμὸν καὶ σκότον τοῖς πίνουσι. τὸ kappa.1278 γὰρ στρέψαι κωνῆσαι λέγουσιν οἱ παλαιοί. η παρὰ τὸ καίνειν καὶ κόπτειν. η παρὰ τὸ κοίμημα. Κωνοειδέσ. τὸ ἀπὸ πλατέος εἰς ὀξὺ λῆγον. †Κωνσίλιον. παρὰ῾Ρωμαίοις τὸ συμβούλιον.† Κωπήεντα. μελάνδeta. η μελαίνας λαβὰς ε χοντα. ε στι γὰρ ἡ λαβὴ δεσμὸς τοῦ ξίφους. Κωρύκιον. ο ρος καὶ α ντρον ἐν τῷ Παρνασῷ. ἀπὸ νύμφης Κωρυκίας. Παρνασὸς δὲ ο ρος Δελφῶν. †Κῶρον. πόλις Καππαδοκίας.† Κωσιτώριον. τὸ θεῖον συνέδριον κατὰ῾Ρωμαίους. Κωπεῖον. τὸ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νεώς. Κῶμα. ὁ υ πνος· ἡ καταφορά. τοῦ Ψελλοῦ· φωΐδας τὰ φλογίσματα· καταφορὰν δὲ κῶμα. (Ῥῆμα.) †Κώζοντεσ. κράζοντες.† Κωμάζειν. τὸ ποιῶς ὀρχεῖσθαι. ἐξ ου καὶ κῶμος, ει δος ὀρχήσεως· οἱ δὲ μέλους. παρὰ τὸ κῶ, τὸ κοιμῶμαι. ἐμφαίνει γὰρ τὸν ἀπὸ δείπνου καὶ μέθης ἐπὶ τοῦ κοιμηθῆναι βαδίζειν καιρόν. †Κωμᾶται. λοιδορεῖται.† †Κωμήνασθαι. τὸ κείρασθαι.† Κωνίσαι. πίθον πισσῶσαι. κωνᾷν γὰρ τὸ στρέkappa.1279 φειν. καὶ τοὺς βέμβικας η τοι τοὺς στρόμβους κώνους λέγουσι. κωνῆσαι, τὸ ἀγαγεῖν τὸν ι ππον κύκλῳ, ¯η. κονίσαι δὲ ἀντὶ τοῦ ἀγωνίσαι μικρὸν καὶ ¯ι. Κωνειῶ. φαρμακεύω. ἀπὸ τοῦ κωνείου. Κωτίλλων. πανούργως κολακεύων καὶ πολλὰ λαλῶν. ἀπό τινος ὀρνέου κωτίλλου καλουμένου. kappa.1280 †Κώφειν. τὸ κωλύειν.† Κωχεύειν. †συνουσιάζειν.† μετεωρίζειν· ἀνέχειν. Κωμαίνειν. νυστάζειν. τοῦ Ψελλοῦ· καλχαίνειν τὸ ταράσσεσθαι· κωμαίνειν τὸ νυστάζειν. (Ἐπίῤῥημα.) †Κωμηδόν. σὺν πάσῃ τῇ πόλει.† lambda.1279 Λ. Τὸ Λ μετὰ τοῦ Α. (Ἀρσενικόν.) Λάασ. ὁ λίθος. καὶ κλίνεται λάα. ε στι δὲ καὶ ὁ λᾶς, ἡ εὐθεῖα. τῶν πληθυντικῶν οἱ λαῖ, τῶν λῶν, καὶ λάων. Λαβραγόρασ. ὁ φλύαρος, ὁ σφοδρῶς δημηγορῶν· ὁ προπετὴς ἐν τῷ λέγειν, καὶ οι ον λάβρος καὶ θρασύς. †Λαγίδα. ὁ τοῦ Λάγου παῖς.† lambda.1280 Λαγώσ. παρὰ τὸ λ¯α ἐπιτατικὸν μορίον, καὶ τοῦ ω ς, ὠτὸς, ὁ μεγάλα ω τα ε χων. γράφεται καὶ λαγωός. Λαγγόβαρδοσ. κύριον. γράφεται καὶ Λαγγίβαρβος. Λαβύρινθοσ. κοχλιοειδὴς καὶ δυσδιεξίτητος τόπος. Λάγνοσ. πόρνος· αἰσχρός· κατωφερὴς πρὸς τὰ ἀφροδίσια, ο ἐστι τὰς συνουσίας. lambda.1281 Λαθικήδησ. ὁ λήθην τῶν κακῶν ποιούμενος. καὶ λαθικηδέα τὸν ἐμποιοῦντα λήθην πάντων τῶν κακῶν. κήδεα γὰρ τὰ κακὰ καὶ αἱ θλίψεις καὶ αἱ λύπαι. Λάϊγξ. ὁ μικρὸς λίθος. παρὰ τὴν λαὸς γενικὴν λάϊξ, καὶ πλεονασμῷ τοῦ γ λάϊγξ, ε νθεν καὶ τὸ λάϊγγες. ὡς ψῆφος, ψῆφιξ, καὶ πλεονασμῷ τοῦ γ ψήφιγξ. †Λαιδρόσ. ὁ θρασύς.† †Λαίλασ. ὁ μὴ ἐκ γένους τύραννος, ἀλλ' ἐπιθέμενος.† †Λαϊσκέδησ. ὁ βούπαις.† Λάκωνες. οἱ Σπαρτιᾶται. εἰσὶν δὲ ου τοι ἀνδρεῖοι. Σπαρτιάτας ἡ λόγχη γνωρίζει. Λάκων. ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ὀπίσω τόπον· ὁμοίως δὲ ἀντὶ τῆς ε μπροσθεν ἐπιφανείας τὸν ο πισθεν. lambda.1282 Λάμυροσ. ὁ φλύαρος. Λαμπρόσ. λαμπρὸς ἐπανέζευξε καὶ ο σα μετὰ κινήσεως μικρά· λαμπρῶς δὲ ἀνηγορεύθη καὶ ο σα μετὰ στάσεως μεγάλα. †Λάμπων. ο νομα κύριον.† Λαοσσόοσ. ὁ λαοὺς σώζων. Λαπιστήσ. ψεύστης, προπετής. Λάσιοι. πολύτριχες. δασεῖς. ἡ γὰρ θέρμη αἰτία ἐστὶ τῆς ἐκφύσεως τῶν τριχῶν. λάσιος δὲ παρὰ τὸ ¯λ¯α καὶ τὸ σεύω, τὸ ὁρμῶ. Λάτρισ. ὁ μισθῷ δουλεύων. λάτρον γὰρ ὁ μισθός. η παρὰ τὸ ¯λ¯α ἐπιτατικὸν καὶ τρεῖν, ο ἐστι φοβεῖσθαι. Λαῦσοσ. ὁ συνετός. καὶ ο νομα κύριον. Λαφύστιοσ. ὁ λαίμαργος. ἀπὸ τοῦ λαφύσσω, λαφύξω. Λαχνήεισ. δασύθριξ. lambda.1283 Λαχμῷ. τῷ δασεῖ τῶν ἐρίων. παρὰ τὸ λίαν ε χεσθαι.᾿Αντίμαχος δὲ τὸν λακτισμὸν τῶν ι ππων λέγει λαχμόν. οι ον· λαχμὸν δ' οὐ δείδιεν ι ππων. Σέλευκος δὲ διὰ τοῦ ν γράφει λαχνῷ, ι να σημάνῃ ἡ λάχνη. Λαιδρόσ. ὁ θρασύς. παρὰ τὸ ¯λ¯α ἐπιτατικόν. Λαίθαργοσ. ὁ κρυφοδάκτης καὶ ἀργός· ὁ λαθραίως δάκνων. καὶ οι όν τις κύων λαίθαργος. Λαιμόσ. παρὰ τὸ λίαν μᾶν, ο ἐστι ζητεῖν. Λαιστρυγόνεσ. ε θνος. Λαίσκαπροσ. ὁ λάγνος καὶ λαμός. παρὰ τὴν ¯λ¯α ἐπίτασιν, πλεονασμῷ τοῦ ¯ι, ὡς ἐν τῷ μαστροπὸς, μαιστροπός. Λαιψηρόσ. ὁ ταχύς. Λάχησ. κύριον. παρὰ τὸ λήχω, τὸ λαγχάνω. ὁ δεύτερος ἀόριστος ε λαχον, καὶ ἐξ αὐτοῦ λάχης. lambda.1284 (Θηλυκόν.) Λαβή. ἡ ἀφορμή. †Λαβρεία. ἡ φλυαρία.† Λάβωρα. ει δος ὀπώρας. Λάγυνοσ. ἡ πάνυ καὶ λίαν δεκτική. παρὰ τὸ ¯λ¯α καὶ τὸ χῶ, τὸ χωρῶ. Λάδη. πόλις. †Λαιδάσ. ἡ ἀσπίς· ἀπὸ βύρσης.† †Λαίσθη. ἡ ἀκολασία.† †Λαισίνη. ο νομα πόλεως.† Λακέρυζα κορώνη. μεγάλως κράζουσα. Λακέρεια. ο νομα πόλεως. παρὰ τὸ ¯λ¯α καὶ τὸ ῥέω. οἱονεὶ ἡ μεγάλως ἐπιῤῥεομένη. †Λάκμων. ἡ κορυφὴ τοῦ ο ρους.† Λάμια. θηρίον. η πολυχώρητόν τι ἀντρῶδες. η γυνή τις ἀρχαία Λίβυσσα ου τω καλουμένη. Λαμπήνη. α μαξα βασιλικὴ, η α ρμα σκεπαστόν. lambda.1285 †Λαμπάσ. ε στιν α ναψις καὶ α θροισμα πυρός.† †Λαμπουρίσ. ει δος ἀλώπεκος ἐχούσης λευκὴν τὴν οὐράν.†



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Λάμψακοσ. ο νομα πόλεως. τοῖς Λαμψακηνοῖς ἐδόθη χρησμὸς, ο που α ν αὐτοῖς λάμψῃ, ἐκεῖ πόλιν κτίσαι· ἀστραπῆς δὲ γενομένης ει δον τὸν τόπον, καὶ ἐκεῖ ε κτισαν πόλιν ὀνομαζομένην Λάμψακον. †Λάξ. ἡ λῖξις.† †Λαοδίκεια ...† Λάπαθοσ. ει δος βοτάνης. ἀπὸ τοῦ λαπάσσειν. ε στι δὲ τὸ λάχανον ευ θετον εἰς γαστέρα· ἁπαλύνει γάρ. Λαπάραν. τὴν λαγόνα. παρὰ τὸ λελάφθαι, ο ἐστιν ἐκκενῶσθαι τὸν τόπον. πρὸς σύγκρισιν τῶν πλευρῶν. λαπάξαι γὰρ τὸ κενῶσαι. ο θεν καὶ λάφυρα ἀπὸ τῆς κενωτικῆς πόας. lambda.1286 Λάταξ. ἡ μεγάλη σταγών. †Λαταγή. ὁ θόρυβος.† †Λαΐνθη. λάρναξ λιθίνη.† †Λατρεία. θυσία.† Λάτρισ. ἡ θεράπαινα, ἡ δούλη. Λατρεία. δουλεία θεῷ μόνῳ πρέπουσα. Λαμυρία. ἡ στωμυλία. η ἡ α καιρος ἀνδρεία. Λαῦρα. πλατεῖα ῥύμη, δι' η ς ὁ λαὸς παρέρχεται. παρὰ τὸ λίαν αυ ραν ε χειν. η ν οὐδὸς ἐς λαύρην. Λαυκανίη. ὁ λαιμός. ἀπὸ τῆς ἀπολαύσεως. α λλοι δέ φασι λευκανίη. Λαφυραγωγία. ἡ αἰχμαλωσία. Λάχνη. ἡ τρίχωσις. λέγεται δὲ καὶ ὁ τῆς θαλάσσης ἀφρός. lambda.1287 Λάχεια. σημαίνει τὴν καλῶς ἐσκαμμένην γῆν. παρὰ τὸ λα ἐπιτατικόν. ὡς ἀπὸ τοῦ χαίρω χάρεια, καὶ ἀνθῶ α νθεια, καὶ κρατῶ κράτεια, ου τως ἀπὸ τοῦ λαχῶ λάχεια. τὰ γὰρ ἀπὸ ἐνεστῶτος διὰ τοῦ ¯ε¯ι¯α γινόμενα θηλυκὰ προπαροξύνονται καὶ διὰ τῆς ει διφθόγγου γράφονται, οι ον· μήδω μήδεια· θέρω θέρεια. Λαικάστρια. ἡ πόρνη. Λαίλαψ. σκότος μετὰ συστροφῆς ἀνέμων. Λαιμαργία. λαιμοῦ ε φεσις. οὐκ ἐν πλήθει, ἀλλ' ἐφ' ἡδύτητι βρωμάτων μαινομένη. Λαίστη. ἡ αἰσχύνη. Λαίνιλα. ο νομα νήσου. Λαῖροσ. ο νομα πόλεως. Λαίτρινα. πόλις. Λαμπάσ. παρὰ τὸ λάμπω, τὸ φαίνω, γίνεται λαμπάς. lambda.1288 (Οὐδέτερον.) Λάγειον. αι μα καὶ κρέας. †Λαῖγμα. τὸ ἱερὸν θῦμα.† †Λαίετον. τὸ ἀρχεῖον.† †Λαιτρόν. τὸ ἀχρεῖον. καὶ λαιτρὸν τὸ πρυτανεῖον.† †Λαῖφοσ. ἡ χλαῖνα.† Λάϊνον. λίθινον. Λακίσματα. τὰ σχίσματα τὰ ἀποπίπτοντα τῶν σαρκῶν. Λακίνιον. ο νομα ο ρους. Λάκκαιον. υ δωρ καὶ ο ρος. Λακέντιον ... Λαλίστατον. ευ γλωττον· ευ φωνον. Λαμυρόν. κομψὸν, λαμπρόν. lambda.1289 Λαξευτήριον. ἐργαλεῖον οἰκοδομικὸν η λιθοξοϊκόν. Λαρόν. προσηνὲς, ἡδύ. παρὰ τὸ ἱλαρὸν, λαρόν. η παρὰ τὸ λῶ, τὸ θέλω καὶ ἀπολαύω. Λάσιον. τὸ δασύ. καὶ τὸ ἰσχυρόν. ὡς τό· λάσιον κέαρ. ο ἐστιν ἰσχυρὰ ψυχή. παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ σεύω, τὸ ὁρμῶ. στήθεσι λασίοισιν–. ὑπὸ γὰρ τὴν γαστέρα κεῖται ἡ καρδία, ἐν ῃ τὸ ξηρῶδες καὶ θερμὸν καὶ μανικὸν τῆς ψυχῆς. Λασάνια. γραικιστὶ αἱ πρασιαί. Λάχιον. τὸ λάχος· ὁ κλῆρος. Λαχανηρόν. τὸ τῶν λαχάνων. Λαχνῆεν. τὸ δασύ. Λάφυρα. τὰ ἐκ τῶν πολεμίων ε τι ζώντων λαμβανόμενα· τὰ γὰρ ἐκ τῶν τεθνεώτων σκύλα λέγονται. Λαμώνιον. ο νομα ο ρους. Λαιόν. τὸ ἀριστερόν. Λαισήϊα. μικρὰ ἀσπιδίσκια. ὠμοβύρσια. βαρβαρικὰ δέ εἰσιν ο πλα. lambda.1290 Λαῖτμα. τὸ χάσμα καὶ μέγα πέλαγος, η τὸ κῦμα. Λαῖφοσ. τὸ α ρμενον. παρὰ τὸ λίαν φαίνεσθαι. Λαίφυρον. τὸ ἀσθενές. Λάμβδα. τὸ στοιχεῖον. οἱονεὶ λάβα τὶ ο ν· παρὰ τὸ λείως βαίνειν ἐν τοῖς μέτροις καὶ ἀσθενὲς ει ναι πρὸς τὸ μηκύνειν τὰς συλλαβάς. (Ῥῆμα.) Λαβόμενοσ. δραξάμενος. Λάζετο. ἐκράτησεν. λήβω, τὸ λαμβάνω, ὁ δεύτερος ἀόριστος ε λαβον, καὶ ἐξ αὐτοῦ λαβάζω καὶ κατὰ συγκοπὴν λάζω, λάζομαι, ἐλαζόμην, καὶ λάζου, ἐλάζετο. †Λαβράζων. ἠχῶν τοῖς πτεροῖς.† †Λαίεται. καταλύεται.† †Λαιθυράζειν. τὸ διὰ στόματος ψόφον ποιεῖν ἐπὶ τῷ μαζῷ.† †Λαιλάχω. τὸ ψοφῶ.† †Λαιμάσσω. τὸ ἀμέτρως ἐσθίω.† †Λαιμφεύειν. τὸ δραπετεύειν.† †Λαίω. τὸ βλέπω. καὶ τὸ φονεύω.† Λακκίζω. λάκκον ποιῶ. lambda.1291 Λακίσαι. σχίσαι. καὶ λακῶ ὁμοίως. Λακωνίζειν. τὸ γράφειν περὶ πλείστων ὀλίγας συλλαβάς. Λαμπετόωντι. λάμποντι. –πυρὶ λαμπετόωντι– παρὰ τὸ λάμπω γίνεται λαμπετῶ. ἡ μετοχὴ λαμπετῶν, λαμπετῶντος, λαμπετῶντι καὶ πλεονασμῷ τοῦ ο λαμπετόωντι. εἰώθασιν οἱ ποιηταὶ ἐπὶ τῆς δευτέρας συζυγίας πλεονάζειν τὸ ο. Λαπάξαι. τὸ κενῶσαι. καὶ λάπτειν τὸ ἐκκενοῦν. κενωτικὸν γὰρ γαστρὸς ἡ λάπαθος βοτάνη. Λαπίζειν. ἀλαζονεύεσθαι, προπετεύεσθαι, ψεύδεσθαι. Λαρυγγίζειν. τὸ πλατύνειν τὴν φωνὴν καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι, ἀλλὰ περιεργότερον τῷ λάρυγγι χρῆσθαι καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιτηδεύειν. Λατρεύειν. κυρίως τὸ δουλεύειν καὶ πάντα ποιεῖν ἀπὸ διαθέσεως. καθὼς καὶ Παῦλος ὁ Ἀπόστολος φησίν· ῳ λατρεύω ἐν τῷ πνεύματί μου. Λαφύξασ. διασπαράξας· ἀφειδῶς θοινησάμενος. lambda.1292 Λαχόντα. κληρωσάμενον. Λαχόην. ε στι λάχοιμι, λάχοις, λάχοι. ἐκ τούτου γίνεται λαχοίη κατὰ πλεονασμὸν τοῦ ¯η ἀττικῶς. ει τα προσθήκῃ τοῦ ς λαχοίης καὶ τροπῇ τοῦ ς εἰς τὸ ν τὸ πρῶτον λαχοίην. ω σπερ ἐτύφθην, ἐτύφθης, ἐτύφθη. καὶ λοιπὸν οἱ Αἰολεῖς ἀποβάλλουσι τὸ ι, καὶ γίνεται λαχόην. Λαχῆναι. σκάψαι. Λάψαι. τῇ γλώσσῃ πιεῖν, η ῥοφῆσαι. Λαιθυράζω. χλευάζω. Λαικάζω. τὸ ἀπατῶ. ἀπατητικαὶ γὰρ αἱ λαικάστριαι, ο ἐστιν αἱ πόρναι. Λαμβανόμενοσ. προβαλλόμενος.᾿Αποστολικὴ ἡ λέξις. πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται. (᾿Επίῤῥημα.) Λὰξ ἐντείνων. ἀντὶ τοῦ λακτίσματι τύπτων. Τὸ Λ μετὰ τοῦ Ε. (῾Αρσενικόν.) Λέβησ. τὸ χερνίβιον. ἀπὸ τοῦ τὰς λιβάδας τῶν χειρῶν ὑποδέχεσθαι. λέβης καὶ τὸ κακlambda.1293 κάβιον· εἰς ο ν λείβεται καὶ ἐμβάλλεται τὸ υ δωρ. Λέβησ. καὶ ο νομα ἰχθύος. τὰ υ εια κρέα καὶ τοὺς λέβητας. Λεβηδών. τόπος, ἐν ῳ ἐθυσίαζον οἱ κατὰ τὴν λιβανησίαν᾿Αῤῥαβίαν Μωαβῖται. Λεγεών. αἱ δώδεκα μυριάδες. Λέκιθοσ. ὁ κρόκος τοῦ ὠοῦ. Λέμβοσ. τὸ μικρὸν πλοιάριον. Λευστῆρα. λιθοβόλον. Λυκόφρων· λευστῆρα ου νεκ' ε ριψε πρῶτος πέτρον. Λευΐτησ. ὁ διάκονας, καὶ ὁ ἀπὸ φυλῆς τοῦ Λευΐ. η λευΐτης ἐστὶν ὁ διακονῆσαι τὸν τοῦ θεοῦ λόγον πρὸς ὠφέλειαν α λλοις δυνάμενος. Λευγαλέοσ. ὀλέθριος· χαλεπός. Λευρόσ. ὁμαλὸς, λεῖος· πλατύς. ἀπὸ τοῦ λίαν εὐρύς. Λευϊθὰν, η λευϊαθάν. βασιλεὺς ὑδάτων ἑρμηνεύεται. Λευχείμων. λευκὰ ἱμάτια ἐνδεδυμένος. Λεώσ. ὁ λαός.᾿Αττικὸν δέ ἐστι. Λέων. παρὰ τὸ λάω, τὸ βλέπω. ἐξ ου καὶ ἀλαὸς, lambda.1294 ὁ ἐστερημένος τοῦ βλέπειν. ὀξυδερκέστατον γὰρ τὸ ζῶον, ὡς φησὶν ὁ Μανέθων ἐν τῷ πρὸς῾Ηρόδοτον, ο τι οὐδέποτε καθεύδει ὁ λέων. τοῦτο δὲ ἀπίθανον· οὐκ ἐνδέχεται γὰρ ἐγρηγορέναι ἀεί. ἀλλ' ι σως, ὡς ἡ δορκὰς ἐν τῷ καθεύδειν, ου τως καὶ ὁ λέων ἀνεωγμένους ε χει τοὺς ὀφθαλμούς· ἐπειδὴ τῶν ὀφθαλμῶν αὐτοῦ μεγάλων ο ντων τὸ δέρμα τὸ ἐπικείμενον τοῖς ὀφθαλμοῖς μικρότερόν ἐστι καὶ οὐ δύναται σκεπάσαι αὐτούς. Λειμών. κῆπος· η τόπος ἀνθηρὸς, η παράδεισος. παρὰ τὸ λείβω, λειβὼν, καὶ λειμών. περιεκτικὸν δέ ἐστιν, ὡς καὶ τὸ χειμών. καὶ λείμαξ, ὁ κῆπος. Λείξουροσ. ὁ πλεονέκτης. Λειβήθριοι. ε θνος μωρόν. ἀπὸ τόπου Λειβήθρα καλουμένου, ἐν ῳ κατοικοῦσιν ἀνόητοι α νθρωποι. Θουκυδίδης· Λειβηθρίων ἀνοητότεροι. Λείουσ. ὁμαλούς. Λειόβατοσ. ὁμαλός. Λειρόφθαλμοσ. εἰ μὲν σημαίνει τὸν προσηνῆ, διὰ τῆς ει διφθόγγου γράφεται, παρὰ τὸ λείlambda.1295 ριον, ο σημαίνει τὸ α νθος. εἰ δὲ διὰ τοῦ ι, σημαίνει τὸν ἀναιδῆ. τοῦτο δὲ παρὰ τὸ λίαν ὁρᾷν. λέγει δὲ Ωρος ὁ Μιλήσιος, ο τι οὐ τῶν ἀνθῶν δεῖ λέγειν, ἀλλὰ τῶν ἀνθέων διὰ τὴν συνέμπτωσιν τοῦ ἀνθ' ω ν ἐπίστατο, ο περ ἐκ τῆς ἀντὶ προθέσεως καὶ τοῦ ω ν ὑποτακτικοῦ α ρθρου γέγονε. Λειποτάκτησ. ὁ φεύγων καὶ καταλιμπάνων τὴν τάξιν. κυρίως δὲ ἐπὶ στρατιωτῶν φευγόντων τὸν πόλεμον. Λειπόνεωσ. ὁ λιπὼν τὴν ναῦν. Λειχήν. ει δος πάθους. παρὰ τὸ λείχω· καὶ γὰρ φασὶν, ὡς ἐκ τοῦ λείχειν τὸ πάθος ἐπαίρεται. η παρὰ τὸ λεῖον κατὰ ἀντίφρασιν γέγονε, τὸ μὴ ο ν λεῖον. (Θηλυκόν.) Λεηλασία. αἰχμαλωσία. Λεκάνη. η ς τὸ χάσμα λεῖόν ἐστι· πεπλάτυνται γάρ. λειοχάνη ου ν ἡ ἐτυμολογία. Λεκιθοπῶλισ. ἡ τὰ ὠὰ πωλοῦσα. Λέξισ. μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου. κυρίως δὲ λέξις ἡ ε χουσα τὶ λεκτὸν ἐν αὐτῇ, τουτέστι σημαντικόν. Λεβηρίσ. τὸ δέρμα τοῦ ο φεως. †Λέπαργοσ. ἡ χιών.† †Λεπρά. τραχεῖα.† lambda.1296 Λέσχαι. τὰ δειπνητήρια, καὶ αἱ φλυαρίαι, καὶ αἱ πολυλογίαι, καὶ αἱ υ βρεις. οἱ γὰρ καθεζόμενοι χάριν θέρμης ἐν ταῖς οἰκίαις λόγους συναίρουσιν. Λεσχέραι. αἱ σχολαί. ἀπὸ τοῦ λέξαι· ἐκεῖ γὰρ ὡμίλουν. Λέπρα. σπῖλος ἐγγινόμενος τῷ σώματι κατά τι πάθος, σβεννυμένου τοῦ αι ματος καὶ λευκαινομένου. οὐδὲν γὰρ ε τερον ἐστὶ σὰρξ η πεπηγὸς αι μα. †Λέρνη. ἡ κρήνη.† Λευκή. νήσου ο νομα ἐν Πόντῳ. Λευκὴ δὲ λέγεται διὰ τὸ ἐνδιαιτᾶσθαι ἐν αὐτῇ πλῆθος λευκῶν ὀρνέων. Λευκή. ἡ διαφανὴς καὶ λαμπρά.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρὰ τὸ λεύσω, τὸ βλέπω. Λευκανία. ὁ λαιμὸς, ὁ στόμαχος, ὁ βρόγχος, η τὸ ἀπηρτημένον τοῦ γαργαρεῶνος. παρὰ τὸ λευκὸν ει ναι τῇ φύσει. η παρὰ τὸ χεύω, χευκανία καὶ λευκανία. †Λεωρία. ἡ χαλεπή.† Λεωφόροσ. ἡ τὸν λαὸν φέρουσα ὁδός. Λεία. ἡ λαφυραγωγία. καὶ ὁμαλὴ ὁδός. Λειξουρία. ἡ λαιμαργία, ἡ πλεονεξία. Λεική. τὸ πτύον. Λειοπετρία. ε νθα εἰσὶν ὁμαλοὶ λίθοι. lambda.1297 Λειριόεσσαν. ἡδυτάτην, γλυκεῖαν. Ομηρος· λειριόεσσαν ο πα ι ησιν. ἀπὸ τοῦ λείρια, ο σημαίνει τὰ α νθη, λειριόεις καὶ λειριόεσσαν. Λειτουργική. κυρίως μὲν ἡ ἱερατικὴ, καταχρηστικῶς δὲ καὶ ἡ δουλικὴ ὑπηρεσία. Λειψυδρία. ἡ λεῖψις τοῦ υ δατος. (Οὐδέτερον.) Λέμβοσ. τὸ μικρὸν πλοιάριον. †Λέγνον. τὸ εἰλητὸν καὶ ποικίλον.† †Λέκοσ. τὸ τρυβλίον.† Λέκτρον. κλίνη· κραββάτιον. Λέντιον. παρὰ τὸ λιαίνω, τὸ καθαίρω, λιέντιον καὶ λέντιον. †Λέπασ. τὸ πρόσαντες.† Λέπος καὶ λέπισμα καὶ λέπυρον. ὁ φλοιός. Λεπτόμιτον φάροσ. τὸ λεπτὸν ἱμάτιον. Λέπαδνα. οἱ χαλινοὶ καὶ οἱ κατὰ τῶν ἱππείων στηθῶν ἱμάντες η τοι οἱ μασχαλιστῆρες. Λευγαλέον. ὀλέθριον καὶ χαλεπόν. παρὰ τὸν lambda.1298 λοιγὸν, ο σημαίνει τὸν ο λεθρον, λοιγαλέον καὶ μεταθέσει τῶν στοιχείων λευγαλέον. Λευρόν. τὸ λεῖον καὶ πλατύ. ἀπὸ τοῦ λίαν εὐρύ. Λευκόνιον. τόπος. Λέχοσ. μίξις, συνουσία, κοίτη. παρὰ τὸ λεχρίους ἡμᾶς ποιεῖν, ο ἐστι πλαγίους, η παρὸ τὸ λέγω, τὸ κοιμῶμαι, λέχος. Λεχέων στυγερῶν. μισητῶν γάμων. Λέχαιον. ο νομα ο ρους. Λέχριον. πλάγιον. Λεωκόριον. τόπος *ἐν Ἀθήναις.* †Λεῶρεσ. τὸ α ωρον.† Λεῖον. τὸ ὁμαλόν. ε στι λαύω τὸ ἀπολαύω. ο νομα ῥηματικὸν λαύος. καὶ τροπῇ τοῦ μὲν ¯α εἰς ¯ε τοῦ δὲ ¯υ εἰς ¯ι, γίνεται λεὼς καὶ λεῖον, ου πᾶς ἐφίεται. Λείρια. τὰ α νθη. Λείψανον. παρὰ τὸ λείπω λείψανον. λείψανα γὰρ τὰ ἐγκαταλείμματα. η παρὰ τὸ λείβω, lambda.1299 λείψω, λείψανον. καὶ γὰρ ε σπενδον ὑπὲρ τῶν τεθνεώτων. λείβω γὰρ τὸ σπένδω. Λεξείδιον. εἰ μὲν ἀπὸ τῆς λέξεως γέγονε μετοχῆς, διὰ τῆς ¯ε¯ι διφθόγγου γράφεται· εἰ δὲ ἀπὸ τῆς λέξιος ἰωνικῶς, διὰ τοῦ ¯ι. †Λέγανον. τὸ καπύριον.† (Ῥῆμα.) Λεανῶ. ἐκτρίψω· λεπτυνῶ, η ὁμαλίσω. Λέγω. τὸ κοιμῶμαι. Λεγόμεθεν. *ἐκοιμώμεθα.* οἱ Αἰολεῖς τὸ λεγόμεθα καὶ φερόμεθα εἰς ¯ε ποιοῦσι, λεγόμεθεν καὶ φερόμεθεν, μετὰ τοῦ ν. ἀλλὰ καὶ τὰ εἰς ¯θ¯ε¯ν λήγοντα ἐπιῤῥήματα εἰς ¯α ποιοῦσι, οι ον ο πισθεν, ο πισθα, α τερθεν, α τερθα, χωρὶς τοῦ ¯ν. ο τε γὰρ η εἰς ¯ε τὰ ἐπιῤῥήματα, τότε καὶ τὸ ¯ν, οι ον ο πισθεν· ο τε δὲ εἰς ¯α, ἀφίσταται τὸ ¯ν, ω σπερ καὶ τὸ λεγόμεθα. ει τα τὸ λεγόμεθεν ἐπλεόνασε τὸ ¯ν. ου τως Ἡρωδιανὸς περὶ παθῶν. lambda.1300 †Λέγω. τὸ λαλῶ· καὶ μετρῶ· κοιμῶμαι· συλλέγω· καὶ τὸ λαγχάνω.† Λεηλατῶ. πορθῶ, αἰχμαλωτίζω. †Λελεγίζω. τὸ κιθαρίζω.† Λελιημένοσ. προθυμούμενος· η ἐπιθυμῶν. παρὰ τὸ μένος. η παρὰ τὸ λίαν τεθραμμένος. η ε στι ῥῆμα λῶ, τὸ θέλω καὶ προθυμοῦμαι· ἐκ τούτου λιλῶ καὶ κατὰ παραγωγὴν λιλαίω. ἐξ ου καὶ τὸ λιλαίεται. τοῦ λιλῶ ὁ παρακείμενος λελίληκα, ὁ παθητικὸς λελίλημαι, ἡ μετοχὴ ὁ λελιλημένος, καὶ ἀποβολῇ τοῦ λ λελιημένος. Λελιμμένοσ. ὁ ἐπιθυμῶν. ἀπὸ τοῦ λίπτω, τὸ ἐπιθυμῶ. λελημμένος δὲ ὁ κρατηθεὶς, ¯η. Λελάχωσι. θάψωσιν. η ἀντὶ τοῦ σκάψωσιν. Λελαχώσ. τυχών. λαχών. Λελέξεται. ἀντὶ τοῦ λεχθήσεται. Λελυμασμένοσ. βεβλαμμένος. ἀπὸ τοῦ λύμη, ἡ βλάβη, λυμαίνω, καὶ λελύμαγκα, λελύμαμlambda.1301 μαι, καὶ λελυμαμμένος, καὶ τροπῇ τοῦ μ εἰς ς λελυμασμένος. †Λενῶ. τὸ λυποῦμαι.† Λέξασ. εἰπών. Λεπρωθέντεσ. μιανθέντες. Λεύσω. τὸ βλέπω. Λεύω. λιθάζω. Λεσχηνεύω. φλυαρῶ. Λεαίνω. τὸ ὁμαλίζω. καὶ λειαίνω. Λείβω. τὸ στάζω καὶ τὸ σπένδω. Λειανέων. ὁμαλὸν ποιήσων. Λειήνασ. ὁμαλίσας. Λειποδρανέω. ἀσθενῶ, λειποθυμῶ. Λειποτακτεῖ. τὴν τάξιν καταλιμπάνει. κυρίως δὲ ἐπὶ στρατιωτῶν φευγοπολέμων. Λειτουργεῖν. τὸ ὑπηρετεῖν. παρὰ τὸ λήϊτον, ο ἐστι τὸ δημόσιον. ἀπὸ ου ν τοῦ ε ργον καὶ λήϊτον ληϊτουργεῖν, καὶ κατὰ συστολὴν τοῦ ¯η εἰς ¯ε λεϊτουργεῖν, καὶ κατὰ συναίρεσιν τοῦ ¯ε καὶ ¯ι λειτουργεῖν. Λειφαιμεῖ. αἱμοῤῥεῖ. Λέκτο. ἠρίθμησεν. Ομηρος· –λέκτο δ' ἀριθμόν. καὶ λέγω τὸ ἀριθμῶ. ἐν δ' ἡμέας πρώτους λέγε–. lambda.1302 (Ἐπίρρημα.) Λεληθότωσ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λανθανόντως. Λελιημένωσ. ἐπιθυμητῶς. Λεοντηδόν. φοβερῶς· δίκην λέοντος. Λευρῶσ. ὁμαλῶς. Λεχρίωσ. πλαγίως. Τὸ Λ μετὰ τοῦ Η. (᾽Αρσενικόν.) Λήθαργοσ. ὁ ἐπιλήσμων. †Λῆθοσ. ο νομα κύριον.† Ληϊβοτήρ. ὁ α γριος χοῖρος. Ληϊστόσ. ὁ ἐκ λείας, ο ἐστι λαφύρων, κτητός. Λήϊνοσ. υ μνος. καὶ λήναιος Διόνυσος. Λήπτησ. ὁ λαμβάνων. Ληπτόσ. κρατητός. Λητόϊοσ. κύριον. Λητοΐδησ. ὁ᾽Απόλλων. ὡς ἀπὸ τῆς Λητοῦς. Λῆροσ. ἡ φλυαρία. Λῃστήσ. ἀπὸ τοῦ ληΐζω, τὸ πραιδεύω, γέγονε ληϊστὴς, καὶ κατὰ συναίρεσιν λῃστής. †Λῃστειρῶν. λῃστρικῶν.† lambda.1303 Ληναιών. ᾽Ιαννουάριος μήν.῾Ησίοδος ο ψιμον η γουν ψεκτόν· μῆνα δὲ ληναιῶνα κάκ' η ματα βούδορα πάντα. Ληγουρία .... Ληθαίη. ο ρος. (Θηλυκόν.) Λήθη. ἡ λάθησις. καὶ ληθεδὼν, ληθεδῶνος. †Ληθότησ. ἡ λησμοσύνη.† Ληΐσ. ἡ λαφυραγωγία. ἐκ νηῶν αὐταῖσιν ἀπείρονα ληΐδα κούραις. λεία ἡ λαφυραγωγία καὶ ἐν διαιρέσει ληΐς. τὸ δὲ λεία, οι μαι, παρὰ τὸ λάβω, τὸ ἀπολαύω. λέγονται δὲ καὶ ληϊάδες καὶ ληΐτιδες. αὐτὰρ ληϊάδεσσι δορυκτήταις περιαύων– εἰλαπίνῃσι μέλποντο ληΐτιδες. Ληϊβοτείρησ. ο νομα ἐπίθετον. γέγονε παρὰ τὸ βοτὴρ βότειρα· ὡς πατὴρ πάτειρα, καὶ μήτηρ μήτειρα. lambda.1304 †Ληκύθη. πόλις.† Λήκυθοσ. ἐλαιοδόχον ἀγγεῖον η λαγύνιον. λάχυτός τις ου σα. η παρὰ τὸ κύτος τις ου σα, ἡ μέγα κύτος ε χουσα. λήκυθος καὶ ἐπὶ ἀρσενικοῦ. Λήμη. λευκὸν ὑγρὸν ἐν τῷ ὀφθαλμῷ συναγόμενον. ο πέρ ἐστιν ἡ τζίμβλα. †Λημνία γῆ καὶ γυνή. λιμνεία δὲ, ἡ λίμνευσις, ¯ι.† Λῆμνοσ. ο νομα νήσου. Ληνίσ. ἡ μέθη. Ληνόσ. παρὰ τὸ λεαίνω, τὸ λεπτύνω, λεανῶ, λεανὸς καὶ ληνός. Λήξεωσ. καταπαύσεως, κληρονομίας. Λητή. ο νομα πόλεως. †Λητώ. ἡ νύξ.† Λήθη. μνήμης ε ξοδος καὶ ἐκβολή. Λητώ. παρὰ τὸ λήθω, τὸ λανθάνω· ἐπιληστικὴ γὰρ τῶν κακῶν ἡ θεὸς, ὡς Ελληνες μυθολογοῦσιν. lambda.1305 *Λήδα. κύριον.* †Λήδανον. εὐῶδες φυτόν.† (Οὐδέτερον.) Ληδάριον. ει δος ἱματίου. Ληθεδανὸν φάρμακον. τὸ λήθην ἐμποιοῦν. Λήθαιον υ δωρ. ἐπιληστικὸν καὶ λήθιον πόμα. Ληΐδιον. τριβώνιον εὐτελὲς η χλανίδιον παλαιόν. Λήϊον. χωράφιον· η σιτοφόρον πεδίον. Ληϊστόν. τὸ ἐκ λείας κτητόν. Ληκύθιον. †ῥογίον.† ἐλαιοδόχον α γγος η α λλό τι. Λῆμμα. τὸ δῶρον· τὸ φρόνημα· τὸ κέρδος· τὸ κράτημα. Λήμματα. προβλήματα η πορίσματα· καὶ τόπους καὶ ἀφορμὰς τῶν ἐπιχειρημάτων τῶν εἰς ἑτέραν κατασκευήν. lambda.1306 Λημμάτιον. ο περ ει ληπται πρὸς κατασκευὴν τινὸς ὡς ὁμολογούμενον. Λήμνια κακά. ἀπὸ γυναικὸς τινὸς κακῆς ου σης ἀπὸ τῆς Λήμνου νήσου. Λήναιον. ἑορτὴ Διονυσιακή. Λήδιον. ε σθημα. τοῦ Ψελλοῦ· λευρὸν τὸ λεῖον καὶ πλατύ· λήδιον ε σθημά τι. Λῆμμα. ἡ προφητεία. τοῦ Θεολόγου· τὸ κατὰ Νενευῒ λῆμμα δημοσιεύει. (῾Ρῆμα.) Λήγω. τὸ παύω. λίγω δὲ, τὸ ὑμνῶ, ι. Λήβω. τὸ λαμβάνω. λείβω δὲ, τὸ στάζω καὶ σπένδω, δίφθογγον. Λήθω. τὸ λανθάνω καὶ ληθαργῶ. Ληΐζει. αἰχμαλωτίζει. ἁρπάζει, λαφυραγωγεῖ. †Λημῶ. τὸ τζιμβλῶ.† lambda.1307 Λήσεται. ἐπιλάθοι. Ληΐσατο. ἐκ λείας κατέλιπεν. Ομηρος· –ου ς μοι ληΐσατο δῖος᾽Οδυσσεύς. Τὸ Λ μετὰ τοῦ Ι. (᾽Αρσενικόν.) Λιάμαθοι. οἱ αἰπόλοι. ἀπὸ τοῦ ει ναι λίαν ἀμαθεῖς. Λίβανον. δένδρον η καὶ ο ρος ου τως καλούμενον. λίβανος δὲ ει ρηται, οἱονεὶ ὁ λειβόμενος καὶ σπενδόμενος. δοκοῦσι γὰρ αὐτὸν οἱ᾽Ιουδαῖοι ο λον ει ναι πνεῦμα καὶ θεόν. ἀνωφανὲς γάρ ἐστιν· ο θεν καὶ αὐτὸν σέβονται. λίβανον δὲ καὶ θηλυκῶς ευ ρηται παρ' Εὐριπίδῃ· –Συρίας δ' ὡς λιβάνου καρπός. καὶ Πίνδαρος· αι τε τὰν χλωρὰν λίβανον ξανθὰ δάκρυα θυμιᾶται. Λίβυεσ. οἱ τὴν δύσιν οἰκοῦντες Φράγγοι. lambda.1308 Λίβελλοσ. ε κδοτος, ἡ αἰτία τῆς ὑποθέσεως. Λίγειρ. ο νομα ποταμοῦ. Λιγύσ. ἡδύς· ὀξύς· γλυκύς. Λιθόλευστοσ. ὁ λιθόβλητος. Λιθουργόσ. ὁ λιθοκόπος η ὁ λιθογλύπτης. Λικνοειδήσ. ῥυπαρός. Λιμητανέων. ἐθνικόν. Λιμόσ. παρὰ τὸ λείπω. ὁ γὰρ λιμὸς λεῖψις ἐστὶ τῶν ἐπιτηδείων. ἡ παράδοσις ε χει τὸ ι. ω φειλε δὲ διὰ τῆς ει διφθόγγου γράφεσθαι. καὶ φησὶν ὁ Τρύφων, ο τι συνέπαθε ἡ φωνὴ τῷ σημαινομένῳ· ἐπειδὴ γὰρ ε νδειαν τινὰ σημαίνει, φημὶ δὴ τῶν ἐπιτηδείων, τούτου χάριν καὶ ε νδειαν φωνήεντος ἀνεδέξατο. ὁ δὲ᾽Απολλώνιος διὰ τοῦ ι, ἐξ ἀφορμῆς τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λιμπάνω. ἰστέον δὲ, ο τι παρ' ᾿Αθηναίοις ἀρσενικῶς λέγεται ὁ λιμός· παρὰ τοῖς Δωριεῦσι δὲ θηλυκῶς ἡ λιμός. πειράσασθε δὲ τᾶς λιμοῦ κακῶς. lambda.1309 Λῖνον. τὸ δίκτυον. Λιπερνήτησ. ἐνδεὴς, πτωχός· η ὁ ἁλιεύς.῾ Ηρωδιανὸς λέγει τὸν πρότερον πλούσιον, υ στερον δὲ πένητα, παρὰ τὸ λείπεσθαι ἐρνέων η γουν φυτῶν. Λίροσ. ὁ ἀναιδής. παρὰ τὸ λίαν ὁρᾷν. η λιρός. Λίσ. ὁ λέων. παρὰ τὸ λιαρόν. ε νθερμον γὰρ τὸ ζῶον. Λίταργοσ. ὁ ἀργός. λίταργον κύνα. παρὰ τὸ λίαν ἀργὸν η ταχὺν ει ναι. Λιτόεισ. κύριον. Λιτόσ. ὁ εὐτελής· ὁ πένης, ὁ δημότης, ὁ ἐκ λιτανείας ζῶν, η ὁ ἐπὶ γῆς κοιμώμενος. Λίχνοσ. ὁ λαίμαργος. ἀπὸ τοῦ λίαν χαίνειν, ο ἐστιν ἐπιθυμεῖν. Λιχανόσ. ὁ δεύτερος δάκτυλος. παρὰ τὸ λίαν χαίνειν ἀπὸ τοῦ πρώτου. Λίψ. ὁ α νεμος. η η ττα. καὶ ἡ λιβάς. ἀμφότερα δὲ παρὰ τὸ λείβω γέγονε. τὰ εἰς ψ lambda.1310 λήγοντα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν τῆς διφθόγγου, η γουν τὸ γράφεσθαι δίφθογγα. οι ον αἰθίοψ, αἰγίλιψ, σκνὶψ σκνιφὸς καὶ σκνιπὸς, νὶψ νιβὸς, ο νομα κρήνης. ου τως ου ν καὶ λὶψ διὰ τοῦ ι. λέγεται δὲ ὁ α νεμος, καθὰ λείπει ὁ η λιος. (Θηλυκόν.) Λιαρή. ἡ ὁμαλή. διὰ τοῦ ι. λιαρὴ γὰρ ὑπὸ κνέφας ἠμάτιοι. Λιβάσ. ὁ σταλαγμός. Λιβρή. ἡ σκοτεινὴ νύξ. ἀπὸ τοῦ λίαν ἐρεβενή. η παρὰ τὸ λίαν βαίνειν. Λιβύη. χώρα ἐν βορείοις μέρεσι κειμένη. ἀπὸ τῆς λιβάδος· ε στι γὰρ ἐλλιπὴς ὑετῶν. Λιγνύσ. ἡ κνίσσα· η ἡ ἀνάδοσις τοῦ πυρός. λέγει δὲ τὸν ἀπὸ τῶν ἐλαιωδῶν καιομένων καπνόν. ἀπὸ τοῦ λίαν ἱκνεῖσθαι. αἰθάλη δὲ ὁ τοῦ ἀσβέστου καπνός. lambda.1311 Λίνδοσ. χώρα ἐν τῇ῾ Ρόδῳ, η καὶ νῆσος. Λιπάρεωσ. τῆς ἐν Σικελίᾳ νήσου. Λισσή. ὁμαλή. παρὰ τὸ λίαν ι ση ει ναι. καὶ λισσὸν τὸ ὁμαλόν. Λιτή. εὐτελής. καὶ ἡ παράκλησις. (Οὐδέτερον.) Λιαρόν. θερμὸν, χλιαρὸν, προσηνές. παρὰ τὸ λῶ, τὸ θέλω, λαρόν. ὡς νῶ ναρὸν, λῶ λαρὸν, καὶ πλεονασμῷ τοῦ ι λιαρόν. η ἱλαρὸν, καὶ καθ' ὑπερβιβασμὸν λιαρόν. Λιβάνιον ο ρος. τοῦ Λιβάνου. Λίβοσ. τὸ δάκρυον. Λίβυρνον. πλοῖον πολεμικόν. Λιγυρόν. ὀξὺ, ἡδύτατον. Λιγύριον. ο νομα λίθου. Λιγυστικόν. πέλαγος. Λίκνον. τὸ πτύον. Λίλαιον· Λίλαντον· Λιλύβαιον. ὀνόματα τόπων. lambda.1312 Λινόν. τὸ ε ριον. ἀπὸ τῆς λειότητος. η λεπτὸν υ φασμα. λινὸν ε λεγον ἀπὸ τοῦ λίαν νενῆσθαι. καὶ λίνειον ε σθημα. Λίσφη. τὰ ἰσχία παρ' ᾿Αττικοῖς. παρὰ τὸ λείπειν αὐτὰ σαρκῶν. δύναται δὲ καὶ λέσφη ει ναι κατὰ τὴν ὀσφύν. Λίστρον. τὸ ξύστρον. –λίστροισιν ἐοικότα– ἀπὸ τοῦ λίαν στορεννύειν δι' αὐτῶν τὴν ὑποκειμένην υ λην. Λίτα. καταπετάσματα, η λεπτὰ περιβόλαια. –λίτα πετάσαντες–. Λίτυον. ἡ βακτηρία. (῾Ρῆμα.) Λιάζω. τὸ ἐκκλίνω. καὶ λιασθείς. τὸ θέμα λιάζω, παρὰ τὸ ἀλῶ, τὸ πλανῶ καὶ ἐκκλίνω. ἀλῶ ου ν ἀλίζω καὶ μεταθέσει τοῦ ¯λ λιάζω. Λιθοδικτῶ. λίθοις βάλλω. lambda.1313 Λικμῶ. τὸ διασκορπίζω. καὶ λικμᾶν, καὶ λικμώντων, ο ἐστι διαπτυϊζόντων. διὰ τὸ λίαν καμεῖν. Λιλαίω. τὸ ἐπιθυμῶ. προθυμοῦμαι. Λιμπάνω. ἀπὸ γὰρ τοῦ λείπω λιμπάνω. τὰ γὰρ διὰ τοῦ ¯α¯ν¯ω, εἰ μὲν πλεονάζει τὸ ¯ν, συστέλλει τὴν ἀρχὴν, οι ον λήθω λανθάνω, πείθω πανθάνω· ου τως ου ν καὶ λείπω λιμπάνω· εἰ δὲ μὴ πλεονάζει τὸ ν, φυλάσσει τὴν ἀρχὴν, οι ον λήθω ληθάνω, ὡς παρὰ τῷ ποιητῇ· ληθάνει, ο σσ' ε παθεν– αυ ξω αὐξάνω. Λιπαρεῖν. παρακαλεῖν. παρὰ τὸ λίαν παρεῖναι. Λίπτω. τὸ ἐπιθυμῶ. Λιπόμενοσ. ὁ ἀπολειφθείς. λειπόμενος δὲ ὁ ἀπολιμπανόμενος, δίφθογγον. Λιπώμενος δὲ, ὁ λιπαρῶν, ι καὶ μέγα. Λίποιτο. καταλειφθείη. Λιστρεύω. τὸ ξύω. lambda.1314 Λίσσομαι. ἱκετεύω, παρακαλῶ, δυσωπῶ. Λιτάζομαι. δέομαι· παρακαλῶ. Λιχμώμενοσ. ἀντὶ τοῦ λείχων. καὶ λιχμάζω. Λικριφίσ. εἰς πλάγιον. παρὰ τὸ λέχριον, τὸ πλάγιον. οἱονεὶ λεκριφὶς καὶ τροπῇ λικριφίς. Τὸ Λ μετὰ τοῦ Ο. (᾿Αρσενικόν.) Λοβόσ. ὁ μετὰ τῆς πιμελῆς νεφρός· η τὰ α κρα τῶν ω των. †ἐφ' ω ν τὰ ἐνώτια.† Λογοποιῶν. πλαττόντων ψευδεῖς λόγους. Λογικόσ. ο στις μετὰ λόγου πράττει. οι ον γραμματικὸς, ῥήτωρ. Λογγῶνεσ. οἱ ἐπὶ τῶν λιμένων τρητοὶ λίθοι, ἐν οι ς ἐξαρτῶσι τὰ σχοινία τῶν νεῶν. τοὺς δὲ τοιούτους λίθους καὶ λογγάσια ε λεγον. Λόγος τριχῶς ει ρηται. λόγος ἐνούσιος, ὁ θεὸς λόγος· λόγος ἐνδιάθετος, ὁ τῶν ἀγγέλων· καὶ lambda.1315 ὁ ἐν τῇ ἡμετέρᾳ διανοίᾳ λαλῶν.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

λόγος καὶ ὁ προφορικὸς τῆς γλώττης. λόγος δὲ ει ρηται ἐκ τοῦ λέγειν. λόγος ἐστὶν α γγελος νοήματος ἐς φῶς ἐκφέρων τὸ νοηθέν. ε στι δὲ καὶ πεζῆς λέξεως σύνθεσις, διανοίας ἀπηρτισμένης. λόγος ὁ οὐσιωδῶς ἀεὶ τῷ πατρὶ συμπαρών. καὶ ὁ μὲν ἀκούει οὐσιώδης, ὁ δὲ ἐνδιάθετος. λόγος ὁ μὲν ἐν τῇ διανοίᾳ, ἐνδιάθετος λεγόμενος, λέγεται συμπλοκὴ νοημάτων ἐν ψυχῇ· ὁ δὲ ἐν τῇ προφορᾷ καὶ χρήσει ῥεῦμα ἀπὸ διανοίας ἐκπεμπόμενον μετὰ φωνῆς· η ε μφασις διανοίας μετὰ ῥημάτων καὶ ὀνομάτων. Λόγος, καὶ ἡ φροντίσ. †λέγεται καὶ ὁ τραπεζητικὸς, καὶ ὁ γεωμετρικὸς, καὶ ὁ ἐκ λημμάτων καὶ ἐπιφορᾶς, οι ον· ἡμέρα ἐστὶ φῶς, ε στι τοῦτο λῆμμα.† Λογισμόσ. κίνησις ψυχῆς περί τι. λογισμός ἐστι τὸ πρῶτον ἐν τῇ διανοίᾳ ἀνελθὸν νόημα. λογισμός ἐστιν ἀόρατος κίνησις καὶ ταραχὴ πράγματος. λογισμός ἐστιν ἡ ποιὰ τοῦ διαλογισμοῦ κίνησις. λογισμὸς δαιμονιώδης ἐστὶν εἰκὼν αἰσθητῶν πραγμάτων συνισταμένη κατὰ διάνοιαν, μεθ' η ς ὁ νοῦς κινούμενος ἐμπαθῶς λέγει η πράττει τι ἀνόμως ἐν τῷ κρυπτῷ πρὸς τὸ μορφούμενον ει δωλον ἐκ διαδοχῆς ὑπ' αὐτοῦ. ἐπιλογισμὸς δὲ ἐστὶν ἐναντίον λογισμοῦ. Λοιγόσ. ὁ ο λεθρος. Λοιμόσ. νόσος μεταδοτικὴ η φθορά. κυρίως δὲ λοιμὸς ὁ ἐπὶ κακίᾳ πολύς. †η ὁ κακὸς δικαστής.† lambda.1316 Λοίσθιοσ. ὁ ε σχατος. καὶ λοῖσθος καὶ λοίσθιον. οἱ μὲν παρὰ τὸ ο λισθος καθ' ὑπερβιβασμὸν τοῦ λ, λοῖσθος, λοίσθιος, οι ον ἐξολισθήσας καὶ ἐμποδισθείς. η παρὰ τὴν λαίστην, ο σημαίνει τὴν λοιδορίαν καὶ αἰσχύνην, λαῖσθος καὶ λοῖσθος. οι ον· λοῖσθος ἀνὴρ ω ριστος ε χει μώνυχας ι ππους. Λολλιανόσ. κύριον. Λουκιλλιανόσ. κύριον. Λουδεμπιστήσ. ὁ α ρχων τῶν παιγνιδίων. λοῦδα γὰρ τὰ παίγνια παρὰ῾Ρωμαίοις. Λόφοσ. υ ψος γῆς καὶ ἐπανάστημα. Λοχαγοῖσ. στρατηγοῖς, ταξιάρχαις. Λοχίτησ. ὁ ἐνεδρεύων. τὰ ἀπὸ τῆς εἰς ¯ο¯ς διὰ τοῦ ¯ι¯τ¯η¯ς γινόμενα διὰ τοῦ ¯ι γράφεται, οι ον· τόπος τοπίτης, λόχος λοχίτης. Λόχοσ. ἡ ἐνέδρα. ἀπὸ τοῦ τοὺς ἐπιλέκτους εἰς τοῦτο εὐθετεῖν. η ἀπὸ τοῦ λέξασθαι· καὶ γὰρ οἱ τοιοῦτοι ἐπίλεκτοι διεκρίνοντο εἰς τὰς ἐνέδρας. Λόχοσ. τὸ ε γκρυμα. Λουτήρ. παρὰ τὸ λούω, λούσω, λέλουκα, λέλουσμαι, λέλουσαι, λέλουσται, λουστὴρ καὶ λουτήρ. (Θηλυκόν.) Λογάσ. ἐκλεκτὴ, φρόνιμος. Λογίαι. καρποφορίαι. ἐκλογαί. Λογικὴν τερθρείαν. ῥητορικὴν φλυαρίαν. Λοιβή. ἡ σπονδή. ἡ θυσία. lambda.1317 Λοιδορία. ἡ ἐν φανερῷ κακηγορία η λαθραία μέμψις. παρὰ τὸ λοιμὸς λοιμορία καὶ λοιδορία. η παρὰ τὸ βάλλειν τοὺς λόγους ὡς δόρατα. Λοίμη. ἡ φθορά. λύμη δὲ ἡ βλάβη, ψιλόν. †Λοισθία. ἡ ἐσχάτη.† Λοισθώνη. θρασεῖα. Λοπάσ. ἡ χύτρα. Λόρδωσις. ἐμπρόσθιον κύρτωμα. υ βωσις δὲ, τὸ μετὰ τὴν κεφαλὴν πρὸ τῆς ῥάχεως πάθος. κύρτωσις δὲ τὸ μέσον τῆς ῥάχεως. Λουκόλεια. τόπος. Λουκερία. τόπος. Λουκρητία. χώρα. Λοφία. ὑψηλὸς τόπος. Λόχμη. σύμφυτος τόπος. Λοχεία. ἡ ἐπὶ τῷ τόκῳ ὠδίς. Λόχησισ. ἡ ἐνέδρα. Λογία. ἡ συλλογὴ παρὰ τῷ Ἀποστόλῳ· καὶ τὸ ἐκ πολλῶν συνεισφερόμενον. λέγει δὲ τὴν ἐλεημοσύνην. περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, ὡς διέταξα ταῖς ἐκκλησίαις. lambda.1318 (Οὐδέτερον.) Λογεῖον. τὸ μαντεῖον καὶ τὸ σχολεῖον. λόγιον δὲ, ὁ λόγος, ι. †Λογίστρια. ὀλοθρεύτρια.† Λογύδριον. ὁ μικρὸς λόγος. Λοίγιον. ὀλέθριον. Λοίσθιον. ε σχατον. Λοιβεῖον. ἐν ω αἱ θυσίαι γίνονται. Λοιπόν. τὸ ἐπίλοιπον. παρὰ τὸ λείπω λοιπὸς, ὡς λείβω λοιβὸς, καὶ ἀμείβω ἀμοιβή. καὶ ἐξ αὐτοῦ τὸ οὐδέτερον λοιπόν. λοιπὸν καὶ ἀντὶ τοῦ διὰ τοῦτο. †Λοῦδα. τὰ παίγνια παρὰ῾Ρωμαίοις.† †Λοπαίδια. ο ργανον.† Λουτρά. τὰ εἰς λύσιν α γοντα τῆς ἀκαθαρσίας· καὶ γὰρ λῦμα καλεῖται ὁ ῥύπος. Λοφεῖον. ἡ θήκη τῆς περικεφαλαίας. καὶ λοφήϊον. Λορδόν. συγκεκαμμένον. τοῦ Ψελλοῦ· λέγανον τὸ καπύριον, λορδὸν συγκεκαμμένον. (῾Ρῆμα.) Λογίζειν. λογαριάζειν. lambda.1319 Λόγισαι. σκέψαι. Λογιεῖται. διαλογισθήσεται. Λοφίζω. λόφον καὶ υ ψος ποιῶ. λωφῶ δὲ, τὸ παύω, μέγα. †Λοιεῦσαι. θάψαι.† †Λοπεύειν. θάπτειν.† †Λοπίξαι. λαμπρύναι.† †Λοπῶντα. λεπιζόμενα.† Λοχεύουσι. γεννῶσι. Λοχῶντεσ. ἐνεδρεύοντες. Λοχίζω. τάσσω εἰς λόχον α νδρας. λόχος γὰρ καὶ λόχησις ἡ ἐνέδρα. λοχῶ δὲ αὐτὸς ἐγώ. Λοεσσάμεναι. ἀντὶ τοῦ λουσάμεναι. κατὰ διάλυσιν τῆς ¯ο¯υ. λοεσσαμένη,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λοεσσάμεναι. lambda.1320 Τὸ Λ μετὰ τοῦ Υ. (Ἀρσενικόν.) Λύβας· Λύβαστος· Λυβήρ. ὀνόματα κύρια. Λυγδηνόσ. ἀπὸ Λύγδης. Λυγρόσ. ὁ χαλεπὸς η ἀσθενής. Λυγαῖοσ. σκοτεινός. λυγαῖος δὲ η ν ὁ τόπος αὐτοῖς. Λυβρόσ. Λυκάβασ. ὁ ἐνιαυτός. ἐκ μεταφορᾶς τῶν λύκων τῶν βαινόντων κατὰ οὐράν. Λυκόζειοι. ε θνος. Λυμεών. ὁ βλαπτικός. lambda.1321 Λυρῳδόσ. ὁ μετὰ λύρας ᾳ δων καὶ ψάλλων. ληρῳδὸς δὲ, ὁ φλύαρος, ¯η. Λύχνουσ λέγουσιν οἱ Ἀθηναῖοι· λύχνα δὲ Ἰακῶς λέγεται. παρὰ τὸ λύειν τὸ νύχος η τοι τὸ σκότος, λύνυχος καὶ λύχνος. Λυγδάμησ. κύριον. καὶ κλίνεται Λυγδάμους. (Θηλυκόν.) †Λύαι. στάσεις· διαφοραί.† Λύγξ. ο τε μὲν τὸ πάθος, διὰ τοῦ γ κλίνεται, ἐξ ου καὶ τὸ ἀνελυγγίασεν· ο τε δὲ τὸ ζῶον, διὰ τοῦ κ, λυκός. Καλλίμαχος· κρέα λυκὸς ε ταμνε. καὶ λὺξ, λυγὸς, ἡ ῥάβδος. Λύγδη. ο νομα τόπου. Λυδία καὶ Λυκαονία καὶ Λυκαρνία. ὀνόματα χωρῶν. Λυκέα. ἀγὼν ἐν Ῥώμῃ. σύνηθες δὲ αὐτοῖς ε παθλον δορὰν διδόναι. †Λυκέθη. ο νομα κύριον.† Λυκώρεια. πόλις. Λύμη. ἡ βλάβη. ἀπὸ τοῦ λύω. λοίμη δὲ, ἡ φθορὰ, δίφθογγον. Λυρνησσόσ. πόλις. †Λύρα ἐστὶν ἱστὸς διὰ νεύρων ἐσκευασμένοσ.† Λυρῳδία. ἡ τῆς λύρας ᾠδή. ληρῳδία δὲ, ἡ φλυαρία, η. lambda.1322 Λυπρά. λυπηρὰ, μοχθηρά. Λυπρόγεωσ. ἡ μοχθηρὰ καὶ λυπηρὰ γῆ. Λύπη. διάθεσις ἡδονῶν ἐστερημένη. η λύπη ἐστὶν ε νδεια ὀρέξεως· ο ρεξις δέ ἐστι τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς κίνησις· ἐπιθυμητικὸν δέ ἐστι τὸ θελητικόν· ω στε τὴν λύπην τὴν ἐπαινετὴν ὁ Χριστὸς ἐν τῷ θελητικῷ μέρει τῆς ψυχῆς ἑκουσίως ἐδέξατο. λύπη γὰρ κατὰ τὸ λυποῦν ει ρηται. τοίνυν ἐν ἀληθείᾳ ἐλυπεῖτο ὁ Χριστὸς τὴν ἀπώλειαν τῶν Ἰουδαίων καὶ τοῦ Ἰούδα καὶ τῆς Ἱερουσαλὴμ, η ν ἐδάκρυσεν ἐν ἀληθινῇ αἰσθήσει ψυχῆς λυπούμενος καὶ δεικνὺς τὸ φύσει φιλάνθρωπον. Λύσσα καὶ λύττα. ἡ μανία. Λύπη. στέρησις ἐπιθυμίας. (Οὐδέτερον.) †Λυαῖα. παύσιμα.† Λυγίσμασιν. ἐπικάμψεσι. συγκλάσμασι. Λυγρόν. χαλεπὸν, ἀσθενές. Λύγοσ. τὸ σκότος. οὐδέτερον. ευ ρον τοῦτο καὶ λυγός. ἀπὸ τοῦ λύειν τὴν αὐγήν. καὶ τὸ κατακρύπτεσθαι ὑπολυγίζεσθαι ε λεον. σημαίνει δὲ καὶ φυτόν. Λύδιον. μέλος. Λύθρον. τὸ μετὰ κόνεως αι μα. lambda.1323 Λύκιον τέρασ. τὸ τοῦ λύκου. λύκειον δὲ δῶμα, δίφθογγον. Λύκειον. πόλις Θετταλίας, ε νθα λύκος ἐπιὼν τοῖς τῆς πόλεως βουσὶν ἀπελιθώθη. γράφεται δὲ διὰ διφθόγγου τῷ λόγῳ τοῦ λάγειον. Λυκόφωσ. τινὲς τὸ σκοτεινὸν λέγουσιν, οι ον λυγαῖον, διαλελυμένον φῶς. η αὐγὴ διαλυθεῖσα. η τὸ μετέχον τοῦ σκότους καὶ φωτός. ἀπὸ μεταφορᾶς τῶν λύκων, οι τινες τὸ μὲν κάτω μέρος τὸ πρὸς τῷ δέρματι λευκὸν ε χουσι, τὸ δὲ α νω, μέλαν. Λύματα. καθάρματα. η καὶ αἱ τῆς γαστρὸς εἰς ἀφεδρῶνα ἐκκρίσεις. Λυπρόν. λυπηρὸν, μοχθηρόν. Λυπινάριον. ει δος ὀσπρίου, α καὶ θέρμια λέγομεν. Λυσιτελέσ. συμφέρον. ὠφέλιμον. Λυσσῶδεσ. μανικόν. Λύτρα. δῶρα ἐπὶ ἐλευθερίᾳ αἰχμαλώτων διδόμενα. Λυχνίον. ὁ λύχνος. λυχνεῖον δὲ ὁ τόπος τοῦ λύχνου, διὰ διφθόγγου. Λυγίζω. διασείω. †Λυγίσασθαι. κρυβῆναι.† Λυδίζω. τὰ τῶν Λυδῶν φρονῶ. Λυμαίνεται. βλάπτει. lambda.1324 Λῦντο. ἐλύθησαν. Λυπῶ. τὸ θλίβω. Λυσσῶντες καὶ λυττῶντεσ. οἱ μαινόμενοι. Τὸ Λ μετὰ τοῦ Ω. (Ἀρσενικόν.) Λωγήρυχοσ. κύριον. Λωποδύτησ. ὁ τῶν ἱματίων κλέπτης. λώπη γὰρ τὸ ἱμάτιον. Λῷστοσ. ὁ φίλος. Λῶτοσ. ἱμάτιον. Λωτοφάγοι. ε θνος. Λωτόσ. τὸ γλυκοκάλαμον. η βοτάνη εὐωδεστάτη, η ν ε νιοι μυρόλωτον κικλήσκουσι. Λώταξ. ὁ ληστής. η ὁ πόρνος. η ὁ μύρα ἀλειφόμενος. η ὁ καταδαπανῶν ἐν τοῖς αἰσχροῖς τὸν βίον αὐτοῦ, ὡς ὁ πόρνος καὶ ὁ ἀνδρόγυνος. η ὁ αὐλητής. Λῶοσ. κύριον. καὶ ο νομα μηνός. (Θηλυκόν.) Λώβη. ἡ βλάβη καὶ ἡ υ βρις. ἡ ἐπὶ τῷ κακῷ περιβόητος. η ἀπὸ τοῦ λοβὸς, ο σημαίνει τὰ α κρα τῶν ὠτῶν. –εὐτρήτοισι λοβοῖσιν– οἱ γὰρ παλαιοὶ τοὺς ε ν τισιν ἀτοπήμασιν ἁλόντας ἐνυβρίζοντες, τὰ α κρα τῶν ὠτῶν ἀπέτεlambda.1325 μνον. η ἀπὸ τοῦ λαβὴ, ο σημαίνει τὸ ξίφος η τὴν βλάβην, λώβη. Λωβεία. ἡ νόσος. †Λωγή. ἡ τῆς καλάμης ἀναλογή.† Λώλια. κύριον. Λώπη. τὸ ἱμάτιον. †Λωτοβοσκόσ. ἡ Θρᾴκη. ἡ Αι γυπτος.† Λωτοδάμη. κύριον. (Οὐδέτερον.) Λωγάνιον. μέρος τοῦ σώματος. Λώϊον. κρεῖσσον,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βέλτιον. τὰ εἰς ¯ω¯ν καθαρὰ δισύλλαβα συγκριτικὰ διφθόγγῳ παραλήγεται, οἱον πλείων, μείων, ῥᾴων, λῴων. καὶ τὰ μὲν δύο ἐκφωνοῦσι τὸ ¯ι, οἱον πλείων, μείων· τὰ δὲ δύο, οἱον ῥᾴων, λῴων, ου . γίνεται δὲ παρὰ τὸ λῶ, τὸ θέλω. ὁ γὰρ νοεῖ τις ἑαυτῷ συμφέρον, τοῦτο καὶ θέλει. Λῶον. τὸ κρεῖττον· τὸ συμφέρον· τὸ βέλτιον. Λῶμα. τὸ εἰς τὸ κατώτατον μέρος τοῦ ἱματίου ἐπίβλημα. ἐκ βύσσου καὶ πορφύρας καὶ κοκκίνου. lambda.1326 †Λώπισμα. τὸ ἀπάνθημα.† lambda.1326 (῾Ρῆμα.) Λωβάω, λωβῶ. τὸ βλάπτω. †Λωγεῖ. μαίνεται.† †Λωλῶ. σῦκον μετὰ γιγάρτων κόπτω.† †Λωπεύειν. θάπτειν.† †Λωπίζειν. ἀποδύειν· η τὸ κείρειν.† Λώπτω. τὸ πηδῶ. Λωτεῦντα. ἀνθοῦντα. τὰ λωτὸν ε χοντα. ἀπὸ τοῦ λωτόεντα γίνεται ὑπερβιβασμῷ λωτέοντα καὶ κράσει δωρικῇ τοῦ ¯ε¯ο εἰς τὴν ¯ε¯υ δίφθογγον λωτεῦντα. εἰ γὰρ ἀπὸ τοῦ λωτόεντα η ν, ω φειλεν ει ναι λωτοῦντα. †Λωτῶ. τὸ αὐλῶ.† Λωφήσαντοσ. †ἀναπαυσαμένου· ἡσυχάσαντος.† λωφήσει. καὶ λωφῶ, τὸ παύω. τειρόμενοι καμάτῳ μετελώφεον. σημαίνει τὸ παύω. μετενήνεκται ἡ λέξις ἀπὸ τῶν τὰ φορτικὰ τιθεμένων. mu.1327 Μ. Τὸ Μ μετὰ τοῦ Α. (᾿Αρσενικόν.) Μαγίστερ. κατὰ῾Ρωμαίους διδάσκαλε. Μαθητήσ. ὁ τοῦ διδασκάλου τὰ μαθήματα ἐπιποθῶν. παρὰ τὸ μήθω, τὸ μανθάνω. μαθητὴν καὶ φοιτητὴν λέγει Σόλων, οὐ γνώριμον. †Μαιμάχησ. ὁ ὑβριστής.† †Μαιτάλιμνοσ. ὁ ἐν Αργει ποταμός.† Μακάριοσ. ὁ πάντοτε ἐν ἀγαθοῖς ω ν, τοῦτο δὲ ὁ θεός. Μακάρων. ἁγίων, τῶν μὴ πεπτωκότων ὑπὸ κῆρα. Μακαρίται. οἱ ἀποθανόντες. οἱ η δη τὸ μῆκος ἐπιλαμβανόμενοι, οἱ μήκιστοι. ο θεν καὶ μακραίων ὁ τύμβος, ὁ εἰς μακρόν. Μαλθακόσ. ὁ τρυφερός. Μαλακόσ. ὁ ἀναπεπτωκὼς, ὁ νοσερὸς, ὁ ἀσελγής. mu.1328 Μαμωνᾶσ. τὰ χρήματα ἑρμηνεύεται. η ὁ α δικος ὑπὲρ τὴν χρείαν συναγόμενος πλοῦτος. Μανδύασ. ει δος ἱματίου, καὶ τὸ τῶν μοναχῶν παλλίον. Μανασσῆσ. κύριον. ου τος α παντα τὸν λαὸν εἰδωλολατρεῖν ἠνάγκασεν, καὶ τὸν μέγαν῾Ησαΐαν ξυλίνῳ διεῖλε πρίονι. ἑρμηνεύεται δὲ λήθη η ἀπομάθησις. Μάντισ. παρὰ τὸ μῶ, τὸ ζητῶ· ζητητικὸς γὰρ ὁ μάντις. οὐ γὰρ παρὰ τὴν μανίαν, ω ς τινες ὑπέλαβον. διὸ καὶ ὁ Ομηρος τὸν μάντιν ευ φρονα λέγει· ο ς φιν εὐφρονέων ἀγορήσατο–. Μανικόσ. παρὰ τὸ μαίνω μανὸς, καὶ τὸ κτητικὸν μανικός. †Μαγέβ. νότου η μεσημβρίας.† Μαζουρώθ. ἀστὴρ ου τω καλούμενος. mu.1329 Μάρσιπποσ. ὁ ἐν αὐτῷ πάντα μάρπτων καὶ συνέχων. Μαραναθά. ὁ κύριος η κει η η λθεν, η η ξει η ε ρχεται. Μάργοσ. ὁ α φρων καὶ ἀνόητος καὶ μαινόμενος. παρὰ τὸ μὴ καὶ τὸ ἀργός. η ὁ λίαν ἀνόητος καὶ ἀμύητος καὶ μὴ ἐνεργός. Μαργίτησ. ὁ ἀνόητος. ἀπὸ τοῦ μάργος μαργίτης, ὡς μέσος μεσίτης. †Μάσσων. ὁ μείζων. καὶ ο νομα ποταμοῦ.† Μαστιγίασ. ὁ μαστιζόμενος δοῦλος. ὡς ἀπὸ τοῦ δράκοντος δρακοντίας, ου τως μάστιγος μαστιγίας. Μαστροπόσ. πορνοβοσκὸς η μαυλιστής. μαστροπὸς καὶ ἐπὶ θηλυκοῦ. ε στι δὲ παρὰ τὸ ¯μ¯α καὶ τοὺς τρόπους, οἱονεὶ ἡ δοκοῦσα μητρὸς τρόπους ε χειν. Μασώβ. τὸ θυσιαστήριον. Μαραναθά. τοῦτο οὐ τῶν῾Εβραίων τινὲς ὑπέλαβον, ἀλλὰ τῆς Σύρων ει ναι φωνῆς. ἑρμηνεύεται δὲ, ὁ Κύριος η λθε. τέθεικε δὲ τὴν λέξιν ὁ ᾿Απόστολος καταστέλλων τὴν ὀφρὺν τῶν Κορινθίων καὶ διδάσκων, ὡς οὐ παιδεύσεως, ἀλλὰ πίστεως αὐτοῖς χρεία. mu.1330 (Θηλυκόν.) Μαγάσ. σανὶς τετράγωνος, ὑπόκυφος, δεχομένη ἐφ' ἑαυτῆς τὰς τῆς κιθάρας νευρὰς καὶ ἀποτελοῦσα τὸν φθόγγον. Μαγγανεία. ἡ μηχανή· ἡ γοητεία· η ποικιλία ἐκ διαφόρων ὀψαρτυτικῶν κεκαρυκευμένη. Μαγεία. ἐπίκλησις δαιμόνων. Μαγνῆτισ. ἡ τὸν σίδηρον ε λκουσα λίθος· η καὶ σιδηρῖτις καλεῖται, καὶ῾Ηράκλεια καὶ Λυδία. ἐμφερὴς γάρ ἐστι τὴν χροίαν ἀργῷ καὶ ἀκαθάρτῳ σιδήρῳ.῾Ηράκλεια διὰ τὸ καρτερὸν καὶ ἀνάλωτον καὶ ἰσχυρὸν τῆς ὁλκῆς· η μᾶλλον διότι περὶ῾Ηράκλειαν τὴν ἐν Πόντῳ πρῶτον ἐφάνη· οἱ δὲ περὶ τὴν ἐν Θρᾴκῃ. Μαγνῆτις δὲ, ο τι, ω ς φασιν, Μάγνητες α νδρες λιθοφόροι ευ ρον αὐτὴν καὶ τὴν ἐνέργειαν, η ν ε χει, ἐπέδειξαν. Μάζα. πᾶσα ἀρτώδης βρῶσις ὑγρῷ τινὶ μεμιγμένη μάζα ει ρηται. παρὰ τὸ μάσσω, μάζα, τροπῇ τῶν δύο ¯ς¯σ εἰς ¯ζ, Δωρικῶς. η παρὰ τὸ μῶ, τὸ ζητῶ, γίνεται παράγωγον μάζα, ἐξ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ου καὶ μαστὸς, ο ν ζητοῦσιν οἱ παῖδες. Μαγίσ. ἡ τράπεζα, ε νθα τὰ μεμαγμένα. Μάκτρα. ἐν ῃ ε μασσον. κάρδοπον δὲ Ἀττικῶς. Μακροθυμία. πέψις λύπης. mu.1331 Μακαριότησ. περίληψις πάντων τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων. Μακρηγορία. ἡ μακρὰ διάλεξις. Μαλακία. νόσος ὀλιγοστὴ καὶ ἀρχὴν ε χουσα, καὶ οι ον καταχαυνώσασα τὸ σῶμα. η ἀνωμαλία τοῦ σώματος πρόσκαιρος. Μάλη. ἡ μασχάλη. Μαλάκα. πόλις Ἰταλίας. †Μαλία. ο νομα ο ρους.† Μάκρισ. πόλις ἐγγὺς Κυζίκου. Μακρὰ συλλαβή. ἡ ε χουσα μακρὸν φωνῆεν μηκυνόμενον, η μίαν τῶν διφθόγγων. κατὰ ὀκτὼ δὲ τρόπους γίνεται ἡ μακρὰ συλλαβή. φύσει μὲν τρεῖς· θέσει δὲ πέντε. οι ον η ρως μακρόν. διατί; κατὰ τὸν πρῶτον κανόνα, τὸν φύσει, η τὸν θέσει. τὸν φύσει. τὸν τί λέγοντα. η ο ταν ε χῃ ε ν τι τῶν διχρόνων κατ' ε κτασιν παραλαμβανόμενον. οι ον· Αρης, Αι ας. τὸ ¯α¯ι μακρὸν διατί; κατὰ τὸν κανόνα τὸν τρίτον. τὸν φύσει η τὸν θέσει. τὸν φύσει. τὸν τί λέγοντα. η ο ταν ε χῃ μίαν τῶν διφθόγγων. οι ον Αι ας. mu.1332 Μανία. χολή. μανία καὶ ἡ ἀραίωσις καὶ ἡ χαυνότης τῶν φρενῶν. μανὸν γὰρ ε λεγον τὸ ἀραιόν. Αἰσχύλος· ἐν μανοστήμοις πέπλοις. τουτέστιν ἀραιοῖς. ἀραιὸν δὲ τὸ ἀσθενές. κατὰ τοὐναντίον δὲ καλεῖται ἀγχίνους παρὰ τὸ πεπυκνωμένας ε χειν τὰς φρένας καὶ συνεχεῖς. Μαλάχη. ει δος βοτάνης. †Μαρίλη. ἡ θερμὴ σποδός.† Μαρμαρυγή. ἡ λαμπηδών. παρὰ τὸ μαρμαίρω, τὸ λάμπω. Μαρτυρίασ. νόμος μήτε ἐθελοντὰς πρὸς τοὺς ἀγῶνας χωρεῖν φειδοῖ τῶν διωκόντων, καὶ τῶν ἀσθενεστέρων μήτε παρόντας ἀναδύεσθαι. τὸ μὲν γὰρ θράσους ἐστὶ, τὸ δὲ ἀνδρίας. †Μάρεια. χώρα, καὶ ποταμὸς, καὶ λίμνη.† †Μαρώνεια. πόλις.† Μανδραγόρα. βοτάνη ὑπνωτικὴ ει δος ε χουσα ἀνθρώπου. Μάσθλη. ὁ μεμαλαγμένος λῶρος. παρὰ τὸ μάσσω, τὸ μαλάσσω. η , ὡς Ἡρωδιανὸς, ἀπὸ τοῦ ἱμάσσω. mu.1333 Μάστι. τῇ μάστιγι. κατὰ ἀποκοπήν. ε στι δὲ δοτική· μάστιν δὲ αἰτιατική. Μάστι δ' αἰὲν ε λαυνεν. Η, καὶ ἐφ' ἱππείην μάστιν βάλεν. Ματαιότησ. πρᾶγμα ἀνόητον, η ἀδιανόητον, η βουλὴ ἀνυπόστατος, πέρας οὐκ ε χουσα. η καθόλου τὸ ἐπὶ παντὶ λυσιτελοῦντι ἀνύπαρκτον. †Ματαίασ. λοιδορίας.† Μαχλάσ. ἡ πόρνη. Μαῖα. ἡ βοηθοῦσα ταῖς γυναιξὶ ταῖς τικτούσαις. †Μαψαύρασ. στόμους.† Μαινάσ. ἡ πόρνη. Ματαιότησ. ἡ φθορά. καὶ ὁ Ἀπόστολος· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα. Μακεδονία. η ς μητρόπολις ἡ Θεσσαλονίκη. τοὺς ἐν ο λῃ τῇ Μακεδονίᾳ. (Οὐδέτερον.) Μαανά. τοῦτο τί ἐστι; Σύρων δὲ ἡ γλῶσσα. Μακάριον. αὐτὸ τὸ ἀγαθὸν, πρὸς ο πᾶν ἀφορᾷ καὶ ου πάντα ἐφίεται. Μακαριστόν. κυρίως ἡ θεότης. Μαζονομεῖον. ἐν ῳ ἡ μάζα φυρᾶται. η ξύλιmu.1334 νον πινάκιον καὶ κανοῦν. ου τως Ωρος ὁ Μιλήσιος. Μάγγανον. παρὰ τὸ μαγγανεύω. τοῦτο παρὰ τὸ α γω, α γανον, καὶ μάγγανον. Μάλευρον. τὸ α λευρον καὶ πλεονασμῷ τοῦ μ μάλευρον. μίγδα μάλευρον. Μάλειον. ο ρος. καὶ Μαλειάων ὀρῶν διὰ τῆς ει διφθόγγου, τῷ λόγῳ τῶν διὰ τοῦ ¯ε¯ι¯α προπαροξυτόνων. Μανόν. ἀραιόν. βραχέως λέγουσι. Τηλεκλείδης ἀντὶ τοῦ ἀκριβὲς, η ὀρθὸν, η ἀσφαλὲς, η πυκνόν. Πλάτων· καὶ ταῦτα μανάκις τῆς ἡμέρας. ἀντὶ τοῦ μυριάκις. Μανιάκιον. τὸ τοῦ ἱματίου περιστόμιον. Μανίφυλλον. ἀραιόφυλλον. μανὸν γὰρ τὸ ἀραιόν. ου τως Ωρος ὁ Θηβαῖος. Μακεδανόν. ὑψηλόν. Μαρτύριον. ὁ ε λεγχος, ἡ κατηγορία, ἡ κατάκρισις. ὡς ἐν τῷ εὐαγγελίῳ· εἰς μαρτύριον πᾶσι τοῖς ε θνεσιν· οἱ γὰρ πιστεύσαντες καταμαρτυροῦσι τῶν μὴ πιστευσάντων. σημαίνει καὶ ε τερον. Μαρσίππιον. τὸ †θυλάκιον η τὸ† σακούλλιον. mu.1335 Μασώβ. τὸ θυσιαστήριον. Ματρύλειον. τόπος, ἐν ῳ μαστροποὶ διατρίβουσι. ματέρας δὲ ἐκάλουν οἱ Δωριεῖς τοὺς μαστροποὺς ἐπευφημιζόμενοι. ε νιοι ματρυλεῖον γράφουσι καὶ μαστρυλλεῖον. Μαφόριον. τὸ τῆς κεφαλῆς περίβλημα. †Μαχαιροδιαίνιον.† †Μάψαρ. ὀχύρωμα.† Μαιάνδριον. πεδίον καὶ υ δωρ. Μαίωτρον. τὸ ευ ρεμα. †Μαΐτιν.† Μαρτύριον. τὸ κήρυγμα. παρὰ τῷ Ἀποστόλῳ· καθὼς τὸ μαρτύριον Χριστοῦ ἐβεβαιώθη ὑμῖν. η καὶ τὸν θάνατον η τὸν σταυρόν. καταγγέλλω ὑμῖν τὸ μαρτύριον τοῦ θεοῦ. θάνατον γὰρ περιήει κηρύσσων Χριστοῦ·


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διὸ μαρτύριον αὐτὸ καλεῖ. mu.1336 †Μαίμω. τὸ ἐνεργῶς κινῶ.† †Μαιμῶ. ἐπιθυμῶ.† †Μαίω. τὸ ἑλίσσω.† Μαγνεύειν. τὸ μίσγειν. Μακκοῶ. μωραίνω, ἀνοηταίνω. παρὰ τὸ κοῶ, τὸ νοῶ. η παρὰ τὸ ἀκκῶ.᾽Ακκὼ γὰρ γυνὴ γέγονεν ἐπὶ μωρίᾳ διαβαλλομένη. †Μαλακισθείσ. ἐνδούς· χαυνωθείς.† Μαλάσσω. ἀλλάσσω καὶ πλεονασμῷ τοῦ ¯μ μαλάσσω· πᾶν γὰρ τὸ μαλασσόμενον ἀλλάσσεται. Μαλακιεῖν. τοὺς ὑπὸ κρύους κεκμηκότας λέγουσι καὶ συνεσπασμένους. Μανείην. χολωθείην. Μαπέειν. καταλαβεῖν. ἀπὸ τοῦ μάρπτω. Μάρψαι. καταλαβεῖν. κυρίως τὸ ταῖς χερσὶ συλλαβεῖν· μάρη γὰρ ε λεγον τὰς χεῖρας. ε νθεν τὸ εὐχερὲς εὐμαρές. mu.1337 Μαργῶσα. μαινομένη. Μαργαίνῃ. ἀντὶ τοῦ μαίνῃ. Μαρνάμενοι. ἀντὶ τοῦ μαχόμενοι. ἀπὸ τοῦ μαρνῶ, δευτέρας συζυγίας τῶν περισπωμένων. μάρνημι, ὁ παθητικὸς ἐνεστὼς μάρναμαι. τὸ δὲ μαρνῶ, ὡς οι μαι, μαργῶ καὶ μαρνῶ. ἐοίκασι γὰρ τοῖς μαινομένοις οἱ μαχόμενοι. Μαρμαίρω. καταυγάζω, λάμπω. Μαραίνω. παρὰ τὸ α ρης, ο σημαίνει τὸν σίδηρον, ἀραίνω καὶ μαραίνω. Μάσσει. φυρᾷ, ζυμοῖ, μαλάσσει. καὶ μάσσω τὸ σπογγίζω. ἀπὸ τοῦ ¯μ¯α καὶ τοῦ α σσον, τὸ ἐγγύς· οἱ γὰρ ἐφαπτόμενοι σπογγίζειν α σσον καὶ ἐγγὺς γίνονται. ἐκ τούτου τοῦ μάσσω πλεονασμῷ τῆς ¯α¯λ συλλαβῆς μαλάσσω, ὡς κύδιμος, κυδάλιμος. Μαστεύειν. ζητεῖν. Ματῆσαι. τὸ ματαιοπραγῆσαι. παρὰ τὸ μάτην, ματῶ, ματήσω. Μαυροῦσιν. ἀφανίζουσι. παρὰ τὸ μαίρω, τὸ λάμπω, μαυρῶ, τουτέστι κατὰ ἀντίφρασιν. η παρὰ τὸ ἀμαυρῶ κατὰ ἀφαίρεσιν τοῦ α. Μαιεύειν. τὸ βοηθεῖν ταῖς τικτούσαις, η τὸ μαμμεύειν. Μαιμάσσει. σφύζει. προθυμεῖται. καὶ μαιμῶ, mu.1338 τὸ προθυμοῦμαι. ε στι μῶ τὸ προθυμοῦμαι καὶ διπλασιασμῷ μαμῶ καὶ μαιμῶ. ἐκ δὲ τοῦ †μῶ γίνεται† μαίω, τὸ ζητῶ. οι ον· μαιομένη κευθμῶνα–. Μαχλῶσαν. πορνεύουσαν. Μακαρίζειν. μακαρισμός ἐστιν ἡ κορυφὴ τῶν ἀγαθῶν. Ματαιάζειν. μάταιον λέγεται, ο ταν ο νομα μὲν ῃ , πρᾶγμα δὲ μὴ ῃ . οι ον· ο νομα μὲν πλούτου, πρᾶγμα δὲ οὐδαμῶς. καὶ μένει τὸ †ο νομα† ψιλόν. (᾽Επίῤῥημα.) Μάλα. ἀντὶ τοῦ πάνυ καὶ λίαν. καὶ μάλιστα. Μᾶλλον. περισσότερον, πλέον. Μάτην. ἀντὶ τοῦ ματαίως. ἀπὸ τοῦ θηλυκοῦ εἰς ἐπίῤῥημα. Στησίχορος· μάτας εἰπών. Μαψιδίωσ. ματαίως. καὶ μὰψ ἀντὶ τοῦ ματαίως. Τὸ Μ μετὰ τοῦ Ε. (᾽Αρσενικόν.) Μέγασ. παρὰ τὸ μήγας· ὁ μὴ ω ν ἐν τῇ γῇ, ἀλλ' ὑπερέχων αὐτῆς. Μέγας κόσμος. ὁ α νθρωπος. mu.1339 Μεγαλόφρων. ὁ μεγαλόψυχος. Μεγάλαυχοσ. ὁ ὑψηλόφρων. Μεγαλήτορα. μεγαλόψυχον. Μεγαλοφυοῦσ. μεγαλόφρονος. Μέδοντεσ. οἱ βασιλεῖς. ο θεν καὶ μέδω τὸ βασιλεύω. παρὰ τὸ μήδω, τὸ βουλεύω, μέδω. οι ς εὐβουλίας δεῖ, ο θεν καὶ βουληφόροι λέγονται. †Μεδεόσ. ο νομα κύριον.† Μελαμπύγου. μελανοκώλου. *ου πω μελαμπύγῳ τετύχηκας.* Μελεδωνόσ. ὁ φροντιστής. ἀπὸ τοῦ μέλω, τὸ φροντίζω. Μελχισεδέκ. ἑρμηνεύεται ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου. Μέλεοσ. α θλιος· μάταιος. –μελέη δέ τοι ε πλετ' ἀϋτή. παρὰ τὸ λῶ, τὸ θέλω, καὶ ἰωνικῶς λεὸς, καὶ μήλεος, ο ν μὴ θέλομεν· οὐδεὶς γὰρ θέλει τὸν μάταιον· ει τα συστολῇ τοῦ ¯η εἰς ¯ε μέλεος. Ω μέλεοι, μὴ τλῆτε πάρεξ ἐμὰ θέσφατα βῆναι ῾Ρήβαν ὠκυρόην ποταμὸν ἀκτήν τε μέλαιναν. ποταμός ἐστιν ὁ῾Ρήβας πλησίον τῆς Βιθυνίας, παρ' ῳ ἀκτή ἐστι μέλαινα. mu.1340 Μεμψίμοιροσ. ὁ μεμφόμενος τὸ ἀγαθὸν, ὁ φιλεγκλήμων. Μεθωναῖος καὶ Μεθυμναῖοσ. τοπικά. Μεγαρεῖσ. ἐθνικόν. Μελιτηνόσ. τοπικόν. Μενεπόλεμοσ. ἀπὸ τοῦ μένειν καὶ καρτερεῖν ἐν τῷ πολέμῳ. Μενέχαρμος καὶ μενεχάρμησ. καρτερικός· ὑπομονητικός· πολεμικὸς ἐν τῇ μάχῃ. χάρμη γὰρ ἡ μάχη. Μενέλεωσ. τὰ εἰς ¯ω¯ς σύνθετα εἰ μὲν κοινὰ εἰσὶ τῷ γένει, τὴν τῶν ἁπλῶν φυλάσσει κλίσιν, οι ον ἱδρὼς, ἱδρῶτος· εἰ δὲ ἀττικὰ εἰσὶν, ἀποβολῇ τοῦ ς ποιοῦσι τὴν γενικήν· Μενέλεως, Μενέλεω, ἀνάπλεως, ἀνάπλεω, καὶ τὰ ο μοια. Μεσέγγυοσ. ἐγγυητής. †μεσίτης.† †Μέσαβοσ. ὁ μέσον δύο βοῶν.† Μεσίτησ. ὁ μεσάζων. τὰ ἀπὸ τῶν εἰς ¯ο¯ς διὰ τοῦ ¯ι¯τ¯η¯ς γινόμενα διὰ τοῦ ¯ι γράφονται· οι ον τόπος τοπίτης, μέσος μεσίτης. Μέσοσ. παρὰ τὸ μετέχειν ἰσότητος, η τοῦ ε σω. Μεσσήνιοι. τοπικόν. mu.1341 Μεσσίασ. ὁ κεχρισμένος καὶ ἠλειμμένος. λέγει δὲ τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Χριστόν. μεσὰ γὰρ τὸ ε λαιον η τοι τὸ χρίσμα ἑρμηνεύεται. Μεστόσ. ὁ πλήρης. ε στιν ἐῶ, τὸ πληρῶ, ἐστὸς καὶ πλεονασμῷ τοῦ μ μεστός. Μέροπεσ. οἱ α νθρωποι. διὰ τὸ ε χειν τὴν ο πα καὶ τὴν φωνὴν μεμερισμένην. Μετεωρολέσχησ. ὁ τὰ μετέωρα καὶ ὑπὲρ ἑαυτὸν φλυαρῶν. Μετέωροσ. ὁ κοῦφος, καὶ εἰς υ ψος αἰρόμενος. καὶ μετεωρίζω ἐκ τοῦ ἀείρω, τροπῇ τοῦ ¯α εἰς ¯ο ὀείρω καὶ ἐν ὑπερθέσει τοῦ ἰῶτα ἐόρω, καὶ ἐκτάσει τοῦ ¯ο εἰς ¯ω ἐωρῶ καὶ μετεωρῶ καὶ μετεωρίζω. καὶ μετέωρον. Μετάρσιοσ. ὑψηλὸς, μετέωρος. Μετάβολοι. οἱ μεταπράται. Μέτοχοσ. κοινωνός. Μέτριοσ. ταπεινός· ἐπιεικής. Μετανάστην. φυγάδα, μέτοικον. ἀπὸ τοῦ νάσσω ὁ μέλλων νάσω, νένασμαι, νάστης, καὶ μετανάστης. οι ον· καί κεν ἐν Αργεϊ νάσσα μίαν πόλιν. Μετασχηματισμόσ. τῆς τοῦ θεωροῦντος θεωρίας μεταποίησις πρόσκαιρος, η ἐξ α λλου εἰς α λλο ἐν ἀληθείᾳ μεταποίησις. Μεσαιπόλιοσ. Μείζων. ω σπερ ἀπὸ τοῦ ταχὺς τάχιστος, ου τως καὶ παρὰ τὸ μέγας μέγιστος, καὶ ἐκεῖθεν μέσσων, ὡς ἀπὸ τοῦ τάχιστος θάσσων, καὶ τροπῇ αἰολικῇ τῶν δύο ςσ μέζων καὶ πλεονασμῷ τοῦ ι μείζων. μείζονα πάντων. μείζονα mu.1342 πάντων οἱ λέγοντες ἁμαρτάνουσι. μέγιστος γὰρ χρὴ λέγειν πάντων. μείζονα δὲ τούτου τινός. Μείλιχος καὶ μειλίχιοσ. ὁ πρᾷος. καὶ πραϋντικός. παρὰ τὸ μέλι, ω ς τινες φασὶν, η ἀπὸ τοῦ μέλος, μέλικος, καὶ τροπῇ τοῦ ¯κ εἰς ¯χ καὶ ἀναβιβασμῷ τοῦ τόνου μέλιχος, καὶ πλεονασμῷ τοῦ ι μείλιχος. Μείσ. ὁ μήν. Αἰολικῶς. μὴν γὰρ η ν, καὶ ἐτράπη τὸ ¯η Δωρικῶς εἰς τὴν ¯ε¯ι δίφθογγον. καὶ ἐπειδὴ τὰ εἰς ¯ν λήγοντα ἀρσενικὰ η θηλυκὰ οὐ θέλει ε χειν πρὸ τοῦ ¯ν δίφθογγον, οι ον σωλὴν, Πλάτων, ε τρεψε τὸ ν εἰς ς, καὶ γέγονε μείς. πρόσκειται ἀρσενικὸν καὶ θηλυκὸν διὰ τὰ οὐδέτερα· οι ον τὸ διπλοῦν, τὸ χρυσοῦν. ε στι δὲ καὶ α κλιτον. εἰ γὰρ ἐκλίνετο, μενὸς ει χεν ει ναι ἡ γενική. ὡς δὲ παρὰ τὸ ῥήσσω ῥηγμὶς, ου τω καὶ παρὰ τὸ μειῶ μεΐς· μακρῶς δὲ α μα καὶ ὀξυτόνως. παρὰ τὸ μειῶ δὲ ει ρηται, ο τι μειουμένης εἰς α κρον σελήνης πληροῦται καὶ ὁ μήν. †Μεῖστος. ὁ ἐλάττων. ἀπὸ τοῦ μείων, μεῖστος, ὡς πλείων, πλεῖστος· τῷ λόγῳ τῶν συγκριτικῶν.† Μείων. ὁ ἐλάττων. ἀπὸ τοῦ μικρὸς, η ἀπὸ τῆς μιᾶς. τῆς γὰρ μιᾶς οὐδέν ἐστιν ἐλαττότερον. η ἀπὸ τοῦ μέρους μερίων, καὶ ἀποβολῇ τοῦ ¯ρ καὶ συναιρέσει τοῦ ¯ε καὶ ¯ι εἰς τὴν ¯ε¯ι δίφθογγον, μείων. Μελχισεδέκ. κύριον. ἑρμηνεύεται δὲ βασιλεὺς δικαιοσύνης. τὸ γὰρ μελχὰ βασιλεὺς, καὶ τὸ σεδὲκ δικαιοσύνη. Μειδίασ. κύριον. καὶ πονηρὸς Μειδίας. mu.1343 †Μέροψ. ὁ α νθρωπος, ὁ μεμερισμένην τὴν φωνὴν ε χων τῶν λοιπῶν ζώων.† (Θηλυκόν.) Μεγαλόνοια. ἡ μεγαλοφυΐα. Μεγαλοπρέπεια. φιλανθρωπία ψυχῆς μετὰ λόγου. Μεγαλοψυχία. ε ξις ψυχῆς τοῖς συμβαίνουσι λυπηροῖς μὴ κατολιγωροῦσα. Μεγαλοπρέπεια. ἀρετή ἐστι μεταδιδοῦσα ἐνεργείας μεγάλων πράξεων. Μεγαλαυχία. τὸ α ξιον ε χειν ἑαυτὸν ει ναι τιμῆς. Μεγαλουργία. ἡ μεγάλη ἐργασία. Μέθεξισ. κοινωνία. Μεθημοσύνη. ἡ ἀμέλεια. Μέθη. ἡ ἐκ πολλῆς οἰνώσεως. οι ον μετένεξις τοῦ ἡγεμονικοῦ. Μεθοδεία. τέχνη. Μέθοδος. ε ξις ὁδοποιητικὴ μετὰ λόγου. Μεθ' ἡμέραν. ἐν νυκτί. Μεδάνη. ο νομα πόλεως. Μελίαι. δόρατα. ἀπὸ μελίας δένδρου κατεσκευασμέναι. mu.1344 Μελίτη. νῆσος πλησίον᾽ Ιταλίας. Μελεδῶναι. αἱ φροντίδες. αἱ τὰ μέλη ε δουσαι. καὶ μελεδωνός. Μέλλησισ. ἡ βραδύτης. μέλισις δὲ ἡ κατακοπὴ τῶν κρεῶν, ι. Μελῳδία. ἡ ἡδυφωνία. Μέλαινα. τρία σημαίνει. τὰς συνετάς· –μένεος καὶ φρένες ἀμφιμέλαιναι. καὶ τὸ βαθύ· –ω στε κρήνη μελάνυδρος. καὶ τὴν σκοτεινήν· ε λκον νύκτα μέλαιναν–. Μέλισσαι. παρὰ τὸ μέλειν, τὸ φροντίζειν. οἰκονομικὸν γὰρ τὸ ζῶον καὶ ἐπιμελητικόν. η μήλιζα τὶς ου σα, ἡ πᾶσιν ἐφιζάνουσα τοῖς καρποῖς η γουν μήλοις. μῆλον γὰρ κατὰ πάντων ει ρηται τῶν καρπῶν, ο θεν καὶ πολύμηλος γῆ ἡ πολύκαρπος. Μέριμνα. παρὰ τὸ μερίζω μέριδα καὶ μέριμνα. ου τω῾ Ηρωδιανὸς ἐν ἐπιμερισμῷ. Μεριδαρχία. ἡ δεκαρχία. mu.1345 Μερικὴ οὐσία. λόγος μὴ γνωρίζων ἐν ἑαυτῷ τὴν διὰ τοῦ ο ντος υ παρξιν. η πρᾶγμα ἀνύπαρκτον. η λόγος α ναρθρος καὶ ἀσήμαντος. Μέρμιθοσ. ἡ σχοῖνος. Μεσαύλιοσ. ἡ κατὰ τὸν ἀγρὸν ε παυλις.᾽ Αττικῶς δὲ τὴν μέσην τοῦ πυλῶνος καὶ τῆς αὐλῆς· η τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνδρωνίτιδος καὶ γυναικωνίτιδος. Μεσημβρία. μεσημερία. συγκοπῇ καὶ πλεονασμῷ τοῦ β μεσημβρία. η γουν τὸ μέσον τῆς ἡμέρας. Μεσέμβρεια δὲ χώρα, δίφθογγον. Μεσόδμη. ἡ μεσοδόμη κατὰ συγκοπήν. Μεσότητος ἐπίῤῥημα. οι ον ἀπὸ τοῦ φιλοσοφεῖν καὶ φιλοσόφου τὸ φιλοσόφως. Μετάνοια. γνησίως ἀπὸ πταίσματος ἐπὶ τὸ ἐναντίον ἀγαθὸν ἐπιστροφή. Μετακλίσεις. αἱ ῥοπαὶ, αἱ μεταθέσεις. Μετάγνωσις. ἡ μεταμέλεια. Μετάφρασις. ἑρμηνείας ἀλλοίωσις, τὴν αὐτὴν δὲ φυλάττουσα διάνοιαν. Μετ' ἐμφάσεωσ. μετὰ φανερώσεως. Μετοικεσίαν. αἰχμαλωσίαν. μετοικεσίαν Βαβυλῶνος ὁ' Απόστολος Ματθαῖος τὴν παντελῆ αἰχμαλωσίαν τῶν' Ιουδαίων φησὶν, η τις ἐν Βαβυλῶνι α χρι καὶ ἑβδομηκοστὸν ε τος παρετάθη· ἐπὶ Κύρου δὲ καὶ ᾿Αρταξέρξου ἐλύθη. Μετοχή. ἡ συνάφεια. Δαβίδ· η ς μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. ε στι δὲ καὶ ε τερον μετοχὴ, λέξις μετέχουσα τῆς τῶν ῥημάτων καὶ τῆς τῶν mu.1346 ὀνομάτων ἰδιότητος. καὶ μετέχει τοῦ μὲν ῥήματος διαθέσεις χρόνους καὶ συζυγίας· τοῦ δὲ ὀνόματος γένη, ει δη, σχήματα, ἀριθμοὺς, πτώσεις. διατί ἡ μετοχὴ ου τε πρόσωπα ου τε ἐγκλίσεις ε χει; ἐπειδὴ προσώπων ἐξέπεσε, προσώπων δὲ μὴ ο ντων ου τε ε γκλισις δύναται ει ναι. εἰ γὰρ θέλημα ψυχῆς ἐστὶν ἡ ε γκλισις, πῶς δύναται θέλημα ψυχῆς χωρὶς προσώπου ει ναι. Μειονεξία. ἡ μικρὰ δόσις. Μεῖραξ καὶ μειρακίσκη ἐπὶ θηλείας· μειράκιον δὲ καὶ μειρακίσκος ἐπὶ α ῤῥενος. λέγει δὲ τὴν ἀπὸ ἐτῶν πεντεκαίδεκα ε ως τῶν εἰκοσιδύο. παρὰ τὸ ει ρω, ο σημαίνει τὸ λέγω· ει ραξ καὶ πλεονασμῷ τοῦ μ μείραξ, ἡ δυναμένη η δη λέγειν. κρεῖττον δὲ λέγειν αὐτὸ παρὰ τὸ ἱμείρω, ἱμείραξ καὶ μείραξ, ἡ τοιούτου χρόνου ου σα, ω στε καὶ ἐπιθυμεῖσθαι. Μεθοδείασ. ἐπιβουλὰς, ἐνέδρας, δόλους. ὁ᾿Απόστολος· πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. Μεγαλοψυχία. ἐλευθεριότης, μεγαλοδωρία. ω τῆς μεγαλοψυχίας. (Οὐδέτερον.) Μεγαλώνυμον. τὸ μεγαλόδοξον. Μέγαρον. τὸ ὑπερῷον οι κημα. παρὰ τὸ μέγα, μεγαίρω, μέγαρον· ἐγκώμιον γὰρ οι κου τὸ μέγα καὶ α ξιον φθόνου. Μεγήρατα. μεγάλως ἐπέραστα. η ὑπερήφανα διὰ τὸ κάλλος. η μεγάλως ἐρίζοντα περὶ κάλmu.1347 λους. η πρὸς ου ς οὐ δύναταί τις ἐρίσαι. ἀλλὰ μετ' ἀλλήλων ἐρίζειν.῾Ησίοδος· –μεγήρατα τέκνα θεάων πόντῳ ἐν ἀτρυγέτῳ–. †Μέγηρον. τὸ ἐπέραστον.† Μέδιμνον. τὸ μόδιον. η μέτρον ἀττικὸν γινόμενον μόδιοι ἑπτὰ η τοι τεσσαρακονταοκτὼ χοίνικες. Μέγιστον. ου μεῖζον οὐδέν. Μέθυ. ὁ οι νος. ἀπὸ τοῦ μεθείειν καὶ ἀμελεῖν ποιεῖν τὸν α νθρωπον τὸν αὐτὸν πίνοντα. Μέλαθρον. οι κημα. κυρίως δὲ τὸ μέσον τῆς στέγης ξύλον, ο καλοῦμεν ὑπότονον. ἀπὸ τοῦ μελαίνεσθαι ὑπὸ τοῦ καπνοῦ. Μέλαν. χρῶμα συγκριτικὸν ο ψεως, η γουν χρώματος, συνάγον τὴν ο ψιν. Μέλεον. μάταιον, α θλιον. Μέλη. η συνωνύμως ἀπὸ τοῦ μεμερίσθαι, μέρη καὶ μέλη, η ἀπὸ μεταφορᾶς τῶν μουσικῶν μελῶν, ἐπειδὴ παρ' ἐνίοις ἐδόκουν οἱ α νθρωποι μετὰ ἁρμονίας συνεστάναι. ου τω καὶ τὰ σώματα. ου τω Σωρανός. †Μεγαλλεῖον. ο νομα μύρου. ἀπὸ Μεγάλλου Σικελιώτου τοῦ εὑρόντος αὐτό.† mu.1348 Μέλοσ. ἡ σύγκρισις τοῦ ε πους, τὸ μεμερισμένον. η ἀπὸ τῆς τοῦ μέλιτος γλυκύτητος. Μελίγυον. πόμα τὶ Σκυθικὸν γινόμενον ἐκ μόνου μέλιτος μεθ' υ δατος, βοτάνης ἐμβαλλομένης. Μελίσσειον κηρίον. καὶ ἀπὸ μελισσείου κηρίου. Μέλπηθρον. τὸ παίγνιον. παρὰ τὸ μέλπω, τὸ παίζω. σημαίνει καὶ τὸ ὑμνῶ. Μενοεικέσ. ἀρεστὸν τῇ ψυχῇ. καὶ θυμῆρες καὶ προσηνές. παραμένει γὰρ, ο ἐστιν εἰκὸς καὶ ἀρεστὸν τῇ ψυχῇ. †Μένοσ. δύναμις· ὀργή.† Μέρμερα. τὰ μερίμνης α ξια. παρὰ τὸ μείρω, τὸ μερίζω. Μέρη. ἀπὸ τοῦ μερίζεσθαι, καὶ α λλο α λλου διαφέρειν συστατικὸν τοῦ ο λου σώματος. Μετόπωρον. ὁ μετὰ τὴν ὀπώραν καιρός. Μεταίχμιον. τόπος μεταξὺ δύο πολεμίων. αἰχμὴ γὰρ ἡ λόγχη. Μεταλητικόν. τὸ μεταδοτικόν. †Μετάλλειον. τὸ μύρον ε λεγον, ἀπό τινος Μετάλλου Σικελιώτου εὑρόντος αὐτοῦ τὴν κατασκευήν.† Μέταλλον καὶ μεταλλῶ. ἀπὸ τοῦ μεταλλᾷν ἐν αὐτῷ τὶ τὸ ου τω ζητεῖν ε λεγον. Μεταμάζιον. τὸ μεταξὺ τῶν μαζῶν. mu.1349 Μεταμώνια. μάταια. ἀνεμώνιος, ἀνεμώνια, τὰ ὑπὸ τῶν ἀνέμων ὀλούμενα. γίνεται καὶ κατὰ τροπὴν τοῦ ¯ν εἰς ¯λ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνεμώλια. σημαίνει δὲ τὰ μάταια. Μετάφρενον. τὸ μεταξὺ τῶν δύο ω μων. ο τι ἐξόπισθεν τῶν φρενῶν ε γκειται. οἱονεὶ μετὰ τὰς φρένας. ο θεν καὶ Ομηρος· η μαρ ὑπὸ πραπίδων–. ο ἐστι τῶν φρενῶν. Μετουσιαστικόν. ο ἐστι τὸ μετέχον οὐσίας τινός. οι ον φῶς φωτεινὸς, σκότος σκοτεινός. Μέτριον. ταπεινόν. παρὰ τὸ μέσον ὑπάρχον ὑπερβολῆς καὶ ἐλλείψεως. Μέτρον. τινὲς τὸ κοῖλον, παρὰ τὸ μέσον ει ναι, τὰ δ' α λλα ἀπ' αὐτοῦ. ὁ δὲ Ἡρωδιανὸς λέγει· παρὰ τὸ ἀρῶ γίνεται μέτρον. Μεῖον. ε λαττον. μικρόν. Μειδίαμα. γέλως μικρός. παρὰ τὸ μείων γέγονεν· ὁ γὰρ μειδιῶν μείονι κέχρηται γέλωτι. Μειλίγματα. πραϋντικά. παρὰ τὸ μειλίσσω. ὁμοίως καὶ τὰ μείλια, ο ἐστι τὰ ἐξώπροικα. Μείλινον. τὸ ἀπὸ μελίας. γέγονε μελεΐνος καὶ mu.1350 κατὰ συγκοπὴν μέλινος καὶ πλεονασμῷ τοῦ ¯ι μείλινος καὶ μείλινον. Μεσότοιχον. τὸ διάφραγμα. καὶ ὁ Ἀπόστολος· τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας. τὴν ε χθραν τὴν πρὸς θεόν τε καὶ ἡμῶν καὶ Ἰουδαίων λέγει. ποῖον δὲ μεσότοιχον ε λυσε τὴν ε χθραν; ἡ σὰρξ τοῦ Χριστοῦ. Μέλι. παρὰ τὸ μέλω, τὸ φροντίζω. (Ῥῆμα.) Μεγαίρει. φθονεῖ. παρὰ τὸ μέγας. οἱ γὰρ μεγάλοι φθονοῦνται, η διὰ πλοῦτον καὶ δόξαν, η δι' ἀρετήν. Μεγαλίζεο. ἐπαίρου. μὴ μεγαλίζεο τῇ διανοίᾳ δι' ὑπερηφανίας. Μεδοίατο. φροντίσαιεν. Μέδω. τὸ βασιλεύω. Μεθείσ. καταλείψας, ἐάσας. καὶ μέθες. †Μεθέμεν. συγχωρῆσαι.† Μεθήσειν. ἐάσαι. Μελδόμενοσ. τηκόμενος, καιόμενος. κυρίως δὲ μέλδειν τὸ ε δειν τὸ μέλι, οι ον μελέδειν καὶ μέλδειν κατὰ συγκοπήν. mu.1351 Μέλπω. ᾳ δω, ὑμνῶ. παρὰ τὸ τὰ μέλη η τοι τοὺς ῥυθμοὺς ε πειν, η γουν λέγειν. σημαίνει δὲ τὸ μέλπειν καὶ τὸ παίζειν καὶ τέρπεσθαι. καὶ μέλπηθρα, τὰ παίγνια, παρὰ τὸ μέλπω, τὸ παίζω. Μελετᾷ. γυμνάζεται, ἀσκεῖ. καὶ μελετῶ παρὰ τὸ μελέτη, τοῦτο παρὰ τὸ μέλι καὶ τὸ ἐτεὸν, τὸ ἀληθές· ο ἐστιν ἡ ἀληθινὴ γλυκύτης. η παρὰ τὸ μέλω, τὸ φροντίζω. τὰ γὰρ μαθήματα φροντίδος α ξια πολλῆς. Μελήσω. σπουδάσω. Μέλλει. ἀναβάλλεται, ὑπερτίθεται. Μεμαὼς καὶ μεμαυῖα. ἀπὸ τοῦ μῶ, μάσω, ἀφ' ου μεμάκασι καὶ ἀποβολῇ μεμάασιν. η ἀπὸ τοῦ μῶ, μήσω, μέμηκα, καὶ κατὰ συστολὴν τοῦ ¯η μέμακα, μεμαὼς, καὶ τὸ θηλυκὸν μεμαυῖα. ου τως πάντες λέγουσι. Μέμβλωκε. παραμένει. παρὰ τὸ μολῶ, μολήσω, μεμόληκα, ὡς νοῶ, νοήσω, νενόηκα, καὶ κατὰ συστολὴν μέμληκα, καὶ πλεονασμῷ τοῦ β μέμβληκα, καὶ τροπῇ τοῦ ¯η εἰς ¯ω μέμβλωκα, ὡς παρώχηκα, παρώχωκα. Μεμετρέαται. ἀπὸ τοῦ μετρῶ, μετρήσω, μεμέτρηκα, μεμέτρημαι, μεμέτρηται, καὶ ἰακῶς mu.1352 μεμετρέαται. ὡς παρ' Ἱππώνακτι· ὁ μὲν ου ν βόσπορος καὶ ὁ πόντος, ου τως καὶ ὁ Ἑλλήσποντος κατὰ πάντά μοι μεμετρέαται. Μεμακυῖαι. μηκώμεναι. μήκη γὰρ ἡ τῶν αἰγῶν φωνή· βληχὴ δὲ ἡ τῶν προβάτων. ο θεν καὶ μηκάδες αἰγῶν. Μέμνω. ἀπὸ τοῦ μένω, κατὰ συγκοπὴν μνῶ καὶ μέμνηκα, ὁ μέλλων μνήσω, ὁ παρακείμενος μέμνηκα. μέμνω δὲ τὸ καρτερῶ. *καὶ μεμένηκα.* Μέμηλα. μέσος παρακείμενος ἀπὸ τοῦ ἐνεργητικοῦ τοῦ μεμέληκα γέγονεν, ἀπὸ τοῦ μέλω ἐνεστῶτος, ο σημαίνει τὸ φροντίζω. Μεμνέῳτο. ἀντὶ τοῦ ἐπισκοποίη καὶ ἐπιμελοῖτο. προπαροξύνεται καὶ γράφεται σὺν τῷ ¯ι. Μεμορμένον. πεπρωμένον. Μέμυκεν. οι ον· μέμυκε δὲ γαῖα καὶ υ λη. εἰ μὲν ου ν σημαίνει τὸ η χον ἀποτελεῖν, ἀπὸ τοῦ μυκῶ περισπωμένως ἐστὶν, εἰ δὲ τὸ πεπιλῆσθαι καὶ συνεσφίχθαι, τὸ κρύος δηλοῖ. ο τι ἀπὸ τοῦ μύω ἐστίν. Μεμυκώσ. κρύψας, καμμύσας. mu.1353 Μεμύημαι. δεδίδαγμαι. καὶ μεμυημένος ὁ δεδιδαγμένος καὶ πεπειραμένος. Μέμονασ. προθυμῇ. ἀπὸ τοῦ μένω. ἀλλά γε πῶς μέμονας–. Μενεαίνων. προθυμῶν. ἀπὸ τοῦ μενῶ μεναίνω, καὶ πλεονασμῷ τοῦ ¯ε μενεαίνω. Μενοινῶ. τὸ προθυμῶ. καὶ μενοινὴ, ἡ προθυμία. παρὰ τὸ μένω, τὸ προθυμοῦμαι, μενωνὴ καὶ τροπῇ τοῦ ¯ω εἰς τὴν ¯ο¯ι δίφθογγον μενοινή. ὡς παρὰ τὴν ἀγκῶνος γενικὴν ἀγκώνη καὶ ἀγκοίνη, ου τω μενωνὴ καὶ μενοινή. καὶ μενοινῶ ῥῆμα. Μερμαίρω. τὸ φροντίζω καὶ μεριμνῶ. καὶ μερμερίζειν. παρὰ τὸ μείρω, τὸ φροντίζω, γίνεται μέρος, μερίζω, καὶ διπλασιασμῷ μερμερίζω, καὶ τροπῇ τοῦ ¯ε εἰς ¯η μερμηρίζω. ὁ γὰρ φροντίζων μερίζεται τὴν γνώμην. Μεταλλῆσαι. πολυπραγμονῆσαι. καὶ μεταλλεύει ἀντὶ τοῦ μεταφέρει.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Μεταμαθεῖν. ο ἐστι μεταγνῶναι. Μεταμφίσκεσθαι. τὴν ἐσθῆτα μετενδύεσθαι. Μεταχρωννύντεσ. ἀντὶ τοῦ μετασχηματίζοντες. Μεταλλάξαντεσ. ἀντὶ τοῦ μεταχωρήσαντες. Μεταποιοῦμαι. φροντίζω. Μεταπεσεῖν. τὸ ἀπὸ δόξης εἰς ἀτιμίαν πεσεῖν. η τὸ ἐναντίον. mu.1354 Μεταβαλών. μεταστρέψας· μεταποιήσας. Μεταναστεύου. ἀναχώρει. Μετασχηματίζει. ἀντὶ τοῦ μεταλλάττει. Μετατρέπεσθαι. ἀλλοιοῦσθαι. Μετενίσσετο. ἀντὶ τοῦ μετῆλθε. Μετεκίαθε. μετ' αὐτοὺς η λθεν. αι ψα δ' ὁ κρήνην μετεκίαθε– κίω, κιάθω, ὡς διώκω, διωκάθω. Μετεστείλατο. μετεπέμψατο. μετεκαλέσατο. Μετεωροπολεῖ. οὐράνια περισκοπεῖ. Μετέσχεν. ἐκοινώνησε. Μετοχετεύσασ. μεταγαγών. Μετοκλάζει. γονατίζει η μεταχωρεῖ. παρὰ τὸ ἐγκλᾷν καὶ κάμπτειν τὰ γόνατα. Μετεδίωξαν. διῆλθον. αἱ δὲ νῆες πολλοὺς μετεδίωξαν τόπους. Μετριοπαθεῖν. συγγινώσκειν. η ἐκ μέρους τὰ πάθη καταδέχεσθαι. Μεθορμίζεται. μετάγεται. Μειδιῶ. τὸ γελῶ μικρόν τι. παρὰ τὸ μείων γέγονεν. ὁ γὰρ μειδιῶν μείονι κέχρηται γέλωτι. Μειλίσσεται. τὸ καταπραΰνεται. Μειονεκτεῖ. τὸ η ττον φέρει. η τὸ ὀλίγον λαμβάνει. η τὸ μεῖον ε χει. παρὰ γὰρ τὸ μεῖον γέγονε. mu.1355 Μείρεται. μερίζεται. ἀπὸ τοῦ μέρος γίνεται μέρομαι, καὶ πλεονασμῷ τοῦ ι μείρομαι, καὶ μείρεται. τὸ δὲ μείρεται ἀντὶ τοῦ ἐπιθυμεῖται. ἀπὸ τοῦ ι μερος γίνεται ἱμέρω καὶ ἐκεῖθεν ἱμείρομαι, ἱμείρεται, καὶ κατὰ ἀφαίρεσιν μείρεται. Μεταδῷ. ο πέρ τις ε λαβεν ἀπ' α λλου. ὡς καὶ ὁ᾽Απόστολος· ἱνατὶ μεταδῷ χάρισμα ὑμῖν πνευματικόν. τοῦτο δὲ λέγει, οὐκ ἐμὸν τὶ δώσω, ἀλλ' ο περ καὶ ἐγὼ ε λαβον. Μετασχηματίσει. μεταβαλεῖ. ᾽Απόστολος· ο ς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν. (᾽Επίῤῥημα.) Μεγαροῖ. εἰς τὰ Μέγαρα. Μεγαλωστί. ἀντὶ τοῦ μεγάλως. Μεμελημένωσ. πεπονημένως. Μενοῦνγε. ἀντὶ τοῦ ἀληθῶς. η τὸ ἀληθὲς λέγω ὑμῖν. Μέντοιγε. πλὴν διὰ τοῦτο, η ὁμοίως, η ε νεκεν τούτου. Μεσηγύσ. ἀντὶ τοῦ μεταξύ. η ἀντὶ τοῦ μέσον. Μεταξύ. ἐν τῷ μέσῳ. Τὸ Μ μετὰ τοῦ Η. (̓Αρσενικόν.) Μηδαμινόσ. ἀπὸ τοῦ μηδαμῶς ἐπιῤῥήματος, τοῦ ο ντος ἀπὸ τοῦ μηδαμὸς ὀνόματος, συγκείμενον ἀπὸ τῆς μὴ ἀπαγορεύσεως καὶ τοῦ δαμὸς τοῦ ἰσοδυναμοῦντος τῷ τις. mu.1356 Μῆδος καὶ Μῆδοι. ἐθνικά. Μηδισμόσ. ὁ τὰ τῶν Μήδων φρονῶν. Μηθυμναῖος καὶ Μηθωναῖοσ. τοπικά. †Μηκιστεύσ. ὁ῾Ηρακλῆς.† †Μηλασπαῖοι. ἐθνικόν.† Μηλοβοτήρ. ὁ τῶν προβάτων ποιμὴν, μῆλα γὰρ τὰ πρόβατα. Μηλιαυθμόσ. ἡ μάνδρα τῶν προβάτων. παρὰ τὸ μῆλα καὶ τὸ ἰαύω, ο σημαίνει τὸ κοιμῶμαι, γίνεται ἰαυθμὸς, ἡ κοίμησις, καὶ ἐν συνθέσει μηλιαυθμός. ὡς κλαίω, κλαυθμός. †Μήλων. ὁ῾Ηρακλῆς.† Μήν. χρόνος ἀπὸ συνόδου ἡλίου καὶ σελήνης ἐπὶ τὴν ἑξῆς σύνοδον. ὡς παρὰ τὸ κέφαλος κεφαλὴν, ου τω καὶ παρὰ τὸ μείω μειὴν καὶ κατὰ συγκοπὴν μήν. ἀφ' ου καὶ μήνη, ἡ σελήνη. Μῆνιγξ. ὁ τοῦ ἐγκεφάλου ὑμήν. διὰ τὸ μένειν ἐν αὐτῷ η ἐν αὐτῇ τὸν ἐγκέφαλον. λέγεται γὰρ καὶ θηλυκῶς. Μηναγύρτησ. ὁ καθ' ἡμέραν ὀχλαγωγίας ἀγείρων καὶ συναθροίζων, καὶ ψεύδη συῤῥάπτων. †Μηνίσκοσ. κόσμος χρυσοῦς περιτραχήλιος· τὸ καλούμενον μανιάκιον.† Μηρόσ. παρὰ τὸ μείρω, τὸ μερίζω, μερὸς καὶ μηρός. Μήστωρ. ὁ ἐπιστήμων. παρὰ τὸ μήδω, μήσω. ὁ δυνάμενος μήσασθαι. μήδω δὲ λέγει τὸ βουλεύομαι. Μητροπάτωρ. ὁ πάππος. mu.1357 Μήτρωσ. ὁ τῆς μητρὸς ἀδελφός. ο ς μήτρως η ν ῾Ιπποδάμοιο. Μηχανοῤῥάφοσ. ὁ κακὰ συῤῥάπτων καὶ τεχναζόμενος. Μηλάτησ. ὁ ποιμήν. Μητιέτα. βουλευτικώτατος.῾Ησίοδος· –ἐξείλετο μητιέτα Ζεύς. (Θηλυκόν.) Μηλωτή. τὸ τῶν προβάτων δέρμα. Μηλοσφαγίαι. θυσίαι προβάτων. Μηλάνθη καὶ μηλολόνθη. ει δη βοτανῶν. Μήλη. ἰατρικὸν ἐργαλεῖον. δι' η ς ψηλαφᾶται τὰ πονούμενα. μηλοῦν γὰρ τὸ ψηλαφᾷν λέγουσι. καὶ μήλωθρα τὰ πορφυρᾶ βάμματα. ου τω Σέλευκος. ὁ δὲ Ωρος ὁ Μιλήσιος παρὰ τὸ μήδω, ἡ πολλῶν κατὰ ἰατρικὴν ἐργάτις. Μηλυρίσ. ἡ α κρα. Μηχανοῤῥαφία. ἐπίνοια, η κατασκευὴ κακῶν. Μήκων. ει δος βοτάνης. παρὰ τὸ μῆκος μήκων. λέγει δὲ τὴν κωδέαν. †Μηλία. κόπρος.† †Μῃονία. ἡ Λυδία.† †Μηλίσ. χρῶμα.† Μήδεια. γυνή. Μηδία δὲ χώρα, ι. Μῆλοσ. νῆσος. Μῆνισ. ἡ ὀργὴ η χολὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιμένουσα, ο ἐστι μνησικακία. ει ρηται δὲ παρὰ τὸ μένειν καὶ τῇ μνήμῃ παραδίδοσθαι. Μήνη. ἡ σελήνη. ἀπὸ τοῦ μὴ μένειν ἐν ταὐτῷ, ἀλλὰ ποτὲ μὲν μειοῦσθαι, ποτὲ δὲ αυ ξεσθαι. mu.1358 †Μηνοδώρα. Μητροδώρα.† Μήρινθοσ. σπαρτίον, σχοινίον. Μῆτισ. ἡ βουλή. Μήτηρ. ἡ μαστεύουσα τὰ πρὸς τροφὴν τοῖς κυηθεῖσιν. η ο τι μαστεύει καὶ ζητεῖ τὰ γεννηθέντα. Μήτρα. ἐπειδὴ μήτηρ ἐστὶ τοῦ γεννωμένου. ὡς παρὰ τὸ πατὴρ πάτρα, ου τω καὶ παρὰ τὸ μήτηρ μήτρα. Μηχανή. κατασκευή. οι μαι παρὰ τὸ μήδω, μήσω, μηχανή. ἐξ ου καὶ τὸ μηχανόωντο, ἀντὶ τοῦ ἐμηχανήσαντο καὶ κατεσκεύασαν. Μήτηρ. παρὰ τὸ μῶ, τὸ ζητῶ. ἡ ὑπὸ τῶν τέκνων ζητουμένη. τὸ ¯μ¯η ¯η, διατί; ἐκ τοῦ μῶ, μήσω μέλλοντος. τὰ μονοσύλλαβα διὰ τοῦ ¯η ε χουσι τὸν μέλλοντα. (Οὐδέτερον.) Μήδεα. τὰ βουλεύματα. παρὰ τὸ μήδω, τὸ βουλεύομαι. μήδεα δὲ, τὰ αἰδοῖα, παρὰ τὸ μέδειν καὶ α ρχειν τῆς γεννήσεως. Μῆκος καὶ μήκιστον. καὶ εὐμηκότατον. *παρὰ τὸ εἰς μῆκος ἐκτετάχθαι. λέγει δὲ τὸ* μακρότατον. Μῆλα. τὰ πρόβατα. οἱ μὲν φασὶν ἀπὸ τοῦ μηκᾶσθαι, ο περ ἀνάρμοστον. α λλοι δὲ ἀπὸ τοῦ μηλώδη καρπὸν ε δεσθαι. Ατταλος δὲ παρὰ τὸν μαλλόν. ἐγὼ δέ φημι, μᾶλλον ἀπὸ τοῦ μῆλα ὁ μαλλὸς ει ρηται. ἀλλὰ ἀπὸ τοῦ μέλω, μέλομαι, γίνεται μῆλον καὶ μῆλα. ἐπιμελείας γὰρ ἠξίωνται. mu.1359 Μήλωθρα. τὰ πορφυρᾶ βάμματα. Μηλόν. ἀργόν· νωθρόν. Μηλόβοτον. τὸ καλῶς τρέφον τὰ πρόβατα. μηλόβοτον πεδίον διήλθομεν. Μήρυμα. τὸ ε λκυσμα. κυρίως δὲ τὸ ξαινόμενον. ἀπὸ δὲ τούτου σημαίνει καὶ τὸ κλώθω. ἀπὸ τοῦ τῆς ὑποστατικῆς ὑπάρξεως εἰς μεῖον καὶ ε λαττον ε λκεσθαι. οἱ δὲ μόρημα. ἐπειδὴ διὰ πόνου ἐργάζεται. μορεῖν γὰρ τὸ πονεῖν. καὶ μηρύσασθαι ἀντὶ τοῦ ὑφάναι καὶ κλῶσαι.῾Ησίοδος· στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι. καὶ μήρυμα τὸ νῆμα. τοῦ Ψελλοῦ· μήρυμα, νῆμα, κάταγμα· φωλεὸς, μυωξία. Μηχάνημα. κατασκευὴ, τὸ τέχνασμα, καὶ τὸ στρατήγημα. (῾Ρῆμα.) Μήδω. τὸ βουλεύομαι. παρὰ τὸ μήθω τὸ δηλοῦν τὸ μανθάνω. ου τως᾽Απολλώνιος. Μήθω. τὸ μανθάνω. Μηκύνω. εἰς μῆκος α γω. Μηνιεῖ. ὀργίζεται. ἐπιμένει τῇ χολῇ καὶ τῇ ὀργῇ, μνησικακεῖ. Μηνύω. παρὰ τὸ ἀνύω. τροπῇ τοῦ α εἰς η, καὶ πλεονασμῷ τοῦ ¯μ, μηνύω. ου τω Θεόγνωστος. Μηνίσω. τὸ ὀργίζομαι. παρὰ τὸ μῆνις μηνίω, μηνίσω, ὡς κόνις, κονίω, κονίσω. mu.1360 Μηρύω. ο ἐστι τὰ α ρμενα συνάγω. ἀπὸ τοῦ μέρος μερύω καὶ μηρύω, ὡς πλῆθος πληθύω. καὶ μήρυμα τὸ νῆμα. καὶ μηρύσασθαι ἀντὶ τοῦ ὑφάναι καὶ κλῶσαι.῾Ησίοδος· στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι. Μήρεσθαι. συνάγεσθαι, κλώθεσθαι. Μηρυκίζω. εἰς μικρὰ κόπτω. ἀπὸ τοῦ μηρύω. Μητίω καὶ μητιόω. †ὡς ἀπὸ τοῦ κόνις κονίω, καὶ δῆρις δηρίω, ου τω καὶ μῆτις μητίω.† ἐξ ου καὶ μητιόωντο. σημαίνει δὲ τὸ βουλεύω καὶ μηχανεύω. Μηχανᾶται. τεχνάζεται. †καὶ† ἀντὶ τοῦ στρατηγεῖται. (᾽Επίῤῥημα.) Μηδαμῆ. ἀντὶ τοῦ μηδαμῶς. Μηνοειδῶσ. δίκην σελήνης. Μή νύ τοι. οὐδαμῶς σοι. Τὸ Μ μετὰ τοῦ Ι. (᾽Αρσενικόν.) Μιαρόσ. παρὰ τὸ μιαίνω, η παρὰ τὸ μία γέγονε παρώνυμον μιαρόν. ὡς σκιὰ σκιαρόν. οἱονεὶ ὁ μεμονωμένος, ῳ οὐκ α ν τις ἐπὶ τὸ αὐτὸ συνέλθῃ διὰ τὸ μῖσος. Μιαιφόνοσ. ὁ φονεύς. ἀπὸ τοῦ μιαίνεσθαι τῷ φόνῳ. Μιγάδεσ. οἱ ἐν τοῖς κοινοβίοις καὶ ταῖς πόλεσι. mu.1361 Μίδασ. κύριον. ὁ χρυσομανής. Μίθροσ. ὁ η λιος. Μιθριδάτησ. κύριον. Μικρολόγοσ. ὁ φειδωλός. †Μίκκοσ. ὁ μικρός· –τοῖς μίκκοις μίκκα διδοῦσι θεοί. ου τω Καλλίμαχος.† †Μίλοσ. ο νομα νήσου.† Μικρόσ. παρὰ τὸ μεῖον, μέϊον καὶ μήϊον, μηϊρὸς καὶ συγκοπῇ μικρός. Μιλτοπάρειοσ. ἐρυθρὸς τὰς παρειάς. μίλτος γὰρ ει δος ἐρυθρόν. Μίν. ἀντὶ τοῦ αὐτόν. Μίνωσ. κύριον. Μίνως καὶ ῾Ραδάμανθυς κριταὶ τῶν ἐν ᾳ δου κατὰ τὴν μυθοπλαστίαν τῶν῾Ελλήνων. ε στι Μίνως καὶ᾽Αττικῶς κλίνεται τοῦ Μίνω, ω σπερ ὁ λεὼς, τοῦ λεώ. παρὰ τὸ μίμνω γέγονε Μίμνως καὶ Μίνως· η παρὰ τὸ ι ς, ἰνὸς, ι νως, καὶ πλεονασμῷ τοῦ ¯μ Μίνως. τὸ δὲ μίμνω, ο σημαίνει τὸ καρτερῶ, παρὰ τὸ μένω. Μινωΐδησ. ὡς η ρως, η ρωος, ἡρωΐδης. Μιξίασ. κύριον. παρὰ τὸ μίσγω Μιξίας, ὡς σώζω Σωσίας, λέξω Λεξίας. Μισθόσ. κυρίως ὁ εἰς μῆνα κατατιθέμενος· kamu.1362 ταχρηστικῶς δὲ ὁ ἐφ' ἡμέρας. η παρὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ πείσω πιστὸς καὶ μισθός· ἐν ῳ τις πείθεται. †Μίτοσ. τὸ ὑφαινόμενον ἐν τῷ στήμονι πλαγίως νῆμα.† Μινυνθάδιοσ. ὁ ὀλιγοχρόνιος. (Θηλυκόν.) Μίδεια. πόλις. Μίλητοσ. πόλις. Μίλεια. πόλις ου τω καλουμένη. Μίνθη. ἡδύοσμος καὶ καλάμινθος. ἀγριοηδύοσμος. Μισγάγγεια. τόπος κοῖλος, εἰς ο ν καταφερόμενα τὰ υ δατα ἐκ τῶν ὀρῶν συνίστανται. Μιτυλήνη. νῆσος. Μίτρα. ἡ πολεμικὴ ζώνη ἡ διὰ μίτου ὑφαινομένη. ἐφορεῖτο δὲ ἐσώτερον τῆς λαγόνος χάριν ἀσφαλείας. η χαλκῆ λεπίς. Μίαν σαββάτων. τὴν κυριακὴν καλεῖ ὁ᾽Απόστολος. μίαν σαββάτων ε καστος ὑμῶν τιθέτω θησαυρίζων παρ' ἑαυτῷ. προτρέπει, ἐλεημοσύνην τοὺς Κορινθίους ἀπὸ τῆς ἡμέρας. (Οὐδέτερον.) Μίλιον. μέτρον γῆς. Μίλινον. χρῶμα. mu.1363 Μιλίγματα. δαιτὸς λείψανα, η τὸ σταῖς, ῳ κατέμασσον τὰς χεῖρας καὶ τὸ λεῖπος ἀπέψων. *Μιλιαρήσιον.* Μιμηλόν. τὸ μιμητικόν. Μιμαίκυλλον. τὸ σούρβον. Μῖσοσ. ἡ πρὸς τὸ ἀηδὲς ἀλλοτρίωσις. καὶ ἡ τοῦ λυποῦντος ἀποστροφή. παρὰ τὸ μὴ ι σος ει ναι. Μιτατώριον. (῾Ρῆμα.) Μιλίζω. μετρῶ. Μίμνουσιν. ἐκδέχονται. Μένουσι. καρτεροῦσι. καὶ μίμνω παρὰ τὸ μένω. Μινύθω. ἐλαττῶ. *φθείρεται γὰρ τὸ τοιοῦτον.* Μινύρεται. ἡσυχῇ κλαίει, θρηνεῖ. καὶ μινυρίζω τὸ ἡσυχῇ κλαίω καὶ θρηνῶ. η ἀπὸ τοῦ μύρω, ο σημαίνει τὸ κλαίω, ἐξ ου τὸ μύρεσθαι κατὰ ἀναδιπλασιασμὸν μορμυρίζω. η παρὰ τὸ μύω μυίζω, καὶ μυρίζω, καὶ κατὰ ἀναδιπλασιασμὸν μυμυρίζω, καὶ τροπῇ τοῦ μ εἰς ν καὶ τοῦ υ εἰς ι μινυρίζω. Μίστυλλον. εἰς μικρὰ κατέκοπτον. παρὰ τὸ μεῖον καὶ τὸ τίλλω, τὸ κόπτω, γέγονε μίστος καὶ μίστυλλον. mu.1364 (᾽Επίῤῥημα.) Μίγδην. ἀναμεμιγμένως. Μὶξ καὶ ἀναμίξ. Μίνυνθα. ἐπ' ὀλίγον. Τὸ Μ μετὰ τοῦ Ν. (᾽Αρσενικόν.) Μνήστωρ. ὁ γυναῖκα πρὸς γάμον μνηστευόμενος. Μνησιστράτειοσ. ὁ τοῦ Μνησιστράτου οι κος. Μνῆσος· Μνησθείδησ. ὀνόματα κύρια. Μνήμων. ὁ προεστὼς καὶ ἐπιμέλειαν ποιούμενος φόρτου, ο ν ἡμεῖς ἐπίπλουν καλοῦμεν. (Θηλυκόν.) Μνημοσύνη. ὑπόμνησις, μνήμη. παρὰ τὸ μνήμη μνημοσύνη. τὸ δὲ μνήμη παρὰ τὸ μένω, μενήνη καὶ συγκοπῇ μνήμη. Μνηστή. ἡ μνηστευθεῖσα γαμετή. – μνηστῆς ἀλόχοιο. Μνησικακία. μνήμη παρακολουθησάσης ὀξυχολίας ἐπὶ τῷ ἀνταποδοῦναι τῷ διαμαχεσαμένῳ. (Οὐδέτερον.) Μνία. τὰ βρύα. mu.1365 Μνεία δὲ, ἡ μνήμη, δίφθογγον. ἀπὸ τοῦ μένω μενία, *καὶ καθ' ὑπερβιβασμὸν μνεΐα,* καὶ συναιρέσει μνεία. (῾Ρῆμα.) Μνᾶται. μνηστεύεται. Μνησάσκετο. †ἐμέμνητο.† ἐμνηστεύετο. †Μνίω. τὸ ἐσθίω.† Μνώοντο. ἐμνηστεύοντο. Τὸ Μ μετὰ τοῦ Ο. (᾽Αρσενικόν.) †Μογιλάλοσ.† Μόγοσ. ταλαιπωρία. κάματος. παρὰ τὸ οἰμωγὴ μόγος. η παρὰ τὸ μὴ ἐᾷν τὴν ψυχὴν γάννυσθαι. καὶ μογοστόκοι αἱ μόγον ταῖς τικτούσαις ποιοῦσαι. Μοδηνόσ. τοπικόν. †Μόθαξ. ὁ πλούσιος.† Μοθωναῖοσ. ἀπὸ Μοθώνης. Μόθοσ. μάχη, πόλεμος. παρὰ τὸν μολυσμὸν τῶν φόνων. η παρὰ τὸ ὁμοῦ θεῖν τοὺς μαχομένους, καὶ εἰς ταὐτὸ ἐντρέχειν. mu.1366 Μοίριχος· Μοῖρις· Μοιραγένης· Μοιροκλεύσ. ὀνόματα κύρια. Μοιχόσ. ἐπὶ μὲν τοῦ ἀσελγοῦς δίφθογγον. παρὰ τὸ ει κω, τὸ πρέπω, ῥηματικὸν ο νομα οἰκὸς καὶ μετὰ τοῦ στερητικοῦ ν νοικὸς, καὶ τροπῇ τοῦ ¯ν εἰς ¯μ καὶ τοῦ ¯κ εἰς ¯χ μοιχὸς, οἱονεὶ ὁ ἐστερημένος καὶ ἐκτὸς ω ν τοῦ εἰκότος. μυχὸς δὲ, ὁ ἐνδότατος τόπος, ψιλόν. παρὰ τὸ νὺξ, νυχὸς, καὶ μυχός. Μολόχ. ο νομα εἰδώλου. †Μόλιβδοσ. παρὰ τὸ μολεῖν εἰς βάθος.† †Μολίων. ὁ μαχητής.† Μολοβρόσ. ὁ πτωχός. παρὰ τὸ μολεῖν εἰς βορὰν καὶ τροφήν. Μόλιβον. μόλιβον μὲν Ομηρος λέγει, καὶ ι σως᾽Ιακόν ἐστιν, οἱ δὲ᾽Αττικοὶ μόλυβδον καὶ μολύβδινον. τὸ δὲ μολυβοῦν ἐσχάτως βάρβαρον. Φορμίων· τρεῖς ε φη στήσειν τρίποδας, ε πειτ' ε θηκεν ε να μολύβδινον. Κρατῖνος· –φαίνεσθαι χρυσῆν κατ' ἀγροὺς δ' αυ θις αυ μολυβδίνην. Μόμμιοσ. κύριον. mu.1367 Μολυσμόσ. ἀπὸ τοῦ μολύνω. οἱ δὲ ἀπὸ τοῦ μέλος. Μόνιτος· Μοναίσησ. κύρια. Μοναχόσ. ὁ μόνῳ τῷ θεῷ ζῶν. Μονιμώτεροσ. βεβαιώτερος. Μονότροποσ. ὁ μονολόγιστος. Μονήρησ. ὁ μοναδικὸς βίος. Μοναδικούσ. ἀναχωρητάς. η ἁπλῶς μονάζοντας. Μονόζωνοι. μάχιμοι, η εὐσταλεῖς καὶ κοῦφοι στρατιῶται. Μονόκερωσ. ζῶον, τὴν δύναμιν α μαχον καὶ ἀνυπότακτον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῖς ἀνθρώποις. οὐ γὰρ δήσεις αὐτὸν, φησὶν, ἱμάντι, οὐδὲ κοιμηθήσεται ἐπὶ φάτνης. Μονητάριοσ. ὁ τὸ κέρμα ἐργαζόμενος. Μονόλωπα. μονοχίτωνα. λώπη γὰρ τὸ ἱμάτιον. Μόροσ. ὁ θάνατος. παρὰ τὸ μείρω, τὸ μερίζω, γίνεται μόρος. ὡς σπείρω, σπόρος. ὁ μεμερισμένος τοῖς πᾶσι. καὶ μόρος ἡ κακοπάθεια, καὶ μορῆσαι τὸ κακοπαθῆσαι. Μορώεισ. ὁ μετὰ κόπου ἐργασθεὶς τόπος. mu.1368 Μόσυν. ξυλίνην οἰκίαν. η τὸ ξυλόκαστρον. ὁ μόσυν, καὶ κλίνεται τοῦ μόσυνος. ὡς Φόρκυν, Φόρκυνος. παρὰ τὸ μῶ, τὸ συντιθῶ. Μόρφνοσ. ει δος ἀετοῦ. παρὰ τὴν ο ρφνην. οι ον· νύκτα δι' ὀρφναίην. πλεονασμῷ τοῦ ¯μ μόρφνος, ι να σημαίνει ὁ μέλας. η παρὰ τὸν μόρον καὶ τὸ φόνος, κατὰ συγκοπὴν τῶν δύο ¯ο¯ο μόρφνος, οἱονεὶ ὁ ἐπιφέρων τοῖς ο ρνισι φόνον. Μοχλόσ. παρὰ τὸ ὁμοῦ ε χειν τὴν κλεῖν. Μοχθηρόσ. πονηρὸς, ἐπίπονος. Μονογενήσ. ου α λλος οὐ προετάχθη, καὶ μεθ' ο ν ε τερος οὐ γέγονεν. Μοῦνος καὶ μόνον. τὸ μονοειδές.῾Ησίοδος· οὐκ α ρα μοῦνον ε ην ἐρίδων γένος–. (Θηλυκόν.) Μογοστόκοσ. ἡ ἐν τῷ τίκτειν κακοπαθοῦσα, η ἡ μόγον ταῖς τικτούσαις ποιοῦσα. μογοστόκος Εἰλείθυια. Μογηράν. ἐπίπονον. Μοθώνη καὶ Μοθωνία. ὀνόματα χωρῶν. mu.1369 Μοῖρα. ὡς ἀπὸ τοῦ σπείρω γίνεται σπορὰ, καὶ ἀπὸ τοῦ κείρω κουρὰ, ου τω καὶ ἀπὸ τοῦ μείρω, τὸ μερίζω, ω φειλεν λελέχθαι μορά· ἀλλ' ἐπειδὴ ἡ μορὰ τάγμα ἐστὶ παρὰ Λακεδαιμονίοις, τούτου χάριν πρὸ ἀντιδιαστολὴν τούτου ἐβαρύνθη, καὶ ἐγένετο μόρα καὶ πλεονασμῷ τοῦ ¯ι μοῖρα. ἡ δὲ μοῖρα σημαίνει τρία· τὸ καθῆκον, οι ον· –κατὰ μοῖραν ε ειπες. τὴν εἱμαρμένην, οι ον· μοῖραν δ' ου τινά φημι– καὶ τὴν μερίδα· μοίρας δασάμενοι–. †Μόρμον. τὸ μέλαν.† †Μόρμοσ. ει δος ἀετοῦ.† †Μουσική. γνῶσις ποσοῦ θιωρισμένου σχέσιν ε χοντα ἑτέρου πρὸς ε τερον.† Μολυβδαίνη. τὸ α γκιστρον παρ'῾Ομήρῳ. καὶ μολυβδίνη. Μολπή. υ μνος, ᾠδή. καὶ τὸ παίγνιον. Μομφή. ἡ μέμψις. Μονάσ. ἀρχὴ ἀριθμοῦ, κατὰ πόσον ἀδιαίρετον. Μονοειδήσ. οι ον μονοειδὴς οὐσία· ἡ ἐν μόνῳ τῷ ει δει καὶ οὐκ ἐν μετασχηματισμῷ ὁρωμένη οὐσία· η ἡ μονοτρόπως ὁραθῆναι δυναμένη· η ἡ πάσης τροπῆς καὶ μετασχηματισμοῦ οὐσία χωρίς. mu.1370 Μορία. ἡ ἀγριελαία. οἱ μὲν πᾶσαν ἐλαίαν ου τω καλοῦσιν, οἱ δὲ τὰς ἱερὰς τῷ θεῷ. ἐκλήθη δὲ μορία, οἱ μὲν, ο τι δημοσίαν μοῖραν ἐκ τῶν καρπῶν ἐλάμβανον. Ζήνων δὲ ὁ Μύνδιος, ο τι τὸ βρύον τῶν ἐλαιῶν ἐκαλεῖτο μόρον, ε νθεν αἱ ἀνθοῦσαι ἐλαῖαι μόραι ἐλέγοντο. Μορφή. τὸ καθ' ἑαυτὸ ο ν κοινωνίας ἑτέρου εἰς τὸ ει ναι μὴ δεόμενον. παρὰ τὸ μείρω, μερίζω, μορὴ καὶ μορφὴ, πλεονασμῷ τοῦ φ. μορφὴ, ἡ κατὰ διάνοιαν θεωρία θεωρουμένη καὶ ἑτέρου πρὸς τὴν αὐτῆς ἀνενδεῶς ε χουσα. μορφὴ ε ν τισι λαμβάνεται τὸ ὁρώμενον τοῦτο τοῦ σώματος ει δος. κυρίως δὲ μορφὴ ἡ οὐσία ἐλήφθη ἐπὶ τῶν πατέρων· καὶ μὴν καὶ ὑπὸ τοῦ᾽Αποστόλου· ο ς ἐν μορφῇ θεοῦ ὑπάρχων, ο ἐστιν ἐν τῇ οὐσίᾳ γιγνωσκόμενος. ἀθέμιτον γὰρ καὶ ἀσεβὲς ἐπὶ τοῦ θεοῦ τοῦ ἀοράτου τὴν μορφὴν ει δος εἰπεῖν. μορφὴ δὲ δούλου ἐστὶν κτιστοῦ ἀνθρώπου οὐσία. τὸ χαρακτηρίζον τὴν εἰκόνα τοῦ᾽Αδάμ. μορφὴ ει ρηται ὡς τῶν μορίων ὑφὴ η τοι οὐσία· μόρια δὲ μορφῆς αἱ ὑποστάσεις αὐτῆς λέγονται η τοι τὰ μέρη. Μόρφωσισ. σχηματισμός. †Μόσυσ. πύργος.† Μότωσισ. τὸ μοτάριον. Μοχθηράν. ἐπίπονον· κακοπαθητικήν. ἀπὸ τοῦ μογῶ, τὸ κακοπαθῶ. mu.1371 (Οὐδέτερον.) Μοιχάγρια. τὰ ἀντὶ μοιχείας ἀγρεύματα, ἐπὶ τῷ ληφθῆναι μοιχὸν ἀποτιννύμενα. οἱονεὶ ἡ τοῦ μοιχοῦ μοῖρα ἀγρευομένη. †Μολερόν. βραδύ.† Μολούχιον. κόσμος γυναικεῖος. Μονογενέσ. τὸ μὴ πρὸ αὐτοῦ μήτε μετ' αὐτοῦ ε χον τι γεγεννημένον. Μόρια. τὰ σώματος μέλη. καὶ μόριον ἐπὶ τοῦ αἰδοίου κατ' ἐξοχὴν τῶν α λλων μορίων τοῦ σώματος. παρὰ τὸ μείρω, τὸ μερίζω, ο τι καὶ μέρος. ἐγὼ δέ φημι παρὰ τὸ μὴ ὁρᾶσθαι διὰ τὴν αἰδῶ, ἀλλὰ κρυφῆ κατέχειν. Μορμολύκειον. φόβητρον. η τὸ τῶν τραγῳδῶν προσωπεῖον η προσποιούμενον ἐπίφοβον ἐπὶ τέρψει τῶν θεατῶν, *Μονοτονίασ. ἀναισχυντίας. η αὐτογνωμοσύνης.* Μόρσιμον. εἱμαρμένον, πεπρωμένον, μεμοιραμένον. παρὰ τὴν μοῖραν μοίραμον, συγκοπῇ καὶ πλεονασμῷ τοῦ ¯ς μόρσιμον. Μόρα. τὰ συκάμινα. Μορφνόν. σκοτεινὸν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραλαμβάνει τὶς, η καὶ ὁ βλακικὸς καὶ ὁ προπετής. Περίπατος. διακινητήριον. η αὐτὸ τὸ βάδισμα. Περίκλυτον. περιδοξότατον. Περιδεήσ. ὁ περίφοβος. Περίβλεπτοσ. ὁ ε νδοξος. Περιούσιοσ. ἐξαίρετος. Περιουσιασμόσ. περιουσία, πλοῦτος. Περιτομεύσ. ἡ σμίλη. Περιττοεπήσ. ὁ περισσολόγος. Περπένναϲ. κύριον. Πετηλιανός· Πετίλιος καὶ Πετεόσ. ὀνόματα κύρια. pi.1530 Πέτροσ. κύριον. πρᾶξις ἑρμηνεύεται η τοι πρακτικὸς τῇ θερμότητι τῆς πίστεως. Πεττοὶ καὶ πεσσοί. τὰ βόλια, ἐν οι ς ταβλίζουσι. Πευθήν. ὁ μανδάτωρ. καὶ κλίνεται πευθῆνος. ἀπὸ τοῦ πεῦσις, ἡ ἐρώτησις η ἡ ἀπόκρισις. οἱ γὰρ μανδάτωρες ποιοῦσι τὰ μηνύματα ε ν τε τοῖς δικαστηρίοις καὶ τοῖς ἐν αὐτοῖς δικαζομένοις. Πέριλοσ. τὸ αἰδοῖον. Περίτανοσ. ὁ περιττῶς αἰνούμενος εἰς κάλλος. Περιούσιοσ. ἐξηλλαγμένος. Περισκέπτῳ. περιβλέπτῳ. Ομηρος· ὑψηλὸς δέδμητο, περισκέπτῳ ε νι χώρῳ. Πέλεκυσ. παρὰ τὸ πέλειν ὠκέως. (Θηλυκόν.) Πέδη. ὁ δεσμός. παρὰ τὸ δέω, ε δη, καὶ πλεονασμῷ τοῦ π πέδη. Πέζα. ὁ ποῦς. Πειθοῖ. τῇ πεισμονῇ. pi.1531 Πείσαιρα. πόλις. Πεῖσα. ἡ πεῖσις καὶ ἡ πεισμονή. ὡς βήσω, βῆσα. Ομηρος· τῷ δὲ μάλ' ἐν πείσῃ κραδίη–. ἀντὶ τοῦ ἐν ἡσυχίᾳ καὶ ὑπομονῇ. ὡσεὶ ε λεγεν ἀντὶ τοῦ ἐπείσθην. Πείρινθοσ. ο καὶ πείρινθα λέγεται. σημαίνει δὲ τὸ τετράγωνον τὸ ἐπάνω τῆς ἁμάξης ξύλον, εἰς ο ἐντίθεται τὰ κομιζόμενα. ου τωϲ Απίων. ὁ δὲ Δίδυμος τὸ ἐκ ῥιπῶν πεπλεγμένον πλινθίον. ῥίπενθα καὶ καθ' ὑπέρθεσιν καὶ πλεονασμὸν τοῦ ι πείρινθα. η παρὰ τὸ θέειν πέρινθος καὶ πείρινθος. η πείρινθος τὸ σχοινίον. λέγεται δὲ Πείρινθος καὶ ἡ ἐν τῇ δύσει῾Ηράκλεια. Πειρατεία. ἡ λῃστεία. pi.1532 Πελαία. τοπικόν. Πελλήνη. πόλις. Πέλεια. ἡ περιστερά. παρὰ τὸ πελὸν, ο σημαίνει τὸ μέλαν. καὶ πελειάς. πελειάδα χειρὶ μεμαρπώς. ω σπερ παρὰ τὸ μαίω γίνεται μαιὰς, ου τω καὶ παρὰ τὸ πέλεια πελειάς. ου τω Χοιροβοσκός. Πελοπόννησοσ. δύναται πλεονάζειν τὸ ν. παρὰ τὴν Πέλοπος γενικὴν γέγονε τὸ ἀκόλουθον Πελοπόννησος. ὡσαύτως καὶ Προικόννησος. Πενεστρίνη. πύλης ο νομα. Πένησσα. ἡ ἐξ ἀρχῆς ἐν ἐνδείᾳ ου σα. Πενία. στέρησις χρημάτων καὶ κτημάτων. Πενταετηρίσ. ἡ πέντε ἐτῶν ου σα. Πεπάλη. τὸ τοῦ ἀλεύρου λεπτόν. ο περ οἱ Αττικοὶ πασπάλην λέγουσι πλεονασμῷ τοῦ ς. ο περ pi.1533 ἐπιπάσσεσθαι δύναται διὰ τὴν λεπτότητα. παρὰ τὸν πάσσω μέλλοντα πάλη, ὡς δαμάσσω δαμάλη. τινὲς δίφθογγον γράφουσι τὸ ¯π¯α¯ι, ἐγὼ δὲ λέγω, ο τι πάλη ἐστίν. †Περιβαρίδεσ. ὑποδήματα γυναικῶν.† Περίνοια. μερικὴ γνῶσις. τοῦ Θεολόγου· ἐν περινοίᾳ θεοῦ. Περιουσία. περισσεία, πλεονασμὸς, ὑπεροχή. ἀσύγκριτος οὐσία. Περιπεζίασ. πορευτῆς, ἐπιβατῆς, καταληπτῆς. †Πεπραμένη. διοίκησις. πεπερασμένη καὶ συντετελεσμένη διοίκησις.† Περισπωμένη. ποιότης συλλαβῆς. ἐκ τοῦ περικεκλᾶσθαι, καὶ οἱονεί τις συνειρημένη ει ναι. ποιότης δέ ἐστι φωνὴ δηλοῦσα τὴν ποσότητα τῆς σημασίας. Περίληψισ. ἡ περισσοτέρα νόησις. ἐκ τοῦ λήβω, τὸ λαμβάνω. Περιφορά. ἡ κατὰ κύκλον κίνησις. Περίοδοσ. κύκλος. Περιωπή. τὸ υ ψος, ἡ ἀκρώρεια. pi.1534 Περικεφαλαία. τὸ κράνος. Περιοχή. κλῆρος· συνοχή· ὑπόθεσις, η περιπέτεια. Περιπέτεια. ὑποθέσεως σύμπτωμα. Περίνοια. μηχανὴ, τέχνη. Περιφέρεια. κύκλος η διαστροφή. Περιγραφή. ἡ περιέχουσα αὐτὸ τὸ ο λον σῶμα. Περίγρα. ὁ διαβήτης. Περίφρασισ. συγκάθεσις τοῦ προσταθέντος. η δι' ἑτέρου τρόπου. ὡς τινὸς λέγοντος, τρία καὶ δύο πέντε, α λλος τῷ αὐτῷ συνομολογεῖ δι' ἑτέρου τρόπου λέγων, δύο καὶ τρία πέντε. περίφρασις δὲ λέγεται καὶ ἡ τοῦ ἁγίου Διονυσίου φωνὴ ἡ θεανδρική· εἰ γὰρ καὶ δι' ἑτέρου τρόπου, ἀλλὰ θεὸν καὶ α νθρωπον ὡμολόγησε καὶ αὐτὸς κατὰ τοὺς ἁγίους πατέρας. Περπερεία. ο μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, ο καὶ ἡ βλακεία καὶ ἡ προπέτεια. Πευκαλίμη. συνετή. Πεῦσισ. ἡ ἐρώτησις, η ἡ ἀπόκρισις. ἀπὸ τοῦ πεύθω, τὸ μανθάνω. pi.1535 Περισσεία. ἡ δαψίλεια. καὶ ὁ᾿Απόστολος· πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος–. Πεισμονή. τὸ πεισθῆναι τοῖς λέγουσιν ὑμῖν περιτέμνεσθαι. (Οὐδέτερον.) Πέδιλα. ὑποδήματα. ἀπὸ τοῦ εἰλίσσεσθαι τοῖς ποσίν. η ἀπὸ τοῦ πέδη, ὁ δεσμός. Πέδον. γῆ. ε δαφος, ἐφ' ου βεβήκαμεν τοῖς ποσὶ τοῦ πεζεύειν. καὶ πεζούς φασι τοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διὰ τῶν ἰδίων ποδῶν ποιουμένους τὴν πορείαν. Πεῖσμα. τὸ ἐν τῇ συνηθείᾳ. καὶ τὸ σχοινίον. παρὰ τὸ πείθω, πείσω, πεῖσμα· καὶ γὰρ τὰ ἀπόγεια σχοινία πείθεσθαι καὶ ει κειν ποιοῦσι τὴν ναῦν. Πεινάκιον. τὸ τῆς πείνης α κος. πινάκιον δὲ, ἐν ῳ ἐσθίομεν, ι. Πελόν. τὸ μέλαν. καὶ πελίωμα, τὸ μέλαν χρῶμα. Πελιδνόν. μέλαν, δίϋγρον. Πέλαγοσ. τὸ μὴ πέλας γῆς. η παρὰ τὸ τῆλε, ο σημαίνει τὸ πόῤῥω, καὶ τὸ γῆ· τήλεγός τι ο ν, τὸ πόῤῥωθεν τῆς γῆς. Πελλαῖον. ο ρος. Πέλμα. παρὰ τὸ πεπιλῆσθαι πλέον τοῦ λοιποῦ σώματος. η παρὰ τὸ πέλας ἀεὶ καθεστάναι τοῦ ποδός. Πεμπταῖον. τὸ μετὰ τὴν πέμπτην. Πέμμα. καρύκευμα. η ει δος πλακοῦντος. pi.1536 Πένθοσ. διάθεσις ψυχῆς σκυθρωπὴ, ἐπὶ στερήσει τινὸς τῶν καταθυμίων συνισταμένη, ο περ ἐπὶ τῶν ἐν εὐθυμίᾳ βιούντων χώραν οὐκ ε χει. η αι σθησις ἀλγεινὴ τῆς τῶν εὐφραινόντων στερήσεως. ει ρηται πένθος παρὰ τὸ βάθος, καὶ πλεονασμῷ καὶ τροπῇ τῶν στοιχείων γίνεται πένθος. κυρίως δὲ ἐπὶ τῶν κατοιχομένων. παρὰ τὸ ἐν βαθυτάτῳ ει ναι τὴν ἑαυτῶν λύπην. ὁ δὲ Ἡρωδιανὸς, παρὰ τὸ πάθος πλεονασμῷ τοῦ ¯ν καὶ τροπῇ πένθος. Πέπλα. ἱμάτια γυναικεῖα. †Πεπιλημένον. συνεσφιγμένον.† Περιεκτικόν. τὸ καθόλου. η τὸ ἐν ἑαυτῷ τὰ μερικὰ συνάγον καὶ ἀναπληροῦν. Περιάμματα. τὰ κατὰ τοὺς τραχήλους καὶ τὰς χεῖρας καὶ τοὺς πόδας βεβαμμένα κλώσματα, α τινα αἱ γυναῖκες περιάπτουσι. Περικαλλέσ. λίαν λαμπρόν. Περίοπτον. μέγα, ὑψηλόν. Περιδέραια. τὰ περιτραχήλια. δέρη γὰρ ὁ τράχηλος. Περίψημα. βδέλυγμα. Πέρασ. τὸ τέλος. Περίπυστον. ἐξάκουστον. Περίπτερα. ὁ ἀποσπινθηρισμός. Περίγειον. .... Πέπερι. παρὰ τὸ πέττω, τὸ εἰς πέψιν α γω. pi.1537 Περίγραπτον. ο περ διανοίᾳ καὶ γνώσει καταλαμβάνεσθαι δυνατόν. καθὰ καὶ α γγελοι ἀλλήλων τὴν φύσιν. Πέτηλα. φύλλα δένδρων. ἀπὸ τοῦ πέτεσθαι. Πετώνιον. τὸ τοῦ υ δατος. Πέταυρον. παγίς. βάθος. εἰς ᾳ δου πέταυρον. πέταυρα καὶ τὰ σανίδια, ἐν οι ς στεγάζομεν τὰ ὀσπήτια. ἀπὸ τοῦ ταῖς αυ ραις, ο ἔστι ταῖς πνοαῖς, πέτεσθαι. κοῦφα γάρ ἐστι καὶ ὑπηνέμια. †Πετίτον. πειρατικὴ σκάφη.† Πετρόβολον. ἡ λίθου βολή. διώβολον δὲ, μέγα. Πετροπομπόν. μηχάνημα, δι' ου πέμπεται ἡ πέτρα. Πευκεδανόν. πικρόν. Περικαθάρματα. ἀντὶ τοῦ ἀποψήγματα, καὶ ω σπερ ἀποσαρώματα. pi.1538 Περίψημα. τὸ σάβανον· ο τοὺς ἱδρῶτας τοῦ κάμνοντος ἀποψύχει. η τὸ ἀποῤῥιπτούμενον σκύβαλον, ὡς περιττόν. ἀπὸ μεταφορᾶς τῶν τὰς τραπέζας ἀποψώντων μετὰ τὸ φαγεῖν. (῾Ρῆμα.) Πεδεῖται. δεσμεῖται. Πείσεσθαι. παθεῖν. Πειρῶμαι. ἀπόπειραν καὶ δοκιμὴν ποιοῦμαι. Πεινῶ. παρὰ τὸ πένω καὶ πένομαι, ῳ παρέπεται πολλάκις τοῦτο. Πέλω. τὸ ἀναστρέφομαι. καὶ πέλει ἀντὶ τοῦ ὑπάρχει. Πένω. τὸ ἐνεργῶ καὶ πονῶ. Πένοντο. παρὰ τὸ πένω, τὸ ἐνεργῶ καὶ κάμνω, ἀφ' ου πόνος καὶ πόντος. Πεπαρῳνήκεσαν. ἀτάκτως υ βρισαν. Πεπαρμένοσ. διαπεπερονημένος. ε στι πείρω, τὸ κεντῶ, περῶ, πέπαρκα, πέπαρμαι. pi.1539 Πεπανθέν. ω ριμον γεγονός. καὶ πεπαίνω. Πεπορπημένον. συνεχόμενον περόνῃ η πόρπῃ, ο ἔστι κομβίῳ. Πεπαλάσθαι. κληρώσασθαι, λαχεῖν. κλῆρος γὰρ ὁ πάλος. παρὰ τὸ παλῶ παλάσσω. Πεπιασμένοισ. μεμιασμένοις. Αἰλιανός· φάγη δ' α ν τρίγλη καὶ ἀνθρώπου νεκροῦ καὶ ἰχθύος· φιληδοῦσι δὲ μᾶλλον τοῖς πεπιασμένοις καὶ κακόσμοις. Πεποιωμένον. ε χον ποιότητα. ποιότης δέ ἐστιν ἐνούσιος δύναμις, ὡς τοῦ υ δατος ἡ ψυχρότης, καὶ τοῦ πυρὸς ἡ θερμότης, καὶ τοῦ λίθου ἡ σκληρότης, καὶ τῆς γῆς ἡ ξηρότης. ποιότης δὲ καὶ ἰδιότης, καὶ διαφορὰ καὶ ἰδίωμα ε ν καὶ τὸ αὐτὸ σημαίνει. Πεπιθεῖν. πείθω, ὁ δεύτερος ἀόριστος ε πιθον, τὸ ἀπαρέμφατον πιθεῖν, καὶ ποιητικῷ ἀναδιπλασιασμῷ πεπιθήσω, πεπιθεῖν. Πεπνυμένοσ. συνετὸς, φρόνιμος. παρὰ τὸ πνέω, πνύω, πνύσω, πεπνυμένος. Πεποτήαται. ἀπὸ τοῦ πέτω ῥήματος γίνεται ποτῶ, ποτήσω, πεπότηκα, πεπότημαι, καὶ κατ' ε κτασιν τοῦ ¯ε εἰς ¯η πεποτήαται, ὡς νενόαται. pi.1540 Πέπρακα. περῶ, περάσω, πεπέρακα καὶ ἐν συγκοπῇ πέπρακα. Πεπερασμένον. πεπληρωμένον. Πεπαισμένοσ. ἀπὸ τοῦ πεπαίνω. πεπαισμένος τὰς φρένας. Πεπλαδηκώς. ξηρανθεὶς, η σαπείς. Πέποιθεν. ἐλπίζει.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θαῤῥεῖ. Πέπομφα. ε πεμψα. Πέπταμαι. ἐκ τοῦ ι πτημι, ε πτακα, ε πταμαι, ε πτασαι, ε πταται, καὶ πλεονασμῷ τοῦ π πέπταμαι, αἰολικῶς· οἱ γὰρ Αἰολεῖς εἰώθασι προστιθέναι σύμφωνον. ω σπερ τὸ ἐπτέρυγμαι, οι ον· –ώς δὲ πάϊς παῖδα μητέρα πεπτερύγωμαι.῾Ηρωδιανὸς ἐν τοῖς περὶ πάθους. Πέπτωκα. πτῶ, ὁ παρακείμενος ε πτωκα καὶ κατὰ ἀναδιπλασιασμὸν πέπτωκα. Πέπρωται. εἱμαρμένον ἐστί· καὶ πεπεράτωται. Πελάζειν. πλησιάζειν. Περιστοιχήσαντεσ. περικυκλώσαντες. περιστάντες. pi.1541 Περιπτύσσεσθαι. προσφύεσθαι, περιπλέκεσθαι. Περισκυθίσαντεσ. σπαράξαντες. κυρίως δὲ τὸ ἀποτεμεῖν τὸ ἐπὶ κεφαλὴν δέρμα σὺν ταῖς θριξί· καταχρηστικῶς δὲ καὶ τὸ ἀποκεῖραι. Περιφύσ. ἀντὶ τοῦ περιπλακείς. Περιῤῥέουσα. ἡ λεπτὴ καὶ ἀραχνώδης καὶ μαλακή. Περιέτριζεν. ε κλαιεν· ἠντιβόλει. πεποίηται ἡ φωνὴ ἀπὸ τῶν πτηνῶν τῶν περιπτομένων καὶ θρηνούντων τοὺς κινδυνεύοντας ἑαυτῶν νεοττούς. Περιτετμῆσθαι. η γουν ᾿Ιουδαῖον χρηματίζειν. ᾿Ιουδαίων γὰρ ἡ περιτομή. Περιοριζόμενον. περιγραφόμενον, ο ἐστι περιεχόμενον. pi.1542 Πέρθω. τὸ πορθῶ. Περιπολεύειν. κυκλεύειν, ἀναστρέφεσθαι. Περιαυτίζεται. περὶ αὐτοὺς μέγα φρονεῖ. η περὶ τῶν αὐτῶν πάλιν λέγει. Περινοστεῖ. περιέρχεται. ἀναστρέφεται. Περιστέλλων. σκέπων, ἐνδύων. Περιαθρεῖ. περιβλέπει. Περιλάμπεσθαι. τὴν μερικὴν λάμψιν δηλοῖ. καταλάμπεσθαι δὲ τὴν τελείαν. Περιστένειν. στενοχωρεῖν. η καὶ τὸ στενάζειν. Περιέπειραν. ε πηξαν. πείρω γὰρ τὸ σουβλίζω Περιεργαζόμενοσ. πονηρευόμενος. Περιέσται. νικήσει, η περιγενήσεται. pi.1543 Περιπτυξώμεθα. ἀσπασώμεθα. Περιστέλλει. κοσμεῖ. η φροντίδος ἀξιοῖ. Περιέπει. φυλάττει. Περιορισθῆναι. περιληφθῆναι. Περιόψεται. παρίδοι, καταφρονήσει. Περκάζει. ὡριμάζει. Περαίνει. καὶ περαιῶσαι, τὸ τελειῶσαι. Πέττω. τὸ χωνεύω. ἐξ ου καὶ πέψις. τριττὴ δέ ἐστιν ἡ πέψις ἐν τοῖς ἐναίμοις ζώοις. καὶ πρώτη μὲν ἡ ἀπὸ τῆς οἱασοῦν τροφῆς εἰς χυλοποίησιν ἐν τῇ κοιλίᾳ μεταβαλλομένη. δευτέρα ἡ διὰ τῆς κοίλης φλεβὸς τῆς κυρτῆς ὀνομαζομένης ἐκ τῆς κοιλίας εἰς τὸ η παρ ἑλκομένη, κἀκεῖσε εἰς αι μα μετασκευαζομένη. τρίτη ἡ ἀπὸ τοῦ αὐτοῦ η πατος εἰς ε ν ε καστον μόριον τοῦ ο λου σώματος ἀναδιδομένη καὶ τροφὴν τὴν αὐτοῖς ἁρμόζουσαν παρεχομένη· ἐν ῃ δηλαδὴ τρίτῃ πέψει ε στιν ἡ αἱματοποίησις, ἡ αὐτὴν τὴν σάρκα γεννῶσα. διὸ καὶ ὁρίζεται, τί ἐστι σὰρξ, αι μα πεπηγὸς ὑπὸ φύσεως. Πεφήσεται. ἀναιρεθήσεται. Πεφαυλισμένον. ἀποδεδοκιμασμένον. Πεφοινιγμένη. ᾑμαγμένη. pi.1544 Πεφωριῶσθαι. τὸν ὀφθαλμὸν πεπαχύνθαι. Περπερεύεται. προπετὲς ποιεῖ· ἀτακτεῖ· κατεπαίρεται. ἡ ἀγάπη οὐ περπερεύεται. Πέποιθασ. ἀντὶ τοῦ λογίζῃ. τοῦ ᾿Αποστόλου Πέτρου· πέποιθας σεαυτὸν ὁδηγὸν ει ναι τυφλῶν. Περισσεύομεν. τουτέστιν εὐδοκοῦμεν παρὰ θεῷ. ἀποστολικὴ ἡ λέξις. Τὸ Π μετὰ τοῦ Η. (᾿Αρσενικόν.) Πηγόσ. ὁ εὐτραφής. Πηγεσίμαλλοσ. ὁ βαθύθριξ. Πήγασοσ. ο νομα ι ππου. Πήδαιοσ. κύριον. Πήδασοσ. πόλις η τόπος καὶ ο ρος. Πηκαλισμόσ. ὁ ἐμπαιγμός. Πηνεόσ. ποταμός. Πηόσ. ὁ κατ' ἐπιγαμίαν συγγενής. Πηρόσ. ὁ τυφλὸς, ὁ βεβλαμμένος. Πηρῖνοσ. τὸ αἰδοῖον. Πηλεύσ. κύριον. παρὰ τὸ βάλλω, τὸ κινῶ, γίνεται Παλεὺς, καὶ τροπῇ τοῦ ¯α εἰς ¯η Πηλεύς. pi.1545 (Θηλυκόν.) Πηγή. ἀνάβλυσις τῆς ὑπὸ γῆν ἀτμίδος, η τις ὑπὸ τῆς ἐντὸς ψυχρότητος κατὰ μικρὸν βληθεῖσα ὁμοῦ τὲ συνήφθη καὶ ἐξεδόθη. Πηγυλίσ. τὸ κρύος. Πηδώνη. ἡ κώπη. η πηδόν. Πήρα. τὸ σακκούλιον. πεῖρα δὲ ἡ δοκίμη, δίφθογγον. Πηκτίσ. τὸ τῆς κιθάρας ξύλον. Πήληξ. ἡ περικεφαλαία. Πηλιάσ. τὸ δόρυ. Πηλιάδα μελίην. ἀπὸ μελίας δένδρου. Πημονή. ἡ βλάβη. Πημαντική. διδασκαλική. Πημαντή. βλαβερά. Πηνίτισ. χώρα. Πηνελόπη, Πηνεὼ καὶ Πηνελόπεια. ὀνόματα κύρια. Πηνήκη. τὸ κεφαλοδέσμιον. πηνύκη δὲ, ἡ οὐρὰ, τὸ ¯ν¯υ ψιλόν. pi.1546 Πῆχυσ. μέτρον δισπιθαμιαῖον. καὶ κλίνεται πήχεως, ὡς πέλεκυς πελέκεως. α καὶ σεσημείωνται ὡς διὰ τοῦ ¯ω μεγάλου γραφόμενα. καὶ διὰ τί σεσημείωνται;῾Ηρωδιανὸς λέγει, ο τι πήχυος η ν καὶ πελέκυος κατὰ ἀκολουθίαν, ὡς βότρυς βότρυος· ἀλλ' ἐπειδὴ οἱ᾿Αττικοὶ τὸ ¯ο μικρὸν εἰς ¯ω μέγα μεταβάλλουσι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰς ¯ε, τούτου χάριν καὶ τὸ πελέκεως καὶ πήχεως μετέστρεψαν εἰς ἐκτεινόμενα. παραλῆγον δέ ἐστιν, οι ον Μενέλαος, τὸ ¯α· τὸ γὰρ Μενέλαος Μενέλεως γράφουσιν οἱ ̓Αττικοί. Πῆξισ. ἡ ἑδραίωσις. Πηγάδασ. κρυώδεις ἡμέρας.̔Ησίοδος· τοῦτον ἀλεύασθαι, καὶ πηγάδας, αι τ' ἐπὶ γαῖαν. Πήρα. παρὰ τὸ τηρῶ. ἡ τὰ βαλλόμενα τηροῦσα. (Οὐδέτερον.) Πήγανον. βοτάνη. ο περ φυτευόμενον ὑπὸ τῇ συκῇ δριμύτερον ἑαυτῆς γίνεται. μετατίθεται pi.1547 γὰρ εἰς τὸ φυτὸν τὸ ἐν τῇ συκῇ βαρύοσμον. καὶ ταῖς συκαῖς τῶν ἀγριοσυκῶν παραφυτευομένων βελτίω τὰ σῦκα γίνονται. Πηδάλια. αὐχένια. Πηκτόν. τὸ α ροτρον. Πῆμα. ἡ βλάβη. πῆμα κακὸς γείτων–. Πηνίον. τὸ μέτρον. Πηλίκον. τὸ μεγέθους δηλωτικὸν, καὶ τὸ ἐν ἀμορφίᾳ ο ν. ὡς παρὰ τὸ̓ Αποστόλῳ· ι δετε, πηλίκοις ὑμῖν γράμμασιν ε γραψα τῇ ἐμῇ χειρί. ὡσεὶ ε λεγε· καὶ ταῦτα μὴ εἰδὼς γράφειν καλῶς. ( ̔Ρῆμα.) Πηδαλιουχῶν. κυβερνῶν. †Πήθω. τὸ πάσχω.† Πηκαλίζειν. ἐμπαίζειν. Πημαίνω. τὸ βλάπτω. Πῆξον. ἑδραίωσον. (̓Επίῤῥημα.) Πῇ. ἀντὶ τοῦ ποῦ. Πῆθι. ἀντὶ τοῦ ποῦ. Πηνίκα. ἀντὶ τοῦ ὁπότε. pi.1548 Τὸ Π μετὰ τοῦ Ι. (̓Αρσενικόν.) Πίδνοσ. ποταμός. Πιμεντάριοι. οἱ βοτανολόγοι. Πίνακεσ. τὰ πινακίδια, αἱ γραφαί. καὶ τὸ πινακίδιον. †Πίνδοσ. ο ρος Θεσσαλίας.† Πινσόσ. ὁ τοῦ τοίχου. Πινυτόσ. συνετὸς, φρόνιμος, σώφρων. καὶ πινυτώτατος. Πῖλοσ. τὸ κέντουκλον. Πίροσ. ποταμός. Πίσυνοσ. ὁ θαῤῥῶν, ὁ παῤῥησιαστικός. Πίτυλοσ. κύριον. καὶ ὁ κτυπῶν. Πιτηρούμ. κύριον. Πιόνιοσ. κύριον. Πιστόσ. ἀντὶ τοῦ ἀληθής. παρὰ τῷ̓ Αποστόλῳ· πιστὸς ὁ θεὸς, δι' ου ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ. (Θηλυκόν.) Πιγκιανή. τόπος. Πίδαξ. ἡ πηγή. pi.1549 Πιδήεσσα. ὑγρά. Πιερίδεσ. αἱ ἐν Μακεδονίᾳ Μοῦσαι. Πιθάκνη. ὁ μικρὸς πίθος. Πιθοιγία. ἡ τοῦ πίθου α νοιξις. Πικηνίσ. χώρα. Πιμελή. τὸ διακεχυμένον λῖπος ἐν τῇ σαρκί. †Πίνδακασ. θραύματα σανίδων.† †Πινδήρα. α ροτρον.† Πίννα. ο νομα ἰχθύος. ἐξ η ς καὶ πιννέριον. Πινυτή. σώφρων. συνετή. †Πιπώ. ο ρνεον.† Πίσα. πόλις. πεῖσα δὲ ἡ τοῦ ξύλου, δίφθογγον. †Πίστρα. ἡ ποτίστρα.† Πιτυάνη. ἀσκὸς μικρός. Πίτυρισ. ἡ θλαστὴ ἐλαία. Πίειρα. ἡ λιπαρά. Πίστισ. ἁπλῆ λογισμῶν καὶ ἀπερίεργος συγκατάθεσις η ἐνδιάθετος υ παρξις. Πίστις δὲ ει ρηται κατὰ τὸ πείθεσθαι ει ς τι. διττῶς δὲ νοεῖται ἡ ὀρθὴ πίστις· ε στι γὰρ πίστις ἐξ ἀκοῆς τοῦ κηρύγματος, καὶ ε στι βεβαιοτέρα πίστις ἡ τῶν ἐλπιζομένων ἀγαθῶν. καὶ τὴν μὲν ἐξ ἀκοῆς πάντες α νθρωποι ε χειν δύνανται· τὴν δὲ δευτέραν μόνοι οἱ δίκαιοι κέκτηνται. pi.1550 Πίστισ ἐστὶν ἀδήλων ἀβασάνιστος συγκατάθεσις, ὡς ε λεγχος πραγμάτων οὐ βλεπομένων. γνῶσις δὲ κατειλημμένων περίεργος συγκατάθεσις, ὡς ὁρωμένων ε λεγχος. Πίστισ ἐστὶν ἀπράγμων σύνθεσις, ὁμολογία ψυχῆς εὐσεβοῦς ἀπερίεργος, λόγος εὐσεβείας κατὰ τῆς ἀσεβείας φερόμενος, πειθὼ ἀπερίεργος τοῦ πιστεύοντος περὶ τὸ πιστευόμενον, ἀποδείξεως κρείττων. η ὁ τὴν πνευματικὴν ἀναγέννησιν εἰς ο νομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος εἰληφώς. Πιτΰϊνα. ὁ καρπὸς τῆς πίτυος. Πίδαξ. παρὰ τὸ πιδύω πίδαξ. η πηδῶ, πίδαξ, κατὰ μετάθεσιν ἰωνικὴν τοῦ ¯η εἰς ¯ι. (Οὐδέτερον.) Πιαλέον. πόσιμον η λιπαρόν. καὶ πιαλέοις ο φεσιν, ὡς διψαλέοις, ει ρηται ἐπὶ τοιοῖς τισι ἰδίως ο φεσι τοῖς κατὰ̔ Ιεριχὼ μάλιστα εὑρισκομένοις, ἐξ ω ν ἰατροὶ ὡς τὰ πολλὰ τὴν θηριακὴν σκευάζουσι. τούτοις ἀντιθέτως ἐνταῦθα ἁπλῶς τίθεται τὸ πιαλέοις, τουτέστι πινομένοις, ποσίμοις, λιπαροῖς, πλουσίοις α μα καὶ ὑπερεκχεομένοις καὶ κορεστικοῖς. Πιεστήριον. τὸ ἐκθλίβον. pi.1551 Πιθήκειον βλέμμα. τὸ τοῦ πίθηκος. πιθήκιον δὲ, τὸ μικρὸν, ἰῶτα. Πῖλον καὶ πιλίδιον. τὸ κέντουκλον. †Πίνιον. ει δος βάμματος.† Πῖον καὶ πῖαρ. τὸ λιπαρόν. Πινῶδεσ. ῥυπαρόν. Πιναρά. εὐτελῆ· ῥυπαρά. Πινία. τὰ κέντουκλα. Πῖσον. ει δος ὀσπρίου. Πῖ. τὸ στοιχεῖον. παρὰ τὸ παίω. ὁ γὰρ τούτου φθόγγος ὡσεὶ παίοντος καὶ κρούοντος η χος ἐστί. Πικαίριον. ῥίζαν. τοῦ Ψελλοῦ· σίραιον δὲ τὸ ε ψημα, πικαίριον τὴν ῥίζαν. ( ̔Ρῆμα.) Πιαίνει. λιπαίνει. Πιεζόμενοσ. θλιβόμενος. δαμαζόμενος. Πῖθι. ἀντὶ τοῦ πίε. Πιθήσασ. †ἀντὶ τοῦ πεισθείς.† Πιμπρᾷ. καίει. Πιμπλῶν καὶ πίμπλημι καὶ πιπλῶν. ἀντὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ πληρῶν. Πινύσκω. σωφρονῶ. Πίομαι. μικρόν. πίωνται δὲ, μέγα. Πιτνῶ. προσπελάζω. Πιττοῦν. κυρίως τὸ τὰς πλατείας νῆας πίττῃ χρίειν. Πιφάσκει. δηλοῖ. pi.1552 Πιλνᾷ. καταβάλλει η προσεγγίζει.῾Ησίοδος· –ἐλάτας δὲ παχείας ου ρεος ἐν βήσσῃς πιλνᾷ χθονὶ πουλυβοτείρῃ. Πιφασκόμενοσ. μαντευόμενος. Ομηρος· μνηστῆρσι δὲ μάλιστα πιφασκόμενος τάδε ει ρω. Τὸ Π μετὰ τοῦ Λ. (᾿Αρσενικόν.) Πλαστουργόσ. ποιητὴς, πλάστης. Πλαταμών. ὁ αἰγιαλὸς, καὶ τόπος. Πλάνητεσ. ὀνόματα ἀστέρων. παρὰ φιλοσόφοις πλανῆται γράφονται. ἡ εὐθεῖα ὁ πλανήτης. Πλησίστιος α νεμοσ. ὁ πληρῶν καὶ γεμίζων τὰ ἱστία καὶ τὰ α ρμενα. Πλήρησ. παρὰ τὸ πολὺ πολυήρης, καὶ κατὰ συγκοπὴν πλήρης. η ε στι πλεῖος, πλειήρης, καὶ κατὰ συγκοπὴν πλήρης. Πλεισθένησ. κύριον. Πλεῖστοσ. πολύς. παρὰ τὸ πλείων γίνεται πλεῖστος, ὡς λῷον λῷστος, ῥᾷον ῥᾷστος, πλείων πλεῖστος. Πλειών. ὁ ἐνιαυτός. ἀπὸ τοῦ πλείονας χρόνους περιέχειν ἐν ἑαυτῷ, η παρὰ τὸ πολεῖν καὶ διέρχεσθαι κατὰ τοὺς τεταγμένους χρόνους. Πλόκαμοι. αἱ μακραὶ τρίχες, αἱ ἐπιτήδειαι ου σαι εἰς τὸ πλέκεσθαι. παρὰ τὸ πλέκω. pi.1553 Πλοχμόσ. παρὰ τὸ πλέκω, πλεχμὸς καὶ πλοχμός. ὡς βρέχω, βρεχμὸς, καὶ συνέχω, συνοχμός. Πλοῦτοσ. κτῆσις χρημάτων καὶ κτημάτων. παρὰ τὸ πολὺς καὶ τὸ λαμβάνω καὶ τὸ δέχομαι, πολύουτος, κατὰ συγκοπὴν πλοῦτος. η ο τι ἐκ τοῦ πηλοῦ καὶ τῆς γῆς ὁ πλοῦτος εὑρίσκεται τοῖς ἀνθρώποις. Πλόϊμοσ. ὁ α νεμος. ο ἐστι πλεόμενος. καὶ πλόϊμος καιρὸς, η τοι πλεόμενος. καὶ πλόϊμος θάλασσα, τουτέστι πλεομένη. καὶ πλοϊμότερος ου ρος, η τοι ἐπιτήδειος πλόος. μικρά. Πλώϊμος δὲ, τὸ ἀξίωμα, καὶ πλωτὴρ, ὁ ναύτης, καὶ πλωτὸς, η τοι πλεόμενος, καὶ πλωτὴ θάλασσα, ο ἐστι πλεομένη, καὶ πλωΐζω, καὶ πλῴζω, καὶ πλώοντες, καὶ πλωϊσάμενος, ὁ πλεύσας, καὶ πλωὰς, ει δος ὀρνέου, μεγάλα. Πλιέζερ. κύριον. Πλινσθενίτησ. κόλπος. Πλόοσ. παρὰ τὸ πλέω, πλεύσω, πλόος καὶ πλοῦς. (Θηλυκόν.) Πλάστιγξ. τὸ μέρος τοῦ ζυγίου. Πλοκάσ. ἀναβολὰς η ὑπερβιβασμούς. Πλαδόωσα. σεσημμένη. †Πλάστισ. ἡ γυνή.† Πλάτη. ἡ κώπη. pi.1554 Πλαταγή. κρόταλον χαλκοῦν.᾿Αλλ' ο τε πλατείην πλαταγὴν ἐνὶ χερσὶ τινάσσων. Πλάτισ. ο νομα. Πλαγχώνεια. ο νομα. Πλαταίασ. πόλεως. Πλαστίσ. ο νομα μελίσσης. Πλαισιαία. ἡ τετράγωνος. Πλημμύρα. ὑδάτων πλῆθος. καὶ πλημμυρίς. πλημμύρω. ὀξύνεται δὲ πλημμυρίς· τὰ γὰρ ἀπὸ βαρυτόνων ῥήματα ὀξύτονα, οι ον βασιλεύω, βασιλίς, πλημμύρω, πλημμυρίς. τὸ δὲ πλημμύρω ἀπὸ τοῦ πλήθω, πλήσω, πλήμη, καὶ πλημμύρω. ε νιοι δὲ ἐπίῤῥημα οι ονται, ὡς τὸ λικριφίς. Πληθώρα. τὸ πάθος, ἡ πλησμονή. καὶ πληθωρικαὶ, αἱ πλησμονικαί. Πλησιφαήσ. ἡ πληροσέληνος ἡμέρα. Πληγὴ φλεγμαίνουσα. ἡ μήπω συνουλωθεῖσα. Πλῆμναι. αἱ χοινικίδες, δι' ω ν ὁ α ξων στρέφεται. παρὰ τὸ πληροῦσθαι ὑπὸ τοῦ α ξονος. Πληϊάσ. τὸ ἑξάστερον. καὶ Πλειάς. κατὰ τὴν μυθολογίαν ἀπὸ Πληϊόνης, θυγατρὸς μὲν᾿Ωκεανοῦ, γυναικὸς δὲ Ατλαντος. δύνουσαι δὲ αἱ Πληϊάδες τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ δηλοῦσιν, ἀνατέλλουσαι δὲ τὸ τέλος. Πλευρῖτις. νόσος ἡ ἐν τῷ πλευρῷ. Πλευραί. αἱ πλήρεις ου σαι καὶ ἀμύχωτοι· αἱ πλεωραὶ τινὲς ου σαι· αἱ φυλάσσουσαι τὸν πνεύμονα· η πολυευραὶ, ὡς πλατεῖαι. pi.1555 Πλεῖαι. πεπληρωμέναι. πλεῖαί τοι οι νου κλισίαι–. ἀπὸ τοῦ πλεῖος, ἀφ' ου καὶ τό· –πλέος μέλανος θανάτοιο. Πλινθεία. ἡ πλίνθευσις. Πλωάσ. ει δος ὀρνέου. Πλωτή. νῆσος. Πλώθεια. δῆμος. Πλεονεξία. ἡ ὑπὲρ τῆς ἐπιθυμίας τοῦ πλείονος βλάβη. ου τως ὁ᾿Απόστολος. (Οὐδέτερον.) Πλαστοῖσ. ψευδέσι. Πλάσμα. τὸ ψεῦδος. σημαίνει καὶ ε ργον τύπου καὶ ει δους, καὶ διαμορφώσεως. οι ον ὁ βίος τοῦ μεγάλου᾿Αντωνίου ὁ περὶ τοῦ μεγάλου᾿Αθανασίου συγγραφεὶς, καὶ τὸ βιβλίον ὁ Βαρλαάμ. Πλάταιον. τὸ ε κπωμα. Πλαδαρόν. χαῦνον, σεσημμένον, η ὑγρόν. Πλατωνικὸν βιβλίον. τὸ τοῦ Πλάτωνος. Πλάτοσ. παρὰ τὸ πλῶ, τὸ πληρῶ. Πλαίσιον. ει δος μέτρου. η ἡ ἐν τετραγώνῳ τῶν στρατιωτῶν τάξις, ὡς Πλάτων ἐν Σοφιστῇ. καὶ τὰ διὰ ξύλων τετράγωνα σχήματα πλαίσια ε λεγον. pi.1556 Πλέθρον. μέτρον γῆς. Πλεῖον. παρὰ τὸ πολύς. πολεῖον καὶ συγκοπῇ πλεῖον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σημαίνει δὲ καὶ τὸ περισσόν. Πλῆγμα. ἡ πληγή. πλίγμα δὲ, τὸ βάδισμα, ι. Πλησιέστερον. ἐγγύτερον. καὶ πλησίον. παρὰ τὸ πέλω παράγωγον πελάζω, ῥῆμα ο νομα πλατὸς καὶ πλητός. κατὰ τροπὴν τοῦ ¯τ εἰς ¯ς καὶ κατὰ παραγωγὴν πλησίος, ὡς α μβροτος, ἀμβρόσιος. Πλῆκτρον. τὸ τῆς κιθάρας. ἐν ῳ τὰς χορδὰς ὁ κιθαρίζων κινεῖ. Πλημμελέσ. ἁμαρτητικόν. η τὸ ῥάθυμον καὶ ἀπαίδευτον. Πλινθίον. τὸ τετράγωνον σχῆμα. Πλουμμάτον. τὸ μολύβδινον. (῾Ρῆμα.) Πλημμελεῖν. τὸ ἁμαρτάνειν. Πληκτιζομένουσ. μαχομένους. Πλῆντο. ἐπληροῦντο. πέλω, πλῶ, πλῆντο. Πλείμην. ἀντὶ τοῦ πλευσαίμην. Πλεῖθι. πλεῦσον. ἰακόν ἐστι. Πλεῖν. ἀντὶ τοῦ πλέειν. Πλεῖ. τὸ προστακτικόν. οὐχὶ πλεῖθι, οὐδὲ πλέε. τοῦτο γὰρ ἰακόν. καὶ πνεῖ, οὐχὶ πνέε, καὶ pi.1557 δεῖ καὶ θεῖ καὶ ῥεῖ τὰ προστακτικὰ λέγει. Εὐριπίδης· πλεῖ κατὰ πορθμόν. Ερμιππος· ἀλλ' ἐκεῖσε θεῖ. δεῖ τοῦτον. Πλύνεται. καθαίρεται η ὑβρίζεται. Πλῶ. τὸ πλησιάζω. Πλῴζω. τὸ πλωΐζω. ε χει τὸ ¯ι. ἀπὸ τοῦ πλώω πλωΐζω, καὶ κατὰ συναίρεσιν πλῴζω. η ω σπερ ἀπὸ τοῦ λέγω λόγος, ου τω καὶ ἀπὸ τοῦ πλόος γίνεται πλοΐζω, καὶ κατ' ε κτασιν τοῦ ¯ο εἰς τὸ ¯ω μέγα πλωΐζω, καὶ κατὰ συναίρεσιν πλῴζω. *ὡς χροΐζω χρῴζω. η ὡς ἀπὸ τοῦ πλέω πλόος, καὶ ὡς ἀπὸ τοῦ α νθρωπος γίνεται ἀνθρωπίζω, ου τω καὶ ἀπὸ τοῦ πλόος γίνεται πλοΐζω, καὶ κατ' ε κτασιν τοῦ ο εἰς ω μέγα πλωΐζω, καὶ κατὰ συναίρεσιν πλῴζω.* Πληροφόρησον. πλήρωσον. ᾿Αποστόλου· τὴν διακονίαν σου πληροφόρησον. Πλαδόω. τὸ σήπομαι. τοῦ Ψελλοῦ· πλούμματον τὸ μολύβδιον, τὸ σήπομαι πλαδοίω. (᾿Επίρ῾ρημα.) Πλαγίωσ. δολίως. Πλήν. ἐκτὸς, η ο μως. Τὸ Π μετὰ τοῦ Ν. (᾿Αρσενικόν.) Πνευματικόσ. ὁ ο λον διόλου ἑαυτὸν μεταθεὶς, καὶ τῇ διανοίᾳ ἀεὶ πρὸς τᾳ πνευματικὰ διατρίβων. Πνεύμων. τὸ μέρος τοῦ σώματος. ἀναλογώτερi.1558 ρον διὰ τοῦ ¯ν. ταμίας γάρ ἐστι τοῦ πνεύματος πνεύμων. κλίνεται δὲ πνεύμονος. (Θηλυκόν.) Πνευμονίη. ἡ περὶ τὸν πνεύμονα πνιγμονή. Πνύξ. δικαστήριον ἐν ᾿Αθήναις. καὶ κλίνεται πνυκός. (Οὐδέτερον.) Πνεῦμα. τὸ θεῖον· ὁ α γγελος· ἡ ψυχή· ὁ α νεμος· ὁ νοῦς· ὁ δαίμων. η πνεῦμα ἐστὶ νοερὸν καὶ ἁπλοῦν καὶ λεπτόν· σαφὲς καὶ τρανόν· ἀπήμαντον καὶ ἀμόλυντον· μονογενὲς καὶ παντεπίσκοπον. η πνεῦμα ἐστὶ λεπτὴ καὶ α ϋλος καὶ ἀσχημάτιστος ἐκπορευτικὴ υ παρξις. Πνεῦμα δὲ ει ρηται ὡσανεὶ πᾶν νεῦμα, διὰ τὸ ὡς νεῦμα ὀξέως παντὶ νεῦον καὶ κινούμενον. ει ρηται δὲ ἐν τῇ γραφῇ πνεῦμα τετραχῶς· πνεῦμα τὸ α γιον· πνεῦμα ὁ α γγελος· πνεῦμα ἡ ψυχή· πνεῦμα ὁ α νεμος. ε στι δ' ο τε καὶ ὁ νοῦς τοῦ ἀνθρώπου πνεῦμα λέγεται. Πνεῦμα α γιόν ἐστι δύναμις ἁγιαστικὴ, ἀσχημάτιστος, τῷ πατρὶ καὶ τῷ υἱῷ ὁμοούσιος, ἐκπορευτικῶς, οὐχ υἱκῶς ἐκ τοῦ πατρὸς προϊοῦσα. Πνεύματα. καὶ ἡ δασεῖα καὶ ἡ ψιλή. καὶ διὰ τοῦτο εἰσὶ δύο πνεύματα, διότι ἡ μὲν δασεῖα ἐκ τοῦ θώρακος ἐξέρχεται, ἡ δὲ ψιλὴ ἐξ α κρων τῶν χειλέων. καὶ διὰ τοῦτο οὐ προσέσχεν ὁ ποιητὴς τρίτου πνεύματος, τῆς φύσεως μὴ ἀπαιτούσης. διὰ τοῦτο δὲ λέγονται πνεύματα, διὰ τὸ ἐν τοῖς πνεύμασιν αὐτὰ παρεικασθῆναι. πνεῦμα δέ ἐστιν ἐκφορὰ λέξεως ἀθρόως η μετρίως παραλαμβανομένη. Πνῖγοσ. τὸ καῦμα. (῾Ρῆμα.) Πνείω. ἀντὶ τοῦ πνέω. pi.1559 Τὸ Π μετὰ τοῦ Ο. (᾿Αρσενικόν.) Ποδήρησ. χιτὼν, ὁ α χρι τῶν ποδῶν διήκων καὶ φθάνων. η ὁ συῤῥαπτόμενος εἰς τὸ κατώτερον τῆς στολῆς, ἐκ πορφύρας καὶ βύσσου. Ποδαλείριοσ. παρὰ τὸ ε χειν τὸν πόδα περὶ τὰ λείρια, η γουν τὰ α νθη. ποδαλείριος χιτών. Ποδάρκησ. ὁ ταχὺς περὶ τὸν δρόμον. ποδάρκης᾿ Αχιλλεύς. καὶ κύριον ο νομα. Ποδοῖϊν. ποιητικῶς. –ἐκ δὲ ποδοῖϊν α κμονας η κα δύο– ἀμφοτέροιεν. παρὰ τὸ ποδὸς ποδοῖν, καὶ πλεονασμῷ τοῦ ι ποδοῖϊν. Πόθοσ. παρὰ τὸ πήθω, τὸ πάσχω, γίνεται πόθος, τροπῇ τοῦ ¯η εἰς ¯ο. η ἀπὸ τοῦ πείθειν, τὸ εἰς συγκατάθεσιν α γειν. ἐξ ου τὸ πέποιθα. ὁ γὰρ πόθος πείθει τὸν ποθοῦντα ποθεῖν, ο ποθεῖ. ἐκ τοῦ πόθος ποθεινὸς, ὡς σκότος σκοτεινός. Ποικιλομήτησ. ποικιλόβουλος. Ποικίλοσ. σημαίνει τὸν ἐπιμελῶς κατεσκευασμένον. παρὰ τὸ πύκα. ὁ πολλὰς ε χων πυκνότητος ποικιλίας. Ποιήεισ. βοτανώδης. ἀπὸ τοῦ πόα, ο σημαίνει τὴν βοτάνην. †Ποιήεντα. σιτοφόρον.†



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ποιητήσ. ὁ τὰ ε μμετρα γράφων, καὶ ὁ δημιουργός. pi.1560 †Ποιμάνωρ. βασιλεύς.† Πόκοσ. τὸ συνελιγμένον ε ριον. ο θεν καὶ τό· –εἰροπόκοις ὀΐεσσι. παρὰ τὸ πείκω, τὸ κτενίζω, καὶ τὸ ξαίνω, τὸ διαλύω. ὡς σπείρω σπόρος, καὶ μείρω μόρος. Πολυθρύλλητοσ. διαβεβοημένος. Πολιοῦχοσ. ὁ τὴν πόλιν σώζων καὶ φυλάσσων, η τοὺς α ρχοντας. Πολύτλασ. καρτερικὸς, ὑπομονητικός. τλῶ γὰρ τὸ καρτερῶ. Πολύαινοσ. α ξιος πολλοῦ ἐπαίνου. Πολιτικόσ. ἀστεῖος μετά τινος τέχνης. Πόλητοσ. ὁ μάντις. Πόλτυν. ξυλόκαστρον. παρὰ τὸ πέλω, τὸ ἀναστρέφομαι, κατὰ ἀντίφρασιν. καὶ κλίνεται πόλτυνος. ὡς Φόρκυν, Φόρκυνος. Πολυτελήσ. πλούσιος· πολυδάπανος. τέλος γὰρ ἡ δαπάνη. Πόλοσ. ὁ οὐρανός. καὶ πόλοι, οἱ ἐν τῷ οὐρανῷ. ε στι δὲ α στρων θέσις. παρὰ τὸ περὶ αὐτοὺς ἀναστρέφεσθαι τὸν κόσμον, η γουν τὸν οὐρανὸν, α τε πόλον καλούμενον. πῶλος δὲ, ὁ ἀείδαρος, μέγα. Πολυκαγκήσ. ξηραντικός. παρὰ τὸ κῶ, τὸ καίω, παράγωγον κείω, οι ον· –σχίζων δρυὸς, η ν λίπε κείων. ἐκ τοῦ ου ν κῶ γίνεται πολυκὴς, καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμὸν πολυκαγκής. Πολεῖσ. ἀντὶ τοῦ πολλούς. ἀπὸ τοῦ πολὺς, πολέος, ὡς ἡδὺς, ἡδέος, ἡδεῖς. Πολέασ. ἀντὶ τοῦ πολλούς. pi.1561 Πόλεμοσ. παρὰ τὸ τὰς πόλεις μειοῦν. η παρὰ τὸ πολλοὺς ἀμᾶν. η παρὰ τὸ τὰς πόλεις ὀλλύειν. η παρὰ τὸ ὀλῶ, ο λεμος καὶ πόλεμος. Πολιήτησ. ὁ πολίτης, πλεονασμῷ τοῦ ¯η. Πολιόσ. λαμπρός. πολιὸν σίδηρον ἀντὶ τοῦ λαμπρόν. ὀξυνθεὶς γὰρ ὁ σίδηρος λαμπρότατος γίνεται. καὶ πολιὸς ὁ ε ντιμος. καὶ πολιοκροτάφους, τοὺς ἐντίμους καὶ λαμπροὺς ταῖς διανοίαις. καὶ πολιὴν α λα τὴν λευκήν. Πολυάϊξ, καὶ κλίνεται πολυάϊκοσ. ἀπὸ τοῦ ἀΐσσω, ἀΐξω. σημαίνει δὲ πολλὰς κινήσεις καὶ ὁρμὰς ε χοντος, η ἀστάτου. Πολυπάμων. πολυθρέμματος. πῶ, τὸ κτῶμαι, καὶ πᾶσθαι, τὸ κτήσασθαι, κυρίως θρέμματα, καταχρηστικῶς δὲ πᾶν ὁτιοῦν. καὶ πασάμενος πολλάκις. Πομπαῖοσ. ὁ ἀπὸ τῶν γηΐνων εἰς τὰ οὐράνια πέμπων. καὶ πομπαῖος Ἑρμῆς, ὁ τὰς ψυχὰς εἰς τὸν ᾳ δην κατάγων τὲ καὶ παραπέμπων. Ποματίασ. ὁ κοχλίας. Πόντοσ. ἡ θάλασσα. κυρίως δὲ ὁ ε νδον τῆς Χεῤῥονήσου, ὁ καὶ Ευ ξεινος καλούμενος. Πόντοσ. παρὰ τὸ πένω, τὸ ἐνεργῶ, ἀφ' ου πόνος καὶ πόντος, καθ' ο ν πεποίηται τὸ τῶν ἀνθρώπων γένος. η παρὰ τὸ πνέω πνότος καὶ μεταθέσει πόντος, ἐξ ου αἱ πνοαὶ γεννῶνται. Πόντιοσ. θαλάσσιος. ἐκλήθη δὲ καὶ ὁ Πιλάτος Πόντιος, ὡς ἀπὸ πόλεως Ποντίου γεννηθεὶς καὶ τοῦτο ἐπονομασθείς. pi.1562 Πόροσ. ὁ περάσιμος τόπος, η διέξοδος, η τρίβος. πόρος ἀπὸ τοῦ πορεύεσθαι δι' αὐτοῦ. Πορθμόσ. ἡ στενὴ θάλασσα, η γῆ ε νθεν κἀκεῖθεν, καὶ μέσον θάλασσα. η θάλασσα μεταξὺ δύο ἠπείρων. ἰσθμὸς δὲ τοὐναντίον, ἡ στενὴ η πειρος μεταξὺ δύο θαλασσῶν. πορθμὸς καὶ τὸ πέραμα. ὡς ἀπὸ τοῦ κείρω κορμὸς, ου τω καὶ ἀπὸ τοῦ πείρω, τὸ περῶ, γίνεται πορμὸς καὶ πλεονασμῷ τοῦ θ πορθμός. Πόρδαλισ. ὁ α ρσην. πάρδαλις, τὸ θηλυκόν. ὁ μὲν ἀπὸ τοῦ προσάλλεσθαι, ἡ δὲ ἀπὸ τοῦ παραβάλλεσθαι. †Πορκεύσ. ὁ ἁλιεύς.† Πόρκοσ. οἱ μὲν τὸ δίκτυον ἀπέδοσαν, οἱ δὲ σχοινίου πλέγμα, οἱ δὲ κύρτον. οὐδὲ ου τοι ὑγιῶς. ὁ γὰρ Πλάτων ε τερον φησὶ τὸν πόρκον τοῦ κύρτου. λέγει γὰρ ου τως· κύρτους, καὶ δίκτυα, καὶ βρόχους, καὶ πόρκους, καὶ τὰ τοιαῦτα, οὐκ α λλό τι πλὴν ε ρκη δεῖ προσαγορεύειν. μνημονεύει δὲ καὶ Δίφιλος τοῦ πόρκου· θᾶττον πλέκειν κέλευε τῶν πόρκων πυκνοτέρους. ε λεγον δὲ πόρκον διὰ τὸ περιλαμβάνειν καὶ ἀμπέχειν τὸν εἰσδύνοντα ἰχθύν. η ἀπὸ τοῦ οἱονεὶ περικεῖσθαι. καὶ ὁ ποιητὴς πόρκον τὸν περὶ τῷ δόρατι κρίκον φησίν· ὁ συνέχων τὸν σίδηρον πρὸς τὸ ξύλον τοῦ δόρατος, διὰ τὸ περιέχειν. –περὶ δὲ χρύσεος θέε πόρκης. ὁ δὲ Ὠρίων παρὰ τὸ πείρω. pi.1563 Ποσειδῶν. ἡ θάλασσα. τὸ υ δωρ. παρὰ τὸ σείειν τὸ πέδον γέγονε Ποδοσείων, καὶ ἐν ὑπερβιβασμῷ Ποσειδῶν. ἐνοσίχθων Ποσειδῶν. λέγει γὰρ διὰ τοῦ υ δατος κινεῖσθαι τὴν γῆν. οἱ δὲ εὐσεβεῖς λέγομεν, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. Πόνοσ. ἐμποδισμὸς τῆς κατὰ φύσιν ἐνεργείας. Πόστοσ. ἀντὶ τοῦ πόσος. ὡς τρίτος τρίτατος, ου τως πόσος πόσατος καὶ κατὰ συγκοπὴν πόστος. Πότμοσ. ὁ θάνατος. παρὰ τὸ πίπτω γίνεται κατὰ συγκοπὴν πτῶ· ῥῆμα ο νομα πτὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ πλεονασμῷ τοῦ μ πτμὸς, καὶ διὰ τὴν ἀσυνταξίαν τοῦ ¯π ¯τ ¯μ ἐπλεόνασε τὸ ¯ο, καὶ ἐγένετο πότμος, ἡ ἐσχάτη σύμπτωσις τοῦ βίου. ἐπὶ δὲ τῆς τύχης παρὰ τὴν μετάπτωσιν καὶ μεταβολὴν τῶν πραγμάτων. Πορισμόν. κέρδος. ᾽Απόστολος· νομιζόντων πορισμὸν ει ναι τὴν εὐσέβειαν. τοῦτο λέγει· ὑποκρίνονται τὴν εὐσέβειαν, ι να δι' αὐτῆς ἐρανίζονται πορισμὸν, οι ον χρημάτων καὶ κέρδους. (Θηλυκόν.) Πόα. ἡ βοτάνη. η φυτὸν πολύφορον ἀπὸ ῥίζης. ἀπὸ τοῦ ποιὰ, ἀποβολῇ τοῦ ι, πόα. ποιὰ δέ ἐστι ὁ ἐνιαυτὸς, ἐξ ου πόα, ἐπειδὴ κατ' ἐνιαυτὸν πολλάκις αυ ξεται καὶ ξηραίνεται. ει ρηται δὲ παρὰ τὴν ποιότητα. καὶ ποία ἡ βοτάνη. Ποδηγία. ἡ ὁδηγία, ἡ παιδαγωγία. Ποδοκάκη. τὸ ἐν εἱρκτῇ ξύλον, ο περ κλάπα λέγεται καρτζικῶς. Ποδήνεμοσ. ταχεῖα. Ποηφαγία. βοτανοφαγία. Ποθή. ἡ ἐπιζήτησις. Ποινή. τιμωρία, η ἡ ὑπὲρ φόνου ζημία, φοινὴ τὶς ου σα καὶ τροπῇ τοῦ ¯φ εἰς ¯π ποινή. pi.1564 Ποικιλτική. ὑφὴ ποικίλη. Ποιμαντική. διδασκαλική. Ποιότησ. ἡ τὴν διαφορὰν ἐκ τῶν α λλων ἐν ἑαυτῇ δεικνύουσα. η ποιότης ἐστὶν ἐκείνη, καθ' η ν παρωνύμως τὰ μετέχοντα αὐτῆς λέγει. ποιότης ἐστὶ καὶ ἡ ἐνούσιος δύναμις, ὡς τοῦ υ δατος ἡ ψυχρότης, καὶ τοῦ πυρὸς ἡ θερμότης, καὶ τοῦ λίθου ἡ σκληρότης, καὶ τῆς γῆς ἡ ξηρότης. Ποιότησ καὶ ἰδιώτης καὶ διαφορὰ καὶ ἰδίωμα ε ν καὶ τὸ αὐτὸ σημαίνει. ε στι καὶ ε τερόν τι ποιότης, φωνὴ δηλοῦσα τὴν ποιότητα τῆς φωνῆς η τῆς σημασίας. ἐὰν γὰρ ει πω· πὺξ, λὰξ, τὴν ποιότητα τῆς φωνῆς ἐδήλωσα. Ποίησισ. τὸ ο λον βιβλίον. οι ον᾽Ιλιὰς καὶ ἡ᾽Οδύσσεια.᾽Ιλιὰς δέ ἐστιν ἡ τῆς Τροίας ὑπόθεσις· Ιλιον γὰρ ἡ Τροία.᾽Οδύσσεια δὲ ἡ πλάνη τοῦ᾽Οδυσσέως. εἰσὶ δὲ καὶ δύο αυ ται ποιήσεις τοῦ ῾Ομήρου. διαιρεῖται δὲ τριχῶς ἡ ποίησις· εἰς διηγηματικόν· εἰς μιμητικὸν, καὶ μικτόν. καὶ διηγηματικόν ἐστιν, ἡνίκα ο λος ὁ λόγος ἐκ ποιητικοῦ μόνου προσώπου λέγεται. μιμητικὸν δὲ αἱ τραγῳδίαι καὶ κωμῳδίαι. ποίημα καὶ ποίησις διαφέρει. ποίησις μὲν γάρ ἐστιν, ὡς ει ρηται, τὸ ο λον βιβλίον· ποίημα δὲ ἡ ῥαψῳδία. ει ρηται δὲ ῥαψῳδία ἀπὸ τοῦ δαφνίνῃ ῥάβδῳ περιερχομένους ᾳ δειν τὰ῾Ομήρου ποιήματα. καὶ διατί δαφνίνην ῥάβδον κρατοῦντες ῃ δον τὰ῾Ομήρου ποιήματα; διὰ τὸ ἀειθαλὲς τοῦ φυτοῦ, η ο τι μαντικὴ ἡ δάφνη, μαντικὴ δὲ ἡ ποιητική· οὐδὲ γὰρ ει η τὶς τέλειος ποιητὴς, εἰ μὴ ἱστορήσει καὶ μαντεύσεται καὶ διηγήσεται. †Ποίμνη. γέγονε παρὰ τὸ ποιμὴν, ποιμένη καὶ κατὰ συγκοπὴν ποίμνη.† †Ποινίδεσ. βάκχαι.† pi.1565 Πόλισ. σύστημα ἱδρυμένον, κατὰ νόμον διοικούμενον. Πολιτεία. πρᾶξις η βίος κατὰ νόμον φύσεως διεξαγόμενος. Πόλιοσ. τῆς πόλεως. ἰωνικόν ἐστι. Πολιά. παρὰ τὸ λευκὸν ει ναι· τὰ γὰρ λευκὰ πολιὰ λέγεται. –πολιὴν α λα–. Πολυτέλεια. πλουσιότης. τέλος γὰρ ἡ δαπάνη. ο θεν καὶ ἡ πολυτέλεια. καὶ εὐτελεῖς τοὺς μὴ ἐπὶ πολὺ χωροῦντας ταῖς δαπάναις. Πολυφασίασ. πολυλογίας. φάσις γὰρ ἡ φήμη καὶ ὁ λόγος. Πολυπίδακοσ. πολλὰς πηγὰς ἐχούσης. πίδαξ γὰρ ἡ πηγή. Πολυκοιρανίη. ἡ πολυαρχία. οὐκ ἀγαθὸν πολυκοιρανίη– κοίρανος γὰρ ὁ βασιλεύς. Πολυσπερέασ. ἐπὶ πολλὰ μέρη ἐσπαρμένας. –πολυσπερέας τὲ φάλαγγας. Πολιορκία. πόλεως πόρθησις. λέγεται καὶ ἡ χαράκωσις. Πολυϊδρία. ἡ πολυπειρία. Πολυκλήϊσι. πολυκαθέδραις. Πομπή. τὸ ὀψίκιον. λέγεται καὶ ἡ μετὰ τοῦ σταυροῦ λιτή. Πομφόλυγεσ. αἱ ἐκ τῶν ο μβρων η α λλως καταφερομένων ὑδάτων ἐπὶ υ δασιν εὐδιάλυτοι κυρτώσεις, η γουν φυσήματα. ο θεν καὶ ἐπὶ τῶν διαpi.1566 κενῆς φυσιουμένων η ο λως ἐπαιρομένων λαμβάνεται ἡ λέξις. παρὰ τὸ παφλάζω ῥῆμα, α λλο παράγωγον παμφαλίζω, ῥῆμα ο νομα παμφάλυξ καὶ τροπῇ τῶν δύο ¯α¯α εἰς ¯ο πομφόλυξ. Πονηρία. ἑκούσιος κακοποιΐα, δι' η ν καὶ ὁ διάβολος πονηρὸς λέγεται. Πόρτισ. ἡ μικρὰ βοῦς, ἡ δάμαλις ἡ ἀρξαμένη νῦν τῆς κατὰ νομὴ πορείας. πόρος, πόρις, καὶ πλεονασμῷ τοῦ ¯τ πόρτις. λέγεται καὶ πόρκις. Πόρπη. τὸ κομβίον. παρὰ τὸ πείρω, τὸ διεκβάλλω, πόρη, καὶ πλεονασμῷ τοῦ ¯π πόρπη. ε νιοι δὲ λέγουσι καὶ πόρκη. Πόρνη. παρὰ τὸ περνῶ, τὸ πωλῶ. ἡ τὴν μίξιν πωλοῦσα. ἐπὶ δὲ τοῦ πόρνου, παρὰ τὸ πεπωρωμένον ε χειν τὸν νοῦν. Πορφύρα. ἀπὸ τοῦ πορφύρω, τὸ βουλεύομαι, γίνεται πορφύρα. τὸ δὲ πορφύρω παρὰ τὸ φέρειν τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νοῦν ω δε κἀκεῖσε. καὶ κῦμα πορφύρεον, τὸ μέλαν. ε νθεν καὶ τὸ βάθος μεριμνᾷν, πορφύρειν λέγεται. Πόσιοσ. τοῦ ποτοῦ. ἰωνικῶς. Πόσαι. ἀντὶ τοῦ πολλαί. Ποσότησ. ἀριθμοῦ πέρας, η γουν μονάδος σύνθεσις. Ποτή. ἡ πτῆσις τῶν πτηνῶν. ἀπὸ τοῦ πέτω ποτὴ, ὡς ε χω ὀχή. Πότνια. δυσωπητική· σεμνή· σεβασμία. pi.1567 Πονηρία. πονηρίαν λέγει ὅ Ἀπόστολος τὸν ἐκ κατασκευῆς ει ς τινα παρά του πόνον γενόμενον. Ποτιπτερνίδασ. τὰς ἐν ταῖς πτέρναις φλέβας ου σας φησὶν Ἱπποκράτης. (Οὐδέτερον.) Ποδηνεκέσ. μέχρι ποδῶν καθῆκον, η μέγα. Ποικίλον. πολύτροπον. †Ποίφυγμα. σχῆμα ποικίλον.† Πολύχουν. πολύφορον. Πολύευκτον. τίμιον, εὐχῆς α ξιον. Πολυάνδρια. τὰ ξενοτάφια. Πολίχνια. αἱ μικραὶ πόλεις. Πολλοστημόριον. βραχύτατον μέρος. ὀλίγον. Πολλοστόν. τὸ ἀκαριαῖον. Πολυοπὸν τριβώνιον, μικρόν· πολυωπὸν δὲ δίκτυον, μέγα. ἀπὸ τοῦ πολλὰς ὀπὰς ε χειν. τοιοῦτον καὶ τὸ περιωπή· ἐκτείναντος τοῦ ¯ο εἰς ¯ω μέγα. Πολείδιον. ἡ μικρὰ πόλις. Πολαιτόριον καὶ Πολυκτόριον. ὀνόματα τόπων. Πόμα. τὸ πινόμενον. πῶμα δὲ, τὸ σκέπασμα, μέγα. Πομήριον. τόπος. pi.1568 Ποιμνήϊον. ἡ ποίμνη. †Πορεῖον. ο χημα.† Πορθμεῖον. τὸ πλοῖον. πορθμίον δὲ, τὸ ναῦλον, ¯ι. Πότερον. ὁποῖον, η ε ν ἐκ τούτων, η τῶν δύο τὸ ε τερον. Ποταίνιον. τὸ ξένον, τὸ πρόσφατον. καὶ οι μαι παρὰ τὸ νέον, ι ν' ῃ ποτίνεον. Ποτήριον. οὐ παρὰ τοῦ ποτὸς η πότον, ἀλλὰ παρὰ τὸ πότης, ποτήρ. ὡς ποιητὴς, ποιητήρ. ο θεν καὶ συνθέσει οἰνοποτήρ. Ποτὶ χαλκοβατὲς δῶ. πρὸς δῶμα καὶ οι κημα χαλκοβατές. τὸ ποτὶ ἀντὶ τῆς πρὸς, πρόθεσις ἐστὶ Δωρική. ἡ πρὸς πρόθεσις ἀποβάλλει τὸ ¯ρ Δωρικῷ ε θει, καὶ τρέπει τὸ ¯ς εἰς ¯τ, καὶ πλεονασμῷ τοῦ ¯ι ποτί. διότι οὐ δύναται λέξις Ἑλληνικὴ εἰς α φωνον καταλήγειν, προσλαμβάνει τὸ ι. Πολυειδέσ. τὸ ἐν μιᾷ θεωρίᾳ διάφορα ει δη ὑποδεικνύον. συγγενές ἐστι τὸ ἀπαραλείπτως τῷ ἑτέρῳ ἐξομοιούμενον. η τὸ εἰς διαφόρους μορφὰς ἐκ μεταβολῆς φαινόμενον. Πορφύρεον. μέλαν. κῦμα πορφύρεον. pi.1569 (Ῥῆμα.) Ποθήσεται. ἀντὶ τοῦ ποτὸς καὶ πινόμενος γενήσεται. ποθήσεται οι νος. ἐκ τοῦ πῶμι, πώσω, πέπωκα. πέπομαι δὲ μικρόν. Ποθέεσκε. ποθέω, ποθῶ, ἐπόθεον, ἐπόθουν, ἐπόθεες, καὶ πλεονασμῷ τῆς κε συλλαβῆς καὶ συστολῇ τῆς ἀρχούσης ποθέεσκε. Ποιπνύειν. ἐνεργεῖν, διακονεῖν. οἱονεὶ τὸ μετὰ σπουδῆς καὶ πνεύματι ποιεῖν τι· τοῖς γὰρ ἐσπουδακόσι καὶ ἐνεργοῦσιν ε πεται τὸ πνευστιᾷν. πνέειν ου ν καὶ πνύειν, καὶ ἐν συνθέσει μετὰ τοῦ ποιεῖν ποιπνύειν. †Ποιφύξαι. φοβῆσαι.† Ποιφύξαι. φυγεῖν. Ποιναλίζω. βασανίζω. Ποιεῖν. τὸ ἐν ἑαυτῷ ε χειν τὴν αἰτίαν τῆς ἐνεργείας. ποιεῖν λέγεται ἐπὶ τῶν ποιητικῶν τεχνῶν, τεκτονικῆς φημὶ καὶ τῶν τοιούτων. *Πούβλικον. παρὰ Λατίνιος τὸ δεδημοσιευμένον.* Πολυωρήσεισ. φυλάξεις, πολλὴν φροντίδα ποιήσεις. *Πολιτικόν. χρηματικόν.* Πολιορκεῖ. ἀντὶ τοῦ πολεμεῖ. Πολεύω. ζητῶ. Πολῶ. τὸ ἀναστρέφομαι. Πολίζω. πόλεις κτίζω, η οἰκίζω. καὶ πολίσας. πολίσας τὴν ε ρημον. Πολεμησείω. ἐπιθυμῶ πολέμου. Πομπεύει. προοδοποιεῖται. ὀψικεύει. καὶ πομπεύεται. Πομποστολεῖ. τὸν νηΐτην ἐκπέμπει στόλον. pi.1570 Ποιμαίνει. βόσκει η διδάσκει. Πονεύμενον. ἐπιπονοῦντα· μαχόμενον. πονεόμενον, πονεύμενον. Πονηρεύω. παρὰ τὸ πονῶ, πονήσω, πονηρὸς, ὡς ὀδύνω, ὀδυνήσω, ὀδυνηρός. τὸ πονῶ παρὰ τὸ πόνος, τὸ δὲ πόνος παρὰ τὸ πένω, τὸ ἐνεργῶ καὶ κάμνω. Ποππύζεσθαι. κυλακεύεσθαι. ει ρηται δὲ ἐπὶ τῶν ἀνημέρων ι ππων καὶ ἀγυμνάστων. ε στι δὲ ἡ λέξις πεποιημένη. Πορσύνω, καὶ πορσαίνω, καὶ πορσανέουσα. σημαίνει τὸ εὐτρεπίζω. ἀπὸ τοῦ πόρος, πορῶ, πορύνω, καὶ πλεονασμῷ τοῦ ¯ς πορσύνω καὶ πορσαίνω, ὁ μέλλων πορσανῶ, ἡ μετοχὴ πορσανῶν καὶ τὸ θηλυκὸν πορσανοῦσα, καὶ πλεονασμῷ τοῦ ¯ε πορσανέουσα. πορσύνω καὶ ἀντὶ τοῦ ἐρεθίζω. Πορφύρω. τὸ βουλεύομαι. παρὰ τὸ φέρειν τὸν νοῦν ω δε κἀκεῖσε. καὶ πορφύρειν τὸ κατὰ βάθος μεριμνᾷν. Ποτινίσσεται. προσέρχεται· ο ἐστιν ἀνάκειται. ἀπὸ τοῦ ι μι τοῦ διὰ τοῦ ¯ι, τοῦ σημαίνοντος τὸ πορεύομαι. Ποτνιώμενοι. παρακαλοῦντες. ἐξιλεούμενοι. ἐλεεινὰ ῥήματα λέγοντες. καὶ ποτνιᾶσθαι. κυριώτερον α ν τις φήσει ἐπὶ γυναικῶν, ο ταν κακόν τι πάσχωσιν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἱκετευουσῶν. Ποτώμενοσ. μέγα. πετόμενος δὲ, μικρόν. (᾿Επίῤῥημα.) Ποῖ γῆσ. εἰς ποῖον τόπον. Πολλαχῶσ. ἀναριθμήτως. καὶ πολλαχῇ. Πονήρωσ. ἐπωδύνως. pi.1571 Πόῤῥω. μακράν. παρὰ τὴν πρὸ πρόθεσιν πρόσω, καὶ μεταθέσει πόρσω καὶ τροπῇ τοῦ ¯ς εἰς ¯ρ πόῤῥω. Ποσῶσ. μερικῶς. Πόσε. ἀντὶ τοῦ ποῦ. Ποσαχῶσ. πλειστάκις. Ποσαπλῶσ. ἀντὶ τοῦ πολλαπλῶς. Ποταμηδόν. δίκην ποταμοῦ. Ποταινί. προσφάτως. Πολυμερῶσ. διαφόρως καὶ ποικίλως. ὁ᾿ Απόστολος· πολυμερῶς καὶ πολυτρόπως. Τὸ Π μετὰ τοῦ Ρ. (᾿Αρσενικόν.) Πράμνειοσ. οι νος ἀπὸ Πραμνείας ου τω καλουμένης ἀμπέλου. η παρὰ τὸ πραΰνειν τὸ μένος. Πρανοῦσ. κατωφεροῦς. Πρακτικόσ. ο στις μετὰ τῶν λοιπῶν μερῶν τοῦ σώματος καὶ τῆς χειρὸς πράττει. οι ον τέκτων, χαλκεὺς, καὶ τὰ ο μοια. λογικὴ δὲ καὶ πρακτικὴ διαφέρει, ο τι τὴν μὲν λογικὴν μόνος ὁ α νθρωπος ἐπίσταται, τὴν δὲ πρακτικὴν καί τινα τῶν ἀλόγων ζώων. Πρᾶοσ. θυμοῦ καὶ ἐπιθυμίας παντελὴς πρὸς τὰ παρὰ φύσιν ἀκινησία. καὶ πραεῖς οἱ μὴ ὀξύῤῥοποι πρὸς τὰς ἐμπαθεῖς τῆς ψυχῆς κινήσεις, ἀλλὰ κατεσταλμένοι τῷ λόγῳ. ὡς τό· μακάριοι οἱ πραεῖς. ἡ φύσις γὰρ πρὸς κακίαν ευ κολός ἐστι καὶ ὀξύῤῥοπος ἐπὶ τὸ χεῖρον. καὶ πραότης ἡ βραδεῖα τὲ καὶ δυσκίνητος ε ξις. οὐ γὰρ καθόλου τὴν ἀπάθειαν τῇ ἀνθρωπίνῃ φύσει νομοθετεῖ ὁ κύριος, οὐ γὰρ δυνατὸν τῇ ἐνύpi.1572 λῳ ζωῇ τὸ α ϋλον. ει ρηται δὲ παρὰ τὸ πάντα ῥᾳδίως ποιεῖν. Πραίκων. ὁ κήρυξ. Πραιπόσιτοσ. τὸ ἀξίωμα. καὶ πραιτέξτατος. Πραίσιοι. ζῶα. Πρέμνοσ. ὁ κλάδος. Πρευμενήσ. ὁ α γαν εὐμενής. ἀπὸ τοῦ πρᾶος καὶ εὐμενής. Πρέσβισ. ὁ παρακλήτωρ, η ὁ ἀποκρισιάριος. παρὰ τὸ πρέσβις, πρέσβιος, πρέσβεες, πρέσβεις, ἡ εὐθεῖα τῶν πληθυντικῶν. ὡς ο φις, ο φιος, ο φεες, ο φεις. παρὰ τὸ πρεσβεῦσαι. Πρέσβυς καὶ πρεσβύτησ. ἀπὸ ἐτῶν ἑξηκονταεννέα μέχρι τέλους. παρὰ τὸ προβεβηκέναι τὴν η βην. Πρηγορεών. ὁ λαιμὸς η τόπος, ο που ἀγείρεται ἡ τροφή. παρὰ τὸ ἀγεῖραι. ου τως λέγει ᾿Απολλώνιος. Πρηνήσ. ἐπὶ πρόσωπον πεσὼν η του μπροσθεν ἐπὶ στόμα. παρὰ τὸ πρόσω νενευκέναι πρενὴς καὶ πρηνής. †Πρηνὴς γενόμενοσ. η γουν πεπρησμένος, ἐξωγκωμένος.† Πρηστήρ. κεραυνός· η ἀστραπὴ φλογίζουσα. ἐκ τοῦ πρήθω, τὸ καίω. τὸ δὲ πρήθω παρὰ τὸ αι θω, τὸ καίω. Πρηῶνοσ. τῆς ἐξοχῆς τοῦ ο ρους. πρίονος δὲ τοῦ ἐργαλείου, ¯ι, καὶ μικρόν. Πρηνᾶσ. ἰχθύος ο νομα. Πρῆστισ. ζῶον. Πριόνωτοσ. ἰχθὺς καὶ ο φις. Πρίων. τὸ ἐργαλεῖον. †Προαλήσ. τόπος ὁμαλός.† pi.1573 †Πρόβλαστοσ. ὁ Διόνυσος.† †Προκόπησ. ὁ ε μπροσθεν κόπτων.† †Προνότησ. ὁ πρόχειρος.† †Πρόσπαιοσ. πρόσφατος.† †Προτρυγαῖοσ. βότρυς.† †Προύνεικοσ. ὁ ὑβριστής.† †Προφερέστατοσ. κρείττων. ε νδοξος. η προτιμότερος.† Προσφορώτατοσ. ὁ τῷ καιρῷ, ἐπιτηδειότατος καὶ ἁρμοδιώτατος, η ὁ ποριμώτατος. Προασπιστήσ. ὁ βοηθὸς, ὁ πρόμαχος. Πρόβολοσ. πρόμαχος, η λίθος παραθαλάσσιος, ο ς προβέβληται πρὸ τῶν θαλασσίων τειχῶν. Προβλῆτι. προβεβλημένῳ καὶ προνενευκότι εἰς θάλασσαν. προβλὴς, προβλῆτος, προβλῆτι. Πρόχειροσ. ε τοιμος. Πρόπολοσ. ὁ δοῦλος, ὁ ὑπηρέτης. *Προσκευθμένοσ. προσκεκρουμένος.* Προσήλυτοσ. ὁ ἀπὸ ξένης ἐλθὼν καὶ πρόξενος. Προΐκτησ. πένης, προσαίτης. ἡ πρὸ ἀντὶ τῆς παρά. παρὰ τὸ ἱκνεῖσθαι. τινὲς δὲ παρὰ τὸ ι ζεσθαι. ο ἐστι δωρεάν τι λαμβάνειν. ὡς᾿ Αρχίλοχος· ἐμεῦ δ' ἐκεῖνος οὐ καταπροΐζεται. ὁ δὲ῞ Ηρωδιανὸς ἀπὸ τοῦ ι σσω φησίν. ὡς᾿ Αρχίλοχος· προτείνω χεῖρα καὶ προΐσσομαι. Προμηθεύσ. οι ον προμηδεύς· μεταβολῇ τοῦ ¯δ εἰς ¯θ. pi.1574 Πρόμοσ. ὁ πρόμαχος, ὁ βοηθός. τινὲς παρὰ τὸ πρόμαχος κατὰ συγκοπήν. βέλτιον δὲ παρὰ τὸ βῶ, τὸ βαίνω, γίνεται πρόβος, ὁ προβαίνων ἐν ταῖς μάχαις, καὶ κατὰ μετάθεσιν τοῦ ¯β εἰς ¯μ, πρόμος. οἱ δὲ παρὰ τὸ νῶ, τὸ πορεύομαι, πρόνος καὶ πρόμος. Πρόμωτοσ. κύριον. καὶ προμῶτος, ὁ προκόψας, κατὰ῾ Ρωμαίους· ο θεν καὶ προμωτίονες, αἱ προκοπαί. δηλοῖ δὲ καὶ ὁ πόῤῥω ὠθισθείς. Προπετήσ. ὁ α γαν ἐκπίπτων τοῦ δέοντος. ε μφασιν γὰρ δηλοῖ ἐπιτάσεως. παρὰ τὸ πετῶ ῥῆμα, ο σημαίνει τὸ πίπτω, καὶ τὴν πρὸ πρόθεσιν, ο ἐστιν ἐπιτάσεως. Πρόσφατος. κυρίως ἐπὶ τοῦ νεωστὶ πεφονευμένου. ἐκ τοῦ φῶ, τὸ φονεύω, γίνεται παράγωγον φημὶ, ἐξ ου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τό· –πέφαται δ' α ριστος ᾿Αχαιῶν. καὶ ἀρηΐφατος. Προσδιορισμόσ. πρόσρημα σημαῖνον, ἐπὶ πόσον ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ. καὶ ὁ μὲν προσδιορισμὸς τὸ ποσὸν σημαίνει, ὁ δὲ τρόπος τὸ ποιόν. τὸ ποσὸν, οι ον, πᾶς α νθρωπος, τὶς α νθρωπος· τὸ ποιὸν, βαδίζει η οὐ βαδίζει. Πρόσφυξ. ὁ προφεύγων ἐν ἐκκλησίαις. Προπάτωρ. ὁ πρόγονος. Πρόσγειοσ. ὁ ταπεινὸς, η ὁ περὶ τὰ γήϊνα ἀσχολούμενος. Πρόεδροσ. ὁ ἡγεμών. pi.1575 Πρόοδοι. οἱ ε μπροσθεν ὀψικεύοντες. Πρότονεσ. τὰ σχοινία. Προώλησ. ὁ πανώλης. Προφορικὸς λόγος ἐστὶ ῥημάτων σύνθεσισ. κατὰ περίφρασιν δὲ λέγεται συμπεριεκτικὸς, ὡσανεὶ περίφρασίς ἐστι βεβαίωσις, η ἀπόδειξις τῶν η δη σαφηνισθέντων. Προφήτησ. ὁ προγνώστης τινῶν οὐ κατὰ φύσιν, ἀλλὰ κατ' ἐνέργειαν πνεύματος ἁγίου. η ὁ δι' ἐνεργείας πνευματικῆς τὰ μέλλοντα δηλῶν. ει ρηται δὲ ἐκ τοῦ προφῶ, τὸ προλέγω· φῶ γὰρ τὸ λέγω ἐστί. Πρύλισ. ὁ πεζὸς ὁπλίτης. ὡς δαμῶ, δαμάζω, δάμαλις, ου τως περῶ, περόω, περύλις, καὶ συγκοπῇ πρύλις. Πρύτανισ. ὁ ταμίας, ὁ διοικητής· ὁ βοηθός. Πρωτότοκος. ου α λλος οὐ προετέχθη, καὶ μεθ' ο ν οὐ γεγόνασι ε τεροι. Πρωκτόσ. ὁ ἀφεδρών. πρόακτός τις ἐστι. παρὰ τὸ δι' αὐτοῦ προάγεσθαι τὰ περιττώματα. Πρώονεσ. οἱ ὑψηλοὶ τόποι. παρὰ τὴν πρὸ πρόθεσιν καὶ τὴν ἰὼν μετοχὴν γέγονε προΐων καὶ προὼν καὶ κατὰ συναίρεσιν πρὼν, πρωνὸς, πρῶνες καὶ πλεονασμῷ τοῦ ο πρώονες. Πρῶτοσ. παρὰ τὴν πρὸ πρόθεσιν καὶ καθ' ὑπέρθεσιν πρότατος, καὶ κατ' ἀποβολὴν τοῦ ¯τ πρόατος, καὶ κατὰ κρᾶσιν τοῦ ¯α¯ο εἰς ¯ω μέγα πρῶτος. ο θεν οἱ Δωριεῖς πρῶτο λέγουσι κατὰ συγκοπήν. παρὰ δὲ τὴν πρὸ καὶ τὸ πρότερος παρῆκται. pi.1576 Προύνικοσ. εὐκίνητος. τοῦ Ψελλοῦ· προύνικος ὁ εὐκίνητος, πέριλος τὸ αἰδοῖον· ὁ κύριος τοῦ α ρματος καλεῖται παραιβάτης. (Θηλυκόν.) Πραπίδεσ. φρένες, διάνοιαι, φρονήσεις. ε στι ῥῆμα ἰῶ, τὸ πέμπω, ο περ ἐν συνθέσει γίνεται προϊῶ, κατὰ συγκοπὴν πρῶ καὶ φρῶ. ἐκ τούτου γίνεται φραπὶς καὶ πραπίς. ὡς λέπω, λεπίς. ἀφ' η ς προΐενται τὰ βουλεύματα. Πρᾶξισ. ἀπαίτησις, ἐνέργεια. Πραϋπάθεια. ἡσυχία· πραΰτης. Πρᾳότησ. ἀκίνητος ψυχῆς κατάστασις, ἐν ἀτιμίαις καὶ εὐφημίαις ὡσαύτως ε χουσα. η πραΰτης ἐστὶ κατάστασις καὶ ἠρέμησις ὀργῆς. η θυμοῦ εὐταξία κατὰ στέρησιν ἡδονῶν προσγινομένη φθαρτῶν. Πρᾶξισ. πρᾶξις ἐστὶ ψυχῆς λογικῆς ἐνέργεια διὰ σώματος. †πρᾶξις κυρίως ἐστὶ λογικὴ ἐνέργεια, η ς οὐδὲν τῶν ἀλόγων οι όν τε κοινωνεῖν.† Πρασιαί. τετράγωνα σχήματα ἐν τῇ γῇ, α ποιοῦσιν οἱ κηπουροί. οἱονεὶ περασίαι τινὲς ου σαι, παρὰ τὸ περατοῦσθαι, καὶ κατὰ συγκοπὴν πρασιαί. Πρᾶσισ. ἡ ἐπὶ τῆς πραγματείας. οἱονεὶ πέρασίς τις ου σα, ἡ ἐξ ἑτέρου εἰς ε τερον μεταβαίνειν ποιοῦσα τὰ πιπρασκόμενα. Πραίδα. ἡ λῃστεία. Πρεσβυγένεια. παλαιοτέρα γένεσις. Πρέσβα. ἐντιμοτάτη, πρεσβυτάτη. ἀπὸ τοῦ πρέσβεια κατὰ συγκοπὴν πρέσβα. οἱονεὶ ἡ πρεσβευτική. pi.1577 Πρέσβειρα. ἐντιμοτάτη· παρακλήτρια· πρεσβεύτρια. Πρῆσισ. ἡ πρᾶσις, η ἡ πρᾶξις. πρίσις δὲ ἀπὸ τοῦ πρίζω, ἰῶτα. Πρίσκιλλα. κύριον. Προαίρεσισ. ἀδούλωτόν τι χρῆμα καὶ αὐτεξούσιον, ἐν τῇ ἐλευθερίᾳ τῆς διανοίας κείμενον, η αι ρεσις βουλευτικὴ τῶν ἐφ' ἡμῶν πρακτέων. η προαίρεσις ἐστὶ, δύο τινῶν προκειμένων, τὸ αἱρεῖσθαι καὶ ἐκλέγεσθαι τοῦτο πρὸ τοῦ ἑτέρου. καὶ τοῦτο φανερὸν, ο τι βουλή ἐστι μετ' ἐπικρίσεως ἡ προαίρεσις, καὶ ἐξ αὐτῆς τῆς ἐτυμολογίας· προαιρετὸν γάρ ἐστι τὸ ε τερον πρὸ τοῦ ἑτέρου αἱρετόν. οὐδεὶς δὲ προκρίνει τι μὴ βουλευσάμενος, οὐδὲ προαιρεῖται μὴ προκρίνας. †Πρόκνη. ῥόπτρον· πάγη θηρίων· τὸ ἐπιπίπτον τῆς πάγης.† †Πρόσκλησιν. προτροπήν.† Προσοχή. νῆψις προσεχὴς, ἀκλινῶς καὶ ἀνεπιστρόφως ἑαυτῆς καὶ τῶν ἑαυτῆς θεωρός. Προσευχή. συνουσία καὶ ε νωσις θεοῦ καὶ ἀνθρώπων. η αι τησις ἀγαθῶν μεθ' ἱκετηρίας προσαγομένη τῷ θεῷ, η τῆς πρὸς τὰ ῥηθέντα καλὰ τοῦ τετηρηκότος μεταποιήσεως αι τησις. η ἀρετῆς ε παθλον, ο μάλιστα χαίρων θεὸς ἀντιδίδωσιν. η προσευχή ἐστιν ὁμιλία νοῦ πρὸς θεὸν, η κατάστασις νοῦ φθαρτικὴ παντὸς ἐπιγείου νοήματος. η αι τησις ἀγαθοῦ παρὰ τῶν εὐσεβῶν εἰς θεὸν γενομένη. η αι τησις ω ν πέφυκεν ὁ θεὸς ἀνθρώποις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δωρεῖσθαι πρὸς σωτηρίαν. η προσευχή ἐστιν ἡ μετὰ δοξολογίας περὶ μειζόνων μεγαλοφυέστερα ἀναπεμπομένη. Προσευχή ἐστιν, ἡ μετὰ τὴν ἀπόδοσιν τοῦ δώρου αἰτουμένη ἀντίληψις. pi.1578 Προσευχή ἐστιν ἡ κατὰ τὸν καιρὸν ἐκεῖνον παντὸς νοήματος ἀπόθεσις, η ἀνάβασις νοῦ πρὸς θεὸν ἀμετάτρεπτος. Προσευχή. ο ταν τὸ ἀξίωμα τοῦ θεοῦ νοήσας αὐτῷ τι παρὰ τοῦ θεοῦ τότε προσεύχομαι. Πρόδομοσ. ἡ πρὸ τῆς οἰκίας στοά· η ν καὶ Ομηρος αι θουσαν καλεῖ. Προσφώνησισ. κήρυξις. Προσηγορία. φίλη προσλαλιά. καὶ προσαγορία. Προμήθεια. ἡ πρόνοια. Προνομή. ἡ ἁρπαγή. Προεδρία. ἡ προτίμησις, ἡ πρωτοκαθεδρία. Προσεδρεία δὲ, ἡ ἐπίμονος καὶ διηνεκὴς ἀσχολία, δίφθογγον. Προφυλακή. αἱ τρεῖς ω ραι τῆς νυκτός. εἰς τέσσαρας γὰρ φυλακὰς διαιρεῖται ἡ νύξ. Προσωποποιΐα. ο τάν τις πρόσωπον ὑποθέμενος ε τερον η ὑποδὺς, ὡς ἐκ προσώπου τινὸς ει πῃ. Προχοαί. αἱ τῶν ποταμῶν ἀφέσεις. Προσχοαί. αἱ θυσίαι. Πρόληψισ. τῶν προτέρων κακῶν μνήμη ἀκούσιος. Πρόσληψισ. ο τάν τις προσλάβῃ τι. οι ον· μετὰ τῆς προσλήψεως, ο ἐστι τῆς σαρκός. †Προθεσμίου. ἡ τοῦ ὡρισμένου καιροῦ η τόπου δήλωσις καὶ παράστασις.† Προίξ. παρὰ τὸ προΐκω, προΐξω. ἡ προδιδομένη εἰς τὸν τοῦ ἀνδρὸς οι κον. ἐμεῦ δ' ἐκεῖνος οὐ καταπροΐξεται. ει τε κατὰ συγκοπὴν ει τε κατὰ συναίρεσιν προὶξ, ἡ προϊκνουμένη εἰς τὸν τοῦ ἀνδρὸς οι κον. Προσβολάσ. ὁρμάς. Προσβολή ἐστιν ἀνείδωλον κίνημα καρδίασ. ο που δὲ εἰκόνες λογισμῶν, ἐκεῖ συγκατάθεσις γέγονε. κίνημα γάρ ἐστιν ἀνείδωλον ἀναίτιος προσβολή. pi.1579 προσβολὴ τοῦ σατανᾶ ἐστι μονολόγιστος ἐμφάνεια πράγματος πονηροῦ. Πρὸς τῆς τριάδοσ. ο ρκος ἐστὶ τὸ ὁρκίζειν ἐν ταῖς διαλέξεσι καὶ τοῖς ἀγῶσι. δικανικοῦ λόγου ἐστὶ καὶ πολιτικοῦ· οὐκ ἐγκωμιαστικοῦ. Πρόκασ. η αι γας κεραοὺς ἠὲ πρόκας. πρόξ ἐστι ζῶον μικρὸν ο μοιον ἐλάφῳ, ὁ λεγόμενος νεβρός. Διόνυσος δὲ ὁ Ἀθηναῖος τοὺς ἐλάφους λέγει πρόκας. ο θεν καὶ ἡ Προικόνησος. γράφεται καὶ Προικόννησος. ἐν αὐτῇ γὰρ πλήθουσιν ε λαφοι. Φιλητᾶς δέ φησι πρόκας τὰς ἐλάφους τὰς πρῶτον τικτομένας, οι ον πρωτοτόκους. Πρόκροσσοι. παράλληλοι. η α λλοις ἐπ' α λλοις ἐξισούμεναι μίαν κατὰ μίαν. οἱονεὶ προκάροσσοι τινὲς ου σαι. παρὰ τὸ κάρα, αἱ κατὰ κεφαλὴν συντιθέμεναι· κροσσοὶ γὰρ αἱ κεφαλαὶ καὶ αἱ ἀρχαὶ τῶν τειχῶν. Πρόνοια. ἡ πρὸ ἀντὶ τῆς ὑπὲρ κεῖται. οἱονεὶ τὸ ὑπέρ τινων νοῆσαι. Πρόσειλοσ. ἡ πρὸς τὴν ε λην τετραμμένη. ε λη δὲ ἡ τοῦ ἡλίου αὐγή. καὶ τῶν προσείλων ἰχθύων ὠπτημένων. Πρότμησισ. ὁ κατὰ τὸν ὀμφαλὸν ὑπάρχει τόπος καὶ κατὰ τὸν λαγόνα, ἐπεὶ κατὰ τοῦτον τὸν τόπον προτέμνεται τὰ ζῶα καὶ προέρχεται. κυρίως δὲ ἐπὶ τῶν ἀλόγων ζώων. Πρότασισ. ἐν ῳ τὸ ἀληθεύειν η ψεύδεσθαι ὑπάρχει. πρότασις ἁπλῆ. Πρότασίς ἐστι λόγος ἀποφαντικὸς τινὸς κατά τινος. διαφέρει δὲ διαλεκτικὴ πρότασις ἀποδεικτικῆς, καθὸ ἡ μὲν διαλεκτικὴ πρότασις πάντως ἐν ἑτέρῳ τινὶ, ἐρώτησις γάρ ἐστιν ἀντιφάσεως· ἐρωτᾷ γὰρ, πότερον ἡ ψυχὴ ἀθάνατός pi.1580 ἐστιν η ου · ἡ δὲ ἀποδεικτικὴ πρότασις οὐκ ἐν ἐρωτήσει, ἀλλὰ λῆψις θατέρου μορίου τῆς ἀντιφάσεως· ο περ γὰρ βούλεται ὁ ἀποδεικνύων, τοῦτο λαμβάνει. Προφητεία. ἡ πνευματικὴ προαγόρευσις τῶν μελλόντων. Πρόφασισ. ἀφορμή. φημὶ, φήσω, πέφηκα, πέφαμαι, πέφασαι, φάσις καὶ πρόφασις. Πρόθεσισ. λέξις προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν ε ν τε συνθέσει καὶ συντάξει. ἐν συνθέσει μὲν, οι ον· ἀναφορὰ, εἰσφορά. ἐν συντάξει δὲ, οι ον· ἐπὶ τῆς χώρας, κατὰ τῆς χώρας. διατί προτίθεται πάντων τῶν τοῦ λόγου μερῶν; διὰ τὴν ἐνυπάρχουσαν αὐτῇ ἀσθένειαν. ω σπερ γὰρ ὁ α ῤῥωστος, ὁ μὴ δυνάμενος περιπατῆσαι, ὑπὸ α λλων βασταζόμενος ἐκφέρεται, ου τω καὶ ἡ πρόθεσις, ἀσθενεστέρα ου σα πάντων τῶν τοῦ λόγου μερῶν, ὑπὸ α λλων λέξεων βασταζομένη ἐκφέρεται. προθέσεις δέ εἰσι τῇ μὲν φωνῇ ὀκτωκαίδεκα, τῷ δὲ σημαινομένῳ ἑπτακαίδεκα· ἡ γὰρ ἀμφὶ καὶ ἡ περὶ τὸ αὐτὸ σημαίνουσι. μονοσύλλαβοι δὲ προθέσεις ε ξ· ἐν· εἰς· ἐξ· σύν· πρός· πρό. δισύλλαβοι ιβ´· ἀνά· κατά· διά· μετά· παρά· ἀντί· ἐπί· περί· ἀμφί· ἀπό· ὑπό· ὑπέρ. διαφέρουσι αἱ μονοσύλλαβοι προθέσεις τῶν δισυλλάβων, ο τι αἱ μὲν μονοσύλλαβοι πᾶσαι εἰς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φωνήεντα κατέληξαν· μία δὲ ἐξ αὐτῶν εὑρέθη λήγουσα εἰς φωνῆεν, ἡ πρό· αἱ δὲ δισύλλαβοι πᾶσαι εἰς φωνήεντα κατέληξαν· μία δὲ ἐξ αὐτῶν εἰς σύμφωνον, ἡ ὑπέρ. Προσῳδία. ὁ τόνος, ἡ χειρονομία καὶ ἡ τοῦ ὀργάνου φωνή. παρὰ τὸ ει δω, τὸ γινώσκω. ἐξ αὐτοῦ ἀοιδὴ, καὶ κράσει τοῦ ¯α¯ο εἰς ω μέγα ᾠδὴ, καὶ ἐξ αὐτοῦ ᾠδία καὶ προσῳδία. η παρὰ τὸ προσᾴδειν καὶ ἁρμόζειν τῇ ὑποκειμένῃ λέξει. η pi.1581 παρὰ τὸ πρὸς αὐτὴν ᾳ δεσθαι τὰ ποιήματα. ᾠδὰς γὰρ οἱ παλαιοὶ τὰ ποιήματα ἐκάλουν. Πρύμνη καὶ πρύμνα. ἀμφότερα. πρυμνὸν τὸ υ στατον. παρὰ τὸ πέρας πέρυμνον. καὶ πρύμνη. Πρυμνώρεια. τὸ ε σχατον τοῦ ο ρους. Πρωΐα. παρὰ τὸ προϊέναι ἡμᾶς ἐπὶ τὰ ε ργα. καθὸ ταύτης ἐπιφανείσης προΐασιν οἱ α νθρωποι. η ἀπὸ τοῦ προϊκνεῖσθαι τῆς ἡμέρας τὸν καιρὸν τοῦτον. †Πρῶνα. πόλις Κρητική.† Πρῷρα. σὺν τῷ ¯ι. οἱ μὲν παρὰ τὸ προέχειν καὶ προορᾷν τοῦ σκάφους. η παρὰ τὸ πρὸ ω ρας, ο δηλοῖ τὸν καιρὸν, γίνεται πρώρα, ἐξ ου καὶ πρωρεύς· ε ργον γὰρ τῷ πρωρεῖ πρὸ ω ρας ὁρᾷν. οὐκ ω φειλε δὲ ε χειν τὸ ¯ι, ἀλλ' ἡ παράδοσις ε χει αὐτό. ἐπειδὴ παρὰ τὸ προϊέναι καὶ ἀπὸ διαστάσεως τοῦ ι, ὡς παρὰ τῷ ποιητῇ· ἀναπρωΐρους. καὶ παρὰ Σιμωνίδῃ· κυανοπρώϊραν. *Προτομή. εἰκὼν βασιλική.* Πρόθεσις. ὁ προορισμὸς κατὰ τὸν ᾿Απόστολον· κατὰ πρόθεσιν ου σαν ἀπ' αἰώνων. η κατὰ πρόγνωσιν. ι να ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ θεοῦ μένῃ. καὶ ἡ γνώμη· κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος. (Οὐδέτερον.) Πριμμιλογίων. τιμῶν βασιλικῶν· προνομίων. Πρεσβήϊον. τὸ ὑπὲρ τιμῆς διδόμενον δῶρον. pi.1582 Πραιτώριον. παρὰ τὸ πράττω πρατώριον, ο που τὰ πραττόμενα ὡροῦνται καὶ φυλάττονται, πλεονασμῷ τοῦ ¯ι, πραιτώριον. Προθέλυμνα. πρόῤῥιζα. καὶ τὰ ἐπάλληλα καὶ πυκνά. θέλυμνα δὲ λέγονται τὰ ἐπ' ἀλλήλους ε χοντα τοὺς κλάδους δένδρα, διὰ τὸ θηλυμανεῖν, μεταφορικῶς. Προβήμασι. πηδήμασιν. –ἐκτυπεῖτο δὲ ἐμβὰς γερόντων εὐρύθμοις προβήμασι. ἐμβάδες δέ εἰσιν ἀνδρῷα ὑποδήματα, παρὰ τὸ ἐμβαίνειν. Πρόβατον. παρὰ τὸ ε χειν βάσιν ἑτέραν πρὸ τῆς ὀπισθίου βάσεως. πολλάκις καὶ κατὰ κοινοῦ ἐπὶ πάντων τῶν βοσκημάτων ει ρηται ἡ λέξις. Πρόῤῥιζον. ἐκ ῥιζῶν ἀνασπώμενον. Προσαγωγικόν. προσκομιστικόν. Πρόσαντεσ. ἐναντίον, ἐμποδιστικόν. Προσείλια. τὰ θαλπόμενα ὑπὸ τοῦ ἡλίου. Πρόσχημα. ὑπόκρισις. Πρόστιμον. ἡ ζημία. Πρόσφατον. τὸ ἀρτίως γινόμενον. Πρόσκομμα. ἁμάρτημα. πρόσκρουσμα. Προσῆκον. πρέπον, πρᾶγμα, ο περ μετὰ τὸ πραχθῆναι ε χει ευ λογον ἀπολογίαν. η προσῆκον τὸ α ξιον. pi.1583 Πρόθεμα. τὸ πρόγραμμα· τουτέστιν ἡ ἐκ βασιλέως πρόσταξις ἐγγράφως δημοσίᾳ ἀνατιθεμένη. Πρόβλημα. λόγος συνεσκιασμένος καὶ αἰνιγματώδης. η ἐρώτημα. Προοίμιον. ὁ πρόλογος. οι μη λέγεται ἡ ᾠδή· ἀφ' η ς καὶ προοίμιον. Προσῴδιον. λιτανεία μετὰ υ μνων. παρὰ τὸ προσιέναι. Πρόσωπον. ο διὰ τῶν οἰκείων ἐνεργημάτων τὲ καὶ ἰδιωμάτων ἀρίδηλον καὶ περιωρισμένον, τῶν ὁμοφυῶν αὐτοῦ, παρέχεται ἡμῖν τὴν ἐμφάνειαν. η ἐνουσίου ἰδιότητος φανέρωσις. η μέρος σώματος ἀγχιστεῦον ο ψεσιν. η χαρακτὴρ ὑποστάσεως. ἀπὸ τοῦ πρόσω, τουτέστιν ε μπροσθεν, ἀλλ' οὐκ ἐκ πλαγίου τοὺς ω πας ε χειν. Πρότονον. σχοινίον. παρὰ τὸ προτείνειν. Πρόγραμμα. γνώρισμα, κήρυγμα, ἀπόδειξις φανερά. ου τως ὁ Θεόλογος· πρόγραμμα τοῦ καθ' ἡμᾶς λόγου. Προύργου. τῶν ἀναγκαίων καὶ τῶν πρὸ τοῦ ε ργου. οι ον τὸ μὲν ε ργον αὐτὸς ὁ γάμος, τὰ δὲ πρὸ τοῦ γάμου εἰς τὸν γάμον ἀναγκαῖα. καὶ προυργιαίτερον, †ἀναγκαιότερον· πρὸ παντὸς ε ργου.† Πρου πτον. προφανές. Πρότερον. πρότερον κυρίως τὸ τῷ χρόνῳ πρότερον, ὡς λέγομεν παλαιότερον, πρεσβύτερον. πρότερον φύσει ἐστὶν, ο περ συναναιρεῖ καὶ οὐ συναναιρεῖται, καὶ συνεισφέρεται μὲν, οὐ συνεισφέρει δέ. διόπερ τὰ ἁπλᾶ προτερεύουσι τῶν συνθέτων, καὶ τὰ καθόλου τῶν μερικῶν. ε στι pi.1584 δὲ πρότερον καὶ κατ' ἀξίαν καὶ τὸ κατὰ δύναμιν· ὁμοίως καὶ κατὰ τὸ αι τιον καὶ αἰτιατόν. αι τιον δὲ δεῖ νοεῖν τὸ ἀποτελοῦν, αἰτιατὸν δὲ τὸ ἀποτελούμενον. Πρός τι. ταυτόν ἐστιν, οι ς τὸ ει ναι ταυτόν ἐστιν ἐν τῷ πρὸς ε τερον λέγεσθαι. Πρόσ τι εἰσὶν, οι ς τὸ ει ναι ταυτόν ἐστι τῷ πρός τι πῶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ε χειν. τινὲς δὲ σαφέστερον ἡρμήνευσαν τὴν ὑπογραφὴν, ο τι ταῦτά ἐστι πρός τι, οι ς τὸ ει ναι ταυτόν ἐστιν ἐν τῷ πῶς ε χειν πρὸς ε τερον. πρός τι δὲ λέγεται, ο σα αὐτὰ α πέρ ἐστιν ἑτέρων ει ναι λέγεται. α μα δὲ καὶ ἀναστρέφει πρὸς α λληλα. Πρός τι. ἡ φύσις ἡ κυρία καὶ πηγαία καὶ μήτηρ πάντων, καὶ ὀντότης ἐστί. πάντα δὲ, ο σα ἐκ τῆς φύσεως προέρχεται, τῶν πρός τι λέγονται. αἱ γὰρ ὑποστάσεις καὶ ἡ υἱότης καὶ ἡ ἰδιώτης καὶ ἡ ποιότης καὶ ἡ ἁπλότης καὶ πάντα τὰ λοιπὰ ἐκ τῆς φύσεως τὴν αἰτίαν καὶ τὴν πρόοδον ε χουσι καὶ κατὰ τοῦτο τῶν πρός τι λέγεται, τουτέστι τῶν πρὸς τὴν ῥίζαν τῆς φύσεως ἀποκρεμαμένων· ἐξ ω ν ἐστὶ καὶ ἡ θέλησις καὶ ἡ ἐνέργεια. Προαιρετόν. βουλευτόν· ὀρεκτὸν τῶν ἐφ' ἡμῖν. καὶ ἡ προαίρεσις ο ρεξις βουλευτικὴ τῶν ἐφ' ἡμῖν. τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλῆς ἐφιέμεθα προαιρούμενοι. Πρυμνήσια. τὰ ἀπόγεια σχοινία, οι ς ἐκ τῆς πρύμνης προσδεσμεῖται ἡ ναῦς πρὸς τῇ γῇ. παρὰ τὸ πρυμνὸν, τὸ ε σχατον. Πρυτανεῖον. τὸ νόμισμα. ὁ τόπος δὲ πολλάκις. τοῦ Ψελλοῦ ὁ στίχος. pi.1585 Πρυτανεῖον. τὸ ταμιεῖον. παρὰ τὸ ἐκεῖ φυλάσσειν τὸν πυρὸν η γουν τὸν σῖτον, οι ον πυροταμεῖον καὶ πρυτανεῖον. τὰ ἀπὸ τῶν διὰ τοῦ ¯ε¯υ¯ω εἰς ¯ε¯ι¯ο¯ν γενόμενα διὰ διφθόγγου γράφεται, οι ον πορνεύω πορνεῖον, πρυτανεύω πρυτανεῖον. Πρῷζον. τὸ προχθεσινόν. πρώϊζον καὶ κατὰ συναίρεσιν πρῷζον. Πρωϊζά. τὰ προχθεσινά. ἐκ τοῦ πρώϊον, πρώϊζος πρωϊζά. Πρώϊον. ε ωθεν, ο ρθρου, η πρόσφατον. Πρωτόλεια. αἱ ἀπαρχαί· τὰ πρὸ τῶν λῄων ἐξαίρετα καὶ πρώτιστα, α περ εἰώθασιν οἱ α ριστοι λαμβάνειν. Πραιτωρίῳ. παλατίῳ. καὶ ὁ ̓Απόστολος· ἐν ο λῳ τῷ πραιτωρίῳ. ἐκ τούτου δὲ θάρσος γέγονε τοῖς πιστοῖς. Πρακτέον. δεῖ πράττειν. (῾Ρῆμα.) Πρηΰνω. τὸ πραΰνω, τροπῇ τοῦ ¯α εἰς η τα. Πρημαίνω. τὸ μαίνομαι. Πρηνίσω. πίπτω. Πρήθω. τὸ καίω. ἀπὸ τοῦ πρίω γέγονε κατὰ παραγωγὴν πρίθω, καὶ καθ' ὑπαλλαγὴν πρέθω, ἐξ ου τὸ ε πρεσεν.῾Ησίοδος· -ἀμφὶ δὲ πᾶσαν ε πρεσε θεσπεσίας κεφαλάς-. ἐξ ου γίνεται πρήθω κατ' ε κτασιν. Πρηνιχθῆναι. τὸ ἐπὶ πρόσωπον πεσεῖν· μεταφορικῶς δὲ καὶ εἰς γόνυ κλιθῆναι. ἐπρήνιξε τὴν Εὐρυμέδοντος πόλιν. Πρῆσεν. ε στι πρήθω τὸ φυσῶ, η τὸ ἐμπυρίζω. pi.1586 η παρὰ τὸ πιμπρῶ δευτέρας συζυγίας τῶν περισπωμένων παράγωγον πίμπρημι, ὁ μέλλων πρήσω, καὶ ὁ ἀόριστος ε πρησα. Πρήσουσα. διαπερῶσα. παρὰ τὸ περῶ γίνεται πρῶ, ὡς τερῶ τρῶ, καὶ βιῶ βῶ. ὁ παρακείμενος πεπέρακα καὶ κατὰ συγκοπὴν πέπρακα. καὶ γὰρ τὸ πωλούμενον περᾷ ἀπὸ τοῦ πωλοῦντος εἰς τὸν ἀγοράζοντα. ἐκ δὲ τοῦ πρῶ ὁ μέλλων πρήσω, ἡ μετοχὴ πρήσων, καὶ τὸ θηλυκὸν πρήσουσα. Πρῆσεν. ἐφύσησε. Πρίημι. ἀγοράζω. καὶ πριώμενος. Πρίεται. σχίζεται. Πριόμενοσ. κοπτόμενος. πριώμενος δὲ, ὁ ἀγοράζων, μέγα. Πριάμενοσ. ἀγοράσας. *Προάγουσιν. προλαμβάνουσι.* †προάξειν ἀντὶ τοῦ προλάβω.† †Πρόεισι. προέρχεται.† Προέμενοσ. προδούς. Πρόεσ. πρόπεμψον. ἀπὸ τοῦ ι ημι ὁ δεύτερος ἀόριστος η ν, καὶ τὸ προστακτικὸν ε ς, καὶ μετὰ τῆς πρὸ προθέσεως πρόες. Προΐηλε. προέπεμψε, προέθηκεν. ἀπὸ τοῦ εἰλῶ ει λε, καὶ ἐν ὑπερθέσει ι ηλεν. †Προσείλου. προσελάβου. συνηρίθμησας. Αἰλιανός· ει τα, ἀσελγέστατε, τοσοῦτοι ἐχθροὶ γεγενημένοι οὐκ η ρκεσαν, ἀλλ' α ρα καὶ ἐμὲ εἰς τὴν τῶν ἐχθρῶν προσείλου τάξιν.† †Προσερήσομαι. προσερωτήσω.† Πρόσεχε. ἀντὶ τοῦ περιβλέπου τὰ κατὰ σαυτόν. ὡς τό· πρόσεχε σεαυτῷ. pi.1587 Προνοητέον. ἀντὶ τοῦ φροντιστέον. †Προσηγάσθησαν. ὑπερεθαύμασαν.† †Προτονίζουσιν. ἐκ τοῦ πρῶτος καὶ τοῦ τονίζω, τὸ σωρεύω.† Πρου χοντοσ. ὑπερέχοντος. Προσκομιστέον. προσενεκτέον. Προσεκτέον. σπουδαστέον. Προσαρασσόμενον. προσρηγνύμενον. προσαρασσόμενα κύματα. Προώμεθα. προδώσωμεν. Προήκατο. προέδωκε, προέπεμψε. Προσιζήσασ. προσκαθίσας. Προειλόμην. προέκρινα. Προσήκατο. προσεδέξατο. Προσώχθισα. ἐβδελυξάμην, ἐμίσησα. Προΐσχεται. δίδωσι. προβάλλεται η κρατεῖται. ἀπὸ τοῦ ι σχω, τὸ κρατῶ. Προσπελάζει. προσεγγίζει. Προσείρων. προσάπτων. Πρόσειπε. προσαγόρευσον. Προπηλακίζω. ὑβρίζω, ἐξουθενῶ. Προπίνει. διὰ τοῦ οι νου τιμᾷ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Προχείρισαι. προβαλοῦ. Προσαγηόχασι. προσήγαγον. Προκυλινδοῦμαι. κυλίομαι. pi.1588 Προσφωνεῖ. προσαγορεύει. Προπομπεύεσθαι. ὀψικεύεσθαι. Προσκίρτησον. χόρευσον. Πρόμολε. πρόελθε. Προείκασιν. ε πεμψαν. Προβάλλεσθαι. τὸ προβάλλεσθαι ἐπὶ τοῦ δυσχεραίνειν καὶ φεύγειν οὐδεὶς ει ρηκε τῶν δοκίμων· τὸ δὲ προβάλλεσθαι αὐτὸ τὸ προτείνεσθαι δηλοῖ. καὶ προβεβλημένως γὰρ πρός τινας ε χειν λέγεται τὸ παρατεταγμένως καὶ ἀπίστως διακεῖσθαι. *Προμιλέγια. η γουν προνόμια.* Προτιόσσομαι. ὑπολαμβάνω. Προταμών. ἀποκόψας. η τὸ σκληρὸν τῆς τροφῆς προκατεργασάμενος. Προχέοντο. προήρχοντο. μεταφορᾶς ὁ τρόπος. ἀπὸ τοῦ χέω. κυρίως γὰρ τὸ χέω ἐπὶ ὑδάτων λέγεται. Προτείνουσιν. ἀντὶ τοῦ προτιθέασι καὶ προβάλλονται. Προσέκοψαν. ἠπίστησαν. καὶ ὁ Ἀπόστολος· προσέκοψαν τῷ λίθῳ τοῦ προσκόμματος, καθὼς γέγραπται. Προσελάβετο. ἐφειλκύσατο. καὶ ὁ Ἀπόστολος· ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο. pi.1589 Προσλαβοῦ. μετὰ ἀγάπης δέξαι. Προσέξονται. ἀντὶ τοῦ προσκολλῶνται. προσέξονται ταῖς κοτύλαις αἱ πέτραι. *Πρεσβεύομεν. μεσιτεύομεν. καὶ ὁ Ἀπόστολος· ὑπὲρ Χριστοῦ πρεσβεύομεν.* (Ἐπίῤῥημα.) Πρᾴως. ἡσύχως. Πρηνή. ἐπὶ πρόσωπον. Πρίν. ἀντὶ τοῦ πρότερον. Προβεβλημένωσ. παρατεταγμένως καὶ ἀπίστως διακεῖσθαι. Πρόπαρ. προπάροιθεν. α ρον δύο συλλαβὰς, γίνεται πρόπαρ. ἀντὶ τοῦ πρότερον η ε μπροσθεν. Προπάροιθεν. ἀντὶ τοῦ πρότερον. Πρόσω. ε μπροσθεν. Προσενωπίως καὶ προσενώπιον. πρὸς τοὺς ἐξ ἐναντίας τῶν εἰσόδων τοίχους. διὰ τὸ φωτίζεσθαι ὑπὸ τῶν θυρῶν. Προτροπάδην. προτρεπτικῶς φεύγων τοῦ πολέμου. Προσφόρωσ. ἁρμοδίως. Προσφάτῳ. πρωτολογίαις, η προοιμίοις. Πρόχνυ. τὸ ἐπὶ γόνυ πεσεῖν· παντελῶς ὀκλάσαι. οἱονεὶ προγόνυ, καὶ συγκοπῇ πρόγνυ καὶ πρόχνυ. ἡ γὰρ πρὸ ἀντὶ τοῦ ἐπὶ κεῖται. Πρῴην. ε χει τὸ ¯ι κατὰ τὴν παραλήγουσαν. ε στι pi.1590 γὰρ πρωΐ, ἐκ τούτου γίνεται παράγωγον πρώϊος καὶ τὸ οὐδέτερον πρώϊον. ὡς καὶ ὁ ποιητής· –η ν ε δησα πρώϊον–. τούτου τὸ θηλυκὸν ἡ πρωΐα, ἡ αἰτιατικὴ τὴν πρωΐαν, καὶ ἰωνικῶς τρέπεται τὸ α εἰς η, καὶ συναιρέσει τοῦ ¯ω καὶ ¯ι εἰς τὴν ¯ω δίφθογγον πρώην. καὶ χωρεῖ εἰς ἐπιῤῥηματικὴν σύνταξιν. Προβάδην. περιπατῶν.῾Ησίοδος· μήτ' ἐν ὁδῷ μήτ' ἐκτὸς ὁδοῦ προβάδην οὐρήσῃς. Τὸ Π μετὰ τοῦ Τ. (᾿Αρσενικόν.) Πταρμόσ. κεφαλῆς αι σθησις. ἐπεὶ οἱ θίγοντες τοῦ μυκτῆρος λεπτῷ κάρφει πτάρνυνται. Πτερωτήσ. ἀλείπτης, κουφιστής. καὶ πτερόεις, καὶ πτερωτός. Πτερνισμόσ. ἐπιβουλή· δόλος· ἀπάτη. Πτίλοσ. ὁ ἐκπεπτωκὼς τῶν ι λλων. η κατὰ πλεονασμὸν τοῦ ¯π ἐπὶ τῶν ἀποτετιλμένων τὰ βλέφαρα. Πτολεμαῖοσ. κύριον. Πτόρθοσ. βλαστὸς, κλάδος. οὐχ ευ ρον αὐτοῦ τὴν ἐτυμολογίαν. οι μαι δὲ, παρὰ τὸ πτείρω γίνεται πτόρος, ὡς φθείρω, φθόρος, καὶ πλεονασμῷ τοῦ θ πτόρθος. pi.1591 †Πτύανοι. μίγμα παντοδαπῶν ὀστρέων.† Πτύελοσ. τὸ πτύσμα. Πτύξαγρις καὶ πύξαγρισ. ὁ καρκῖνος. διὰ τὸ τὰς πτύχας η τὰ πυξία τῶν ὀστρείων ἀγρεύειν. λέγεται γὰρ ε νδον τῶν πτυχῶν τιθέναι λιθίδιον μικρὸν, ο πως ῥᾷον διὰ τοῦ ποδὸς ἐφελκύσῃ τὴν ὀστρειακὴν σάρκα. Πτωχόσ. ὁ ἀπὸ πλούτου κατελθὼν εἰς ε νδειαν. ἀπὸ τοῦ ποτὲ ε χειν. η ἀπὸ τοῦ πτώσσειν καὶ προσπίπτειν τοὺς δεομένους. η παρὰ τὸ πτήσσειν περὶ τὴν ὀχὴν καὶ τὴν τροφήν. Πτώξ. ὁ λαγωός. παρὰ τὸ πτήσσω η τὸ πτώσσω, τὸ φοβοῦμαι· δειλὸς γάρ ἐστιν. ἀπὸ τοῦ πτῶ δὲ παράγωγον πτώσσω, ὁ μέλλων πτώξω, ἀποβολῇ τοῦ ¯ω πτώξ. πτὼξ διὰ τί ὀξύνεται; τὰ ἀπὸ μελλόντων ἀποβολῇ τοῦ ¯ω γινόμενα ὀνόματα ὀξύνονται, οι ον πτώξω πτὼξ, ῥὼξ, πούς. Πτώϊοσ. ὁ Ἀπόλλων. καὶ Πτοῖος. ε στι καὶ πτοῖος ὁ φόβος. (Θηλυκόν.) Πτέρνα καὶ πτέρνη. ἀμφότερα παρὰ τὸ πεπτωκέναι ἐν αὐτῇ τὸ ο λον σῶμα. η παρὰ τὸ πατεῖν τὴν ε ραν η γουν τὴν γῆν. Πτῆσισ. ἡ τῶν ὀρνίθων πέτασις. Πτισσάνη. ἡ λελεπτισμένη κριθή. παρὰ τὸ πτίσσω, τὸ καθαίρω η τὸ τύπτω. καὶ ἐπτισμένον. η πτισσάνη τὸ πίτυρον. Πτολεμαΐσ. πόλις. Πτοία. ὁ φόβος. *ἐξ ου καὶ πτοιαλέος.* Πτύχεσ. αἱ ἐξοχαὶ η τὰ σανίδια τῶν βιβλίων. pi.1592 Πτώσεισ. ἡ γενική, ἡ δοτικὴ καὶ ε τεραι. ἀπὸ τῆς ὀρθῆς καὶ εὐθείας μεταπίπτουσιν εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ε τερα γένη. (Οὐδέτερον.) Πτελέον. τόπος. Πτερόν. παρὰ τὸ πέτω πετερὸν, ὡς θάλλω θαλερὸν, καὶ τήκω τηκερὸν, καὶ κατὰ συγκοπὴν πτερόν. η παρὰ τὸ πτῶ ῥῆμα, ο δηλοῖ τὸ πέτομαι, γίνεται πτερόν. α λλοι δὲ παρὰ τὸ πτέρω πτερόν. ἐξ ου τὸ ἀνεπτερώθη, καὶ πτερωτὰ καὶ πτερόεντα. καὶ Ομηρος· ε πεα πτερόεντα. η γουν ταχεῖς λόγους. †Πτερόβολον. ἡ σφενδόνη.† Πτίλα. τὰ πτερά. παρὰ τὸ τίλλω, τίλλα καὶ πτίλα. Πτολίεθρον. ἡ μικρὰ πόλις. παρὰ τὸ πολίζω πόλιστρον, ο περ ἐπεκτανθὲν πτολίεστρον λέγεται, καὶ ἀφαιρέσει τοῦ ¯ς καὶ τροπῇ τοῦ ¯τ εἰς ¯θ πτολίεθρον. Πτύελον. τὸ πτύσμα. Πτύον. τὸ πτυάριον. Πτῶμα. ἡ πτῶσις. (῾Ρῆμα.) Πταίη. πετάσοι. Πταίει. σφάλλεται. καὶ πταίω ἀπὸ τοῦ πέτω, συγκοπῇ πτῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν πίπτω· τὰ γὰρ πετόμενα τοῖς πίπτουσιν ε οικεν. ε στιν ου ν πτῶ, καὶ κατὰ παραγωγὴν πταίω, ἀπὸ τοῦ πίπτειν πολλάκις τοὺς προσπταίοντας. pi.1593 ἐκ δὲ τοῦ πέτω γίνεται πάλιν ῥῆμα ποτῶ, ἐν ὑπερθέσει τοῦ ¯τ πτοῶ, ε νθεν τὸ ἐπτοήθη. Πτήσσω. τὸ φοβοῦμαι. πτίσσω δὲ, τὸ τύπτω καὶ καθαίρω, ι. Πτήξω. τὸ φοβοῦμαι. ἀπὸ τοῦ πέτω, πίπτω, πτῶ, πτήξω. ὁ γὰρ φοβούμενος πίπτοντι ε οικεν. Πτερύσσεται. ταῖς πτέρυξι τὸν ἀέρα πλήττει. Πτερούμεθα. κουφιζόμεθα, μεταρσιούμεθα. Πτοῶ. τὸ φοβοῦμαι. καὶ πτοῆσαι. Πτοίω. τὸ φοβοῦμαι. πτύω δὲ, τὸ ἀσφαλίζω, καὶ πτύσσω, καὶ πτύξαι, ψιλά. Τὸ Π μετὰ τοῦ Υ. (᾿Αρσενικόν.) Πύανθος· Πύαροσ. ὀνόματα κύρια. καὶ Πυάρτειος οι κος. Πυγμαῖοσ. ὁ κοντός. οἱονεὶ πυγονιαῖος. πηχυαῖος. πυγὼν γὰρ καλεῖται ἡ πῆχυς. ἀνδράσι Πυγμαίοισι–. pi.1594 Πυγαῖοσ. ὁ ἀκόλαστος. παρὰ τὴν πυγήν. Πυγοστόλοσ. ἀκόλαστος· πόρνος. †Πυδαρισμόσ. δυσχέρεια.† Πύελοσ. ἡ λεκάνη, ο που λούονται. παρὰ τὸ πύα ἐλαύνειν. κυρίως δὲ, ο που τοὺς πυοὺς πλύνουσι, τουτέστι τοὺς πυρούς. Πυθμήν. γένεσις, ἀρχὴ, ῥίζα, η τὸ ὑποκάτω τοῦ βάθους. φυτοθεμὴν τίς ἐστιν, οι ον τοῦ φυτοῦ θέσις, φυθμὴν καὶ πυθμήν. ου τως Ωρος ὁ Μιλήσιος. ὁ δὲ Θεόγνωστος παρὰ τὸ κεύθω, τὸ κρύπτω, κευθὴν καὶ κυθμὴν πλεονασμῷ τοῦ μ, καὶ τροπῇ τοῦ ¯κ εἰς ¯π πυθμήν. †Πυκνίασ. τὸ ἐν᾿ Αθήναις δικαστήριον.† Πυκνόσ. παρὰ τὸ πτύσσω, πτύκα, καὶ ἀποβολῇ τοῦ ¯τ πύκα καὶ πυκνός. †Πύκτησ. παγκρατιαστής· ἀθλητής.† †Πυλοσάκησ. κακῶν μεστός.† Πυλωρόσ. ὁ τῶν πυλῶν φύλαξ. παρὰ τὸ ὠρῶ, τὸ φυλάσσω. Πύματοσ. ὁ ε σχατος. pi.1595 Πυρόσ. ὁ σῖτος. Πυῤῥόσ. ὁ ξανθός. Πυρσόσ. ὁ λαμπτήρ· ἡ πυρκαϊά. Πυρὴν, πυρῆνοσ. τὸ ὀστοῦν τῆς ἐλαίας. Πύρνοσ. α ρτου κόμμα. Πύῤῥων, Πύῤῥωνοσ. καὶ Πυῤῥώνειοι φιλόσοφοι καὶ λόγοι. Πυργηνόσ. τοπικόν. Πυριφλεγέθων. ποταμὸς ἐν τῷ ᾳ δη, κατὰ τὴν τῶν῾ Ελλήνων δόξαν. οι μαι δὲ, τὸ α σβεστον πῦρ λέγει, η τὸν ἐν τῇ θείᾳ γραφῇ πύρινον ποταμόν. (Θηλυκόν.) Πυγμή. σύμπηξις δακτύλων τῷ γρόνθῳ. †λέγεται δὲ πυγμὴ τὸ ἀπὸ τοῦ ἀγκῶνος α χρι τῶν δακτύλων τῆς χειρὸς μέρος.† Πυγόνοσ. ἀντὶ τοῦ πήχεος. Αἰλιανός· τετράγωνοι δὲ α μφω, πυγόνος δὲ τὸ μῆκος. Πυγοστόλοσ. οἱ μὲν τὴν μαυλίτριαν, οἱ δὲ αὐτὴν τὴν ἑταίραν τὴν πυγὴν στολιζομένην, τουτέστι κοσμοῦσαν ἐκεῖνα τὰ μέρη πανούργως τοῖς ἱματίοις. στέλλειν γὰρ τὸ κοσμεῖν. α λλοι δὲ τὴν κοσμοῦσαν τὰς χεῖρας. Πυγή. ὁ πρωκτός. pi.1596 Πυθώ. ἐκ τοῦ πύθω, τὸ ἐρωτῶ. ἐν ῃ πεύθονται τοὺς χρησμούς. ε στι δὲ πόλις Φωκίδος, η ς οἱ οἰκήτορες Δελφοί. παρὰ τὸ σεσῆφθαι αὐτόθι τὸν δελφῖνα δράκοντα, ο ν ἐκεῖσε εὑρὼν ἀνεῖλεν ὁ᾿ Απόλλων. παρὰ τὸ πύεσθαι, τὸ σήπεσθαι. η παρὰ τὸ πεύθεσθαι καὶ ἀκούειν τοὺς χρησμούς. καὶ Πυθία. *Πυετία. τὸ τὸ γάλα συνιστῶν καὶ πηγνύον.* Πυκινή. συνετή· πυκνή· φρόνιμος. παρὰ τὸ πύκω, τὸ ἐπιμελῶς ε χω. Πυκιμήδη. ἡ συνετόβουλος, ἡ βαθυγνώμων. ἀπὸ τοῦ πύκα καὶ πυκνῶς, η συνετῶς καὶ ἐπιμελῶς, καὶ τὸ μήδω, τὸ βουλεύομαι. Πύλας ἱερῆσ. ἀντὶ τοῦ ἐν τῇ Πύλῳ. ποιητικὸν τὸ σχῆμα. ὡς τό· –τί με χρὴ μητρὸς αι νου; ἀντὶ τοῦ τί με χρὴ τὴν μητέρα ἐπαινεῖν. Πυξίσ. τὸ πινακίδιον. *η ἀγγεῖον ε χον βαφὴν καὶ χρῶμα κατὰ τὸν θεόλογον Γρηγόριον.* Πυργοβάρεις. προμαχῶνες. η τείχη ὀχυρά. Πυῤῥίχη. ει δος ὀρχήσεως ἐναύλου. Πυράγρα. τὸ διλάβιον. Πυρήνη. ο ρος. †Πυῤῥιχίνη. ὁ αὐλός.†



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

pi.1597 Πύστισ. ἡ μάθησις. παρὰ τὸ πέπυσμαι πύσις, καὶ πλεονασμῷ τοῦ ¯τ πύστις. οὐ δύναται δὲ πλεονασμὸς ει ναι, ἀλλὰ παραγωγή. ἀπὸ τοῦ πύστη πύστις. Πύρωσισ. τὸ φλέγμα. τοῦ Ψελλοῦ· τινὲς δὲ καὶ τὴν πύρωσιν ὀνομάζουσι φλέγμα. (Οὐδέτερον.) Πυγούσιον. ἡ πῆχυς κεκολλημένων τῶν δακτύλων. †Πυηρόν. ἀναπεπλασμένον.† Πυθεῖον. τὸ μαντεῖον Πύθια δὲ, τόπος καὶ ἑορτὴ, ι. καὶ Πυθιονίκητον. Πυκτίον. τὸ βιβλίον. ἀπὸ τοῦ πύσσεσθαι. ο ἐστιν ἀσφαλίζεσθαι καὶ συγκλείεσθαι. Πυκτεῖον δὲ, ἐν ῳ εἰσὶ τὰ πυκτία, δίφθογγον. Πύματον. ε σχατον. παρὰ τὸ πυθμὴν ὀνομάζεται ἐλλείψει τοῦ θ, ἀπὸ μεταφορᾶς τῶν ἀγγείων· ὁ γὰρ πυθμὴν ε σχατος, εἰ καὶ τὴν ἀρχὴν ε χει. πύθματος, καὶ ἀποβολῇ τοῦ ¯θ πύματος καὶ πύματον. καὶ πυμάτιον. Πυξίον. τὸ πινακίδιον. Πῦοσ. τὸ σεσηπὸς αι μα. καὶ τὸ γάλα ὁμοίως.᾽Αριστοφάνης· πῦος ἡμῖν ε νδον–. τὸ πεπηγὸς γάλα, διὰ τὸ καὶ αὐτὸ μεταβεβλῆσθαι. καὶ ε μπυον τὸ γαλακτῶδες τῇ ὁμοιότητι ὑγρόν. Πῦρ. ε ν τῶν τεσσάρων στοιχείων ἐστὶ, κοῦφον τὲ καὶ ἀνωφερέστερον, καυστικόν τε καὶ φωpi.1598 τιστικὸν, τῇ πρώτῃ ἡμέρᾳ ὑπὸ τοῦ δημιουργοῦ κτισθέν. φησὶ γὰρ ἡ γραφή· καὶ ει πεν ὁ θεός· γεννηθήτω φῶς, καὶ ἐγένετο φῶς. οὐχ ε τερον γάρ ἐστι τὸ πῦρ, εἰ μὴ τὸ φῶς. ἐποίησε δὲ αὐτὸ καλλωπισμὸν καὶ κόσμον πάσης τῆς ὁρατῆς κτίσεως. α φελε γὰρ τὸ φῶς, καὶ πάντα ἐν τῷ σκότει α γνωστα διαμένουσι, τὴν οἰκείαν μὴ δυνάμενα ἐπιδείξασθαι εὐπρέπειαν. ἐκάλεσε δὲ ὁ θεὸς τὸ μὲν φῶς ἡμέραν, τὸ δὲ σκότος, νύκτα. σκότος δέ ἐστιν οὐκ οὐσία τις, ἀλλὰ συμβεβηκός· φωτὸς γάρ ἐστι στέρησις· ὁ γὰρ ἀὴρ οὐκ ἐν τῇ οὐσίᾳ αὐτοῦ ε χει τὸ φῶς. αὐτὸ ου ν τὸ ἐστερῆσθαι τὸν ἀέρα φωτὸς, σκότος ἐστὶ, καὶ οὐχ ἡ οὐσία τοῦ ἀέρος ἐστὶ σκότος, ἀλλ' ἡ τοῦ φωτὸς στέρησις, ο περ συμβεβηκὸς μᾶλλον δηλοῖ η περ οὐσίαν. Πῦρ ἐγειρόμενον. ζωπυρούμενον, ἀναφλεγόμενον διὰ τῆς ὑποκαιούσης τοῦτο καὶ τρεφούσης υ λης. Πυρίκαυστον. ὑπὸ πυρὸς κεκαυμένον. καὶ πυρίφλεκτον. Πυρεῖον καὶ πυρήϊα. τὰ ξύλα. α τριβόμενα πῦρ ἐγγεννᾷ. τινὲς δὲ τοὺς πυρεκβόλους λίθους λέγουσι. –τὸ δ' αυ τε πυρήϊα δινεύεσκον. Πῦρ. οὐσία ξηρὰ καὶ θερμὴ καὶ κούφη καὶ φωτιστικὴ, καταυγαστική τε καὶ καυστική. Πύσμα. ἐρώτημα η μάθημα. ἐκ τοῦ πύθω, τὸ μανθάνω. Πυρηναῖον. ο ρος. pi.1599 (῾Ρῆμα.) Πύθω. τὸ σήπω. καὶ μανθάνω καὶ ἀκούω. ἐξ ου καὶ τὸ πυνθάνω. αἰσχρὸν γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι. οι μαι ἀπὸ τοῦ πεύθω πύθω. τὸ δὲ πεύθω ἀπὸ τοῦ κεύθω· ὁ γὰρ ἐρωτῶν η μανθάνων τι, περί τινος ἀποκεκρυμμένου πράγματος ἐρωτῶν μανθάνει. Πυθοίατο. μάθοιεν. ἀπὸ τοῦ πεύθω, τὸ ἐρωτῶ. ὁ δεύτερος ἀόριστος ε πυθον· τὸ παθητικὸν ἐπυθόμην· τὸ εὐκτικὸν πυθοίμην, πύθοιο, πύθοιτο, καὶ πλεονασμῷ τοῦ ¯α πυθοίατο. Πυθέσθαι. μαθεῖν. Πύθωμαι. ἀκούσω. καὶ πύθωνται. πυθόμενος δὲ μικρόν. Πυκάζω. κοσμῶ· σκιάζω. κατὰ μέν τινας τὸ καλύπτω, κατὰ δέ τινας τὸ βλαστάνω. καὶ πύκασε καὶ πυκάζουσι. Πυθάνομαι. ἐρωτῶ. Πυρπολεῖται. καίεται. ἐμπυρίζεται. Πυρσομορφοῖ. πυριμόρφους ποιεῖ. Πυτίζειν. παρὰ τὸ πτύω πτυτίζω ἐστὶ παράγωγον, καὶ ἀποβολῇ τοῦ ¯τ πυτίζω. ὡς παρὰ τὸ πτύσσω, πτύξω, πτὺξ καὶ ἀποβολῇ τοῦ ¯τ πύξ. τινὲς δὲ παρὰ τὸ φυσῶ, φυσίζω, καὶ ἐναλλαγῇ τῶν στοιχείων πυτίζω. (᾽Επίῤῥημα.) Πύκα. συνετῶς, ἐπιμελῶς, πυκνῶς. παρὰ τὸ pi.1600 πτύσω πτύκα· τὸ δὲ πτύσσω οὐδὲν α λλο ἐστὶν η τὸ ἐπιπίπτειν ε τερον ἑτέρῳ· καὶ ἀποβολῇ τοῦ ¯τ πύκα. τὸ δὲ πτύσω, πτύξω, πτὺξ καὶ πὺξ ἐπὶ τῆς πυγμῆς, διὰ τὸ πτύσσειν τοὺς δακτύλους ἐν τῷ πυκτεύειν. Πυκινῶσ. συνετῶς· φρονίμως· πυκνῶς. Πυργηδόν. δίκην πύργου. Τὸ Π μετὰ τοῦ Ω. (᾽Αρσενικόν.) Πώγων. παρὰ τὸ πήσσω, πέπηγα, πήγων καὶ πώγων, ὁ πεπηγὼς καὶ ἑδραῖος τόπος, καὶ πωγωνίας, καὶ πωγωνιήτης, καὶ πωγωνηήτης διὰ τοῦ η. *ε στι καὶ πωγωνίας ἀστροειδὲς πυρὸς α θροισμα, ε μπροσθεν ε χον τὰς ἀκτῖνας πώγωνος δίκην.* Πωλευτικόσ. παιδευτικός. Πωλικόσ. γενναῖος. Πωλοδάμνησ. ὁ στράτωρ ὁ τοὺς πώλους δαμάζων. Πῶλοσ. ὁ ἀείδαρος η ὁ νέος ι ππος. πόαλος τὶς ω ν. παράγωγον, ὡς ι ππος ι ππαλος. ὁ περὶ πόαν ἁλλόμενος. Πωλικῷ. γενναίῳ, παιδικῷ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πωλικῷ σκιρτήματι. Πῶροσ. ὁ λίθος. καὶ ο νομα κύριον. Πώρινοσ. ὁ λίθινος. Πωριαῖοσ. τραχύς. pi.1601 Πῶροσ. ὁ λίθος. παρὰ τὸν πήσω μέλλοντα πηρὸς καὶ πῶρος τροπῇ τοῦ ¯η εἰς ¯ω. ὡς ἀρήγω ἀρωγὸς, καὶ ῥήσσω ῥηχμὸς καὶ ῥωχμός. σημαίνει δὲ ῥῆξιν η τόπον κεχαραγμένον ὑπὸ ὀμβρίων ὑδάτων. Πῶϋξ. κύριον. (Θηλυκόν.) Πωλεία. ἡ τοῦ ι ππου παίδευσις. Πώρωσισ. ἡ ἀναισθησία. Πώϋγγεσ. αἱ αι θυιαι αἱ κληθεῖσαι βοῦγγες. παρὰ τὴν βοὴν καὶ τὴν ἰϋγήν. (Οὐδέτερον.) Πωλητήριον. τὸ πρατήριον. Πωλιτώριον δὲ τόπος, ι. Πωλίον. τὸ πτηνόν. Πωμήριον. τὸ τοῦ τείχους καλλώπισμα. Πῶμα. τὸ σκέπασμα. πόμα δὲ τὸ πινόμενον, μικρόν. Πώπανα. ει δος πλακούντων. μικρογραφῶ ἐγὼ τὸ πόπανα. Πῶον. ο ρος. Πῶϋ. τὸ ποίμνιον. παρὰ τὴν πόαν, η ν νέμεται. η παρὰ τὸ πῶ, τὸ πίνω, πῶϋ, ο τι ποτῷ η δεται. pi.1602 η παρὰ τὸ πῶ, τὸ κτῶμαι, ἐξ ου καὶ πάσασθαι, τὸ κτήσασθαι. τὸ πῶϋ, τοῦ πώεος. (῾Ρῆμα.) Πωλεύω. ι ππων ἐπιμελοῦμαι. καὶ πωλεία, ἡ τῶν ι ππων παίδευσις. Πωλῶ. τὸ πιπράσκω. παρὰ τὸ πολῶ, τὸ συναναστρέφομαι· ἐπειδὴ ὁ πωλῶν περὶ τὸν αὐτὸν τόπον ἀναστρέφεται, ι να θεωρῆται ὑπὸ πάντων. πολῶ τὸ ἀναστρέφομαι, μικρόν. ὁμοίως καὶ πολεῖται. πωλεῖται δὲ εἰς τὸν Ομηρον μέγα. πωλεῖταί τις δεῦρο γέρων α λιος νημερτής. Πωλέσκετο. συνανεστρέφετο· διῆγεν. ε στι πολῶ τὸ ἀναστρέφομαι, ὁ μέλλων πολέσω, πλεονασμῷ τοῦ κ πολέσκω, ὡς ἀρῶ, ἀρέσκω· ὁ παθητικὸς πολέσκομαι, ἐπολεσκόμην, ἐπολέσκεο, ἐπολέσκετο καὶ πολέσκετο, καὶ ἐκτάσει ποιητικῇ τοῦ ο εἰς ω μέγα πωλέσκετο. ὡς τό· ἐπεπωλεῖτο στίχας ἀνδρῶν. Πωρωθείσ. ἀπολιθωθείς. η ἀναισθητήσας. (᾿Επίῤῥημα.) Πώμαλα; ἀντὶ τοῦ οὐδαμῶσ. Πώποτε. ἀντὶ τοῦ ποτέ. *¯ω ποῦ πόθεν.* rho.1603 Ρ. Τὸ Ρ μετὰ τοῦ Α. (᾿Αρσενικόν.) ῾Ραγδαῖοσ. σφοδρός. καὶ ῥαγδαῖος η ν ὑετός. ῾Ρᾳδιουργόσ. πλαστογράφος. η ὁ μετὰ πανουργίας τὶ διαπράττων. ῾Ραβουνί. διδάσκαλος ἑρμηνεύεται. ῾Ράθυμοσ. ἀναπεπτωκώς. παρὰ τὸ ῥέειν τὸν θυμόν. η παρὰ τὸ ῥᾷον θυμοῦσθαι. ῾Ραιβόσ. ὁ διεστραμμένος, ὁ πλάγιος. παρὰ τὸ ῥᾷον βαίνειν, κατὰ ἀντίφρασιν. η παρὰ τὸ ῥαίω, τὸ φθείρω, καὶ τὸ βαίνω ῥαιβός· ο ν καλοῦσιν οἱ πολλοὶ σκελλὸν καὶ διεστραμμένον. ῾Ραῖδοσ. ο νομα θηρίου. ῾Ραικόσ. ὁ ῾Ρωμαῖος. ᾿Επίχαρμος· φιλεῖ ει ναι γραικὸς, ἀποβολῇ τοῦ ¯γ ῥαικός. ῾Ραιστήρ. σφαίρα σιδηρᾶ. ῾Ραιφερενδάριοσ. ἀξίωμα ἐκκλησιαστικόν. ῾Ρακᾶ. ἀντὶ τοῦ σὺ ἑρμηνεύεται τῇ Σύρων γλώσσῃ, ὡς τό· α πελθε σύ· η εἰπὲ τῷ δεῖνι σύ. τινὲς δὲ τῶν ῾Εβραίων φωνῇ κατάπτυστον ἑρμηνεύουσι. ῾Ρᾷστοσ. ε χει τὸ ¯ι προσγεγραμμένον, ο τι πρῶrho.1604 τον μὲν ευ ρηται κατὰ διάστασιν ῥηΐστη, η ο τι ἀπὸ τοῦ ῥᾷον γέγονε ῥᾷστος. ῾Ράχοσ. ὁ σκόλοψ ὁ ἀκανθώδης. καὶ ἐπὶ τῶν ἀμπέλων. ἐπεὶ ἀποξύνεται ἐν τῷ ἀποτέμνεσθαι καὶ ῥαγῶσαι. ῾Ράδαμνοσ. κλάδος. τοῦ Ψελλοῦ· ῥάδαμνος κλάδος καὶ βλαστὸς, ῥῶπος ποικίλος φόρτος. (Θηλυκόν.) ῾Ράβδος κυρίου. παιδεία ἡ πρὸς διόρθωσιν τοῦ παιδευομένου. ῾Ράβδῳ. ἐπιτιμίου λόγῳ. ει ρηται ῥάβδος παρὰ τὸ ῥάσσω, η παρὰ τὸ ῥαπίζω, η παρὰ τὸ ῥᾷον βαίνειν. ῾Ράβδος σιδηρᾶ. ἡ τῶν ῾Ρωμαίων ἐξουσία. ῾Ρᾳδιουργία. δόλος, ἀπάτη. η τὸ πράττειν τι μετὰ πανουργίας. ῾Ρᾳθυμία. ἡ ἀμέλεια, ἡ ῥαστώνη. ῾Ραθάμιγγεσ. σταγόνες, ῥανίδες, καὶ ὁ ἀπὸ τῶν ι ππων κονιορτός. ῾Ράβεννα. πόλις. ῾Ράμνοσ. φυτὸν ἀκανθῶδες. παρὰ τὸ ῥᾷον τέμνεσθαι. η παρὰ τὸ ῥᾷον δονεῖσθαι, τροπῇ τοῦ ¯δ εἰς ¯μ. rho.1605 †῾Ραικάμη. ἡ ῥαστώνη.† †῾Ραιστήρα. σφαῖρα σιδηρᾶ.† †῾Ράμνοσ.† †῾Ραπίσ. ῥάβδος.†῾Ρᾳστώνη. εὐχέρεια, εὐκολία, η ῥᾳθυμία. παρὰ τὸ ῥᾷστος. ῾Ραχήλ. κύριον. ἑρμηνεύεται ἀμνὰς, η ποιμαίνουσα. ῾Ραχίασ. τὰς ἐκ θαλάσσης πέτρας. η ῥαχία τόπος ὑψηλός. ῾Ράχισ. ὁ μὲν ᾿Απολλόδωρος ἀπὸ τοῦ ῥῆξις ει ναι, καὶ τὰ δεξιὰ μέρη διακρίνειν ἀπὸ τῶν εὐωνύμων· ὡς δέ τινες, τράχις, διὰ τὴν τραχύτητα τῶν συνεστηκότων αὐτῇ κονδύλων. ῾Ραφίσ. ἡ βελόνη. καὶ ο νομα ἰχθύος. ῾Ραψῳδία. ἀπόκομμα ποιήματος, περιλαβὸν καὶ ε χον ἐν ἑαυτῷ ὀλίγην τινὰ καὶ μικρὰν περιπέτειαν. περιπέτεια δέ ἐστιν ὑποθέσεως σύμπτωμα. ὡς ἡ α λφα ῾Ομήρου ε χει ὀργὴν ᾿Αχιλλέως· καὶ ἡ β ἀπάτην ὀνείρου· καὶ ἡ γ ᾿Αλεξάνδρου καὶ Μενελάου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μονομαχίαν. η ῥαψῳδία ἐστὶ μέρος ποιήματος, ἐμπεριειληφὸς τινὰ ὑπόrho.1606 θεσιν. παρὰ τὸ ῥάπτω καὶ τὸ ᾠδὴ γίνεται ῥαβδῳδία, καὶ τροπῇ τοῦ βδ εἰς ψ ῥαψῳδία. ῾Ραάβ. κύριον. τὴν Χαναναίαν λέγει. (Οὐδέτερον.)῾Ρᾴδιον. ευ κολον. ε χει τὸ ι. ἐπειδὴ ευ ρηται κατὰ διάστασιν ῥηΐδιον, καὶ ο τι ἀπὸ τοῦ ῥεῖα γέγονε ῥεΐδιον, καὶ τροπῇ τοῦ ¯ε εἰς ¯η καὶ συναιρέσει ῥηΐδιον. οὐκ ἐγένετο ῥᾴδιον ἀπὸ τοῦ ῥᾶος, ῥάου.῾Ραδαλόν. εὐδιάσειστον, χαῦνον.῾Ραίδιον. τὸ φορεῖον. καὶ ῥαῖδον α ρμα σκεπαστόν.῾Ραίκυλον καὶ῾Ραῖκλον. τοπικά.῾Ράκοσ. περιαυχένιον. ὁ καλούμενος μανδύας Περσικῇ γλώττῃ. παρὰ τὸ ῥήσσω ῥήξω, ῥῆχος καὶ ῥάχος, καὶ τροπῇ τοῦ ¯χ εἰς ¯κ ῥάκος.῾Ραντόν. ποικίλον.῾Ραιστόν. φθαρτόν.῾Ρᾶον. ευ κολον. *῾Ράμφοσ. κυρίως ἡ ῥὶς τῶν ὀρνέων.* ῾Ράροσ. τὸ βρέφος. οἱ δὲ ο νομα τόπου. οἱ δὲ τὴν γαστέρα. καὶ ῥάριον. rho.1607 (῾Ρῆμα.)῾Ραγήσεται. ἐκπηδήσει.῾Ραγῶσαι. τεμεῖν.῾Ρᾳδιουργεῖν. ἀπατᾷν, η τὸ μετὰ πανουργίας τι διαπράττεσθαι. τὰ παρὰ τὸ ῥᾴδιον ε χει τὸ ι προσγεγραμμένον, οι ον ῥᾴθυμος, ῥᾳθυμία, ῥᾳστώνη.῾Ραιβώσασ. κάμψας.῾Ραδανίζειν. τὸ τινάσσεσθαι. †῾Ραιδαστίζει. τὸ σκοπεῖ.† †῾Ραίθω. τὸ φθείρω.†῾Ραΐσαι. κουφίσαι. †ῥαΐσαι τὸ ἐξ ἀῤῥωστίας βελτίω γενέσθαι.† *῾Ραπίζειν. τὸ παίειν κατὰ τοῦ προσώπου. κολαφίζειν δὲ κατὰ τοῦ τραχήλου.* (᾿Επίῤῥημα.)῾Ραδίωσ. εὐκόλως.῾Ρᾳόνωσ. εὐκόλως. καὶ ῥᾷον, καὶ ῥᾴως. Τὸ Ρ μετὰ τοῦ Ε. (᾿Αρσενικόν.)῾Ρεάτησ. ποταμός.῾Ρεγεῶνεσ. οἱ βαφεῖς. rho.1608῾Ρείτησ. ὁ ῥέων. καὶ ῥειτός.῾Ρεμβασμόσ. ἀχαλίνωτος ε ννοια καὶ ζωῆς ἀφανισμός.῾Ρεγεῖσ. οἱ βαφεῖς.῾Ρεφάν. ει δωλον. (Θηλυκόν.)῾Ρεβέκκα. κύριον. ἑρμηνεύεται ὑπομονή.῾Ρειώνη. ἡ Ηρα.῾Ρεία. θεά.῾Ρένδα. ζώνη· λωρίον, ο οἱ βασιλεῖς διαζώννυνται. *῾Ρέα. ἡ Δημήτηρ. λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ ῥᾳδίου. η ἡ τῆς πετρώδους καὶ ὀρείας γῆς δύναμις. ἡ δὲ Δήμητρα τῆς πεδινῆς καὶ γονίμου. η καὶ τίκτει τὴν κόρην η γουν τὸν κόρον ἐκ τῶν φρυγανωδῶν σπερμάτων. διὸ καὶ κατέστεπται τὸ βρέτας αὐτῆς στάχυσι. κόρη μὲν ου ν ἡ δύναμις ἡ σπερματοῦχος· Πλούτων δὲ ὁ ὑπὸ γῆν ἰὼν η λιος, καὶ τὸν ἀφανῆ περινοστῶν κόσμον κατὰ τὰς χειμερίους τροπάς.* (Οὐδέτερον.)῾Ρέγοσ. τὸ βάμμα. ἁλιπόρφυρον ῥέγος. καὶ ῥεγεῖς οἱ βαφεῖς.῾Ρεέθρων. ῥευμάτων. καὶ ῥείθρων. rho.1609῾Ρέθη. τὰ μέλη. ψυχὴ δ' ἐκ ῥεθέων πταμένη– διὰ τὸ φαίνεσθαι τὰ η θη δι' αὐτῶν· ου τω γὰρ ἐκ τῆς ποιᾶς αὐτῆς συστάσεως τὰ τῆς ψυχῆς πάθη θεωροῦμεν, χαιρούσης, λυπουμένης, ὀργιζομένης. καὶ ῥέθος τὸ πρόσωπον, Αἰολικῶς. (῾Ρῆμα.)῾Ρέεις· ῥεῖς. ἐὰν ῥέῃς δὲ, ¯η. ἐὰν ῥεῖς δὲ, δίφθογγον.῾Ρέζει. πράττει.῾Ρέζεσκον. ε πραττον.῾Ρέξαι. τὸ βάψαι· καὶ οι ον μεταποιῆσαι.῾Ρεόντων. παρερχομένων. ῥαιόντων δὲ, τῶν φθειρομένων, δίφθογγον. ῾Ρέπει. κλίνει.῾Ρέχθεον. ἐστέναζον. (᾿Επίῤῥημα.)῾Ρέα. εὐκόλως. καὶ ῥεῖ. Τὸ Ρ μετὰ τοῦ Η. (᾿Αρσενικόν.)῾Ρήβασ. ποταμὸς πλησίον Βιθυνίας πλωτὸς, παρ' ᾳ ἀκτή ἐστι μέλαινα καλουμένη.῾Ρήβαν ὠκυῤῥόην ποταμὸν ἀκτήν τε μέλαιναν. rho.1610῾Ρηγίασ. ποταμός.῾Ρηγῖνοσ. τοπικός.῾Ρηγεύσ. ὁ βαφεύς.῾Ρηγῖλος,῾Ρηγίλαος καὶ῾Ρηγοῦλοσ. ὀνόματα κύρια.῾Ρηγμήν. ὁ αἰγιαλός.῾Ρηΐστεροσ. εὐχερέστερος.῾Ρηλαιμόσ. τόπος. ῾Ρῆνοσ. ο νομα ποταμοῦ.῾Ρῆνεσ. πρόβατα. ἡ εὐθεῖα ῥὴν, ῥηνὸς, ῥῆνες.῾Ρηξήνορεσ. ἀνδρεῖοι.῾Ρήτωρ. δυνατὸς ἐν λόγοις, η καλλιεπείας ῥημάτων δημιουργὸς καὶ συνθέτης.῾Ρηχὰβ καὶ῾Ρηχαβίν. ὀνόματα κύρια.῾Ρήψ. ο νομα ζώου.῾Ρήτωρ. πολιτικῶν πραγμάτων ἐπιστήμων καὶ ἐφ' ἑκάτερα ἐνδόξων κατασκευαστής. παρὰ τὸ ῥήδην λέγειν, η παρὰ τὸ συνηγορεῖν τῷ νόμῳ. ῥήτρα γὰρ ὁ νόμος, Δωρικῶς. (Θηλυκόν.) ῾Ρηβαντία. πόλις.῾Ρηδουντία. πόλις.῾Ρῆσισ. ἡ φράσις καὶ ὁ λόγος.῾Ρητῶν. ἡμερῶν ὡρισμένων. rho.1611῾Ρητὴ κρίσισ. ἡ κακίστη συμφωνία, η ν καὶ ὁ ἐν θεολογίᾳ Γρηγόριος λέγει.῾Ρητίνη. κύριον. καὶ τὸ τῆς πεύκης ὑγρόν.῾Ρήτρα. ἡ συνθήκη ἡ ἐπὶ ῥητοῖς· ἡ ῥητορεία. καὶ ῥητροσύνη.῾Ρητορικὴ τέχνη. ἡ πειθοῦς δημιουργὸς πιστευτικῆς περὶ δίκαια καὶ α δικα μετὰ λόγου καὶ ἐμπειρίας. η δύναμις τεχνικὴ πιθανοῦ λόγου, ἐν πράγματι πολιτικῷ τέλος ε χουσα τὸ ευ λέγειν η τοπικῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον. (Οὐδέτερον.)῾Ρῆγοσ. τὸ βαπτὸν ἱμάτιον, η τὸ πορφυροῦν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περιβόλαιον. ῥέξαι δὲ τὸ βάψαι καὶ οι ον μεταποιῆσαι.῾Ρήγιον. πόλις Σικελίας. ει ρηται δὲ, ἐπειδὴ σεισμοῦ γενομένου ἀπετελέσθη τὰ ἐκεῖ ῥαγέντα τοῦ τόπου ἐκείνου.῾Ρηΐτερον. εὐκολώτερον. ῥηΐδιον. ἀπὸ τοῦ ῥέω ῥεΐδιον, καὶ κατ' ε κτασιν ῥηΐδιον.῾Ησίοδος· ῥηΐδιον γὰρ ε πος εἰπεῖν.῾Ρηΐστον. ευ κολον.῾Ρήγιον. τόπος ε ξω τῆς Κωνσταντινουπόλεως.῾Ρῆμα. ὁ λόγος καὶ τὸ πρόσταγμα. ὡς τό· ῥῆμα κυρίου ἐγένετο ἐπ' αὐτόν. η ῥῆμα ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην μετὰ χρόνον. ὡς δὲ Πλάτων, φωνὴ πράξεως η πάθους σημαντική.῾Ρῆμα. λέξις α πτωτος, ἐπιδεικτικὴ χρόνων τὲ καὶ προσώπων καὶ ἀριθμῶν, ἐνέργειαν η πάθος παριστῶσα. διατί ει πεν α πτωτος; ἐπειδὴ πτώσεις οὐκ ἐπιδέχεται. διατί ει πεν ἐπιδεκτικὴ χρόνων τὲ καὶ προσώπων καὶ ἀριθμῶν; rho.1612 ἐπειδὴ πρόσωπα καὶ χρόνους καὶ ἀριθμοὺς ἐπιδέχεται. διατί ει πε μετ' ἐνεργείας η πάθους; ἐπειδὴ παρεμφαίνει τὴν ἐνέργειαν καὶ τὸ πάθος· ἐνέργειαν μὲν, οι ον τύπτω· πάθος δὲ, οι ον τύπτομαι. η ῥῆμα ἐστὶ μέρος λόγου α πτωτον, ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν. μετ' ἐνεργείας η πάθους η οὐδετέρου προσώπου σημαντικόν· ω στε καὶ τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ. διατί ει πε μέρος λόγου; ἐπειδὴ ἐκ τῶν ὀκτὼ μερῶν τοῦ λόγου ε ν μέρος ἐστὶ τὸ ῥῆμα. μέρη δὲ τοῦ λόγου εἰσὶν ὀκτώ· ο νομα· ῥῆμα· μετοχή· α ρθρον· ἀντωνυμία· πρόθεσις· ἐπίῤῥημα· σύνδεσμος. διατί ει πεν ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν; διὰ τὰ χρονικὰ ἐπιῤῥήματα, οι ον χθές· σήμερον· αυ ριον. ἰδοὺ γὰρ καὶ αὐτὰ χρόνου σημαντικά εἰσι καὶ διαφόρους χρόνους δηλοῦσιν, ἀλλ' ἐν ἀλλοτρίαις φωναῖς, καὶ οὐκ ἐν ἰδίοις μετασχηματισμοῖς· οὐδὲ γὰρ μετέχει τὸ χθὲς τοῦ σήμερον, αυ ριον, ἀλλὰ τελεία φωνὴ τῆς μεταλλαγῆς ἐγένετο. τὰ μέντοι ῥήματα ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους δηλοῦσι χρόνους, καὶ οὐκ ἐν ἀλλοτρίαις φωναῖς. διατί ει πεν οὐδετέρου προσώπου σημαντικόν; διὰ τὴν ἀκρίβειαν, ἐπειδὴ εἰσὶ τινὰ ῥήματα, α ου τε ἐνέργειαν ου τε πάθος δηλοῦσιν, α τινα καὶ οὐδέτερα λέγονται, ὡς ἐπὶ τοῦ ζῶ, πλουτῶ, ὑπάρχω. διατί ει πεν ω στε καὶ τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ; ἐπειδὴ τῶν ῥημάτων τὰ μὲν ε χουσι πρόσωπα, ὡς τὰ ὁριστικὰ, προστακτικὰ, εὐκτικὰ, ὑποτακτικὰ, α τινα καὶ διαθέσεις ψυχῆς ε χουσι· τὰ δέ εἰσιν ου τως χωρὶς προσώπων, ὡς τὰ rho.1613 ἀπαρέμφατα. παρέπεται δὲ τῷ ῥήματι ὀκτώ· ἐγκλίσεις· διαθέσεις· ει δη· σχήματα· ἀριθμοί· πρόσωπα· χρόνοι καὶ συζυγίαι. ε γκλισίς ἐστι βούλημα ψυχῆς διὰ φωνῆς σημαινόμενον. ἐγκλίσεις δέ εἰσι τέσσαρες· ὁριστική· προστακτική· εὐκτική· ὑποτακτική. ἡ γὰρ ἀπαρέμφατος οὐκ ε στι κυρίως ε γκλισις, ἀλλὰ καταχρηστικῶς. καὶ διατί οὐκ ε στι κυρίως ε γκλισις; ἐπειδὴ ε γκλισις λέγεται βούλημα ψυχῆς· ἡ δὲ ἀπαρέμφαιος, μὴ ε χουσα βούλημα ψυχῆς, εἰκότως οὐδὲ ε γκλισίς ἐστι. προτέτακται δὲ ἡ ὁριστικὴ τῶν α λλων ἐγκλίσεων, ἐπειδὴ, ω σπερ ἐν τοῖς ὀνόμασιν ἡ ὀρθὴ πτῶσις πρώτη ἐστὶν, εὐθεῖα ου σα τοῦ ὀνόματος, ου τω καὶ ὁριστικὴ τῶν α λλων ἐγκλίσεων. διάθεσις δέ ἐστιν ἡ τοῦ σώματος μετάθεσις. η διάθεσίς ἐστι δρᾶσις η πεῖσις, ἐν αι ς διατίθεται ἡ ψυχὴ, ὡς ἐνεργοῦσα τὶ η πάσχουσα. διαθέσεις δέ εἰσι τρεῖς· ἐνέργεια· πάθος· μεσότης. μέση δὲ διάθεσίς ἐστιν ἡ ἑκατέρων τῶν μερῶν μετέχουσα, η γουν ἐνεργείας καὶ πάθους. ει δος δέ ἐστι φωνῆς εἰκὼν τὴν ἐν αὐτῇ δηλοῦσαν πρώτην η δευτέραν σχέσιν. ει δη δὲ δύο εἰσὶ, πρωτότυπον καὶ παράγωγον. σχῆμα δέ ἐστι λέξεων ποσότης ὑφ' ε να τόνον καὶ ε ν πνεῦμα ἀδιαστάτως ἀγομένη, ἐν ἁπλότητι η συνθέσει. σχήματα δέ εἰσι τρία· ἁπλοῦν, σύνθετον, παρασύνθετον. ἀριθμός ἐστι σωρεία μονάδων η μονάδος σύνθεσις. ἀριθμοὶ δέ εἰσι τρεῖς· ἑνικὸς, δυϊκὸς καὶ πληθυντικός. πρόσωπα δέ εἰσι τρία· πρῶτον, δεύτερον, τρίτον. πρῶτον δὲ πρόσωπον ἐστὶ τὸ ἀφ' ου ὁ λόγος· δεύτερον, τὸ πρὸς ο ν ὁ λόγος· τρίτον, τὸ περὶ ου ὁ λόγος. *οι ον λέγει.* χρόνος δέ ἐστι πλατικὸς ἐνιαυτὸς, η ἀκαριαῖος· α μα δὲ τὸ βούλεσθαι ε χει καὶ τὸ ει ναι. τρεῖς δέ εἰσι χρόνοι· ἐνεστώς· παρεληλυθώς· μέλλων. καὶ ἐνεστώς ἐστιν ὁ ἐνισταμένην καὶ ἀπλήρωτον ε χων τὴν σημασίαν· παρεληλυθὼς δὲ, ὁ η δη παρελθών· μέλλων δὲ, ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μήπω γεγονώς. συζυγία δέ ἐστι συνέλευσις καὶ συμφωνία δύο συλλαβῶν εἰς μίαν συλλαβὴν, η ἀκόλουθος ῥημάτων κλίσις. συζυγία δὲ ποίου μέρους λόγου ἐστίν; ὀνόματος. ποίου γένους; θηλυκοῦ. ποίου ἀριθμοῦ; rho.1614 ἑνικοῦ. ποίας πτώσεως; γενικῆς τῶν ἑνικῶν. πῶς ἐστὶν ἡ εὐθεῖα; ἡ συζυγία. πόθεν γίνεται; ἐκ τῆς σὺν προθέσεως καὶ τοῦ ζυγός· τὸ δὲ ζυγὸς παρὰ τὸ δύο α γειν, δυαγὸς καὶ ζυγός. καὶ ω φειλεν ει ναι συνζυγία, ἀλλ' ἡ σὺν πρόθεσις συντιθεμένη μεθ' ἑτέρας λέξεως, τῆς ἀπὸ τῆς ¯ζ ἀρχομένης, τέλεον ἀποβάλλει τὸ ¯ν, οι ον συζητῶ, συζυγία. πόθεν δὲ χρόνος; παρὰ τὸ ῥέω ῥόνος καὶ πλεονασμῷ τοῦ ¯χ χρόνος. ει δη δὲ τῶν παραγώγων εἰσὶν ἑπτά· πατρωνυμικόν· κτητικόν· συγκριτικόν· ὑπερθετικόν· παρώνυμον καὶ ῥηματικόν. πατρωνυμικόν ἐστι τὸ κυρίως ἀπὸ πατρὸς ἐσχηματισμένον, καταχρηστικῶς δὲ καὶ τὸ ἀπὸ προγόνων κυρίως γινόμενον καὶ εἰς τὴν γενεὰν αὐτοῦ ἀναλυόμενον. πόσοι τύποι τῶν πατρωνυμικῶν ἀρσενικῶν; τρεῖς· ὁ εἰς ¯δ¯η¯ς· ὁ εἰς ¯ω¯ν· ὁ εἰς ¯α¯δ¯ι¯ο¯ς. ὁ εἰς ¯δ¯η¯ς, οι ον Ἀτρείδης· ὁ εἰς ¯ω¯ν, οι ον Ἀτρείων· ὁ εἰς ¯α¯δ¯ι¯ο¯ς, οι ον Ὑῤῥάδιος. Ἀτρείδης δὲ ποίου ει δους τῶν παραγώγων; πατρωνυμικοῦ δευτέρου τοῦ εἰς ¯ω¯ν, οι ον Ἀτρείων. Ὑῤῥάδιος ποίου ει δους τῶν παραγώγων; πατρωνυμικοῦ. ποίου τύπου τῶν πατρωνυμικῶν; τρίτου, τοῦ εἰς ¯α¯δ¯ι¯ο¯ς πόσοι τύποι τῶν θηλυκῶν; τρεῖς· ὁ εἰς ¯ι¯ς· ὁ εἰς ¯α¯ς· ὁ εἰς ¯ν¯η. ὁ εἰς ¯ι¯ς, οι ον Πριαμίς· ὁ εἰς ¯α¯ς, οι ον Πελιάς· ὁ εἰς ¯ν¯η, οι ον Ἀδρηστίνη. †τῶν οὐδετέρων μία μέν ἐστιν εἰς ¯ο¯ν κατάληξις, ε χει δὲ παραλήξεις ε ξ. οι ον, πεδίον· ξυλάριον· λεξείδιον· μειρακύλλιον· χρυσάφιον· ζωΰφιον.† Νηλήϊοι ι πποι, οἱ τοῦ Νηλέως, ποίου ει δους τῶν παραγώγων; κτητικῶν. καὶ τί ἐστι κτητικόν; τὸ ὑπὸ τὴν κτῆσιν ἐμπεπτωκὸς, ἐμπεριειλημμένου τοῦ κτήτορος. διαφέρει δὲ τὸ πατρωνυμικὸν τοῦ κτητικοῦ· καὶ γὰρ τὸ πατρωνυμικὸν ἐκ μόνου τοῦ κυρίου γίνεται, τὸ δὲ κτητικὸν ἐκ κυρίου καὶ προσηγορικοῦ. τί δέ ἐστι συνεκφαντικόν; τὸ συνεκφαῖνον τῇ τέχνῃ, ει τε γραμματικὸν, ει τε φιλόσοφον. πόσοι τύποι τῶν κτητικῶν; δύο· ὁ εἰς ¯ο¯ς καθαρὸν, οι ον δόλιος· ὁ εἰς ¯κ¯ο¯ς, οι ον Αἰολικός. πόσοι τύποι τῶν συγκριτικῶν; τρεῖς· ὁ εἰς ¯τ¯ε¯ρ¯ο¯ς, οι ον ὀξύτερος, βαρύτερος, βραδύτερος· ὁ εἰς ¯ω¯ν καθαρὸν, οι ον καλλίων, βελτίων· ὁ εἰς ¯σ¯ω¯ν, οι ον κρείσσων, rho.1615 η σσων. σύγκρισις δέ ἐστιν ἡ τῶν πρωτοτύπων ἐπαύξησις, οι ον ὀξὺς, ὀξύτερος. τύποι δὲ τῶν ὑποκοριστικῶν ε ξ· ὁ εἰς ¯ω¯ν δισύλλαβος, οι ον Βάκχων, ὁ Βακχυλίδης· ὁ εἰς ¯ω¯ν παραληγόμενος, οι ον μωρείων, ὁ μωρός· ὁ εἰς ¯α¯ξ, οι ον ῥόδαξ, ὁ ῥόδιος· ὁ εἰς ¯α¯ς, οι ον Ζηνᾶς, ὁ Ζηνόδωρος, καὶ Μητραῖος, ὁ Μητρόδωρος· ὁ εἰς ¯κ¯ο¯ς, οι ον γραμματικός· ὁ εἰς ¯λ¯ο¯ς, οι ον ναυτίλος, ὁ ναύτης. πόσα ὑποπέπτωκε τῷ ὀνόματι; εἰκοσιτέσσαρα. τί καὶ τί; κύριον· προσηγορικόν· ἐπίθετον· πρός τι ε χον· ὡς πρός τι ε χον· ὁμώνυμον· συνώνυμον· διώνυμον· ἐπώνυμον· φερώνυμον· ἐθνικόν· ἐρωτηματικόν· ἀόριστον· ἀναφορικὸν, η καὶ ὁμοιωματικὸν, καὶ δεικτικὸν, καὶ ἀνταποδοτικὸν καλεῖται· περιληπτικόν· ἐπιμεριζόμενον· περιεκτικόν· πεποιημένον· γενικόν· ἰδικόν· τακτικόν· ἀριθμητικόν· μετουσιαστικόν· ἀπολελυμένον. ποίῳ ὀνόματι ὑποπέπτωκε; τῷ γενικῷ καὶ τῷ κοινῷ. καὶ ποῖον λέγεται γενικὸν ἐνταῦθα; τὸ ο νομα. καὶ ποῖα εἰσὶ τὰ αὐτὰ ει δη; τὸ κύριον καὶ τὸ προσηγορικόν. ποσαχῶς τὸ ει δος; διχῶς· κατὰ φωνὴν καὶ κατὰ σημασίαν. ποσαχῶς διαιρεῖται τὸ παράγωγον; πενταχῶς· εἰς πατρωνυμικόν· κτητικόν· συγκριτικόν· ὑπερθετικόν· ὑποκοριστικὸν παρώνυμον καὶ ῥηματικόν. διαθέσεις δὲ τοῦ ὀνόματος εἰσὶ δύο· ἐνέργεια καὶ πάθος. κριτὴς ποίας διαθέσεως; ἐνεργητικῆς. κριτὴς δὲ ὁ κρίνων καὶ ἐνεργῶν. κριτὸς ποίας διαθέσεως; παθητικῆς. κριτὸς γὰρ λέγεται ὁ κρινόμενος καὶ πάσχων. rho.1616 Ῥηξίφλοιον. τὸ ῥῆσσον τὸν φλοιόν. Ῥήσιον. τόπος. Ῥησείδιον. ἡ μικρὰ ῥῆσις. ἀπὸ τοῦ ῥήσεως ῥησείδιον, εἰ δὲ ἀπὸ τοῦ ῥήσιος γέγονε, διὰ τοῦ ι. ὡς λέξις λεξίδιον. (Ῥῆμα.) Ῥηγνύω. τὸ ἐκπέμπω. Ῥήγνυσκεν. ἐκ τοῦ ῥηγνύω, ῥήγνυσκεν. Ῥήσσω. τὸ ῥηγνύω. Ῥητρεύω. ῥητορεύω. (Ἐπίῤῥημα.) Ῥηϊδίως. εὐκόλως, ῥαδίως. Ῥητῶς. σαφῶς,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φανερῶς. ὁ᾿Απόστολος· τὸ δὲ πνεῦμα ῥητῶς λέγει, ο τι ἐν ὑστέροις καιροῖς. καὶ ῥητῶς ἀντὶ τοῦ λεκτῶς. Τὸ Ρ μετὰ τοῦ Ι. (᾿Αρσενικόν.)῾Ριγεδανόσ. ὁ φρικώδης. ῾Ρικνόσ. ὁ διεσχισμένος καὶ διεφθαρμένος. ῥικνοῖς ἐπισκάζουσα πόδεσσι.῾Ρινόσ. τὸ δέρμα. ἀπὸ τοῦ ῥίνη, ο περ ει δος ἰχθύος ἐστίν. η παρὰ τὸ ῥίον, τὸ ἀκρωτήριον. ὁ δὲ Ωρος ὁ Μιλήσιος λέγει, ο τι ῥίνος λέγεται, ο τι δι' αὐτοῦ ῥέουσιν οἱ ἱδρῶτες. ῾Ρινοτόμοσ. ὁ τὰ δέρματα τέμνων.῾Ρινόσιμοσ. τὴν κόμην ἀνάδετος. η τὴν ῥῖνα σιμὸς καὶ πατζός.῾Ρὶψ, ῥιπόσ. τὸ ῥιπίδιον. rho.1617῾Ρίψασπισ. ὁ δειλός. ἀπὸ τοῦ ῥίπτειν τὴν ἀσπίδα.῾Ριψοκίνδυνοσ. ὁ παράβολος· ὁ τολμηρός. (Θηλυκόν.)῾Ρίζα. δι' η ς ῥεῖ τὸ ζῇν α νω τοῖς δένδροις.῾Ρινηλατῶ. τὸ διὰ ῥινὸς ὀσμοῦμαι καὶ διώκω τι, ω σπερ οἱ κύνες τῶν κυνηγῶν ποιοῦσιν. η σκοποῦντες ω δε κἀκεῖσε.῾Ρὶν καὶ ῥίσ. ἡ μύτις. καὶ κλίνεται ῥινός. ὡς δικατάληκτον διὰ τοῦ ¯ι γράφεται· ε δει γὰρ διὰ τῆς ¯ε¯ι διφθόγγου. ἀπὸ τοῦ ῥέω ῥίν· ἐκ γὰρ τῆς ῥινὸς ῥέουσι καὶ κατέρχονται τὰ περιττώματα.῾Ρίπη. πόλις. καὶ῾Ρίπαια ο ρη.῾Ριπή. ὁρμή· φορά· κίνησις. παρὰ τὸ ῥίπτω ῥιπτὴ καὶ ῥιπὴ, ἡ ῥιπτομένη. τίθεται δὲ ἡ λέξις ἐπὶ τοῦ ῥίπτεσθαι τὰς βίας τῶν πνευμάτων.῾Ριπίσ. τὸ ῥιπίδιον. τοῦ θεολόγου· α νεμον ταῖς ῥιπίσι σοφιζομένους. (Οὐδέτερον.)῾Ριγιστόν. φοβερόν. καὶ ῥίγιον, τὸ φρικῶδες η χαλεπόν. ἐκ τοῦ ῥῖγος ῥίγιον. ο θεν καὶ τὸ ¯ρ¯ι μακρόν.῾Ρινή. τὸ ἐργαλεῖον τοῦ χαλκέος. ὁ γὰρ ἰχθὺς βαρύνεται.῾Ρῖγοσ. τὸ ψύχος. ἀπὸ τοῦ φρίσσω φρίγος καὶ ἀποβολῇ τοῦ φ ῥῖγος. ἡ δὲ ἀποβολὴ τοῦ φ rho.1618 ε κτασιν πεποίηκε τοῦ ¯ι. ο θεν καὶ διὰ τοῦ ¯ι γράφεται· οὐδέποτε γὰρ πρὸ τῶν δύο ¯ς¯σ εὑρίσκεται δίφθογγον. καὶ ῥιγίον ἡ νόσος.῾Ρίζαιον. τόπος. καὶ῾Ριζὴν, ο ρος.῾Ρίον. τὸ ἀκρωτήριον, ἐπειδὴ περιῤῥεῖται υ δατι. ι σως δὲ ἐκ τοῦ ἀκρωτηρίου ἐγένετο μείωσις, ι ν' αἱ πρῶται τρεῖς συλλαβαὶ ω σιν ἀφῃρημέναι. η ο ριόν ἐστι, ἀφ' ου ἐστιν ὁρᾷν καὶ σκοπεύεσθαι. (῾Ρῆμα.)῾Ρίγησεν. ἐφοβήθη. ῾Ριζωρυχῶ. ῥιζορυκτῶ δὲ μικρόν.῾Ρινᾷ. ἐξαπατᾷ. τρόπον τινὰ τὴν ε ξιν ῥινᾷ.῾Ριπτάζω. διαῤῥίπτω.῾Ριπίζω. ῥίπτω. (᾿Επίῤῥημα.)῾Ριζιμαίωσ. παρὰ τὴν ῥίζαν.῾Ρίμφα. εὐκόλως η ταχέως. παρὰ τὸ ῥίπτειν ἑαυτὸν διὰ τάχους. ὡς παρὰ τὸ κρύπτω κρύφα, ου τω ῥίπτω ῥίφα καὶ πλεονασμῷ τοῦ ¯μ ῥίμφα.῾Ριψοκινδύνωσ. παραβόλως· τολμηρῶς. Τὸ Ρ μετὰ τοῦ Ο. (᾿Αρσενικόν.)῾Ροΐ. ῥεύματι. ὁ ῥοῦς, τοῦ ῥοὸς, τῷ ῥοΐ. ῥοῒ ποταμοῦ καὶ ῥοῒ θαλάσσης, ¯ι. ῥοῇ δὲ αι ματος καὶ ῥοῇ δακρύων, ¯η. rho.1619῾Ρομβώδησ. ο νομα παρατάξεως. καὶ τὸ πολεμικὸν τῆς νηὸς σίδηρον. (Θηλυκόν.)῾Ρόα καὶ ῥοιά. ἡ ῥοϊδέα. ῾Ρόγα. ....῾Ροδωνία. χώρα.῾Ροδωνιὰ δὲ, τόπος, †ἐν ῳ εἰσιν ῥόδα.† ὡς καὶ κρινωνιά. ῾Ροδοδάκτυλος ἠώσ. ἡ ῥοδόχροος ἡμέρα, ἡ τὰ ε ργα λαμπρὰ δεικνύουσα. ῥοδοδάκτυλος ἠὼς ἐπ' αι αν ἐσκίδνατο.῾Ρόδοσ. ἡ νῆσος. παρὰ τὸ πολὺν ῥοῦν αὐτόθι δονεῖσθαι, πρὶν φανῆναι τὴν νῆσον.῾Ροαί. τὰ ῥεύματα. †ἡ εὐθεῖα ἡ ῥοή· τῆς ῥοῆς· αἱ ῥοαί.†῾Ροπή. ἡ ἀπό τινος ει ς τι μετάκλισις, η ει ς τι μεταβολή. ῥοπή ἐστι καὶ τὸ ἀκαριαῖον τῆς συντομίας καὶ ταχυτῆτος. *῾Ροπὴ καὶ ἡ δύναμισ.*῾Ροπή ἐστιν ἀδιάστατος κίνησισ. (Οὐδέτερον.)῾Ρόδον. παρὰ τὸ ο ζω ο δον καὶ ῥόδον κατὰ ἀντίφρασιν.῾Ροίζημα. η χημα.῾Ροίτιον. ἀκρωτήριον τῆς Τροίας. –῾Ροιτιάδος ε νδοθεν α κρης. rho.1620 ἀπὸ῾Ροιτίας τῆς Πρωτέως θυγατρός. ὁ δὲ Χοιροβοσκός· τὸ῾Ροίτιον διὰ τῆς ¯ε¯ι διφθόγγου γράφεται.῾Ρύτιον δὲ τόπος ἐπὶ Κρήτης· ψιλὸν καὶ ¯ι.῾Ρόθιον. τὸ ῥεῦμα. η τὸ μετὰ ψόφου κῦμα.῾Ρόπαλον. βάκλον η ῥάβδος. παρὰ τὸ ῥέπειν εἰς ε ν μέρος.῾Ροώδη. τὰ ὀστᾶ παρὰ Γαληνῷ καὶ῾Ιπποκράτῃ. (῾Ρῆμα.)῾Ρογχάζειν. παρὰ τὸ ῥοχθεῖν, τὸ ἠχεῖν, παρῆκται, πλεονασμῷ τοῦ ¯γ.῾Ροθῶ. τὸ ἠχῶ.῾Ροίζησεν. η χησεν, ε συρεν.῾Ροιβδῶ. τὸ ῥοφῶ. καὶ ῥοιβδήσω. ἐξ ου καὶ ἀναῤῥοίβδησις.῾Ροχθεῖ. ἠχεῖ, κλύζει. ῥοχθεῖ δὲ μέγα κῦμα–. παρὰ τὸ ῥόθιον ῥοθεῖ, καὶ πλεονασμῷ τοῦ χ ῥοχθεῖ. ἐν α λλοις δὲ τὸ ῥοχθεῖ κῦμα, τὸ πρὸς ξηρὰν ἀντικρούει. ι σως παρὰ τὸ ῥοῦν καὶ τὸν η χον, ῥοηχεῖ καὶ ῥοχθεῖ. η ἀπὸ τοῦ ῥέω ῥοχῶ, ὡς λέχω λοχῶ, καὶ πλεονασμῷ τοῦ θ ῥοχθῶ. (᾿Επίῤῥημα.)῾Ροιζηδόν. σφοδρῶς μετὰ η χου. rho.1621 Τὸ Ρ μετὰ τοῦ Υ. (᾿Αρσενικόν.)῾Ρύακεσ. ὑδρηγοί· ῥεύματα.῾Ρυηφενήσ. ὁ α γαν πλούσιος. παρὰ τὸ ῥῆδην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τὸ α φενος, ο  σημαίνει τὸν πλοῦτον.῾Ρυθμόσ. ἁρμονία, ἀκολουθία, παίδευσις. η ἡ τῆς κινήσεως τάξις. ἀπὸ τοῦ ῥύω ῥύσω, ο νομα ῥυσμὸς, καὶ τροπῇ τοῦ ¯ς εἰς ¯θ ῥυθμός.῾Ρυμόσ. τὸ μεταξὺ κατὰ μῆκος ξύλον τοῦ α ρματος, η γουν τὸ προσηρτυμένον τῷ ζυγῷ ὀρθὸν ξύλον. παρὰ τὸ ἐρύω, ἐρύσω, ἐρυσμὸς, καὶ ἀποβολῇ τοῦ ¯ε καὶ ¯ς ῥῆμα ο νομα ῥυμός.῾Ρυσμόσ. εἰκών· ἰδέα· σχῆμα· θέσις. σχῆμα δέ οἱ᾽Ασίης ῥυσμὸς πέλει–. κῶνος δέ ἐστιν ἀπὸ πλατείας βάσεως εἰς ὀξὺ λήγων.῾Ρύνδαξ. τόπος.῾Ρυσσόσ. ῥυτίδας ε χων. παρὰ τὸν ἐρύσω μέλλοντα. ὁ συνελκυσμὸς τῶν σαρκῶν καὶ τῶν ῥυτίδων. rho.1622῾Ρυτήρ. χαλινὸς, λῶρος. καὶ ὁ ἐλευθερωτής. ἀπὸ τοῦ ῥύω.῾Ρυτόσ. ὁ ῥέων καὶ ὁ ἑλκυστός. ῥυτοῖσι λάεσσι–. ἀπὸ τοῦ ἐρύω, τὸ ἑλκύω. (Θηλυκόν.)῾Ρύμη. ὁρμή. ε στιν ου ν ῥέω καὶ ῥύω, ῥύσω, ῥύμη.῾Ρυμβόνεσ. αἱ εἱλύσεις καὶ κινήσεις εἰς πείρας, οἱονεὶ αἱ κοτυλώδεις καμπαί. καὶ ῥύμβων ἡ τῶν φύλλων ε λιξις. †῾Ρυσσή. ἡ γραῦς.†῾Ρυτίδεσ. τὰ ἐπὶ τοῦ προσώπου τῶν γεγηρακότων ζαρώματα. (Οὐδέτερον.) †῾Ρύγχοσ. τὸ πρόσωπον.†῾Ρύμματα. καθάρματα. καὶ ῥύψις, ἡ κάθαρσις.῾Ρύσια. λύτρα, ἐλευθερίας ἐνέχυρα.῾Ρυπαπαί. ἐπιφώνημα η  μίμημα ψόφου ναυτικοῦ, ἀπὸ τῶν κόπων ἀποτελουμένου. *῾Ρυπτικῶν. καθαρτικῶν.*῾Ρύτιον. τόπος ἐπὶ Κρήτης.῾Ρυτά. τὰ τόξα. καὶ τὰ ῥέοντα. rho.1623 (῾Ρῆμα.)῾Ρύεται. φυλάττεται, σκέπει, ἐλευθεροῖ. ῾Ρυήσονται. φθαρήσονται. ἡ δὲ χεὶρ ῥυήτω.῾Ρυῇ. ἀντὶ τοῦ ῥεύσει.῾Ρυθμίζει. κανονίζει, παιδεύει.῾Ρυμοτομεῖται. εἰς ὀρθὸν κόπτεται.῾Ρυστάζειν. τὸ μετὰ βίας ε λκειν. καὶ ῥυστάζω. παρὰ τὸ ἐρύω, ἐρυτὶς καὶ ῥυτὶς, ἡ συνελκυσμένη σάρξ. ῥυτός ἐστι τὸ θηλυκὸν καὶ τὸ οὐδέτερον ῥυτὸν καὶ τὸ παρώνυμον ῥυτίς.῾Ρύψωμεν. σμήξωμεν, καθάρωμεν. καὶ ῥύπτω τὸ καθαίρω. (᾽Επίῤῥημα.)῾Ρυδὸν καὶ ῥύδην. ἀντὶ τοῦ χύδην. ῥυδὸν ἀφνειοῖο ἀντὶ τοῦ α γαν πλουσίου. ἀπὸ τοῦ περιῤῥεῖν τὸν πλοῦτον.῾Ρυππαπαί. ἐπιφώνημα ναυτικόν. Τὸ Ρ μετὰ τοῦ Ω. (᾽Αρσενικόν.)῾Ρωγαλέοσ. διεσχισμένος. παρὰ τὸ ῥήσσω. ὡς καὶ τό· κατέῤῥωγε τὰ ἱμάτια.῾Ρωγοί. ε θνος. rho.1624῾Ρῶμος,῾Ρωμύλοσ. κύρια. καὶ ῾Ρῶμις, ῾Ρώμιδος κύριον. ῾Ρωμαλέοσ. ἰσχυρὸς, ἀνδρεῖος. ῾Ρώξ. ει δος σκορπίου. καὶ κλίνεται ῥωγός. η  ζῶον μικρὸν ῥαγὶ σταφυλῆς ο μοιον· περιφερὲς γάρ ἐστιν, ὡς οἱ ἑωρακότες μοι ει πον.῾Ρώξ. τὸ σχίσμα. καὶ ἀποῤῥῶγες.῾Ρωπόῤῥηξ. ὁ τὸν κοῦσπον ῥηγνύων.῾Ρωποπώλησ. ὁ μυρεψός. ῥῶπες γὰρ υ λη καὶ ὑλώδη φυτά· η  θάμνος καὶ σύμφυτος τόπος· η  μίγματα καὶ χρώματα, ο σα ζωγράφοις καὶ βαφεῦσι καὶ μυρεψοῖς χρησιμεύουσι. η  ῥώψ ἐστι βοτάνη ἁπαλή. παρὰ τὸ ῥέψω, ῥὲψ, καὶ τροπῇ τοῦ ¯ε εἰς ¯ω ῥώψ. ὡς βλέπω, βλέψω, βλὲψ καὶ βλώψ· καὶ τὸ παραβλῶπες. – ῥῶπας δ' ὑπέχευε δασείας. καὶ ῥωπογράφους, τοὺς τὰ τοιαῦτα διαγράφοντας. καὶ τὸν κοῦφον φόρτον ῥῶπον λέγουσιν. ο θεν καὶ ῥώπια τὰ οὐ στερέμνια.῾Ρωστήρ. ὁ ἐν δυνάμει ὑγιής. ἀπὸ τοῦ ῥῶσις.῾Ρωχμόσ. τόπος κεχαραγμένος ὑπὸ ὀμβρίων ὑδάτων. σημαίνει δὲ ῥῆξιν. παρὰ τὸ ῥήσσω ῥηχμὸς καὶ μεταθέσει τοῦ ¯γ εἰς ¯χ καὶ τοῦ ¯η εἰς ¯ω μέγα ῥωχμός. rho.1625 †῾Ρώξ. ει δος σκορπίου. παρὰ τὸ ῥῶ, τὸ φθείρω.† (Θηλυκόν.)῾Ρωγὰς, ῥωγάδοσ. ἡ διεσχισμένη πέτρα. παρὰ τὸ ῥήσσω ῥηγὸς καὶ ῥωγάς. ῾Ρωμαλεότητι. ἰσχυρότητι, ἀνδρειότητι. ῥωμαλεότητι τοῦ κρείττονος.῾Ρώμη. ἡ ἰσχὺς, ἡ ὑγεία. καὶ πόλις. ἐπὶ μὲν τῆς ὑγείας, παρὰ τὸ ῥῶ, ου ὁ μέλλων ῥώσω, ὁ παθητικὸς ε ῤῥωμαι, ῥῆμα ο νομα ῥώμη. ὡς γνώσω γνώμη. ἐπὶ δὲ τῆς πόλεως, ἀπὸ῾Ρώμου καὶ ῾Ρωμύλου τῶν Αἰνείου παίδων.῾Ρωζάνη. κύριον.῾Ρῶσις. ἡ ὑγεία. rho.1626῾Ρωσόσ. πόλις.῾Ρώσ. ἡ ῥωσία. (Οὐδέτερον.)῾Ρωπήϊα καὶ ῥωπάκια. οἱ θάμνοι. καὶ ῥώπια, τὰ οὐ στερέμνια.῾Ρῶ. τὸ στοιχεῖον. παρὰ τὸ ῥέω· ὑγρὰ γάρ ἐστι καὶ εὐμάλακτα, καὶ ὡσεὶ ε λαιον ῥεῖ, ἐν τοῖς μέτροις ἀμετάβολα. (῾Ρῆμα.)῾Ρῶ. τὸ λέγω. ἐξ ου  καὶ ῥῆσις, ὁ λόγος.῾Ρώννυσιν. ἐνδυναμοῖ.῾Ρωποῤῥυκτεῖν. ῥηγνύειν τὸν ῥῶπον καὶ τὸν κοῦσπον. sigma.1625 Σ. Τὸ Σ μετὰ τοῦ Α. (᾽Αρσενικόν.) Σαβάδιοσ. ἐπώνυμον τοῦ Διονύσου. καὶ σαβοὶ, ἐπίφθεγμα βακχικόν. Σάγαρισ. ποταμὸς Φρυγίας. ἀπὸ Σαγάρου τοῦ υἱοῦ Μήδου. ου τως  Ωρος ὁ Μιλήσιος. Σαγγάριοσ. ποταμὸς Φρυγίας, ο τι Σάγγαν τινὰ ἀσεβηθέντα εἰς τὴν῾Ρέαν μετέβαλεν εἰς τοῦτο τὸ υ δωρ, καὶ ἀπὸ τούτου τὸν τόπον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κληθῆναι. ου τω φλυαροκοποῦσιν οἱ α φρονες Ελληνες. Σαβελλιανοί. ἀπὸ Σαβελλίου. ου τοι τριώνυμον ε λεγον μίαν ὑπόστασιν ἐν θεότητι, τὸν αὐτὸν ει ναι πατέρα καὶ υἱὸν καὶ πνεῦμα δογματίσαντες οἱ παράφρονες, συναναιροῦντες τὰς τρεῖς sigma.1626 ὑποστάσεις, ο ἐστι συγχέοντες, ε ν πρόσωπον λέγοντες τὰ τρία. Σαβά. Αἰθιοπικὸν ε θνος. Σαδδουκαῖοι. αι ρεσις ᾿Ιουδαίων. λέγουσι μὴ ει ναι ἀνάστασιν, μήτε α γγελον, μήτε πνεῦμα. παχύτεροι γὰρ ου τοι καὶ περὶ τὰ σωματικὰ ἐπτοημένοι. Σαδδουκαῖοι δὲ ἑρμηνεύονται δίκαιοι. σέδεκ γὰρ ἡ δικαιοσύνη. Σακεσφόροι. ὁπλοφόροι, ἀσπιδοφόροι. ἀπὸ τοῦ σάκος, ο ἐστιν ἀσπίς. †τὸ δὲ σάκος, ἀπὸ Σάκων, τῶν πρῶτον εὑρόντων. η ἀπὸ τοῦ σάγων· σάγος καὶ σάκος.† Σακέσπαλοσ. πολεμικός. ἀπὸ τοῦ πάλλειν καὶ κινεῖν τὴν ἀσπίδα. sigma.1627 †Σαλάγγων. ο νομα ποταμοῦ.† Σάλοσ. ὁ κλύδων. ἡ τῶν κυμάτων κίνησις. Σάνδυξ. χρῶμα κόκκινον. Σακερδῶσ. κύριον. *καὶ κλίνεται σακερδῶτος.* σακέρδιος δὲ ὁ ἱερεὺς, ῥωμαϊστί. ὁ τὰ σάκρα ε ρδων. σάκρον δέ ἐστι τὸ δημοσίᾳ ἀφιερωθέν. Σαπρὸς καὶ σαπρία, ὁ ἀφανισμόσ. ἀπὸ τοῦ σήπω, ὡς λέπω λεπρός. Σάρβηλοσ. κύριον. †Σαρδιαίων. ἐθνικόν.† Σαρδόνιος γέλωσ. ὁ καθ' ὑπόκρισιν. καὶ σάρδιον, βοτάνη δηλητήριος, η τις α παν τὸ σῶμα τοῦ φαγόντος αὐτὴν σπασμῷ ὑποβάλλει, ὡς καὶ τῶν χειλέων συσταλέντων τοὺς ὀδόντας γυμνοῦσθαι καὶ γέλωτος φαντασίαν παρέχειν τοῖς ὁρῶσιν. ε νιοι δὲ ἐφύβριον ὀνομάζουσι τὸν σαρδόνιον γέλωτα. ε στι δὲ καὶ λίθος ου τω καλούμενος. †Σάτυροι καὶ Βάκχαι. τὰ ἐν ἀνθρώποις αἰσχρὰ καὶ ἀκόλαστα πάθη.† Σάτυροσ. χορευτὴς τοῦ Διονύσου. παρὰ τὸ σάθη σάθυρος καὶ σάτυρος. ὡς α λμη ἁλμυρός. κατωφερὲς γάρ ἐστι τὸ γένος τῶν Σατύρων. καὶ σάτυρος ζῶον. sigma.1628 Σατράπησ. βασιλεὺς, η α ρχων, η στρατηγός. Σαυρωτήρ. ο που ἐμπήγνυται τὸ σίδηρον τοῦ δόρατος. παρὰ τὸ σταυροῦσθαι καὶ ὀρθοῦσθαι ἐπ' αὐτῷ τὸ δόρυ, σταυρωτὴρ τὶς ω ν, καὶ ἀποβολῇ τοῦ ¯τ σαυρωτήρ. Σαρκικόσ. ὁ πνεύματος καὶ ψυχῆς πάντη που ἀμελῶν. Σακερδῶσ. κύριον. καὶ σακερδὼ, ὁ αι λουρος. Σαβαώθ. κύριος δυνάμεων, στρατιῶν.῾Ησαΐας· εἰ μὴ κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα. Σατᾶν. ὁ ἀντικείμενος τῇ ῾Εβραίων φωνῇ. (Θηλυκόν.) Σάγη. †τὸ σάγμα,† περιβόλαιον, σκέπη. Σαγήνη. τὸ δίκτυον. σαγίνη δὲ, τὸ ο πλον, ¯ι. Σάϊσ. πόλις. καὶ κλίνεται Σάεως. Σαῖνα. †τὸ αἰδοῖον.† ἡ μοῖρα. Σαῖποσ. ἡ ἁλιευτικὴ ἐλαία. Σάλπιγξ. παρὰ τὸ σαλπίζω. τοῦτο παρὰ τὸ ε πω, τὸ λέγω, ε ψω, ε ψ, ὀπὴ, ὀπίζω, καὶ μετὰ τοῦ σέλας, ο σημαίνει τὴν λαμπηδόνα, σελαπίζω, καὶ σάλπιγξ. Σαλαμβάδεσ. αἱ θυρίδες, αἱ ἀεὶ ἐν σάλῳ ου σαι. η παρὰ τὸ δι' αὐτῶν εἰσβαίνειν τὸ φῶς. Σαμβύκη. ει δος ὀργάνου. sigma.1629 Σαλαμίσ. ο νομα πόλεως. ἀπὸ Σαλαμῖνος τινὸς ᾿Ασωποῦ θυγατρός. Σαμάρεια. ἀπὸ τοῦ σήματος τοῦ Αρεως, ο τι ἐν αὐτῷ Αρης Ασκαλάφῳ τῷ υἱῷ τύμβον ε χευε, ἐν ῳ καὶ ἐπίγραψεν ου τως· Σῆμ' Αρεως ε τοιμον βεβοημένον ῾Ελλάδι φήμη ..ου νεκ' Αρης τέκνον ε χωσε πόλιν. *Σαβέτ. ἐστὶν ἡ ἀνάπαυσις. ἐξ ου τὸ σάββατον.* Σανίσ. τὸ ἐπίμηκες ξύλον. οἱονεὶ τετανὶς, παρὰ τὸ τετάσθαι. Σαπφώ. παρὰ τὸ σαφής. η παρὰ τὸ σάφω Σαφὼ, ὡς καλύψω Καλυψὼ, κλώθω Κλωθὼ, καὶ πλεονασμῷ τοῦ π Σαπφώ. η παρὰ τὸ σαφῶ, τὸ σαφηνίζω. Σαργάνη. σχοινίον. ε στι δὲ καὶ ει δος σπυρίδος. παρὰ τὸ σάγος σαγάνη καὶ πλεονασμῷ τοῦ ¯ρ σαργάνη. Σάρισσα. ει δος ο πλου. Σαρωνὶς καὶ Σαρωνικὸν πέλαγος, ἐπειδὴ Σάρων τὶς κυνηγὸς ἐπιδιώκων ἐκεῖσε κατεκρημνίσθη εἰς θάλασσαν. Σάρξ. αι μα πεπηγὸς ἀπὸ φύσεως. η στοιχείων συνδρομή. σάρξ ἐστιν οὐσία ῥευστὴ ἐξ αι ματος καὶ φλέγματος καὶ χυμοῦ καὶ χολῆς συνισταsigma.1630 μένη, η γουν ἐξ ἀέρος καὶ γῆς καὶ πυρὸς καὶ υ δατος, τουτέστιν ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ, ὑγροῦ. ὁ η λιος τὸ θερμὸν καὶ ζωτικόν· ὁ ἀὴρ τὸ ψυχρόν· ἡ γῆ τὸ ξηρόν· τὸ υ δωρ τὸ ὑγρόν. σύρκα λέγουσιν οἱ Αἰολεῖς τὴν σάρκα, διὰ τὸ σύρεσθαι ἀπ' αὐτῆς τὸ δέρμα. Σαρκὸς ἀπόθεσις. ἡ σαρκικὴ ἡδονή. Σάρδισ. πόλις. ὡς παρὰ τὸ ο φιες καὶ πόλιες κράσει τοῦ ¯ε καὶ ¯ι εἰς ¯ι μακρὸν γίνεται αἱ πόλις καὶ οἱ ο φις, ου τω καὶ παρὰ τὸ Σάρδιες γίνεται Σάρδις, καὶ οἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολῖται καὶ ἡ πόλις. τί ου ν; οἱ πολῖται Σάρδις λέγονται καὶ οὐ Σαρδινοί; πῶς ου ν καὶ οἱ πολῖται καὶ ἡ πόλις Σάρδις λέγεται; οὐχ ἡ πόλις καὶ οἱ πολῖται Σάρδις λέγονται, ἀλλ' ο τι ἀμφότερα διὰ τοῦ ¯ι γράφεται, καὶ Σάρδις καὶ Σαρδινοί. καὶ Σάρδεις, τὸ ¯δ¯ε¯ι¯ς δίφθογγον, ὡς καὶ αἱ πόλεις. Σατραπεία. ἀξίωμά τι. Σαλώμη. κύριον. ἑρμηνεύεται δὲ εἰρήνη. τοῦτο δὲ ει η ψυχὴ νικήσασα τὰ πάθη καὶ ἀποβαλοῦσα, καὶ εἰρήνην τελείαν ἀπ' αὐτῶν α γουσα. καὶ ὁ θεολόγος· κᾳ ν ἡ α λλη Μαρία κᾳ ν Σαλώμη. (Οὐδέτερον.) Σαβέκ. χρυσολάχανον. Σαΐτιν. μέτρον τὶ οι νου. sigma.1631 Σάκεα. αἱ ἀσπίδες. σάκαια δὲ ἑορτὴ, δίφθογγον. Σάκρον καὶ σάκρα παρὰ Ῥωμαίοις, τὰ ἱερὰ πράγματα. η σάκρον ἐστὶ τὸ δημοσίᾳ ἀφιερωθέν. Σάμνιον. τόπος. Σαπώριον. τόπος. Σαραπεῖον. τὸ τοῦ Σαράπιδος ἱερόν. Σαράβαρον. ἐσθὴς Περσική. α λλος ἑρμηνεύει τὸ σάτον, τὸ λεγόμενον χοίνικα η δεκάλιτρον. ε νιοι δὲ τὸ βρακίον λέγουσι. Σαρδόνιον πέλαγοσ. Σάτον. μόδιος· κούμουλος. ( Ῥῆμα.) Σαγηνεύει. περιλαμβάνει. ἀγρεύει. Σαίρει. φιλοκαλεῖ· κοσμεῖ. Σάξαι. ἐπιφορτίσαι· στρῶσαι. Σαρκάζειν. μετὰ πικρίας καὶ θυμοῦ γελᾷν. Σαρισσοφοροῦσιν. ἀπὸ τοῦ σαρίσσης ἀκοντίου. †Σαρούμενοσ. σπαραττόμενος. ου τως Λυκόφρων.† Σαλαΐζω. θρηνῶ. Σαλπίζειν. ε θος η ν τοῖς Ἰουδαίοις διὰ σαλπίγγων ἐπὶ τὸ αὐτὸ τοὺς ἐνδεεῖς ἀθροίζειν, ἡνίκα sigma.1632 διανέμειν τὶ εἰς αὐτοὺς ἐβούλοντο. ου τως ὁ α γιος Κύριλλος. Σαφηνίζω. ἑρμηνεύω. καὶ σαφήσας καὶ σαφηνίσας. Σάττω. φορτίζω. Σαώζει. ἀντὶ τοῦ σώζει. Σαίνω. †τὸ κινῶ.† τὸ θέλγω. καὶ παρὰ τῷ Ἀποστόλῳ σαίνεσθαι, τὸ οι ον θορυβεῖσθαι καὶ ταράττεσθαι. εἰς τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. ( Ἐπίῤῥημα.) Σαφῶσ. φανερῶς· εὐκόλως· ἀληθῶς. Τὸ Σ μετὰ τοῦ Ε. (Ἀρσενικόν.) Σέασ. σκώληκας. οὐχ ευ ρηται ἡ εὐθεῖα ἐν χρήσει, ἀλλ' αἱ πλάγιαι. παρὰ Ἀριστοφάνει· ὑπὸ τῶν σέων καμπτόμενος. ἡ εὐθεῖα τῶν πληθυντικῶν, σέας, σεῖς. †Σέβεροσ. ὁ εὐσεβής· ὁ δίκαιος.† Σεβοείμ. κύριον. Σεβαστεινόσ. τοπικόν. καὶ Σεβαστειηνὸς, κύριον, διὰ διφθόγγου καὶ ¯η. sigma.1633 Σέθεν. ἀντὶ τοῦ σοῦ. καὶ σέο ἀντὶ τοῦ σοῦ. ποιητικῶς. Σείριοσ. ο νομα ἀστέρος. η ὁ η λιος. Σήριος δὲ κύριον, ¯η. σείριος δὲ παρὰ τὸ ει ρω, τὸ λέγω. γίνεται ει ριος καὶ σείριος. λέγει γὰρ καὶ μηνύει ἡμῖν τὸν καιρὸν τοῦ θέρους. †Σειρομάστησ. ἡ λόγχη.† Σειρομάστησ. ὁ λῶρος, η ει δος ἀκοντίου. Σείραιοσ. οι νος ὁ ἐκ γλεύκους ἑψημένος η γλυκύς. Σεισμόσ. κίνησις γῆς ὑπὸ πνεύματος ε νδον ἀπολειφθέντος καὶ βιαίως ῥυθέντος διὰ τὸ κωλυθῆναι περὶ τὰ κοῖλα. σισμὸς δὲ, ὁ βρασμὸς καὶ η χος, ¯ι. ἀπὸ τοῦ σίζω, τὸ ἠχῶ. Σειληνόσ. ὁ Διόνυσος. παρὰ τὸ σείεσθαι ἐν τῷ ληνῷ. Σειλινὸς δὲ, ὁ γέρων, καὶ Σειλινοὶ, οἱ sigma.1634 τῶν Σατύρων γέροντες. παρὰ τὸ σεσηρέναι καὶ χαίρειν. γίνεται σέρινος καὶ μεταθέσει τοῦ ¯ρ καὶ πλεονασμῷ τοῦ ¯ι Σειλινός. η παρὰ τὸ σείεσθαι λίαν Σειλινὸς, ὁ γέρων. Σελαγισμόσ. ἡ φρυκτωρία, ἡ λαμπηδών. παρὰ τὸ σέλας. †Σελασμόσ. ἡ ἀλαζονεία.† Σεμνόσ. ε ντιμος· ἐνάρετος· μέγας· ε νδοξος. παρὰ τὸ σέβω σεμνὸς, ὁ σεβασμοῦ α ξιος. Σεννάτωρ. ὁ τῶν Ῥωμαίων ἡγεμών. καὶ κλίνεται σεννάτωρος. Σέῤῥιφοσ. ὁ ἐπτερωμένος μύρμηξ. καὶ ὁ η λιος. Σεραφείμ. δυνάμεις α γιαι δοξολογικαὶ κυρίου. ἐπὶ μὲν ἑνικοῦ δίφθογγον, ἐπὶ δὲ πληθυντικοῦ ι. †Σεύετοσ. ὁ κοχλίας.† sigma.1635 Σείριοσ. ὁ *κυνόαστρος. γράφεται καὶ* κύναστρος. †Σέβαλα. ἡ ε κπληξις.† (Θηλυκόν.) *Σελευκίσ. ο ρνεον ε νυδρον.* Σέϊσ. πόλις. καὶ κλίνεται Σέως. Σειουντία. χώρα. Σειρικία. κύριον. Σειρά. α λυσις. παρὰ τὸ ει ρω, τὸ συμπλέκω. γίνεται εἰρὰ, καὶ πλεονασμῷ τοῦ ς σειρά. Σεισάχθεια. τὸ βάρος. παρὰ τὸ ἀποσείεσθαι τὸ α χθος. σημαίνει δὲ καὶ τὸ χρέος. Σελάγησισ. ἡ λαμπηδών. †Σελάπυροσ. ἡ λαμπρότης.† †Σελασία. ἡ Αρτεμις. παρὰ Λάκωσι.† Σελήνη. τὸ φέγγος. η τις μετὰ τῶν ἀστέρων ἐτάχθη φωτίζειν τὴν νύκτα, οὐχ ὡς τῇ ἡμέρᾳ πάντοτε ὑπὸ γῆν ο ντες· εἰσὶ γὰρ καὶ ἐν ἡμέρᾳ ἀστέρες ἐν τῷ οὐρανῷ ὑπὲρ γῆν· ἀλλ' ὁ η λιος τούτους α μα καὶ τὴν σελήνην τῇ φαιδροτέρᾳ αι γλῃ ἀποκρύπτων οὐκ ἐᾷ φαίνεσθαι. τοῖς φωστῆρσιν ου ν τούτοις τὸ πρωτόκτιστον φῶς ὁ δημιουργὸς ἐναπέθετο, οὐχ ὡς ἀπορῶν α λλου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φωsigma.1636 τὸς, ἀλλ' ι να μὴ ἐκεῖνο ἀργὸν μείνῃ τὸ φῶς σελήνη παρὰ τὸ σέλας ἀεὶ νέον ε χειν, ο θεν καὶ ε νος ὁ ἐνιαυτός· σέλας δὲ παρὰ τὸ σαλεύεσθαι τῇ πνοῇ. Σελίσ. πτυχίον. η καταβατὸν βιβλίου. Σέλγη. πόλις. Σέληρα. νῆσος. Σεμεχωνίτησ. λίμνη. Σεμίδαλισ. παρὰ τὸ σμῶ, τὸ καθαίρω, καὶ τὸ α λις, ἡ α λις σμωμένη. τὸ πάνυ σμῆμα, οἱονεὶ τὸ λεπτομερέστατον. ου τως Ωρος ὁ Μιλήσιος. Σεννώ. πόλις. †Σέρισ. τὸ σέλινον. καὶ κλίνεται σέρεως.† (Οὐδέτερον.) Σείριον. καυστικόν. ἀπὸ τοῦ σείριος. η ἀπὸ τοῦ σειραίνω, τὸ ξηραίνω. Σειρήνια μέλη. γλυκύτατα. Σεῖστρον. παίγνιον. καὶ σεῖστρος, ει δος βοτάνης. *Σέλινα. βοτάνη ευ οσμος.* Σέκτον. τὸ α θροισμα τῶν πλουσίων. Σέλασ. λαμπηδών. παρὰ τὸ σαλεύεσθαι τῇ πνοῇ. sigma.1637 Σελμών. ο ρος. ἑρμηνεύεται ἀνταπόδοσις. ε στι δὲ φωνὴ Ἑβραϊκή. Σεμνεῖον. τὸ μοναστήριον. Σεμιράμεια τείχη. διφθόγγιζε. Σεπτόν. α γιον, ε ντιμον. παρὰ τὸ σέβω. (῾Ρῆμα.) Σεβασμιάζειν. εὐσεβεῖν. Σειραίνω. τὸ ξηραίνω. παρὰ τὸν σείριον τὸν ἀστέρα. Σειράζω. α λυσιν ε λκω. Σείω. ε στι σῶ ῥῆμα, καὶ ἐξ αὐτοῦ σέω καὶ σείω. καὶ ἐκ τοῦ σῶ †γίνεται καὶ τὸ† σήθω, τὸ κοσκινίζω. †Σελάσκω. λάμπω.† Σεμνυνόμενοσ. κομπάζων, μέγα φρονῶν. Σεσηρότα. κεχηνότα· χαίροντα· γελῶντα· παίζοντα. Σεύω. τὸ ὁρμῶ καὶ τὸ διώκω. παρὰ τὸ σῶ, σεύω. Τὸ Σ μετὰ τοῦ Η. (᾿Αρσενικόν.) Σηγώρ. πόλις καὶ ο ρος. Σῆθος καὶ σηθιανόσ. κύρια. †Σῆθοσ. ο νομα ποταμοῦ Σκυθίας.† sigma.1638 Σηκόσ. ὁ ναὸς, καὶ ἡ τῶν προβάτων ε παυλις. στηκός τίς ἐστι, καὶ γὰρ σταθμός ἐστιν. ἀπὸ τοῦ ι στασθαι ἐν αὐτῷ τὰ ἀγάλματα. Σηκοκόροσ. ὁ τοῦ ναοῦ ἐπιμελούμενος. Σηκουάνοι καὶ Σηκολάκιοι. ε θνη. Σηλώμ. κύριον καὶ ο ρος. †Σήμαιθοσ. ο νομα ποταμοῦ.† Σημάντοροσ. ἡνιόχου. Σῆπεσ. οἱ σκώληκες. ἡ εὐθεῖα ὁ σὴψ, τοῦ σηπός. Σῆρεσ. οἱ σκώληκες. Σήρ. ὁ σκώληξ. καὶ κλίνεται σηρός. καὶ σηρικὰ ἱμάτια, τὰ μεταξωτά. Σήριοσ. κύριον. Σήραγγεσ. κοιλώδεις τόποι, η λάκκοι, η τὰ χάσματα τῆς γῆς. ὁ σήραγξ, τοῦ σήραγγος. Σήσ. ὁ σκώληξ. καὶ κλίνεται σητός. Σητάνειοσ. ὁ καθαρὸς α ρτος. Σηών. κύριον. ο ς η ν βασιλεὺς τῶν᾿Αμοῤῥαίων, πλούτῳ καὶ στρατοπέδῳ περιβόητος. μονόκλιτόν ἐστι. (Θηλυκόν.) Σήκονισ. χώρα. Σηκυία. τὸ σηκυιαστήριον. Σηλυβρία. πόλις. ἀπὸ Σήλυος τοῦ Θρᾳκός. Σημασία. δήλωσις καὶ φανέρωσις. sigma.1639 Σημαία. τὸ φλάμουλον. Σηστόσ. πόλις. Σήσαμοσ. τόπος. Σητήνη. τόπος. Σῆται. ο νομα χώρας. Σήτη καὶ Σηταία. κύριον. Σηπία. ει δος ἰχθύος. Σιππία δὲ, τόπος, ι. Σήφη. πόλις. (Οὐδέτερον.) Σήγιστρον. τὸ τῶν ἀλόγων σκέπασμα. Σήμαντρα. αἱ σφραγίδες. Σημεῖον. συμβόλαιον τὴν ἀναφορὰν ἡμῖν ποιοῦν πρὸς ἐκεῖνο, ου ἐστι τὸ σημεῖον. ὡς τὸ, κονιορτὸς ἐφάνη, ε ρχονται οἱ πολέμιοι. η σημεῖον τὸ οὐκ ε ξω τῆς φύσεως ο ν. οι ον τὸ ἰάσασθαι α ῤῥωστον καὶ τὰ τοιαῦτα. η ου μέρος οὐδέν. καὶ σημεῖον τὸ κέντρον. Σῆμα. τὸ σημεῖον καὶ ὁ τάφος. Σηρηνίου. τοῦ κιβωτίου. Σησάμιον καὶ σησαμοῦντα. τὰ ψαιστά. Σησαμούντεια τείχη. Σήταιον. τόπος. Σηταῖον. σεσημμένον. sigma.1640 (῾Ρῆμα.) Σήθω. τὸ κοσκινίζω. Σημαίνω. προστάσσω. δεικνύω. Σητώμενοσ. ..... Σήκαθεν. ὡς εἰς σηκὸν κατεκλείσθησαν. Τὸ Σ μετὰ τοῦ Θ. Σθεναρόσ. ἰσχυρός. παρὰ τὸ σθένος, ο σημαίνει τὴν δύναμιν. τὸ δὲ σθένος παρὰ τὸ ι στημι, στήσω. στένος καὶ σθένος. Τὸ Σ μετὰ τοῦ Ι. (᾿Αρσενικόν.) Σιβύλλειος λόγοσ. ὁ τῆς Σιβύλλης. Σιγαλόεισ. λαμπρὸς, πεποικιλμένος. καὶ σιγαλόεντα. παρὰ τὸ στίζω, στιγαλόεντα, καὶ σιγαλόεντα ἀποβολῇ τοῦ ταῦ. *Σίντοσ. ὁ κάκιστος διάβολος, ὁ ἐμφωλεύων ἐν τοῖς υ δασι.* Σιγηλόσ. ὁ σιωπηλός. Σίαλος καὶ πτύαλος διαφέρει. ὁ μὲν γὰρ σίαλος αὐτομόλως ῥεῖ, ὁ δὲ πτύαλος τὸ ἀποπτυόμεsigma.1641 νον κατὰ προαίρεσιν διὰ τὴν τῶν χειλέων ἐπίπτηξιν. ε στι καὶ σίαλος ὁ εὐτραφὴς σῦς. παρὰ τὸ α λις σεσιτεῦσθαι, η παρὰ τὸ ἀφρὸν προΐεσθαι, ο ν λέγουσι σίαλον. καὶ σίαλος τὸ πτύσμα. †Σίζε. ἐπίφθεγμα ἐπὶ κυνηγετῶν.† †Σίκερα. πᾶν τὸ περὶ τὸν οι νον μέθυσμα. κυρίως τὸ ἐκ φοινίκων κατεσκευασμένον.† †Σιλόσ. ὁ μωρός.† †Σίμβλοσ. ἡ τροφὴ τῶν μελισσῶν.† †Σινάμορον. πορνικόν. καὶ σινάμορος, ὁ κακόσχολος. καὶ σιναμορουμένη ἀντὶ τοῦ γαμουμένη.† Σίδειοσ. ὁ τῆς σίδης


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καρπός. σίδη δὲ ὁ τῆς ῥοιᾶς φλοιός. sigma.1642 Σιδήτησ. ὁ ἀπὸ Σίδης πόλεως. *ε στι δὲ αυ τη μία τῶν κατὰ τὴν Παμφυλίαν πόλεων μητρόπολις.* Σίκλοσ. οἱ τέσσαρες ὀβολοί. Σίκιννισ. κύριον. καὶ ει δος ὀρχήσεως. Σικανοί. οἱ Σικελοί. ἀπὸ ἡγεμόνος Σικανοῦ. Σιλωάμ. ἑρμηνεύεται ἀπεσταλμένος. Σίλουροσ. ἰχθύς. Σιληνόσ. ὁ μωρός. καὶ σίλλος. Σίλαροσ. ποταμός. Σιμόσ. παρὰ τὸ σίγμα σιγμός· καὶ γὰρ τοῦ σιμοῦ ἡ ῥὶς δοκεῖ τοῦ ¯ς τὸν τύπον μιμεῖσθαι. τὸ δὲ σίγμα διὰ τοῦ ¯ι γράφεται, ἐπειδὴ τὰ εἰς ¯α λήγοντα ὀνόματα τῶν στοιχείων ἑνὶ φωνήεντι sigma.1643 θέλει παραλήγεσθαι. ¯α. ¯β. ¯γ. ¯δ. ¯ε. καὶ σιμότης ἡ ἐν ῥινὶ κοίλανσις. Σίμων. κύριον. ἑρμηνεύεται ὑπακοή. α ν Σίμων η ς Κυρηναῖος. Σιμόεισ. ποταμός. Σίπαλοσ. ὁ ευ μορφος. Σιρόσ. ὁ λάκκος. η βαθύτατον ο ρυγμα. Σισίννιοσ. κύριον.᾽Αῤῥιανὸς δὲ καὶ᾽ Αππιανὸς, ὁ Σισίννης, τοῦ Σισίννου. Σιτησμόσ. ἡ διατροφή. ἐπισιτισμὸς δὲ, ι. Σιφλόσ. τυφλός· ἀσθενής· ἐπίψογος· μωμητός. σιφλὸς δὲ κυρίως ὁ σεσινωμένος τοὺς ι λλους, καταχρηστικῶς δὲ καὶ ἐπὶ α λλου μέρους τοῦ σώματος, πλεονασμῷ τοῦ ¯φ. †Σιφνεύσ. ὁ ἀσπάλαξ.† Σίφων. παρὰ τὸ σίζω, τὸ η χον ἀποτελῶ. Σιχθοί. οἱ σαθροί. Σικυιόσ. ὁ πέπων. τοῦ Ψελλοῦ· ὁ πέπων δέ γε σικυιὸς, ὁ δὲ βρυτὸς πόμα τι. sigma.1644 (Θηλυκόν.) Σιαγόνεσ. ο τι σείονται περιαγόμεναι. η παρὰ τὸ σιγᾷν. ἐν αι ς ἐστι σιγᾷν καὶ λέγειν ἀνοιγομέναις. η παρὰ τὸ τὰ σῖτα α γνυσθαι δι' αὐτῶν. Σιγύνη. ἡ μικρὰ ἀσπίς. Σιδηρᾶν ὡς ἀργυρᾶν περισπῶμεν. Σικύνη, Σίκινις καὶ Σική. ὀνόματα πόλεων. Σικουΐα. χώρα. Σικανία. ἡ Σικελία. Σιλουντία. χώρα. Σίλφη. ὁ σκώληξ. Σιμαί. αἱ μέλισσαι. Σιμότησ. κοίλανσις ἐν ῥινί. †Σίννισ. ο ρνεον ἁρπακτικόν.† Σινώπη. πόλις. ἀπὸ Σινώπης τῆς᾽ Ασώπου θυγατρός. ὁ δὲ Ανδρων φησὶ, μίαν τῶν᾽ Αμαζόνων φυγοῦσαν εἰς πόντον παρὰ τοῦ βασιλέως τοῦ τόπου, πίνουσάν τε πλεῖστον οι νον προσαγορευθῆναι Σινώπην. μεταφραζόμενον δὲ τοῦτο σημαίνει τὴν πολλὰ πίνουσαν. sigma.1645 *Σίντη. βλαπτική.* Σιπύη. τὸ κανίσκιον. η ἡ ἀρτοθήκη. Καλλίμαχος· ἐκ δ' α ρτους σιπύηθεν α λις κατέθηκεν ἑλοῦσα. ει ρηται οἱονεὶ σιτοΰνη τὶς ου σα διὰ τὸ ἐν αὐτῇ τὰ σιτία ἐμβάλλεσθαι. Σιπία. τόπος, ¯ι. σηπία δὲ, ὁ ἰχθὺς, ¯η καὶ ¯ι. †Σιπυληνή. ἡ Δημήτηρ.† Σισύρα. ἡ γοῦνα. †Σίσυσ. τὸ εὐτελὲς ἱμάτιον.† †Σισύρνα δὲ, τὸ α τρυχον ἱμάτιον.† Σιταρίσ. ο ρνεον. Σιτάρκησισ. *τὸ ἀρκοῦν βρῶμα.* Σιωπή. παρὰ τὸ σιγὴ καὶ τὴν ο πα, τὴν φωνὴν, sigma.1646 γίνεται σιγηοπὴ, καὶ ἀποβολῇ τοῦ ¯γ καὶ κράσει τοῦ ¯η καὶ ¯ο εἰς ¯ω μέγα σιωπή. ὡς ὀγδοήκοντα, ὀγδώκοντα. Σίκιννισ. ει δος ὀρχήσεως. ἀπὸ Σικανοῦ τοῦ Αθηνῶν βασιλέως. οἱ δὲ ἀπὸ τοῦ παιδαγωγοῦ τῶν Θεμιστοκλέους παίδων. (Οὐδέτερον.) Σίγειον. ἀκρωτήριον. Σῖγμα. τὸ στοιχεῖον. παρὰ τὸ σίζω, τὸ ἠχῶ, ἀπὸ τῆς παρὰ τὸν φθόγγον δυνάμεως. Σιγίλλιον. ....... Σιδηροῦν καὶ πορφυροῦν. ὁμοίως καὶ χρυσοῦν καὶ ἀργυροῦν. Σίκημα. πόλις. ἡ τῷ Ιωσὴφ ὑπὸ τοῦ Ιακὼβ καταληφθεῖσα. sigma.1647 Σίκυα. τὰ ἀγγούρια. καὶ σικυήλατον. *ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ.* Σίλφιον. βοτάνη χωνευτήριος. Σίμβλα. τὰ ἀγγεῖα τῶν μελισσῶν. παρὰ τὸ συμβεβλῆσθαι α λλο ἐπ' α λλο, οι ον συμβλήϊα τινὰ ο ντα. οι ον· λείβων ἐκ δάπεος σιμβλήϊα ε ργα μελισσῶν. η ο τι σιμὰς ἐκάλουν οἱ ἀρχαῖοι τὰς μελίσσας. αἱ γὰρ μέλισσαι πρὸς σύγκρισιν τῶν σφηκῶν ἀμβλύτερα ε χουσι τὰ κέντρα. †η γουν ἐν αι ς αἱ σιμαὶ μολῶσι.† Σιμικίνθιον. τὸ περὶ τοὺς πόδας σανδάλιον. τινὲς δὲ τὸ φακιόλιον. κυρίως δὲ τὸ ῥινόμακτρον, ο ἐστι τὸ μυξομάνδηλον. Σῖτα καὶ σιτία. τὰ βρώματα. †Σίον. ἡ βοτάνη.† sigma.1648 Σιείρ. ο ρος. Σίελ. σκοτοδίνη. καὶ ἀντὶ τοῦ σκοτοδινιῶ. ου τω λέγουσιν οἱ Συρακούσιοι. Σινᾶ. ο ρος, ο περ τῇ᾽ Αῤῥάβων γλώσσῃ Αγαρ καλεῖται. Σίραιον. τὸ ε ψημα. Σίνηρι. παρὰ τὸ σίνειν τοὺς ω πας. (῾Ρῆμα.) Σιβυλλαίνω. ἐκθειάζω. Σιγῶ. παρὰ τὸ σιγὴ σιγῶ, ὡς τιμὴ τιμῶ. Σίζω. τὸ ἠχῶ. ὠνοματοπεποίηται. ὀνοματοποιΐα δέ ἐστι φωνῆς μίμησις πρὸς τὴν ποιότητα τοῦ ὑποκειμένου. Σιλαίνω. μωραίνω. καὶ τὸ κολακεύω τοὺς ι ππους. Σιλλογραφῆσαι. μιμολογῆσαι. Σίνω. τὸ βλάπτω. Σινιάσαι. πειράσαι. sigma.1649 Σίκρητα. παρὰ῾ Ρωμαίοις κριτήρια. Σιτῶ. τὸ διατρέφω. καὶ σιτῆσαι.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπισιτίζω δὲ, ι. σιτῶ γὰρ, οὐκ ἐπισιτῶ. Σιφλώσειεν. η τοι μωμητὸν ποιήσειεν. η βλάψειεν. ε στι γὰρ φλῶ, τὸ ὁρμὴν ε χω. ο θεν καὶ οἰνόφλυξ. η ἀπὸ τοῦ σιφλὸς γίνεται σιφλῶ. Σιτωνῶ. σῖτον ἀγοράζω. καὶ σιτῶναι, οἱ τὸν σῖτον ὠνούμενοι καὶ καπηλεύοντες. Σινέσκοντο. ε βλαπτον. Ομηρος· οι σφέας σινέσκοντο, βίῃφι δὲ φέρτεροι η σαν. Τὸ Σ μετὰ τοῦ Κ. (᾿Αρσενικόν.) Σκαρθμόσ. κατὰ διάλεκτον ὁ πούς. τὸν δ' ἐς᾿Αχαιῶν νῆας ἐΰσκαρθμοι φέρον ι πποι. ο ἐστιν εὐκίνητοι, ταχεῖς. ει ρηται δὲ σκαρθμὸς παρὰ τὸ σκαίρω, σκαρμὸς, καὶ πλεονασμῷ τοῦ θ σκαρθμός. ω σπερ ἐπὶ τοῦ α ρσω, ἁρμός. ἐπὶ δὲ τοῦ πλοίου, παρὰ τὸ μὴ ἐᾷν τὴν ναῦν σκαίρειν. sigma.1650 Σκαλμόσ. περὶ ο ν δεσμοῦσι τὰς κώπας πάσσαλον. ὑποσκαλμὶς δὲ ἡ τοῦ σκαλμοῦ βάσις. Σκαπανήτησ. ὁ σκαφεύς. καὶ σκαπανεύς. Σκαιόσ. πονηρός· κακός· φαῦλος· ἀριστερός. καὶ σκαιὸς ὁ ἀμαθής. σκαιότατος ο στις τὸ κιθάρισμ' ἐμάνθανε παῖς ω ν δυοῖν μηνῶν– καὶ πάλιν· ω σκαιὲ καὶ ἀπαίδευτε–. †Σκελετόσ. ὁ κατάξηρος. παρὰ τὸ σκεῖλαι, τὸ ξηράναι.† †Σκείρων. ο νομα ληστοῦ. Σκήρων δὲ, ἐθνικὸν, ¯η.† †Σκέλυθροσ. ὁ ταπεινός.† Σκηπτοῦχοσ. ὁ τοῦ βασιλέως σκηπτοφόρος. η ὁ βασιλεύς. Σκηπτόσ. ὁ κεραυνός. †Σκιπιωρόσ. ὁ κατάσκοπος. καὶ σκίπων.† Σκίπων. ἡ βακτηρία. παρὰ τὸ σκιρίπτω, ἀποβολῇ τοῦ ¯ρ καὶ τοῦ ¯τ καὶ συγκοπῇ. Σκίμπουσ. τὸ μέσον τοῦ κραββάτου· μεταφορικῶς δὲ καὶ ο λος ὁ κράββατος. ἀπὸ τοῦ σκηsigma.1651 νὴ καὶ τὸ ποὺς γίνεται σκηνίπους καὶ συγκοπῇ σκίμπους. λέγεται δὲ καὶ σκίμπος χωρὶς τοῦ ¯υ, ὡς ἀρτίπος, ἀελλόπος. σκηνίπους τὶς ω ν, ὁ σκηνῶν τῷ σώματι. Σκίῤῥοσ. ὁ γύψος. καὶ σκιῤῥίται οἱ γυψεμπλάσται. Σκνιπὸς καὶ σκνιφόσ. ὁ μικρολόγος καὶ φειδωλός. παρὰ τοὺς σκνίπας καὶ τὴν τούτων σμικρότητα. Σκνίπεσ. ζῶα εἰσὶ βραχύτατα, ο μως ἀργαλεώτατα, οὐ γὰρ μόνον κνησμοὺς ἐμποιοῦσιν ἀηδεῖς, ἀλλὰ καὶ εἰς τὸ ἐντὸς βιάζεται διὰ τῶν μυκτήρων καὶ ω των. σίνεται δὲ καὶ κόρας ὀφθαλμῶν, εἰ μὴ φυλάξαιτό τις. †Σκοῖοσ. ὁ σκολιός.† Σκοπόσ. ὁ προορῶν. η προπορευόμενος τοῦ στρατοῦ. ῳ στοιχοῦσι πάντες καὶ ἀκολουθοῦσι. σκοπὸς καὶ τὸ σημάδιον. σκοπός ἐστι καὶ τὸ διὰ τέλος σπουδαζόμενον. η σκοπός ἐστι τὸ προσεπινοούμενον τέλος. σκοπός ἐστι τῆς πρακτικῆς, τὸ καθᾶραι τὸν νοῦν καὶ ποιῆσαι τοῦτον παντὸς πάθους ἀπαράδεκτον. Σκόλοψ. ὀξὺ ξύλον, ο περ ἐπήγνυον τῷ τείχει. παρὰ τὸ κολάπτω κόλοψ καὶ σκόλοψ. η παρὰ τὸ σχίζω σχόλοψ καὶ σκόλοψ, τὸ διεσχισμέsigma.1652 νον καὶ ἀπωξυμμένον ξύλον. σκόλοπες καὶ αἱ τῶν φοινίκων ἀκμαί. σκόλοψ καὶ ὁ πειρασμός. ὡς τό· ἐδόθη μοι σκόλοψ τῇ σαρκί. Σκόπελοσ. ὁ ὑψηλὸς τόπος, ἀφ' ου ἐστι τὰ κύκλῳ σκοπεῖν. Σκρινιάριοσ. ὑπογραφεύς. Σκυθρωπόσ. στυγνός· λυπηρός. Σκύμνοσ. ὁ τοῦ λέοντος σκύλαξ. Σκύλλοσ. κυρίως ἐπὶ κυνὸς νεογνοῦ. ει ρηται δὲ ἀπὸ τοῦ ἐπισχεῖν τὴν ὑλακήν· σχύλαξ τις ω ν. Σκληρόσ. παρὰ τὸ σκλῶ μονοσύλλαβον, ο περ ἀπὸ τοῦ σκέλλω, τὸ ξηραίνω. Σκώληξ. ὁ μὴ ε χων κῶλον, η γουν ὀστοῦν, κατὰ ἀντίφρασιν. †Σκῶπεσ. γένος ὀρνέου.† Σκώψ. ο ρνεον κόβαλον καὶ μιμηλὸν, ο μοιον γλαυκί. φασὶ δὲ ἀπὸ τοῦ ζώου τούτου τὸ σκώπτειν εἰρῆσθαι. τινὲς δὲ κακόφωνον λέγουσι τὸ ο ρνεον. παρὰ τὸ σκαιὰν ε χειν ο πα. ου τως Ωρος ὁ Μιλήσιος. Σκύμνοσ. τὸ τοῦ λέοντος σκυλάκιον. παρὰ τὸ σκύζω, τὸ ὀργίζομαι. σκυμνὸς δὲ ἐπὶ τῶν α λλων ζώων. Σκωπτηλόσ. γελαστής. Σκυτοδέψησ. δερματολέκτης· ὁ τὰς βύρσας κατασκευάζων. sigma.1653 (Θηλυκόν.) Σκαπάνη. ἡ δίκελλα. Σκλαβινία. ἡ Βουλγαρία. Σκαμμωνία. βοτάνη. †Στηπτουχία. βασιλείας κληρουχία.† †Σκίλλα. ἡ βοτάνη.† Σκάνδεια. πόλις. Σκαιά. ἡ ἀριστερά. Σκαιωρία. σκευωρία· κατασκευή· ἐπιβουλή. Σκειρωνία πέτρα. ἡ τοῦ Σκείρωνος ληστοῦ. Σκηνή. ἡ κατοικία. παρὰ τὸ σχῶ, τὸ κρατῶ· σχηνὴ καὶ σκηνὴ, ἡ κρατοῦσα καὶ φυλάττουσα ἡμᾶς. σκηνὴ καὶ τὸ δρᾶμα καὶ ἡ ὑπόκρισις. Σκῆψις. ἡ πρόφασις. σκέψις ἐστὶ, καὶ τροπῇ τοῦ ¯ε εἰς ¯η σκῆψις· οἱ γὰρ προφασιζόμενοι σκέπτονται, τί ει πωσι. σημαίνει δὲ καὶ τὴν ἐκ μελέτης ψευδομαρτυρίαν. sigma.1654 Σκληραγωγία. α σκησις. Σκοπιά. ὑψηλὸς τόπος. Σκοτομήνη. ἡ ἀσέληνος νύξ. Σκοτόμαινα. νύξ ἐστιν, ἐν ῃ μαίνεται καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκαταστεῖ τὰ οὐράνια. Σκύδνοσ. ἡ λοιδορία· ἡ ὀργή· ἡ σκυθρωπότης. Σκυτάλη. ἐργαλεῖον σκυτοτομικόν. καὶ ἡ ἀβίνα. Σκυταλίδεσ. οἱ κόνδυλοι τῶν δακτύλων. Σκιά. παρὰ τὸ κίω, τὸ ἀκολουθῶ· κιὰ καὶ σκιὰ ἐπενθέσει τοῦ ς. καὶ σκιὰ ὁ τύπος παρὰ τῷ ̓Αποστόλῳ· σκιὰν γὰρ ε χων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, ο ἐστι τύπον. (Οὐδέτερον.) Σκαμβόν. στρεβλόν. Σκαληνόν. γεωμετρικὸν σχῆμα. Σκανδάληθρα. τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ ξυλάρια. sigma.1655 Σκέμμα. ἡ σκέψις. Σκῆπτρον. ῥάβδος βασιλική. παρὰ τὸ σκήπτεσθαι, ο ἐστιν ἐπερείδεσθαι ἐν αὐτῷ. Σκηνώματα. οι κοι· τόποι. η καὶ τὰ σώματα. Σκῆνοσ. σῶμα. οἰκητήριον. Σκηνοῤῥαφεῖον. τὸ δερματοῤῥαφεῖον. καὶ σκηνοῤῥάφος. Σκηπάνιον. ἡ ῥάβδος. †Σκόλυμον. τὸ λάχανον.† Σκόλυμοσ. βοτάνη. Σκότοσ. οὐκ οὐσία τίς ἐστιν, ἀλλὰ συμβεβηκός· φωτὸς γάρ ἐστι στέρησις. Σκότοσ. ἀπὸ τοῦ σκιάζειν.̔Ηρακλείδης δὲ ὁ Ποντικὸς ἀπὸ τοῦ προσκόπτειν τὸν πορευόμενον ἐν αὐτῷ. ὁ δὲ̔Ηρωδιανὸς παρὰ τὸ σχέθειν ἡμᾶς. ο ἐστιν ἐπισχεῖν ἡμᾶς πολλάκις προϊέναι. Σκύλα. τὰ τῶν νεκρῶν λάφυρα. λάφυρα δὲ τὰ ἐκ τῶν πολεμίων ε τι ζώντων λαμβανόμενα. Σκύβαλον. οι ον κυσίβαλόν τι ο ν, τὸ τοῖς κυσὶ βαλλόμενον καὶ ῥιπτόμενον. Σκύτοσ. τὸ δέρμα. καὶ σκυτοδέψης. παρὰ τὸ ξύω ξυτὸς, ει τα κατὰ διάλυσιν τῶν στοιχείων sigma.1656 καὶ καθ' ὑπερβιβασμὸν τοῦ ς σκύτος, τὸ ξυόμενον. Σκῶλον. ἐμπόδιον· σκάνδαλον. καὶ σκῶλος, ει δος ἀκάνθης, η πυρωθεῖσα ἐντονωτέρα γίνεται. λέγεται δὲ παρὰ τὸ σκέλλω, τὸ ξηραίνω. ἡ ὑπὸ πυρὸς ἐξηραμμένη. Σκῶμμα. ἡ λοιδορία γέλωτος χάριν. πρόσκομμα δὲ μικρόν. Σκώρ. τὸ κόπρον. τῶν καθ' ἡμᾶς σοφιστῶν ὁ ἐνδοξότατος ε ν τινι τῶν λόγων τῶν ἑαυτοῦ γέγραφε τὸ σκάτος, ἀγνοήσας, ο τι ὀρθὴ πτῶσις ἐστὶ τὸ σκὼρ, αἱ δὲ πλάγιαι τοῦ σκατὸς καὶ τῷ σκατί.̓Αριστοφάνης· καὶ σκὼρ ἀεὶ νῶν. ο ντως ου ν σκατοφάγου τὸ ἁμάρτημα. Σκότος λεπτόν. τὴν ἀπὸ τῆς ἀθυμίας σκότωσιν α χρι τοῦ ἐγκεφάλου διαδυομένην λέγει ὁ θεολόγος. (̔Ρῆμα.) Σκάζει. χωλεύει. Σκανδαλίσει. ὑβρίσει. ὡς ἐν τῷ εὐαγγελίῳ· ὡς δ' α ν σκανδαλίσῃ ε να τῶν μικρῶν τούτων. Σκαρδαμύττειν καὶ σκαρδαμύσσειν. πυκνὰ τοὺς ὀφθαλμοὺς ἀνοίγειν καὶ κλείειν, η τοι καμμύειν. sigma.1657 παρὰ τὸ μύω μύσσω γίνεται παράγωγον, ὡς ἀφύω ἀφύσσω, καὶ παρὰ τὸ σκαίρειν καὶ κινεῖν τὴν συνεχῆ κίνησιν τοῦ βλεφάρου, α δὴ τὸ μύειν παρέχουσιν. τὸ δὲ σκαίρω ἀποβολῇ τοῦ ¯ς καίρω καὶ διπλασιασμῷ καρκαίρω. –κάρκαιρε δὲ γαῖα πόδεσσιν. οι ον ἐν κινήσει καὶ ταραχῇ ἐγένετο ἡ γῆ διὰ τὸ πλῆθος τῶν σειόντων αὐτὴν ποδί. σκαίρω ου ν καὶ καίρω ἀποβολῇ. ο θεν σύνθετον τὸ σκαρδαμύσσειν. ἀποβολῇ τοῦ ς λέγεται καὶ καρδαμύττειν. ἀμφότερα παρὰ τὸ κινεῖν καὶ μύειν τὰ βλέφαρα. Σκαίροντα. σκιρτῶντα· πηδῶντα. παρὰ τὸ σκῶ σκαίρω, ω σπερ παρὰ τὸ σπῶ σπαίρω. Σκεδάσασ. σκορπίσας. καὶ σκεδάζω ἀπὸ τοῦ χέω, χέδω, καὶ σκέδω. Σκελετίζεται. κατάξηρος γίνεται. καὶ σκελητεύω. παρὰ τὸ σκεῖλαι, τὸ ξηράναι. Σκηριπτόμενοσ. στηριζόμενος. Σκήπτεται. προφασίζεται. Σκίδναται. διασκορπίζεται. καὶ σκιδνῶ. ὡς κερῶ, κιρνῶ, ου τως σκεδῶ, σκιδνῶ, ἐξ ου παράγωγον τῶν εἰς ¯μ¯ι σκίδνημι. Σκιαγραφούμενον. τὸ ἀμυδρῶς καὶ ὀλιγοστῶς καταλαμβανόμενον. Σκιῤῥωθέν. σκληρυνθέν. Σκιμαλίσαι. κυρίως τὸ μέσον τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὀρνέου ἐμβαλεῖν. sigma.1658 Σκοτοδινιάσασ. σκότους καὶ ι λιγγος πληρωθείς. Σκορδίνασθαι. τὸ παρὰ φύσιν τὰ μέλη ἐκτείνειν, μετὰ τοῦ χασμᾶσθαι διακλώμενον. γίνεται δὲ περὶ τοὺς ἐγειρομένους ἐξ υ πνου, ο ταν χασμώδεις ο ντες ἐκτείνωσι τὰς χεῖρας. οι ον κοροδίνασθαι· δονεῖσθαι ἀπὸ κόρου υ πνου η τροφῆς. η καροδίνασθαι, παρὰ τὸ δονεῖσθαι τὴν κεφαλήν. Σκυβαλίζεται. ἐξουθενεῖται· εὐτελίζεται. Σκυλεύσασ. προνομεύσας. Σκυδμαίνειν. τὸ σκυθρωπάζειν καὶ ὀργίζεσθαι. κυρίως ἐπὶ τῶν λεόντων ὀργιζομένων ἐπὶ τοῖς ἀφαιρουμένοις αὐτῶν σκύμνοις. η ἀπὸ τῆς περὶ τὸ πρόσωπον συστολῆς τοῦ σκύλλου, ο ἐστι δέρμα, ο συμβαίνει ἐπὶ τῶν ὀργιζομένων. Σκυζομένην. λυπουμένην, ὀργιζομένην. καὶ σκύζεσθαι παρὰ τοὺς Σκύθας, οι τινες ὀργιλώτατοι ο ντες τὸ ἐπισκύνιον καθέλκουσι.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σκυθρωπάσαι. στυγνάσαι. πλεονασμῷ τοῦ ρ· σκυθωπάσαι γάρ ἐστι, παρὰ τὸ Σκυθικοὺς ε χειν ω πας. †Σκύλλεις. παρασπᾷς. ἐνοχλεῖς. Σκληρύνει. σκληρὸν καὶ ἀπειθῆ ει ναι συγχωρεῖ. καὶ ὁ Ἀπόστολος· α ρα ου ν ο ν α ν θέλει, ἐλεεῖ, ο ν δὲ θέλει, σκληρύνει· ἐλεεῖ δὲ τὸν α ξιον ἐλέους καὶ τοῦ ἐλεεῖσθαι. Σκοπεύσω. θεωρήσω. sigma.1659 Τὸ Σ μετὰ τοῦ Μ. (Ἀρσενικόν.) Σμερδαλέοσ. καταπληκτικός. Σμέρδις, Σμέρδιος, καὶ Σμερδίησ. ὀνόματα κύρια. Σμίνδαροσ. κύριον. καὶ Σμινδαρίδης. πατρωνυμικόν. †Σμίνθουροι. τὰς οὐρὰς σείοντες.† Σμῶδιξ. υ φαιμος πληγὴ, η μώλωψ. παρὰ τὸ σμῶξαι, τὸ πατάξαι κατὰ Ιωνας. η ἀπὸ τοῦ σμῶ, σμώσω, παράγωγον σμώζω, σμῶδιξ. (Θηλυκόν.) Σμερδνή. καταπληκτική. Σμῆλοσ. νῆσος. Σμίλα. ἡ δίκελλα. καὶ τὸ σμιλάριον. Σμίλαξ. φυτὸν ἀκανθῶδες, η ἡ λεγομένη περιπλοκάς. Σμινύη. ἐργαλεῖον γεωργικόν. Σμύρνα. πόλις. καὶ Σμύρνηθεν, ἀπὸ Σμύρνης. Σμύρνα. φυτόν. Σμύραινα. ἰχθύς. Σμώνη. ἡ τοῦ ἀνέμου πληγή. ἀπὸ τοῦ σμῶ ῥήματος τοῦ σημαίνοντος τὸ πλήσσω. τὸ σμῶ, μέγα. ὡς τὸ ζῶ, ζώνη. (Οὐδέτερον.) Σμῆνοσ. τὸ τῶν μελισσῶν πλῆθος. η τὸ μελισσόβοτον. η τὸ πλῆγμα. ἀπὸ τοῦ σμῶ τοῦ σημαίνοντος τὸ πλήσσω. sigma.1660 Σμῆγμα. τὸ καθάρισμα. †σαπώνιον.† μίγμα δὲ, ι. (Ῥῆμα.) Σμαραγεῖν. ἠχεῖν. τινὲς ἐπὶ τοῦ λάμπειν τιθέασι. καὶ σμάραγδος ὁ λαμπρὸς λίθος. παρὰ τὸ μαίρω, τὸ λάμπω, μάραγδος καὶ σμάραγδος. οι ον· –σμαραγεῖ δέ τε λειμών. Σμήχω. τὸ καθαίρω. σμύχω δὲ, τὸ καίω, ψιλόν. Σμιλεύω. τέμνω. Σμῶ. τὸ καθαίρω. καὶ σμῶ, τὸ πλήσσω. Σμῶξαι. τὸ πατάξαι κατὰ Ιωνας. (Ἐπίῤῥημα.) Σμερδαλέωσ. καταπληκτικῶς· φοβερῶς. Σμύρνηθεν. ἀπὸ Σμύρνης. Τὸ Σ μετὰ τοῦ Ο. (Ἀρσενικόν.) Σοαιμίσ. κύριον. Σόεμος δὲ, ψιλόν. Σοβαρόσ. αὐθάδης. Σόθρυσ. ο ρος. Σοιβίδας καὶ Σοιμίδασ. κύρια. Σολήν. ποταμός. καὶ κλίνεται Σολῆνος. σωλὴν δὲ, τὸ σωληνάριον, μέγα. Σόλοσ. ὁ δίσκος. παρὰ τὸ σῶ, τὸ ὁρμῶ καὶ κινῶ. ἀπὸ γὰρ τοῦ σῶ, τὸ σείω, ὁ μέλλων σώσω, καὶ ῥῆμα ο νομα κατὰ συστολὴν τοῦ ¯ω σὸς, καὶ πλεονασμῷ τοῦ ¯λ σόλος. sigma.1661 Σολοικισμόσ. ὁ τοῦ σώου λόγου αἰκισμός. διαφέρει δὲ ὁ βαρβαρισμὸς τοῦ σολοικισμοῦ, ο τι ὁ βαρβαρισμὸς ἐν λέξει γίνεται, ὁ δὲ σολοικισμὸς ἐν λόγῳ· τὸ γὰρ περὶ μίαν λέξιν ἁμαρτάνειν βαρβαρισμός ἐστι, τὸ δὲ περὶ πλείονας σολοικισμός. Σουβί. τόπος. Σοφονίασ. κύριον. Σοφιστήσ. κυρίως ὁ σοφιζόμενος καὶ προϊστάμενος τῆς διατριβῆς. Ομηρος· ο φρ' ευ γινώσκοις ἠμὲν θεὸν ἠὲ σοφιστήν. Σουσίας. ὁ ι ππος κατὰ Σύρους. Σοφόσ. παρὰ τὸ σέβω. τὸν γὰρ σοφὸν πάντες σεβόμεθα. η παρὰ τὸ σῶα φάσκειν, κατὰ τροπὴν τοῦ ¯ω εἰς ¯ο. (Θηλυκόν.) †Σοβαραί. λαμπραί.† Σοβάσ. ἡ πόρνη. ἀπὸ τοῦ σοβῶ, τὸ κινῶ. Σόβηρα. πόλις. Σογδιανὴ καὶ Σουγδινή. χώρα. Σολία. πόλις κατὰ τὴν Κύπρον. σωλεία δὲ, ἡ τοῦ οι κου, μέγα καὶ δίφθογγον. Σοποευτῖτις θεά. ἡ ε φορος τῆς μανίας. Σοφηνή. πόλις. Σοφία. γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων. τὸ θεωρεῖν λόγους σωμάτων καὶ ἀσωμάsigma.1662 των. η νοῦς καὶ ἐπιστήμη τῶν τιμιωτάτων τῇ φύσει. (Οὐδέτερον.) Σομφῶδεσ. βουνῶδες, η χαῦνον. Σομόρ. μέτρον γῆς. Σόμορα. τόπος. Σολοίκια. τὰ ἐνδύματα. *Σολοίμνιζε. πόλις ἐν τῇ Ἀσίᾳ ὑπὸ τὴν μητρόπολιν Εφεσον διακειμένη.* Σουδάριον. λεπτόν τι σκέπασμα ἐκ λίνου συνυφασμένον. Σοῦσα. τὰ λείρια παρὰ Φοίνιξι. καὶ σοῦσον τὸ κρίνον κατὰ Φρύγας. σουσίαν δὲ τὸν ι ππον λέγουσιν οἱ Σύροι. Σούσινον μύρον. τὸ κρίνον. η ου τως· σούσινον μύρον, ο ἐστι κρίνον. (Ῥῆμα.) Σοβῶ. τὸ κινῶ καὶ μαίνομαι. Σολοικίζειν. οὐ μόνον τὸ κατὰ φωνὴν καὶ λόγον χωρικεύεσθαι, ἀλλὰ καὶ ἐπὶ ἐνδυμάτων, ο ταν τις χωρικῶς ἐνδιδύσκηται, η ἀτάκτως ἐσθίῃ, η ἀκόσμως περιπατῇ, ω ς φησι Ζήνων. Σοφίζεσθαι. καταψεύδεσθαι. Σοφιστομανοῦσιν. η γουν ἐκ περισσοῦ σπουδάζουσι καὶ ἐπιθυμοῦσιν ε χειν οἱ σοφισταὶ καὶ διδάσκαλοι εὐφυεῖς μαθητὰς καὶ πολλούς. sigma.1663 Τὸ Σ μετὰ τοῦ Π. (Ἀρσενικόν.) Σπάδων. ὁ εὐνοῦχος. παρὰ τὸ σπᾶσθαί τι μέρος αὐτοῦ. καὶ σπαδωνισμὸς ὁ εὐνουχισμός. †Σπεκιῶσοσ. ο νομα κύριον.† Σπερμολόγοσ. ὁ τὰ σπέρματα συλλέγων. Σπεκουλάτωρ. ὁ δήμιος. Σπερχειόσ. ο νομα ποταμοῦ. Σπένδισ.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κύριον. καὶ κλίνεται Σπένδιος. Σπεράτοσ. κύριον. Σπευριεὺς καὶ Σπατῖνοσ. κύρια. Σπινθήρ. λαμπηδών. οι ον σπορεὺς τὶς ω ν τοῦ θέροντος πυρός. πεποίηται τὸν τοῦ πατρὸς ε χων λόγον, παρὰ τὸ σπεῖραι. Σπῖλοσ. ῥύπος, μολυσμός. Σπλήν. ἀπὸ τοῦ εἰς αὐτὸν ἐπισπᾶσθαι τὰ φαυλισθέντα τῶν ὑγρῶν. *Σπαρτίον. τὸ σχοινίον. καὶ κλῆρος. καὶ στέργει σπάρτα, η νπερ ε λαχε.* sigma.1664 Σπόγγοσ. διὰ τὸ ἀποσπᾶν τὰ ὑγρά. Σπυριδωνάκησ. κύριον. Σπόκιλλοσ. κύριον. †Σπῶροσ. ο νομα κύριον.† Σπῆλυξ. τὸ σπήλαιον. καὶ κλίνεται σπήλυκος.

Σπάδων. τὸ σπάσμα. τοῦ Ψελλοῦ· σπάδονα δὲ τὰ σπάσματα, πάθος δέ τι χιόνην. (Θηλυκόν.) Σπάθη. τὸ ὑφαντικὸν ἐργαλεῖον. παρὰ τὸ κατασπᾶν τὴν κρόκην. Σπεῖρα. ἡ σύναξις, πλῆθος στρατευμάτων. †ε στι δὲ καὶ σύνταγμα διακοσίων ἀνδρῶν.† Σπεῖσισ. ἡ σπονδή· η ἡ θυσία. Σπήλυγγεσ. τὰ βεβρωμένα τῶν πετρῶν. παρὰ τὸ σπᾶν. Σπιλάδεσ. αἱ υ φαλοι πέτραι. οι ον ἀποσπάδες. η ο τι τὸ κατ' αὐτὰς μέρος μελαίνεται. Σποδιὰ καὶ σποδόσ. ἡ στακτή. παρὰ τὸ σβέω, σβέσω, σβεδὸς καὶ σποδός. ἡ ἀμαυροῦσα τὴν φλόγα. sigma.1665 Σπονδάσ. συνθήκας. ο ρκια. η θυσίας καὶ ἐκχύσεις οι νου. †Σπώδιγξ. ἡ πληγή.† (Οὐδέτερον.) †Σπέκιον. ει δος ἱματίου.† Σπέοσ. τὸ σπήλαιον· ἀφώτιστόν τι οι κημα. παρὰ τὴν σβέσιν τοῦ φωτός· οι ον σβέος τὶ ο ν καὶ σπέος· τὸ πολὺ γὰρ τοῦ φωτὸς ἐστέρηται· τροπῇ τοῦ ¯β εἰς ¯π. ὡς παρὰ τὸ σβέω, σβέσω, σβεδὸς καὶ σποδός. καὶ σπὲς τὸ σπήλαιον, καὶ σπεῖον τὸ σπήλαιον, καὶ σπῆϊ τῷ σπηλαίῳ. Σπέκλον. ἡ υ αλος. Σπάργανον. παρὰ τὸ σπαράσσω, σπαράγανον καὶ σπάργανον. Σπείρημα. τὸ τοῦ ο φεως ει λιγμα. παρὰ τὸ σπειρῶ, τὸ εἱλίσσω. σπείρημα καὶ τὰ ἱμάτια, παρὰ τὸ ἐνσπείρεσθαι καὶ συστρέφεσθαι αὐτοῖς. καὶ σπεῖρον τὸ ἱμάτιον. Σπωλήτιον. τόπος. (῾Ρῆμα.) Σπανίζεται. λείπεται, ὑστερεῖται. Σπασάμενοσ. ἑλκύσας. Σπαθᾶν. τὸ σπαταλᾶν. καὶ παρὰ τοῖς ῥήτορσι σπαθᾶν τὸ ἀφειδῶς ἀναλίσκειν. Σπαίρω. ψυχοῤῥαγῶ. sigma.1666 Σπέρχει. σπουδάζει, κατεπείγεται, σπεύδει καὶ συστρέφει. ι σως ἀπὸ τοῦ περιέχει· συμπεριέχει καὶ κατὰ συγκοπὴν σπέρχει. Σπερμαίνω. γεννῶ. Σπένδω. ἀναιρῶ. ὡς τό· ἐγὼ δὲ η δη σπένδομαι. παρὰ τὸ σπείω σπένδω. παράγωγον καὶ οὐ πλεονασμός. ω σπερ κυλίω κυλίνδω, καὶ ἀμείρω ἀμέρδω. Σπένδεται. θύεται. φύεται, φιλιοῦται. Σπένδομαι. φιλιοῦμαι. Σπένδοντοσ. προσφέροντος πίστιν η σπονδήν. ε στι δὲ καὶ τὸ φιλιοῦσθαι. σπονδὰς γὰρ ἐκάλουν τὰς ἐπὶ τῶν πολεμίων συμβιβάσεις. Σπειρόμενος σῖτοσ. μικρόν. σπειρώμενος δὲ ο φις, ο ἐστιν ἐντυλισσόμενος, μέγα. Σπείρω. παρὰ τὸ σπῶ· α μα γὰρ καταβληθῆναι τὴν σπορὰν, σπᾶται ὑπὸ τῆς γῆς τὸ χωρῆσαν εἰς αὐτήν. ὡσαύτως καὶ ἐπὶ τῶν θηλειῶν. Σπείσω. θύσω. Σπεῖσαι. παρὰ τὸ σπίσαι, ο ἐστι ποτίσαι τὴν γῆν τῷ οι νῳ. Σπληνιῶντεσ. ..... Σπώμενοσ. συντριβόμενος. Σπένδομαι. ἀποθνήσκω. θυσίαν μέλλω καὶ σπονδὴν ἐμαυτὸν προσφέρειν Χριστῷ. ὁ᾿Απόστοsigma.1667 λος· ἀλλ' εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ τῇ λειτουργίᾳ. Σπειρηδόν. περιπεπλεγμένως. Σποράδην. ἐσπαρμένως. Τὸ Σ μετὰ τοῦ Τ. ( ᾿Αρσενικόν.) Σταθμόσ. τὸ σταθμίζον. τὸ σταθμιζόμενον. ἡ μάνδρα τῶν προβάτων. σταθμὸς κατὰ῾Ηρόδοτον καὶ Ξενοφῶντα μίλια εἰκοσιοκτὼ η μισυ. καὶ σταθμοὶ ἀντὶ τοῦ παραστάδες. Σταλαγμόσ. ε στι στῶ, ου παράγωγον στάσω, ὁ μέλλων στάξω. ὡς φράζω φραγμὸς, ου τω στάζω σταλαγμὸς κατὰ πλεονασμὸν τῆς συλλαβῆς. ἐκ δὲ τοῦ στάσσω γίνεται κατὰ πλεονασμὸν τῆς ¯α¯λ συλλαβῆς σταλάσσω. Στάληξ. ὁ σταλαγμός. στάλιξ δὲ, ὁ σκόλοψ, ἰῶτα. Στατώριοσ. ὁ σκολιός. Σταμῖνεσ. τὰ καταστρώματα τῆς νηός. ἐφ' ω ν ἱστάμεθα. ᾿Αρίσταρχος δὲ ὀρθὰ ξύλα λέγει στήμοσιν ἐοικότα. sigma.1668 Στατήρ. τὸ νόμισμα. παρὰ τὸ ι στημι, στήσω, στατήρ. οἱ δὲ ἀρχαῖοι ἐπὶ τοῦ δανείζειν. ὀβολοστάτας ου ν οἱ ᾿Αττικοὶ τοὺς ὀλίγα δανείζοντας ε λεγον ὑπερβολικῶς. ὁ γὰρ στατὴρ ἐπενοήθη τῷ βίῳ πρὸς δανεισμὸν καὶ ἀπόδοσιν. καὶ στατῆρες οἱ χρεῶσται. *Στατῆρα. τινὲς νομίζουσι λίθον πολύτιμον εὑρισκόμενον κατὰ Συρίαν, οἱ δὲ ἐξάγιον τέταρτον νομίσματος.* Σταυρὸς Χριστοῦ ἐστι πέρας ἐπιδόσεως καὶ κοπὴ ἁμαρτιῶν. σταυροὺς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ε λεγον οἱ παλαιοὶ ὀρθὰ ξύλα παρὰ τὴν στάσιν, α περ ε ξωθεν περιτίθεται ταῖς αὐλαῖς πρὸς τὸ μὴ στενοχωρεῖσθαι τὰ ζῶα ἐν τοῖς συφεοῖς. καὶ ὁ παρ' ἡμῖν δὲ σταυρὸς παρὰ τὴν στάσιν καὶ τὸ ευ ρος, οι ον ὁ μῆκος καὶ πλάτος ε χων. Σταθηρόσ. ἰσχυρός. Σταίτιοσ. α ρτος ἐξ ἀλεύρου. καὶ σταιήτιος, *καὶ σταιήτης,* καὶ σταιτίτης. Στεναγμόσ. παρὰ τὸ στενάζω· τοῦτο παρὰ τὸ στενάχω· τοῦτο παρὰ τὸ στένω. Στερεόσ. τὸ στεῤῥὸς τοῦ στερεὸς ἐστὶ συγκοπή. στερὸς καὶ πλεονασμῷ τοῦ ρ στεῤῥός. ἐμοὶ δὲ sigma.1669 δοκεῖ μᾶλλον τὸ στερεὸς ἀπὸ τοῦ στεῤῥὸς ει ναι, κατὰ πλεονασμὸν τοῦ ¯ε. τὰ γὰρ εἰς ¯ν¯α¯ι ἀπαρέμφατα ποιεῖ εἰς ¯ρ¯ο¯ς ὀνόματα ἰσοσύλλαβα. οι ον μυῆναι μυαρός· διῆναι διερός· ῥυπῆναι ῥυπαρός· στηθῆναι σταθερός· στῆναι στερὸς, καὶ πλεονασμῷ τοῦ ¯ρ στεῤῥὸς, καὶ τοῦ ¯ε πάλιν στερεός. ου τως Ωρος ὁ Μιλήσιος περὶ πάθους. Στελεὸς καὶ στειλειόσ. τὸ ἀξινοκράτημα. Στεντόρειοσ. λόγος φωνητικός. ἀπό τινος Στέντορος ὀνομαζομένου, ο ς μεγαλοφωνότατος ὑπῆρχε. Στήμων. τὸ στημόνιον. παρὰ τὸ στῶ, στήσω, στήμων. ὡς φιλῶ, φιλήσω, φιλήμων. Στίχοσ. ἡ ἐπίστιχος τάξις. Στικτέοσ. καρτερικός. ἀπὸ τοῦ στίζω, τὸ μαστίζω. Στιγματίασ. ὁ οἰκέτης. ὡς στιζόμενος καὶ μαστιζόμενος, οι α ἀχρήσιμος. Στόλοσ. κυρίως ἀποστέλλειν ἐστὶ τὸ διὰ νηὸς ἐκπέμπειν. ο θεν καὶ στόλος ὁ πολλῶν νηῶν ἀπόπλους. Στῶλος δὲ ο νομα πόλεως, μέγα. †Στολυξώδησ. μικρολόγος.† Στόνυξ. τὸ εἰς ὀξὺ λῆγον. καὶ κλίνεται στόνυχος. sigma.1670 Στοχασμόσ. παρὰ τὸ στείχω στοχάζω. στοχασμὸς δὲ λέγεται καὶ στοχάζειν, τὸ πρὸς εὐθεῖαν ὁδὸν τὸν λογισμὸν ἀπευθύνειν. Στόμαχοσ. δι' ου καταπίνομεν τὴν ὑγρὰν καὶ ξηρὰν τροφήν. η τοι στόμα ἐστὶ τῶν χεομένων, η ο τι τὰ ἀπὸ τοῦ στόματος εἰς τοῦτον χεῖται. η σιτόμαχος, ὁ τοῖς σιτίοις μαχόμενος· θλίβουσι γὰρ αὐτόν. η ὁ θλίβων ε μπαλιν ταῦτα. Στρατόνικος· Στράτων, Στράτωνοσ. ὀνόματα κύρια. Στρατόσ. τὸ συνεστραμμένον πλῆθος τῶν πολεμούντων. παρὰ τὸ στρέφω, ε νθεν ε στραπται, στραπτὸς καὶ στρατός. †Στρόβιλοσ. ει δος ὀρχήσεως.† †Στρόφοσ. στρέμμα, πλέγμα.† Στρυφνόσ. ὁ στύφων. καὶ τὸν οι νον ε πινε τὸν στρυφνόν. καὶ βοτάνη τις. Στριφνόσ. ἐσφιγμένος· στερεός. παρὰ τὸ στρύφω, στρυφνὸς καὶ στριφνός. Στρόβιλοσ. ὁ α νεμος. Στρόβηλος δὲ ἡ νῆσος, ¯η. παρὰ τὸ στρέφω, στρόφιλος καὶ στρόβιλος. Στρουθόσ. παρὰ τὸ μετὰ οι στρου θέειν. Στρυμών. ο νομα κύριον. καὶ ποταμὸς Στρυμὼν, καὶ κλίνεται Στρυμόνος. Στρῶβεσ. ε θνος. sigma.1671 Στρωτήρ. τὸ πλέγμα, τὸ ἀπὸ τῶν παπύρων εἰς σκηνὰς καὶ καλύβας πεποιημένον. Στυγητόσ. μισητός. Στυγνόσ. κατηφὴς, λυπηρός. ὡς παρὰ τὸ ε πιθον πιθανὸς, ου τω στύγω, ε στυγον, στυγανὸς, καὶ συγκοπῇ στυγνός. οἱ δὲ παρὰ τὴν Στύγα φασὶν εἰρῆσθαι. οἱ γὰρ ἀρχαῖοι τὰ ἀηδῆ καὶ λυπηρὰ ἀπὸ τῶν ψυχρῶν κατονομάζουσι· τὴν γὰρ Στύγα, λίμνη ε στιν αυ τη ἐν τῷ ᾳ δη, μυθεύονται Ελληνες ψυχρότατον ε χειν υ δωρ. ὁμοίως καὶ τὸ στυγεῖν. Στύλοσ. ὡς παρὰ τὸ πλήθω πλῆθος, ου τω στῶ, στύω, στύσω, στύλος. καὶ χῶ, χύσω, χυλὸς, ὀξυτόνως· τὰ γὰρ ῥηματικὰ ταῦτα ὀνόματα διαφόρως τονίζεται. Στύραξ. τὸ κάτω τοῦ δόρατος τραχήλιον, ο καταπηγνύειν εἰς τὴν γῆν εἰώθαμεν. καὶ Θουκυδίδης φησί· στυρακίῳ ἀκοντίῳ ἀντὶ τοῦ βαλάνου χρησάμενος εἰς τὸν μοχλόν. η ὁ καλούμενος σαυρωτήρ. η ἡ τοῦ δόρατος ἀρχὴ, ἐφ' ῃ στηρίζεται. καὶ στυρακίζειν, τὸ κεντρίζειν, ἀπὸ τοῦ στύρακος. Στρόφοσ. ὁ τῆς πήρας κρεμαστήρ. παρὰ τὸ ἐστράφθαι. καὶ πᾶν τὸ στρεφόμενον. sigma.1672 Στωμύλοσ. κομψός· πιθανολόγος. η ὁ μετὰ γέλωτος ἐμπαίζων τινὰ καὶ διασύρων. Στόρθηξ. ἡ ἐπιδορατίς. Στροφέα. σπόνδυλον. τὸν ὀδόντα λέγει ὁ Ἱπποκράτης. τοῦ Ψελλοῦ· στροφέα δέ γε σπόνδυλον φησί που τὸν ὀδόντα. (Θηλυκόν.) Σταγὼν, σταγόνος. παρὰ τὸ στῶ ῥῆμα, ου παράγωγον στάζω. *Στραγγαλιάσ. ὁ μὲν Ἀκύλας διαπλοκάς· σκολιότητας δὲ ὁ Σύμμαχος· ὁ δὲ Θεοδοτίων διεστραμμένα ἡρμήνευσεν.* Σταφυλή. παρὰ τὸ στάζω καὶ τὸ φίλον. ἡ ἀποστάζουσα τὸ φίλον πᾶσιν ἀνθρώποις. Στακτή. τὸ λεπτότατον τῆς σμύρνης. Σταχάνη. ἡ τρυτάνη Δωρικῶς. παρὰ τὴν στάσιν. Στεροπή. ἡ ἀστραπή. ἐγὼ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀστεροπὴν οι δα τὴν ἀστραπήν· εἰ μὴ ἐστὶν ἀποβολῇ τοῦ ¯α ποιητικόν. Στερίφη. α γονος· στεῖρα. Στεριφόπεπλοσ. ἡ μικρὸν πέπλον καὶ ἱμάτιον ε χουσα. sigma.1673 Στεῖρα. ἡ στερουμένη τοῦ τίκτειν. η ἡ τοῦ κυῆσαι στάσιν ε χουσα. παρὰ τὸ στῶ στείω. ὡς σῶ σείω. καὶ ἐκεῖθεν στεῖα καὶ στεῖρα. Στίβοσ. ἡ ὁδός. ἀπὸ τοῦ στίβω, τὸ περιπατῶ. Στιβή. βοτάνη. Στιβάς. παρὰ τὸ στοιβάζω. †καὶ στιβάσι λαμπροτέραις ἀνακλιθῶμεν ὠστίναις τε.† *λέγεται καὶ ἡ κλίνη.* Στιλπνότησ. ἡ λαμπρότης. ἡ λαμπηδών. καὶ στιλβηδὼν, στιλβηδόνος. Στίξ. ἡ τεσσαράκοντα ἀνδρῶν στάσις η τάξις. Στιγμή. διανοίας ἀπηρτισμένης σημεῖον. γίνεται δὲ στιγμὴ ἀπὸ τοῦ στίζω, στίξω, στιγμή· ι στησι γὰρ τὴν φωνήν. τὸ δὲ ἀπηρτισμένης ἀντὶ τοῦ πεπληρωμένης. στιγμαὶ δὲ εἰσὶ τρεῖς· τελεία, μέση καὶ ὑποστιγμή. καὶ τελεία ε στι διανοίας ἀπηρτισμένης σημεῖον· μέση δὲ σημεῖον πνεύματος ε νεκεν παραλαμβανόμενον, τουτέστι χάριν ἀναπνοίας· ὑποστιγμὴ δέ ἐστι σημεῖον διανοίας μηδέπω ἀπηρτισμένης, ἀλλ' ε τι ἐνδεούσης σημεῖον. διαφέρει δὲ στιγμὴ ὑποστιγμῆς χρόνῳ· ἐν μὲν γὰρ τῇ στιγμῇ πολὺ τὸ διάστημα, ἐν δὲ τῇ ὑποστιγμῇ παντελῶς ὀλίγον. στιγμαὶ δὲ κατὰ Νικάνορα ὀκτώ· τελεία· ὑπερτελεία· ἀτελής· α νω πρώτη· α νω δευτέρα· sigma.1674 ἀνυπόκριτος· ἐνυπόκριτος· ὑποδιαστολή. διαsigma.1674 φέρει δὲ στιγμὴ τῆς ὑποδιαστολῆς, ο τι ἡ μὲν στιγμὴ μόνην τὴν φωνὴν διΐστησιν, ἡ δὲ ὑποδιαστολὴ α μα τὴν φωνὴν καὶ τὴν διάνοιαν. στιγμὴ δὲ παρὰ τὸ στίζω, σιγὴ η στιγὴ, καὶ πλεονασμῷ τοῦ μ στιγμή. τὸ δὲ στίζω παρὰ τὸ στῶ, στίζω. ὡς φοιτῶ φοιτίζω. ὁ δὲ Φιλόξενος τὸ ἐν τῇ ἀναγνώσει ἀναφορᾶς στάσιν ποιεῖν. Στοργή. φιλία ε μμονος. παρὰ τὸ στέργειν, τὸ ἐμμένειν. Στοιβάσ. ἡ στρωμνή· η τρυφῆς θρύψις. παρὰ τὸ στοιβάζω. Στοιχείωσισ. ἡ πρωτομάθησις καὶ ἡ διατύπωσις καὶ ἡ διάταξις καὶ ἡ ὁδηγία. η στοιχείωσίς ἐστιν ἡ ἐκ διαφόρων συντεθεῖσα μονοειδὴς θεωρία. Στρατιά. τὸ πλῆθος. καὶ πόλις. καὶ ἐπίθετον᾽Αθηνᾶς. στρατεία δὲ, ἡ στράτευσις, δίφθογγον. Στραγγαλιάσ. διαπλοκάς· διεστραμμένας δολιότητας. Στραγγαλίδεσ. τὰ δύσλυτα α μματα. ὑμεῖς γὰρ ἀεὶ στραγγαλίδας ἐσφίγγετε. Στράγξ. ἡ ἐπισχεθεῖσα ῥύσις. παρὰ τὸ στάζω, στάξω, στὰξ, καὶ πλεονασμῷ τοῦ ¯γ καὶ ¯ρ στράγξ. sigma.1675 Στρέβλη. παρὰ τὸ στρέφω, στρέψω, στρέβλη. ὡς στήσω, στήλη. καὶ στρεβλὸν τὸ στραβόν. ου τως Ευ πολις. Στροφάλιγξ. ἡ συστροφή. ὡς παρὰ τὸ λάϊγξ λάϊγγα, ου τω στρέφω, στρόφος, στρόφιγξ, καὶ πλεονασμῷ τοῦ ¯γ καὶ τῆς ¯α¯λ συλλαβῆς στροφάλιγξ, καὶ στροφαλίζω. στρόφος δὲ λέγεται ὁ τῆς πήρας κρεμαστὴρ, παρὰ τὸ ἐστράφθαι. καὶ πᾶν τὸ στρεφόμενον. †Στροφή. ἡ ἀστραπή.† Στρόφιγξ. τὸ τῆς θύρας στροφίγγιον. ο καὶ θαιρὸς λέγεται. †Στροφίσ. ἡ δυναμένη πάντη στρέφεσθαι.† †Στρυφνοτέρα νόησισ. η γουν στερεωτέρα.† Στρωμνή. παρὰ τὸ στορέσω, ο σημαίνει τὸ στρώσω, γίνεται στερεμνὴ, καὶ συγκοπῇ στρωμνή. Στὺξ, Στυγόσ. λίμνη ἐν τῷ α δῃ κατὰ Ελληνας. †Στῶλοσ. πόλις Θρᾴκης.† Στίβη. ψύχος· πάχνη. τοῦ Ψελλοῦ· σκυτάλη τὸ φραγέλλιον, στίβη, ψύχος καὶ πάχνη. (Οὐδέτερον.) Στάδιον. ὁ ὀρθὸς δρόμος. παρὰ τὴν στάσιν· ἑστῶτες γὰρ ε θεον. οἱ δὲ περιττὸν τὸ ¯ς· λέγουσι sigma.1676 γὰρ ει ναι τάδιον, παρὰ τὴν ἐν τῷ δρόμῳ τάσιν. ου τως Ωρος ὁ Μιλήσιος. †Στάδιον. ὁ τόπος τοῦ ἀγῶνος. καὶ μέρος τι τοῦ λεγομένου μιλίου· ἑπτὰ γὰρ στάδια ποιοῦσι μίλιον ε ν. λέγεται στάδιον καὶ τὸ ἁπλῶς ι στασθαι καὶ ἀκινητίζειν.† Σταθευτόν. τὸ μὴ λίαν ὀπτόν. Σταθερόν. τὸ μέσον τῆς ἡμέρας, τὸ μεσημβρινὸν, ο τε ι σταται ὁ η λιος· η ττον γὰρ δοκεῖ τότε κινεῖσθαι. Στελέχη. οἱ κλάδοι. καὶ στέλεχος, ὁ κορμὸς τοῦ δένδρου. *ὁ στέλεγχις.* Στελγίσματα. ἀποξύσματα. στελγίδες γὰρ αἱ ξύστραι αἱ τοῦ σώματος τὰς πληγὰς ἀποξύουσαι. κᾳ ν πρὸς τὸ γυμνάζεσθαι καὶ παλαίειν δέῃ τὴν στελγίδα καὶ τὴν λήκυθον, οι σει δὲ ἡδέως. ε νιοι δὲ στελεγγίδας γράφουσι. καὶ στελεγγιποιὸς ὁ χαλκεὺς καὶ ποιῶν τὰς στελεγγίδας. α λλοι στλεγγιδοποιός. η στελεγγὶς τὸ κτένιον. Στέαρ πυροῦ. ἡ σεμίδαλις. καὶ στέαρ τὸ πεπηγμένον λίπος. παρὰ τὴν στάσιν καὶ πῆξιν. Στέμμα. τὸ προσειλημμένον ε ριον τῷ θαλλῷ. sigma.1677 Στέφοσ. ὁ στέφανος.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Στεγανώτερον. στερεώτερον. τὸν στεγανὸν ἐμάλαττεν οὐρανόν. Στέρνον. τὸ στῆθος. ἀπὸ τῆς στεῤῥότητος. ε νθεν αἱ μὴ τίκτουσαι στεῖραι λέγονται. καὶ στεῖρα ἡ τρόπις. Στερέμνιον. ἰσχυρόν· δυνατόν. Στέρφοσ. τὸ δέρμα. παρὰ τὴν στρυφνότητα καὶ πυκνότητα. η παρὰ τὸ ἐρέθειν καὶ ἐρέφειν, ο ἐστι σκεπάζειν τὸ σῶμα. ε ρεφος καὶ στέρφος. οἱ δὲ παρὰ τὸ στέφειν, ο ἐστι σκεπάζειν τὸ σῶμα, στέφος, καὶ στέρφος πλεονασμῷ τοῦ ¯ρ. στέρφεσιν αἰγείοισιν ἐζωσμένους ἐξ αὐχένος. Στῆθοσ. παρὰ τὸ ἑστακέναι. διότι ε στηκεν ἀσάλευτον. η ο τι ἐν αὐτῷ τὸ ἡγεμονικὸν ε στηκεν. η ο τι δι' αὐτοῦ τὰ σιτία διωθεῖται. Στηθύνιον. μέρος τὶ τοῦ στήθους. καὶ τὸ ὑποκοριστικόν. Στειπτόν. τὸ βάσιμον. ἀπὸ τοῦ στείβω, τὸ περιπατῶ. Στίγματα. αἱ πληγαί. Στίμμι. ει δος βάμματος. Στίφοσ. τὸ πλῆθος. Στίπυον. τὸ τῆς ἐλαίας ὀστοῦν. sigma.1678 Στόμα. ἀπὸ τοῦ τέμω, τεμῶ, τέτομα, τόμα, καὶ στόμα προσθέσει τοῦ ¯ς. Στραγγαλῶδεσ. διεστραμμένον. Στρατόπεδον. δύο σημαίνει, τὸ στράτευμα καὶ τὸν τόπον τοῦ στρατεύματος. στρατόπεδον ἐποίησαν, ἀντὶ τοῦ σκηνάς. Στρόφιον. τὸ τῆς γυναικὸς ἐνώτιον. η τὸ στρογγύλον ζωνάριον.᾿Αριστοφάνης· τὸ στρόφιον η δη λύομαι. Στρώφιοσ. τόπος. †Στύποσ. κορμός· στέαρ.† †Στυρόν. τὸ μύρον.† Στοιχεῖα. ᾿Αθηναῖοι μὲν τὰ γράμματα φασὶν, γραμματικοὶ δὲ πῦρ, υ δωρ, ἀέρα, γαῖαν, ἐξ ω ν τὰ σώματα συνίστανται, καὶ εἰς α ἀναλύεται. ἰστέον, ο τι τὰ στοιχεῖα τριχῶς ἑρμηνεύονται· πόῤῥω, προσεχῆ, καὶ προσεχέστατα. πόῤῥω μὲν, ὡς τὸ πῦρ, ἡ γῆ, τὸ υ δωρ, καὶ ὁ ἀήρ· προσεχῆ δὲ, τὸ θερμὸν, τὸ ψυχρὸν, τὸ ξηρὸν, καὶ τὸ ὑγρόν· προσεχέστατα δὲ, τὸ αι μα, τὸ φλέγμα, ἡ ξανθὴ χολὴ, καὶ ἡ μέλαινα, α τινα διὰ τὴν α κραν αὐτῶν οἰκείωσιν προσεχέστατα ὀνομάζονται. στοιχεῖον ἐστὶ σύστασις οὐσίας κατ' ἐναντιότητας ἑκατέρας. στοιχεῖον ἐστὶν οὐσία ἁπλῆ, κτίσεως τετάρτης μοῖρα. καὶ ὁ ᾿Απόστολος Παῦλος· οὐκέτι γινώσκομεν Χρisigma.1679 στὸν κατὰ σάρκα. τουτέστιν, οὐκέτι ἐστὶν ἐν οὐσίᾳ ῥευστῇ. ἡ ἁπλῆ δὲ καὶ α ποιος οὐσία πάντη ἀπαθής ἐστι, ἐξάπτουσα τὸ ἑαυτῆς βούλημα εἰς ἀγγέλους, εἰς ψυχὰς, εἰς ε τερα νοητὰ καὶ ἀθάνατα, εἰς αἰσθητὰ, εἰς γῆν, εἰς υ δωρ, εἰς πῦρ, εἰς ἀέρα, εἰς ψυχρὸν, εἰς ξηρὸν, εἰς ο τι α ν βούληται. στοιχεῖον ἐστὶ καὶ ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή· η φωνῆς῾Ελληνίδος φθόγγος ἐλάχιστος. διατί ει πεν ἀμερής; ο τι οὐ μερίζεται, ὡς ἡ συλλαβή. παρέπεται δὲ τῷ στοιχείῳ τέσσαρα· ο νομα, σχῆμα, χαρακτὴρ, δύναμις. στοιχεῖον δὲ ει ρηται παρὰ τὸ στοιχῶ, τὸ ἐν τάξει πορεύομαι. Στυπεῖον. παρὰ τὸ τύπτω τυπεῖον, καὶ πλεονασμῷ τοῦ ¯ς στυπεῖον. (῾Ρῆμα.) Σταθεύειν. τὸ μὴ λίαν ὀπτῆσαι, ἀλλὰ πυρὶ χλιᾶναι. Στέγει. ὑπομένει. Στέργει. φιλεῖ· ἀγαπᾷ. η ἐμμένει. Στέρεσθαι καὶ στερίσκειν. τὸ ἀποστερεῖν. Στενολεσχεῖ. λεπτολογεῖ. Στέλλω. τὸ εὐτρεπίζω καὶ κοσμῶ. ἀποστέλλω sigma.1680 δὲ, ἡ πρόθεσις περισσόν τι δηλοῖ. η γουν ἐκπέμπω τοῦ προετοιμάσαι καὶ κοσμῆσαι καὶ διευθετῆσαι πάντα. *Στερνιζόμεθα. ἀγαπητῶς δεχόμεθα. η ἀντὶ τοῦ ἐγκαρδίως φιλοῦμεν. στέρνα γὰρ τὰ στήθη.* Στεῦται. ὑπισχνεῖται· διαβεβαιοῦται. παρὰ τὸ στῆθος. οἱονεὶ ἐν τοῖς στήθεσι διανοεῖται· ἐκεῖ γὰρ τὸ λογιστικὸν καθ' Ομηρον· στῆθος δὲ πλήξας κραδίην ἐνίπαπε μύθῳ. Στείχω. τὸ ἐν τάξει πορεύομαι. διὰ διφθόγγου· ἀνεφάνη γὰρ τὸ στοιχεῖον. ἐξ ου καὶ ἀντίστοιχον. Στείβω. τὸ περιπατῶ. στιβεύω δὲ ¯ι. ἀπὸ τοῦ στίβος, ἡ ὁδός. Στεῖλαι καὶ μεταστεῖλαι. ἀπὸ τοῦ στέλλω. στέλλε δὲ ψιλόν. Στηλιτεύσασ. παραδειγματίσας. ἀπὸ τῆς στήλης. Στημονίζω. λεπτύνω. Στίζεται. μαστίζεται. Στιχίζω. στίχους γράφω. Στοιχίζω δὲ, τὸ περικυκλῶ, δίφθογγον. sigma.1681 Στορέσασ. ὑποστρώσας. κατακοιμίσας· καταπραΰνας. Στοιβάζω. συνάγω. Στοιχίζω. κυκλῶ. πολλὰ κακά μοι περιεστοίχισας. Στρηνιᾷν. ἀτακτεῖν. καὶ στρηνιῶντες. παρὰ τὸ στερεῖν καὶ ἀποσπᾷν τὰς ἡνίας. ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων. καὶ ὁ ᾿Απόστολος· ο ταν καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι. Στροβούμενοσ. συστρεφόμενος. στρωφῶ δὲ καὶ στρωφώμενος, μεγάλα. Στροβοῦντα. συστρέφοντα. †μεταβάλλοντα.† Στραγεύει. διαβάλλει. οὐκ εὐθὺς πορεύεται. Στρατολογῶ. τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στρατεύω. Στρέψασα. καὶ ἀντὶ τοῦ κλέψασα. πολλοὺς δὴ θυλάκους καταστρέψασα ἐμούς. Στρεφεδίνηθεν. συνεστράφησαν. Στυφελίξαι. διασεῖσαι· ταράξαι· πατάξαι. Στελλόμενοι. ἀντὶ τοῦ περιστελλόμενοι καὶ sigma.1682 ἀσφαλιζόμενοι. στελλόμενοι τοῦτο, ι να μή τις ὑμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ. (Ἐπίῤῥημα.) Στοιχηδόν. κατὰ τάξιν. Τὸ Σ μετὰ τοῦ Υ. (Ἀρσενικόν.) Συβότησ. ὁ χοιροβοσκός. Συγγραφεύσ. ὁ τὰ ἐφ' ἑαυτοῦ γεγονότα συγγραψάμενος. Σύγκελλοσ. ἀξίωμα. Σύγκλυδεσ. γείτονες. Συηνίασ. αἰσχρός· σκαιός· ἀμαθής. Συλλήπτωρ. βοηθός· ἀντιλαμβανόμενος. παρὰ τὸ λήβω, τὸ λαμβάνω. Συμμίασ. κύριον. Συμφυλετῶν. συγγενῶν· ὁμοεθνῶν. Συμφοιτητήν. τὸν συμμαθητὴν λέγει ὁ Σόλων. συμφιλολόγον δὲ δεινῶς βάρβαρον καὶ Αἰγύπτιον. sigma.1683 Συνασπισμόσ. ἡ συνάφεια, ἡ βοήθεια. Σύναιχμοσ. ὁ σύμμαχος. Σύναιμοσ. ὁ ἀδελφὸς, ὁ τοῦ αὐτοῦ αι ματος. Συνίστωρ. ὁ συνεπιστήμων. Συνέριθοσ. ὁ βοηθός. Σύνδεσμοσ. λέξις συνδέουσα διάνοιαν μετὰ τάξεως, καὶ τὸ τῆς ἑρμηνείας κεχηνὸς δηλοῦσα· κεχηνὸς δέ ἐστι τὸ διακεχωρισμένον. εὑρέθη δὲ ὁ σύνδεσμος πάντων τῶν τοῦ λόγου μερῶν ε σχατος, διὰ τὸ ει ναι αὐτὸν συνδετικὸν πάντων τῶν τοῦ λόγου μερῶν. παρέπεται δὲ τῷ συνδέσμῳ τρία· ει δος, σχῆμα καὶ τόνος. δεσμὸς δὲ συνδέσμου διαφέρει, ο τι ὁ μὲν δεσμὸς εἰς ε ν χαρακτηρίζεται, ὁ δὲ σύνδεσμος εἰς πολλά. κατὰ πόσους δὲ τρόπους διαφέρει ὁ η τοι σύνδεσμος τοῦ μὲν συνδέσμου; κατὰ δύο· ο τι ὁ μὲν η τοι ποιητικός ἐστιν, ὁ δὲ μὲν συνήθης· καὶ ο τι ὁ μὲν η τοι μέσος παράκειται, ὁ δὲ μὲν κατ' ἀρχὰς τίθεται. ὁ ἀλλὰ δὲ σύνδεσμος ἀντὶ τοῦ καὶ παραλαμβάνεται· οι ον, ἡμέρα μέν ἐστιν, ἀλλὰ τὰ νέφη οὐχ ὁρῶ. εἰσὶ δὲ καὶ σύνδεσμοι παραπληρωματικοὶ, ἐκ τοῦ πλεονάζειν ε χοντες τινὰ ὀνομασίαν· πολλοὶ γὰρ αὐτῶν κατὰ πλεονασμὸν ἀναπληροῦσι τὴν φράσιν. οἱ δὲ ἐναντιωτικοὶ σύνδεσμοι δηλοῦσι τὸ ἐναντίον τῇ δυνάμει τοῦ πράγματος· οι ον, ἀσθενὴς μὲν ἐγὼ, σὺ δὲ ἰσχυρὸς, καὶ ο μως ἀσθενὴς ω ν σὲ τὸν ἰσχυρὸν ε τυψα. Συντακτήριοι. οἱ ἐν ἐξόδοις τῶν πόλεων ἐπὶ τῶν ἀρχόντων ἀποχαιρετισμοί. οι ος καὶ ὁ τοῦ μεγάλου πατρὸς Γρηγορίου τοῦ θεολόγου συντακτήριος λόγος. sigma.1684 Συρφετόσ. α χυρα η φρύγανα, η α λλα τινά. ω σπερ παρὰ τὸ υ ω ὑετὸς, πνίγω πνιγετὸς, ου τω σύρω συρετὸς, καὶ πλεονασμῷ τοῦ ¯φ συρφετός. Συσσιτισμόσ. ἡ συντροφία, η τοι τὸ συνέρχεσθαι εἰς τὸ α ριστον. καὶ συσσίτια. Σῦσ. ὁ χοῖρος. παρὰ τὸ σείω, τὸ ὁρμῶ· ὁρμητικὸν γὰρ τὸ ζῶον. σῦς, καὶ ἀποβολῇ τοῦ ς υ ς. η παρὰ τὸ υ εσθαι, τὸ βρέχεσθαι. υ ω, υ σω, υ ς. καὶ γὰρ ἐπὶ τοῖς υ δασι τέρπεται. καὶ πλεονασμῷ τοῦ ς σῦς. βραχὺ τὸ ¯υ τῆς γενικῆς, ἐπειδὴ τὰ εἰς ¯υ¯ς περισπώμενα συστέλλουσι τὸ ¯υ ἐπὶ τῆς γενικῆς· μῦς, μυὸς, δρῦς, δρυὸς, σῦς, συὸς, καὶ υ ς, ὑός. Συφεόσ. ἡ τῶν χοίρων μάνδρα. Συρμαϊσμόσ. βρωμάτιόν τι ἐστὶ διὰ στέατος καὶ μέλιτος· καὶ ε στι πρὸς κάθαρσιν ἐπιτήδειον. ε στι δὲ καὶ πόμα δι' υ δατος καὶ ἁλῶν. (Θηλυκόν.) *Σύναρσισ. βοήθεια· συγκρότησις.* Συβήνη. ἡ δερματίνη αὐλοθήκη. η ἡ φαρέτρα. Συβαριτική. τρυφηλή. καὶ ἡ τράπεζα η ν συβαριτική. τρυφηταὶ γὰρ οἱ Συβαρῖται. Σύγκρασισ. ποτὲ μὲν τὴν ε νωσιν δηλοῖ· ποτὲ δὲ τὴν σύγχυσιν. Σύγκρισισ. ἡ τῶν πρωτοτύπων ἐπαύξησις. τύποι δὲ τῶν συγκριτικῶν τρεῖς· ὁ εἰς ¯τ¯ε¯ρ¯ο¯ς, οι ον ὀξύτερος, βραδύτερος· καὶ ὁ εἰς ¯ω¯ν καθαρὸν, οι ον καλλίων, βελτίων· ὁ εἰς ¯σ¯ω¯ν, οι ον κρείσσων, η σσων. Συγκοπή. ἡ ἐκ τῆς μέσης α ρσις. οι ον κατάκτανε κάκτανε. sigma.1685 Συζυγία. συνέλευσις καὶ συμφωνία δύο συλλαβῶν εἰς μίαν συλλαβήν. η ἡ ἀκόλουθος ῥημάτων κλίσις. Συήνη. ο νομα πόλεως. Συηνία. ἡ σκαιότης, ἡ αἰσχρότης, ἡ ἀμαθία. Συκῆ. τὸ δένδρον. παρὰ τὸ σύω, τὸ ὁρμῶ, η τὸ σεύω, τὸ ὁρμῶ. Συκοφαντία. μέμψις οὐκ ἀληθής. Συκομοραία. δένδρον. Συλλαβή. συμπλοκὴ στοιχείων κατάλληλος, ὑφ' ε να τόνον καὶ ε ν πνεῦμα ἀδιαστάτως ἀγομένη. η α σημος φωνὴ, συγκειμένη ἀπὸ φωνήεντος καὶ ἀφώνου, η ἀφώνου καὶ φωνήεντος. Σύμφασισ. δύο η πλειόνων περὶ τοῦ αὐτοῦ πράγματος ὁμοία λύσις· η γουν συγκατάθεσις καὶ συνομολογία. Συμμαχίσ. πόλις καὶ ναῦς. Συμμορία. ἡ πληθὺς, η ἡ συνέλευσις, η ἡ φατρία, η τὸ σύνταγμα. ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑπότερος καὶ υ στερος. προόντος γὰρ ἑτέρου λέγεταί τις υ στερος. ω στε πλεονασμός ἐστι τοῦ ς. Υσπληξ. φραγγέλιον. ἀφετηρία. βούκεντρον. η μύωψ ὁ πλήσσων τοὺς βοῦς. ει ρηται ἀπὸ τῶν τριχῶν τῶν ὑείων γίνεσθαι. οι μαι δὲ ἀφετηρία ἐκ τοῦ ἐκεῖσε πλήσσεσθαι τῇ μάστιγι τοὺς ι ππους. η παρὰ τὴν ὑπὸ πρόθεσιν ὑπόπληξ, καὶ συγκοπῇ τῆς πο συλλαβῆς καὶ πλεονασμῷ τοῦ ς υ σπληξ. υ σπληξ καὶ ὁ σιδηροῦς ὀχεὺς, ο ν λάμναν καλοῦσιν. (Θηλυκόν.) Υσκα. ὀψάριον καὶ ξύλον, ἐν ῳ α πτεται τὸ πῦρ.῾Υσμίνη. ἡ μάχη.῾Υστεροβουλία. μεταμέλεια.῾Υστριχίσ. ζῶον. ὑστρηχὶς δὲ μάστιξ ἡ ἐξ ὑείων τριχῶν. ¯η τὸ ¯σ¯τ¯ρ¯η. καὶ υ στρηξ ὁμοίως. Υσχη. ει δος βοτάνης. upsilon.1789῾Υσοίπη. ὁ ῥύπος. τοῦ Ψελλοῦ· ὑσοίπηρος ὁ ῥυπαρὸς, ὑσοίπη γὰρ ὁ ῥύπος. (Οὐδέτερον.) Υστατον. τὸ ε σχατον. ῾Υστέλειον. ο ρος. καὶ ῾Υστερεῖον. Υσσωπον καὶ ὁ υ σσωποσ. βοτάνη καθαρτικὴ τῶν κατὰ στόμαχον πεπλεγμένων φλεγμάτων, διὰ τὴν ἐν αὐτῷ θερμότητα. (῾Ρῆμα.)῾Υσθῆναι καὶ ὑσθῆσαι καὶ υ σθην. ἀντὶ τοῦ ἐβράχην.῾Υστερήσαντεσ.῾Υστερούμεθα. ἀντὶ τοῦ ἐλαττούμεθα παρὰ τῷ θεῷ. ου τε, ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα. Τὸ Υ μετὰ τοῦ Φ. (᾿Αρσενικόν.) Υφασισ. ποταμός.῾Υφηγητήσ. ἐξηγητής. (Θηλυκόν.) Υφαλος πέτρα. ἡ ὑπὸ τῆς θαλάσσης κεκρυμμένη, η τις υ δωρ ὀλίγον ἐπικείμενον ε χουσα γίνεται τοῖς πλέουσι κινδύνου παραίτιος. καὶ υ φαλος φάτις, ἡ κρυφία φαντασία. Υφασισ. ὑπόβασις· ταπείνωσις· ὑποκατάβασις· ε νδοσις. ῾Υφή. ἡ πλοκή. καὶ ὑφὲν, συνάφεια ἐκ δύο λέξεων συγκειμένη. ὠνόμασται δὲ ὑφὲν παρὰ τὸ ἑνοῦν τὰς λέξεις, καὶ ἐν τῷ α μα ποιεῖν αὐτὰς ἀναγινώσκεσθαι. καὶ ὑφὲν ἀντὶ τοῦ ὁμοῦ. upsilon.1790῾Υφεδρίαν. τὴν κάτω καθέδραν λέγει ὁ Θεολόγος, η γουν τὸν τοῦ πρεσβυτέρου βαθμόν. προεδρίαν δὲ τὴν ἐπισκοπήν. (῾Ρῆμα.)῾Υφέντεσ. ι ημι, ὁ δεύτερος η ν, ἡ μετοχὴ ει ς, ε ντος, ε ντες, καὶ ὑφέντες.῾Υφειμένον. ταπεινόν. ὑποβεβηκός. δευτερεῦον. ὑποχείριον.῾Υφειμένοσ. ἐνδεδυμένος.῾Υφεξαίρειν. λαμβάνειν. ἐπαίρειν.῾Υφεῖται. συγχωρεῖται.῾Υφηγοῦμαι. διηγοῦμαι· ἐξηγοῦμαι.῾Υφήναι. ἀντὶ τοῦ ὑφάναι.῾Υφίει. συνεχώρει. †῾Υφιείσ. ὑπενδούς.†῾Υφεῖναι. ἐνδοῦναι.῾Υφιέντεσ. ἐλαττοῦντες. ὑποσυγκαταβαίνοντες. * ῾Υφείλετο. κατέσχεν.*῾Υφιζάνοντι. ὑποκαθημένῳ.῾Υφόωσιν. ἀντὶ τοῦ ὑφαίνουσιν. ῾Υφαίνω. παρὰ τὸ ει ς, ο σημαίνει τὸν ἀριθμὸν, γέγονεν αἰνῶ, καὶ μετὰ τῆς ὑπὸ προθέσεως καὶ ἐν συνθέσει ὑφαίνω. οἱ γὰρ ὑφαίνοντες τὰ διῃρημένα καὶ κεχωρισμένα εἰς ε ν μάλιστα σπεύδουσιν α γειν. ου τω Θεόγνωστος.῾Υφωρώμην. ὑπενόουν. Τὸ Υ μετὰ τοῦ Ψ. (᾿Αρσενικόν.)῾Υψαύχην. ὁ ἀλαζὼν, ὁ ὑψηλόφρων. ῾Υψήγοροσ. μεγαλήγορος. upsilon.1791 ῾Υψηλόφρων. ἐπηρμένος. ῾Υψηχήσ. ὁ ὑψαύχην.῾Υψηχέεσ. παρὰ τὸ εἰς υ ψος ἐμφέρειν τῶν ποδῶν τὸν η χον. –ὑψηχέες ι πποι.῾Υψίζυγοσ. ὁ ἐν υ ψει ε χων τὴν καθέδραν, καὶ πάντων ω ν κυβερνήτης. ζυγὸς δὲ ἡ καθέδρα τῶν κωπηλατῶν. η καὶ ὁ ἐν υ ψει ζυγοστατῶν καὶ ταλαντεύων τὰς μοίρας. λέγουσι δὲ τὸν Δία οἱ Ελληνες.῾Υψιβρεμέτησ. ὁ ἐν υ ψει βροντῶν. βρέμω γὰρ τὸ ἠχῶ.῾Υψίκομοσ. ὁ ἐν υ ψει θάλλων, η ὁ ἐν υ ψει τὴν κόμην ε χων. †῾Υίζων. ο νομα ποταμοῦ.†῾Υψιπέτησ. ὁ εἰς υ ψος πετόμενος. ὑψιπετὴς δὲ, ὁ ἀπὸ υ ψους πεσών. upsilon.1792῾Υψιστάριοσ. †ὁ τὸν υ ψιστον καλῶν.† (Θηλυκόν.) Υψωσισ. ε παρσις.῾Υψηγορίαν. τὴν ὑψηλὴν θεολογίαν. ὁ θεολόγος φησίν. (Οὐδέτερον.) ῾Υψηρεφέσ. μεγάλην ε χον σκιὰν καὶ σκέπην.῾Υψηλόν. τὸ πλεῖστον ἀπέχον τοῦ μέσου.῾Υψιπέτηλον. εἰς υ ψος ε χον τὰ φύλλα. Υψοσ. παρὰ τὸ ο πτω, τὸ βλέπω, ο ψος, καὶ τροπῇ †Αἰολικῇ† τοῦ ο εἰς υ υ ψος. †ὡς καὶ ο μοιον ε μιον.† ἀφ' ου ἐστιν ὁρᾶν.῾Υψῶ. μεγαλύνω, δοξάζω. καὶ ὑψώσω. Υψι. ἐφ' υ ψους.῾Υψόθι. ὑψόσε.῾Υψοῦ. ἀντὶ τοῦ ἐφ' υ ψους. phi.1791 Φ. Τὸ Φ μετὰ τοῦ Α. (᾿Αρσενικόν.) Φαγῶνα. φίλαυτον καὶ α πληστον. ε στι δὲ Σύρων ἡ λέξις. Φαέθων. ὁ η λιος. καὶ κλίνεται φαέθοντος. ἀπὸ τοῦ φάος. phi.1792 Φαίδιμοσ. λαμπρός. παρὰ τὸ φαίνω, φαίνιμος καὶ φαίδιμος. Φαινόλησ. χιτὼν ἱερατικός. οἱ δὲ παλαιοὶ ἐφεστρίδα. η φαινόλης, ὁ ἀπατεών. καὶ φαινόλιον, ἱμάτιον. *καὶ ὁ ἀρχιερατικὸς χιτών.* †Φαινόπουσ. ὁ λευκόπους.†



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

phi.1793 Φακεέ. κύριον. Φάκελοσ. φορτίον ξύλων. Φακόσ. ὁ ὠμὸς, ὀξύνεται. φακῆ δὲ, ἡ ἑψηθεῖσα, περισπᾶται. ἀπὸ γὰρ τοῦ φακέα φακῆ, ἡ τὰ φάη κακοῦσα. ἐγὼ ευ ρον τὸ φακκὸς διὰ δύο κάππα. Φαιστόσ. α κρα τὶς, η ἀκρωτήριον ἐν Κρήτῃ. Φαλόσ. αἰδοῖον ἀνδρικὸν ἐκ ξύλου πεποιημένον, ο περ ἐν τῇ τοῦ Διονύσου ἑορτῇ φοροῦντες οἱ Ελληνες ἐχόρευον. φαλοὶ καὶ τὰ ἀσπιδίσκια καὶ ὁ λόφος τῆς περικεφαλαίας· ο θεν καὶ τρίφαλος ἀσπίς. Φανότατα. λαμπρότατα. Φανοπεὺς καὶ Φανοτεύσ. ὀνόματα κύρια. Φαρμουθί. ὁ ἀπρίλλιος μὴν παρὰ Ῥωμαίοις. Φαρισαῖοι. ου τοι α κραν ἀρετὴν ἐπετήδευον. ἐνήστευον γὰρ δὶς τοῦ σαββάτου, δευτέραν καὶ πέμπτην· ἀπεδεκάτουν τὴν δεκάτωσιν· ἀπαρχὰς ἐδίδων τριακοντάδας τὲ καὶ πεντηκοντάδας· τὰς δὲ θυσίας καὶ τὰς εὐχὰς ἀσφαλεστάτας ἀπετίννυον· ἐκάθευδον δὲ ἐπὶ στενῶν σανίδων η ἐπ' ἀκανθῶν η ἐπὶ καχλήκων, διὰ τὸ δῆθεν μὴ παθεῖν τι σωματικὸν, η κλαπῆναι δι' ὀνειράτων καὶ εἰς ῥύσιν πεσεῖν σώματος. ἀλλὰ γὰρ καὶ εἱμαρμένη καὶ ἀστρονομία παρ' αὐτοῖς phi.1794 σφόδρα ἐχρημάτιζεν. ἐλέγοντο δὲ φαρισαῖοι διὰ τὸ ἀφωρισμένοι ει ναι ἀπὸ τῶν α λλων διὰ τὴν νεμομισμένην παρ' αὐτοῖς ἀκριβεστάτην πολιτείαν. φαρὲς γὰρ κατὰ τὴν ἑβραΐδα γλῶτταν ἀφορισμὸς ἑρμηνεύεται, η διακοπή· διέκοψε γὰρ τὴν φυσικὴν τάξιν ὁ φαρές. *Φασέκ. κατὰ Ἰουδαίους τὸ λεγόμενον φάσκα, ο περ δηλοῖ τὴν ἐξ Αἰγύπτου διάβασιν.* Φαρυγγίνδην. ὡς ἀριστίνδην. σκώπτοντες γὰρ τὴν γαστριμαργίαν τῶν χορευτῶν οἱ Ἀττικοὶ ου τως λέγουσι. †Φάσισ. φήμη· λόγος· φωνή. ε στι δὲ καὶ ποταμὸς ἐνδοτέρας τῆς Σκυθίας ου τω καλούμενος Φάσις, ο ς λέγεται Φεισών.† †Φατειόσ. ὁ λεχθῆναι δυνάμενος.† †Φαινόμενον κυρίως λέγεται τὸ τῇ ο ψει ἀντιληπτόν. ο θεν διαφανῆ σώματα μόνα κυρίως τὰ δίοπτα λέγεται.† Φαῦλοσ. πονηρός. ἐλάχιστος κακός. παρὰ τὸ φῶ, τὸ φαίνω, φαύσω, φαῦλος, ὡς παύσω παῦλος, ὁ ἐπ' αἰσχροῖς πράγμασι διάδηλος καὶ φανερός. Φαωφί. Ἑβραϊκὸν ο νομα. καὶ μηνός. Φάλανθοι. οἱ φαλακροί. α νθος γὰρ ἡ λευκὴ θρίξ. phi.1795 Φαλακρόσ. ὁ τὸ α κρον ε χων φαλόν. η παρὰ τὸ φάος φάλων. (Θηλυκόν.) Φαγέδαινα. νόσος λοιμική. Φάλαγγεσ. στίχες, τάξεις. οἱ δὲ τὸ ἐκ πλειόνων τάξεων ὁπλιτικὸν πλῆθος. οι ον πέλανες τινὲς ου σαι. παρὰ τὸ πέλας, ο ἐστιν ἐγγὺς ἀλλήλων. †Φαλέη. τὰ πετρώδη.† Φαληριόεσσα. εὐτραφής. καὶ Φάληρα, τόπος. Φαλκωνίλλα. κύριον. Φαντασία. δύναμις φαντασιῶν ἀνατυπωτική· η πάθος τῆς ἀλόγου ψυχῆς ὑπὸ φανταστοῦ τινὸς γινόμενον. †η ἡ περὶ τῶν ἐν τῷ ἡγεμονικῷ τύπῳ τῆς φανταστικῆς δυνάμεους ἐνέργεια.† Φάραγξ. ἀπὸ σπαράσσω, σπάραξ, καὶ τροπῇ φάραγξ. ε στι δὲ τὸ ἀπόσπασμα τῆς γῆς· η τὸ χάσμα καὶ ἡ κοιλάς. Φαρέτρα. βελοθήκη. ἀπὸ τοῦ φέρειν καὶ κομίζειν τὰ τιτρώσκοντα. Φαρέα καὶ Φαρίν. πόλις. phi.1796 Φαεσίμβροτοσ. ἡ φῶς τοῖς ἀνθρώποις φέρουσα. Φάσισ. φήμη, λόγος. ε στι δὲ καὶ ποταμὸς ἐνδότερον τῆς Σκυθίας, ου τω καλούμενος. φάσις λέγεται καὶ ἐπὶ δημοσίου ἐγκλήματος, ο τε τις ἀποφαίνηται τῶν δημοσίων ε χοντά τινα μὴ πριάμενον. λέγεται δὲ ἐπὶ τῶν ὀρφανῶν οι κων τῶν ἐπιτροπευομένων· ε φαινεν αὐτὸν ὁ βουλόμενος πρὸς τὸν α ρχοντα. Φαῦσισ. αὐγή· φέγγος· λαμπρότης. Φαυλία. ὁ κότινος. καὶ ἁπλῶς ει δος ἐλαίας. Φατρία. συγγένεια. σύνταγμα. η κακοθελὲς διαβούλιον. καὶ συμφωνία τινῶν ἐπὶ πράξεσι φαύλαις. κυρίως δὲ φατρία ἐστὶ τὸ τρίτον μέρος τῆς φυλῆς. Φαρέτρα. παρὰ τὸ φέρειν καὶ κομίζειν τὰ τιτρώσκοντα. Φάτνη. παρὰ τὸ φαγεῖν φάγη καὶ φάτνη τροπῇ τοῦ ¯γ εἰς ¯τ. η παρὰ τὸ πατῶ, τὸ ἐσθίω, πάτνη καὶ φάτνη. (Οὐδέτερον.) Φαγύλιον. μαρσίπιον. phi.1797 Φαιδρόν. τερπνὸν, χαριοπρόσωπον. Φαικάσιον. τὸ ὑπόδημα. †Φαινόλιον. ἱμάτιον η ἀρχιερατικὸς χιτών.† Φαιόν. τὸ μέσον λευκοῦ καὶ μέλανος. Φαινώματα. τὰ φαντασίαν ἀποτελοῦντα, οὐ μέντοι ο ντα γέ που τῇ ἀληθείᾳ. Φάη. οἱ ὀφθαλμοὶ, ο τι ἐξ αὐτῶν φῶς προχεῖται. Φαεινόν. λαμπρόν. Φάλον. τὸ προμετωπίδιον ἀνάστημα τῆς περικεφαλαίας. εἰσὶ γάρ τινες η λοι λαμπροὶ ε νεκα κόσμου τῆς περικεφαλαίας. φαλὸν γὰρ τὸ λαμπρόν. ο θεν καὶ φαλακρὸς, ὁ ε χων φάλιον τὸ κάρα. –κόρυθος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φάλον–. Φαλαικὸν καὶ φαλαινόν. ποίημα †αὐτοσχέδιον.† Φανταστόν. τὸ τῇ φαντασίᾳ ὑποπίπτον. ὡς αι σθησις καὶ αἰσθητόν. Φανταστικόν. δύναμις τῆς ἀλόγου ψυχῆς διὰ τῶν αἰσθητηρίων ἐνεργοῦσα. phi.1798 Φάροσ. ἱμάτιον περιβόλαιον. ἀπὸ τοῦ φέρεσθαι, οι ον φέρος τὶ ο ν. καὶ Φάρος ἡ νῆσος ἡ πρὸ τῆς Αἰγύπτου. ε χει δὲ καὶ α λλον λόγον ἐπὶ τοῦ προφαινομένου τοῖς πλέουσι πύργου. ει τε παρὰ τὸ φῶς ἀνάπτειν τοῖς πλέουσιν. η παρὰ τὸ φάω, φάσω, Φάρος. ὁ δὲ Μιλήσιος Ωρος λέγει, ο τι τῇ Καρίᾳ προσπελάσαντος ᾿Αλεξάνδρου ἡ ῾Ελένη παρεκάλει τινὰ Φάρον κυβερνήτην, Κᾶρα τῷ γένει, διασῶσαι αὐτὴν εἰς Λακεδαίμονα. καὶ τοῦτον ἀπολαβόντα αὐτὴν ἀποῤῥιφῆναι εἰς Αι γυπτον, ε νθα ὑπὸ ο φεως πληγέντα ἀποθανεῖν. θάψασα δὲ, ἀπ' αὐτοῦ Φάρον ὠνόμασε. Φάρμακον. παρὰ τὸ φέρειν α κος, φέρακον τὶ ο ν. ἐπὶ δὲ τοῦ κακοῦ, παρὰ τὸ φέρειν α χος. Φάσματα. ει δωλα, φαντασίαι. Φασκώλιον. ἱμάτιον η σακούλιον. Φάριον πέλαγοσ. τὸ ἐν Φάρῳ. Φατνώματα. σανιδώματα. Φάσγανον. ξίφος. παρὰ τὸ σφάζω, σφάσγανον καὶ ἐν ὑπερθέσει φάσγανον. η σπάγανον τὶ ο ν, phi.1799 παρὰ τὴν σπάσιν. η παρὰ τὸ φᾶσθαι, ο ἐστι φονεύεσθαι. Φαάνθη. ἐφάνη. καὶ φάανθεν, ἀόριστος πρῶτος. ε στι φαίνω, ὁ ἀόριστος πρῶτος ἐφάνθην, ἐφάνθη, καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἐφάνθησαν, καὶ πλεονασμῷ τοῦ ¯α καὶ ἀφαιρέσει τοῦ ¯ε φάανθεν. Φάγωμεν. ἀνθυπότακτόν ἐστι. φάγομαι δὲ, μικρόν. Φαῖμεν. ει ποιμεν. εὐκτικόν. ε στι ῥῆμα φῶ, φὰς ἡ μετοχὴ, φάντος, φαῖμεν. Φαίνω. ἀπὸ τοῦ φαείνω, ἀποβολῇ τοῦ ¯ε, καὶ συναιρέσει τοῦ ¯ι, φαίνω. ὡς ἀείρω, αι ρω. Φάναι. εἰ μὲν παροξύνοιτο, βραχὺ τὸ ¯α, καὶ ε στιν ἐνεστῶτος καὶ παρατατικοῦ τῶν εἰς ¯μ¯ι. εἰ δὲ περισπᾶται, μακρὸν τὸ α, καὶ ε στιν ἀόριστος δεύτερος τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων, ἀπὸ τοῦ φαίνω. σημαίνει δὲ τὸ εἰπεῖν. Φαρμάξασ. ἰατρεύσας, ἀποστήσας. †ἀπατήσας. γοητεύσας.† Φαρμακοῦται. ἐπαστοῦται, καταγοητεύεται. φαρμακοῦται φαρμακευομένη. παρὰ σοφοῦ. phi.1800 Φάσθαι. φημὶ, ὁ μέλλων φήσω, ὁ μέσος δεύτερος ἀόριστος ε φην, ε φασο, ε φατο, καὶ τὸ ἀπαρέμφατον φάσθαι. Φαυλίζει. εὐτελίζει. η διάδηλον καὶ φανερὸν ποιεῖ τοῖς αἰσχροῖς πράγμασι. Φαρυγγίζειν. ἀπὸ τοῦ φάρυγξ. τὸ δὲ φάρυγξ ἀπὸ τοῦ φέρω, δι' ου φέρεται τὸ πνεῦμα. καὶ ε στι παρώνυμον. φέρω, φέρος καὶ φάρος, κἀκ τούτου φάρυγξ. Ωρος δὲ λέγει, δι' η ς φέρεται ἡ ἰγγὴ, τουτέστιν ἡ φωνή. (᾿Επίῤῥημα.) Φαλαγγηδόν. κατὰ τάξιν. Τὸ Φ μετὰ τοῦ Ε. (᾿Αρσενικόν.) Φειδωλόσ. ἀνελεήμων· σκιφός. ὡς ἁμαρτῶ ἁμαρτωλὸς, ου τω φείδομαι φειδωλός. Φειδήλιος· Φειδύλος· Φειδίας· Φειδιππίδησ. ὀνόματα κύρια. Φεισών. ποταμός. καὶ Φεινειός. Φέρτεροσ. βελτίων· ἰσχυρότερος. phi.1801 Φέριστοσ. κράτιστος· ε ξοχος. Φερεσάκησ. ὁ ἀσπίδα φέρων. Φερέοικοσ. ὁ κοχλίας. Φερεφάτησ. ὁ τὰς μαντείας φέρων. Φερέγγυοσ. ἀξιόπιστος, ἐγγυητής. Φερεζαῖοι. ε θνος. Φερέσβιοσ. ὁ ζωοποιός. φερέβιος καὶ πλεονασμῷ τοῦ σ φερέσβιος. Φεραυγήσ. λαμπρός. τὸν φεραυγῆ φωσφόρον. †Φέροξ. βαρβαρικὸν ο νομα.† Φέναξ. ὁ ἀπατεών. Φέψαλοσ. ὁ σπινθὴρ ὁ ἀναφερόμενος ἐκ τῶν καιομένων ξύλων. Φελώνην. ἱμάτιον ἐνταῦθα λέγει ὁ ᾿Απόστολος. τινὲς δὲ τὸ γλωσσοκόμον, ε νθα τὰ βιβλία ε κειτο. τί δὲ αὐτῷ τῶν βιβλίων ε δει, μέλλοντι ἀποδημεῖν πρὸς θεόν; (Θηλυκόν.) Φειά. πόλις. Φειδήνη. πόλις. phi.1802 Φειδώ. πρόνοια. φεισμονή. εὐσπλαγχνία. ἐλεημοσύνη. σημαίνει δὲ καὶ τὴν φροντίδα. Ομηρος· οὐ γάρ τις φειδὼ νεκύων κατατεθνηώτων γίνεται–. Φενάκη. ἡ ἀπάτη. Φεραί. πόλις. Φέρμη. πόλις. καὶ Φέργη. Φέρνη. ἡ προίξ. παρὰ τὸ φέρειν ο νησιν, η ἀπὸ τοῦ φέρεσθαι αὐτήν. τινὲς φερνὴ γράφουσιν. (Οὐδέτερον.) Φείδειον ε ργον. τὸ τοῦ Φειδίου. Φελλέα. τὰ πετρώδη καὶ αἰγίβοτα χωρία. ο ταν μὲν ου ν τὰς αι γας ἐκ τοῦ φελλέου. Φελόνιον. .... Φέρετρον. ἡ τῶν νεκρῶν κλίνη. Φέριστον. τὸ ἐξοχώτατον, κάλλιστον καὶ θαυμαστόν. †Φέρνιον. ἡ σπυρίς.† Φευκτόν. μισητὸν, φυγῆς α ξιον. phi.1803 (῾Ρῆμα.) Φείδομαι. παρὰ τὸ φεύγειν τὸ δοῦναι. η παρὰ τὸ φεύδω, καὶ μόνον φεύδομαι καὶ τροπῇ τοῦ ¯υ εἰς ¯ι φείδομαι. Φένω. τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φονεύω. φαίνω δὲ, τὸ λάμπω καὶ δεικνύω, δίφθογγον. Φενακίζειν. τὸ ἀπατᾷν. ο περ οἱ ἀρχαῖοι φηνίζειν ε λεγον. πεποίηται τὸ ο νομα κατ' ἐναλλαγὴν γράμματος, παρὰ τὴν πηνίκην. ἡ δέ ἐστι περίθετος κόμη διαπατῶσα τοὺς πολλούς. η παρὰ τὸ φηλοῦν πεποίηται ο πέρ ἐστι τὸ ἀπατᾷν. καὶ φήληκας δὲ φαμὲν τὰ διαπατῶντα τὰς ο ψεις σῦκα, ὡς ει η πέπειρα. Φειδαλφιτῶ. τὸ τῶν ἀλεύρων φείδομαι. Φέρβειν. τρέφειν. Φέρονταϲ. ἀντὶ τοῦ λαμβάνοντας. ου τως ᾿Αριστοφάνης. ( ᾿Επίῤῥημα.) Φεῦ. σχετλιαστικὸν ἐπίῤῥημα. Φειδωμένωϲ. φειδωλῶς· σκνιφῶς. Τὸ Φ μετὰ τοῦ Η. ( ᾿Αρσενικόν.) Φηγεύϲ. κύριον. Φήγινοϲ. δρύϊνος. phi.1804 Φηγόϲ. ἡ δρῦς. η πεύκη. Φήληκαϲ. τὰ διαπατῶντα τὰς ο ψεις σῦκα, ὡς ει η πέπειρα. ἀπὸ τοῦ φηλῶ, τὸ ἀπατῶ. καὶ φήληξ, ὁ ἀπατεὼν, καὶ φηλήτης. Φηνέαϲ. κύριον. †Φῆνοϲ. ο νομα ποταμοῦ. τὸ δὲ ἐπίθετον ὀ. .. δηλῶν δὲ τὸν λαμπρὸν, ἀπὸ τοῦ φανὶς γέγονε.† Φῆστος· Φήσινοϲ. ὀνόματα κύρια. (Θηλυκόν.) Φηδήλα. πόλις. Φηνόη. κύριον. Φήνη. ζῶον πετόμενον. Φήμη. λόγος, ἀγγελία. Φηρά. πόλις. καὶ Φηρή. καὶ Φηρωνία. καὶ Φηρήτης, τοπικόν. †Φηρίϲ. ἡ τροφὴ θεῶν.† (Οὐδέτερον.) Φήγιον. τόπος. Φήνειον. ο ρος. (῾Ρῆμα.) Φημί. τὸ λέγω. ἀπὸ τοῦ φῶ, τὸ λέγω. Φῆναι. δεῖξαι. φῆναι ἀντὶ τοῦ εἰπεῖν. η δεύτερος ἀόριστός ἐστιν, ὡς ε στιν στῆναι, η πρῶτος, ὡς ε φαν, φάναι καὶ ἰωνικῶς φῆναι, ὡς τὸ μιάναι, μιῆναι. phi.1805 Φηλῆσαι. ἀπατῆσαι. καὶ φηλῶ. Φῆϲ.᾿Αρίσταρχος περισπᾷ, ι ν' ᾐ ἐκ τοῦ ε φης. διὸ καὶ χωρὶς τοῦ ¯ι γράφεται. σημαίνει δὲ τὸ λέγεις. φῇς σὺν τῷ ι. φημί. φῇς ε χει τὸ ¯ι καθ' ἱστορίαν η γουν κατὰ παράδοσιν. τότε γὰρ τῇ ἱστορίᾳ χρώμεθα, ἡνίκα τὶ κατὰ παράδοσιν γράφεται. ω σπερ τὸ, Σκείρων.᾿Αρίσταρχος δὲ τὸ φῆς περισπᾷ καὶ τὸ ¯ι οὐ γράφει· λέγει γὰρ, ἐὰν ει χε τὸ ι, ἐνεστὼς ω φειλεν ει ναι. Φῇσιν. ἡνίκα προπερισπᾶται, ε χει τὸ ι. ε στι δὲ, ἐὰν φῶ, ἐὰν φῇς, ἐὰν φῇ, καὶ ἐπ' ἐκτάσει τῆς ¯σ¯ι συλλαβῆς, ἐὰν φῇσι, καὶ φυλάττει τὸ ¯ι. πρόσκειται ἡνίκα προπερισπᾶται. ἡνίκα δὲ ὀξύνεται, οὐκ ε χει τὸ ι, οι ον φησίν. φῇσιν ἐλεύσεσθαι. Φήσειν. ἀντὶ τοῦ εἰπεῖν. καὶ φῆσαι. Τὸ Φ μετὰ τοῦ Θ. (᾿Αρσενικόν.) Φθεῦϊϲ. κύριον. Φθεῖρα. ἀπὸ τοῦ φθείρω γέγονε φθεὶρ, ὁ ἀπὸ φθορᾶς σωματικῆς γινόμενος. Φθῖοϲ. κύριον. Φθισήνωρ. κύριον. ε στι δὲ καὶ ὁ τοὺς α νδρας ἀναιρῶν καὶ διαφθείρων. Φθισικόϲ. φθόϊς. κύρια. Φθόνοϲ. πάθος λύπης ἐπὶ τῇ τοῦ πέλας εὐphi.1806 πραγίᾳ. παρὰ τὸ φθάνειν. ου τως Ωρος ὁ Μιλήσιος. εἰ δὲ βάσκανος, παρὰ τὸ τοῖς φάεσι καίνειν. ἐγὼ δὲ παρὰ τὸ φόνος, πλεονασμῷ τοῦ θ. Φθογγήειϲ. παρὰ τὸ φθογγὴ, τὸ δὲ φθογγὴ παρὰ τὸ φθέγγω. τὸ ¯ο μικρὸν διατί; τὰ ε χοντα τὸ ¯ε ἐγκείμενον, ἐν τοῖς ῥήμασιν, ε χουσιν τὸ ¯ο ἀντιπαρακείμενον. (Θηλυκόν.) Φθίσιϲ. ἡ φθορὰ, η νόσος τις. Φθία. πόλις. οἱ πολῖται Φθιῶται καὶ Φθῖοι. Φθινάϲ. νόσος. Φθινοπωρίϲ. ἡ κολυμβιὰς ἐλαία. Φθισίμβροτον. διαφθείρουσαν τὸν α νδρα. φθίω, φθίσω, φθισίμβροτον. Φθόη. ἡ νῦν φθίσις λεγομένη. η ο νομα πάθους ἐξ αι ματος ἀγωγῆς. Φθοῖϲ. ει δος πλακοῦντος. τὸ πληθυντικὸν τὰς φθοῖς. †Φθορά. ἐστι κίνησις ἐκ τοῦ ο ντος εἰς τὸ μὴ ει ναι.† Φθορά. ἡ διάζευξις τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. διαφθορὰ, ο ταν α λλη οὐσία δι' ἑτέρας ἀφανίζεται, ω σπερ τὸ σῶμα ἀπὸ τῶν σκωλήκων. καταφθορὰ, ἡ παντελὴς ἀπώλεια. ει ρηται μὲν ἡ φθορὰ κατὰ δύο τρόπους ἐν τῇ γραφῇ· τουτέστι σωματικῶς καὶ ψυχικῶς. ὡς ο ταν λέγῃ· καὶ ει δε κύριος ὁ θεὸς τὴν γῆν, καὶ η ν κατεφθαρμένη τῇ ἁμαρτίᾳ. καὶ πάλιν περὶ ἀνphi.1807 θρώπων, ο τι διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις καὶ ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. λοιπὸν ἡνίκα ἀκούσῃς διδασκάλου λέγοντος, α φθαρτον τὸ σῶμα τοῦ Χριστοῦ πρὸ τοῦ σταυροῦ ὑπάρχειν, νόμισον, ο τι κατὰ φθορὰν τῆς ἁμαρτίας λέγει αὐτὸ α φθαρτον η τοι ἀμίαντον, καὶ οὐ κατὰ λεπτότητα τινὰ καὶ ἀλλοτριότητα τῶν ἡμετέρων σωμάτων. α φθαρτον γὰρ κυρίως ἐστὶ τὸ ἀπαθὲς καὶ α ϋλον καὶ ἀψηλάφητον. α φθαρτον ἐστὶ τὸ ὑφ' ἑτέρας οὐσίας βλαβῆναι μὴ δυνάμενον. α φθαρτον ἐστὶ τὸ κατὰ πάντα α ῤῥευστον καὶ ἀνενδεὲς καὶ α τρωτον. τὸ δὲ πανάγιον σῶμα τοῦ Χριστοῦ καὶ πέπονθε καὶ ἐτρώθη τοῖς η λοις καὶ τῇ λόγχῃ, καὶ αι μα καὶ υ δωρ ἐξήγαγε, καὶ ἐκ ζωῆς νεκρὸν γέγονε. φθαρτὸν δέ ἐστι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πᾶν τὸ τοῦ θανάτου δεκτικὸν, καὶ ζωῆς χωριστικόν. φθορὰ δὲ φύσεώς ἐστὶν, ω ς φησιν ὁ τὰ θεῖα πολὺς Διονύσιος, ἀσθένειά τε καὶ ε λλειψις τῶν φυσικῶν ε ξεών τε καὶ ἐνεργειῶν καὶ δυνάμεων. τινὲς δὲ ει πον, ο τι δυνάμει μὲν φθαρτὸν η ν τὸ πανάγιον σῶμα τοῦ Χριστοῦ, τουτέστι δεκτικὸν φθορᾶς· ἐνεργείᾳ δὲ διετηρήθη ἐν τῷ μνήματι ὑπὸ τῆς θεότητος τοῦ λόγου α φθαρτον. φθορὰ, λύσις τῆς συνεχείας τοῦ φυσικοῦ ει δους. οὐ ταυτὸν δὲ φθορὰ καὶ φθαρτὴ οὐσία. ἡ μὲν γὰρ φθορὰ καὶ διάλυσιν σημαίνει τῶν συντεθέντων καὶ ἡρμοσμένων· ἡ δὲ φθαρτὴ οὐσία τὸ ὑποκείμενον δηλοῖ πρᾶγμα, ῳ καὶ ἡ φθορὰ ἐνδεχομένως ἐπισυμβαίνει. (Οὐδέτερον.) Φθέγμα. Ωρος ὁ Μιλήσιος δι' ἑνὸς ¯γ· ὁ δὲ Ἡρωδιανὸς διὰ δύο. καὶ ι σως παρὰ τὸ φθέγγομαι. Φθιτόν. τὸ φθαρτόν. φθινόπωρον. phi.1808 †Φθινόπωρον. χρόνος, ἐν ῳ τὸ ξηρὸν ἐπικρατεῖ.† (῾Ρῆμα.) Φθάνει. προϊκνεῖται· προλαμβάνει. παρὰ τὸ φθίνω. Φθάμενοσ. φθάσας. ἀπὸ τοῦ φθῶ, φθῆμι, ὁ παθητικὸς ἐνεστὼς φθάμαι. τὸ δὲ φθῶ ἀπὸ τοῦ φθίω, τὸ φθείρω. οἱ γὰρ καταλαμβάνοντες φθείρουσι τὸν δρόμον, καὶ ἐλαττοῦσι τὸ καταλαμβάνειν. Φθάσαντα. ἐγγίσαντα. Φθαίῃσι. φθάσει. Φθέγγεσθαι. πλεονασμῷ τοῦ θ. ε στι παρὰ τὸ φέγγος, ο ἐστι φῶς. παρὰ τὸ εἰς φῶς τὰ τοῦ νοῦ α γειν. Φθίω. τὸ φθείρω. Φθίνει. καὶ φθινύθω, τὸ φθείρω. Φθίμενοσ. πεφθαρκώς. ἀπὸ τοῦ φθίμι, ἡ μετοχὴ φθίμενος. Φθῶ. τὸ καταλαμβάνω. Ομηρος· φθῆ σε τέλος θανάτοιο– ἀντὶ τοῦ καταλάβοι σε. Φθαρῇ. μετενεχθῇ. καὶ ὁ᾿Απόστολος· μήπως φθαρῇ τὰ νοήματα ἡμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς Χριστόν. Τὸ Φ μετὰ τοῦ Ι. (᾿Αρσενικόν.) Φιαρόσ. ὁ λαμπρός. παρὰ τὸ φάος. καὶ φιαρή. φιαρὴ τῆμος α νεσχεν ε ως. Φιλομειδήσ. ὁ φιλόγελως. Φιλαπεχθήμων. ὁ ε χων πρὸς τοὺς φίλους μισητῶς. Φίλερισ. μάχιμος. φιλόνεικος. ἀναιδής. phi.1809 Φιλέταιροσ. ὁ τοὺς φίλους ἀγαπῶν. Φιλέψιοσ. κύριον, η καὶ ὁ φιλοπαίγμων. ε ψια γὰρ τὰ ἀπὸ λόγων παίγνια. Φίλοιφοσ. ὁ πόρνος. Φιλοπότησ. ὁ φιλῶν πότους καὶ συμπόσια. φιλοπώτης δὲ, ὁ φιλῶν πολλὰ πίνειν, μέγα. Φίλαυτοσ. ὁ κενόδοξος· ὁ ἑαυτὸν δῆθεν φιλῶν καὶ πάντα πράττων ἑαυτοῦ χάριν. καὶ φιλαυτία, ἡ τοῦ σώματος α λογος φιλία. τὸ φίλαυτος καὶ φιλαυτία παρ' οὐδενὶ τῶν ἐλλογίμων. οὐκ οι δας, τί λέγεις, α νθρωπε. τίς γὰρ ἐλλογιμώτερος τοῦ μεγάλου Βασιλείου η τοῦ ἁγίου Μαξίμου; Φιμόσ. ὁ χαλινός. παρὰ τὸ σφίγγω, σφιγγὸς, σφιγμὸς καὶ φιμός. Φινεέσ. κύριον. Φίσκοσ. δημόσιον ταμιεῖον. Φιτρόσ. ὁ κορμός. παρὰ τὸ φυτὸν φυτερὸς καὶ φιτρὸς τροπῇ τοῦ ¯υ εἰς ¯ι. Φιλήδονοι. οἱ ἀντικαταλλασσόμενοι τοῦ θείου πόθου τὸ αἰσχρόν. ὁ᾿Απόστολος· φιλήδονοι μᾶλλον η φιλόθεοι. Φίλοσ. παρὰ τὸ πίνω πίνος καὶ φίλος. (Θηλυκόν.) Φιάλη. τὸ ποτήριον. Φίαλισ. τόπος. phi.1810 Φιλαδέλφεια. πόλις. φιλαδελφία δὲ, ι. Φιλοτησία. δεξίωσις, φιλία. η ἡνίκα τις ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν, τὸ λοιπὸν παράσχοι φίλῳ, καὶ τὴν φιάλην χαρισάμενος. Φιλοτιμία. δωρεά. λέγεται καὶ ἡ μεγαλοψυχία. η ἡ κενοδοξία. ἀπὸ τοῦ φιλεῖν τὴν τιμήν. Φιλοπονία. ἡ σπουδαία ἐργασία. Φιλοφροσύνη. δεξίωσις. Φιλομήλα. ο νομα ἰχθύος. Φίλυρα. τόπος. καὶ φυτὸν ε χον φλοιὸν βίβλῳ παπύρου ο μοιον. †Φιλόστοργοι. φιλίαν τηροῦντες.† Φιάλη. παρὰ τὸ πίνω, κατὰ μετάθεσιν τοῦ π εἰς ¯φ, πιάλη τὶς ου σα. (Οὐδέτερον.) Φιδίτειον. τόπος. Φιδίτια δὲ, ἑορτὴ, ἰῶτα. Φιλομήλιον. τόπος. Φιλητόν. ἀγαπητὸν, ἀγαθόν· ἡδύ· χρήσιμον. Φίκιον. ο ρος. Φιμινάλια. βρακία. περίσκελλα. Φίτυμα. γέννημα. καὶ φίτυσις. Φίλτρον. ἀπὸ τοῦ φίλω, βαρυτόνως, φίλτρον. η ἀπὸ τοῦ φιλῶ, φίλητρον, καὶ ἐν συγκοπῇ φίλτρον. phi.1811 Φίλτερον. ἀπὸ τοῦ φίλος, φιλώτερος, ἐξ ου καὶ τὸ θηλυκὸν φιλωτέρα, τὸ οὐδέτερον φιλώτερον, καὶ κατὰ συγκοπὴν φίλτερον. πᾶν δὲ συγκριτικὸν εἰς ¯ρ¯ο¯ς λῆγον ὑπὲρ δύο συλλαβάς ἐστι. τὸ μέντοι φίλτερον, καίτοι ὑπὲρ δύο συλλαβὰς ο ν, διαφωνεῖ ὡς πρὸς τὰ συγκριτικά. Φιλόσοφον καὶ φιλοσοφία. ἠθῶν κατόρθωσις μετὰ δόξης τῆς περὶ τῶν ο ντων εὐσεβοῦς. Φίλον, φίλος καὶ φιλία. φίλον ἐστὶ τὸ προσφιλές· φίλος δὲ ὁ βουλευόμενος καὶ πράττων τὰ ἀγαθὰ τῷ φίλῳ, η τὰ φαινόμενα ἐκείνου ε νεκα, η ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συναλγῶν καὶ συγχαίρων τῷ φίλῳ, η ὁ φιλῶν καὶ ἀντιφιλούμενος. φίλος δὲ ει ρηται ἀπὸ τοῦ γινομένου κατὰ τὸ φιλεῖν η χου. τὴν φιλίαν οἱ παλαιοὶ εἰς τρία τινὰ διείλοντο ει δη. καὶ τὸ μὲν αὐτῆς διὰ τὸ ἡδύ· τὸ δὲ διὰ τὸ χρήσιμον· τὸ δὲ δι' αὐτὸ τὸ καλὸν ει πον συνίστασθαι. καὶ τὰ μὲν δύο τῆς φιλίας ει δη, τῆς τε διὰ τὸ ἡδὺ καὶ τὸ χρήσιμον, μὴ πάνυ συμπαραμένειν. καὶ εἰκότως· τῶν γὰρ φιλητῶν ἐκλελοιπότων, τοιαῦτα γὰρ πάντα τῆς ῥοῆς ε κγονα, ἀνάγκη τούτοις καὶ τὴν φιλίαν συνδιαλύεσθαι. τὴν δέ γε διὰ τὸ καλὸν φιλίαν, ἐπειδὴ μόνιμον τῷ φιλητῷ συμπαρεκτείνεσθαι πάντως ἀκόλουθον. Φῖ. τὸ στοιχεῖον. φαιὸν γὰρ τὸ μέλαν· μέλαν phi.1812 δέ ἐστι τὸ σκοτεινόν. ου τω καὶ τοῦτο κατὰ τὴν ἐκφώνησιν κακόφωνόν ἐστι. (῾Ρῆμα.) Φιλοφρονηθῆναι. δεξιωθῆναι. Φιλοκρινεῖ. δικάζει, καὶ ἐξετάζει περιέργως. Φιλοτιμεῖται. ἐπιδαψιλεύεται· μεγαλοφρονεῖ· σπουδάζει· ἀγαπᾷ. Φιλοσοφεῖν. σπουδάζειν. η πονεῖν. η ἡσυχάζειν. Φιλεῖ. ἀγαπᾷ. καὶ ἀντὶ τοῦ τέρπεται. φιλεῖ γάρ πως. Φίλαι. ἀντὶ τοῦ φιλοφρόνησον καὶ φίλησον. Ομηρος· –νῦν αυ τέ με φίλαι, ᾿Αθήνη. Φιτύω. τὸ γεννῶ καὶ τὸ φυτεύω. ἀπὸ τοῦ φυτεύω κατὰ ἀποβολὴν τοῦ ε τοῦ ἐν τῇ παραληγούσῃ, καὶ τροπῇ τοῦ ¯υ εἰς ¯ι τοῦ ἐν τῇ ἀρχούσῃ. Φιλοτιμούμεθα. η σπουδάζομεν, η καυχώμεθα. ου τως ὁ ᾿Απόστολος· διὸ καὶ φιλοτιμούμεθα, ει τε ἐνδημοῦντες ει τε ἐκδημοῦντες. Τὸ Φ μετὰ τοῦ Λ. (᾿Αρσενικόν.) Φλαμίνιοσ. ο νομα κύριον. Φλεγίασ. ο νομα ἀετοῦ. Φλεγύασ. ἐθνικόν. καὶ Φλέγυες. phi.1813 Φλήναφοσ. φλύαρος μωρολόγος. παρὰ τὸ φλύω, τὸ ἀναζέω. –ἀνὰ δ' ε φλυε καλὰ ῥέεθρα. φλέω ου ν καὶ φλύω, ὡς ῥέω, ῥύω, ἐξ ου καὶ ῥύσις καὶ ῥύαξ. παρὰ δὲ τὸ φλέω γίνεται φλενὸς ο νομα, ὡς τέρπνω, τερπνὸς, καὶ μεταθέσει τοῦ ¯ε εἰς ¯η φληνὸς, τοῦτο δὲ προσλαβὼν τὸ φῶ ῥῆμα, ο σημαίνει τὸ λέγω, ἀφ' ου τὸ φημὶ, ἀποδείκνυσι ῥῆμα, τὸ φληναφῶ, ο νομα δὲ, τὸ φλήναφος. Φλογμός. καῦμα. Φλοῖσβος. ἡ ταραχή. καὶ ὁ η χος τῆς θαλάσσης. καὶ φλοισμὸς ὁμοίως. Φλοιός. τὸ φλούδιον. Φλόνοσ. φυτόν. καὶ φλῶμος, βοτάνη, ᾑ καὶ ἀντὶ τοῦ ἐλλυχνίου χρῶνται. ἡ αὐτὴ δὲ καὶ θρυαλλίς. Αἰλιανός· ἐμβαλὼν δὲ εἰς τὴν λίμνην φλώμου φύλλα η κάρυα, ἀπώλεσε τοὺς γυρίνους ὁ τῶν μελισσῶν δεσπότης ῥᾷστα. Φλῶρος, Φλωράτιος καὶ Φλωρέντιοσ. ὀνόματα κύρια. Φλογμός. ἡ φλεγμονὴ παρὰ τῷ Γαληνῷ. φησὶ δὲ καὶ ὁ Ψελλός· φλογμός ἐστιν ἡ φλεγμονὴ, χελύσειν δὲ τὸ δήσειν. phi.1814 (Θηλυκόν.) Φλέβεσ. ἀπὸ τοῦ τὸν χυμωδέστερον χυμὸν περιέχειν, τουτέστι τοῦ αι ματος. φλέβες ου ν παρὰ τὸ δι' αὐτῶν βαίνειν τὸ φλογῶδες. Φλεδονεία. πόλις. φλεδονεία καὶ ἡ φλυαρία, ἀπὸ τοῦ φλεδονεύω. φλεδονεία καὶ φλεδονεύεται ἀπὸ τοῦ φλύω. καὶ φλεδὼν, ἡ φλυαρία, ἀπὸ τοῦ φλέω, ο καὶ φλύω λέγεται. Φλιοῦσ. πόλις. Φλιά. παρὰ τὸ θλίβω, θλίψω, θλιὰ καὶ φλιά. ὡς θηρσὶ, φηρσί. φλιὰ δέ ἐστι τὸ πλάγιον τῆς θύρας. η παραστὰς, ο που τὶς ι σταται καὶ ἐπερείδεται. Φλόγειαι γλῶσσαι. φλόγιον δὲ, πῦρ, ¯ι. Φλυκτίδεσ. τὸ ἀπὸ πυρὸς φύσημα. ὁ καλούμενος α νθραξ. η ἡ ο γκωσις. Φλύκταιναι. φυσαλίδες. η τὰ ἐκ τοῦ ὑετοῦ γενόμενα οἰδήματα. Φλωρεντεία. πόλις. Φλωρεντία δὲ, κύριον, ἰῶτα. Φλεγμονή. ο γκος πυρώδης, συῤῥυέντων ἐπὶ τὸ ἀσθενὲς μέρος τῶν ὑγρῶν καὶ τῇ παρὰ φύσιν θερμασίᾳ φλεγόντων τὸ πεπονθός. (Οὐδέτερον.) Φλαῦρον. κοῦφον, η τὸ μικρὸν κακόν. φαῦλον δὲ, τὸ μέγα κακόν. phi.1815 Φλέγμα. παρὰ τὸ φλέγω, φλέξω, φλέγμα κατὰ ἀντίφρασιν· ψυχρότατον γάρ ἐστι. †τὸ φλέγμα ἀναλογεῖ τῷ υ δατι, ψυχρὸν ο ν καὶ ὑγρόν.† Φλέσιον. τόπος. Φλόγιον πῦρ. τὸ φλέγον. φλόγειον δὲ α ρμα, καὶ φλόγειαι γλῶσσαι, δίφθογγον. Φλέγμα. ἡ πύρωσις. τοῦ Ψελλοῦ· τινὲς δὲ καὶ τὴν πύρωσιν ὀνομάζουσι φλέγμα. Φλᾶν. καταθλάττειν. Φλεβάζοντεσ. βρύοντες. ἀπὸ τοῦ φλέω. η ἀπὸ τῶν φλεβῶν. Φλέγει. καίει καὶ φλέει. Φλεδονῶ. φλυαρῶ. καὶ φλεδονεύεται. Φλοιδούμενοσ. καιόμενος, βρασσόμενος. Φλύειν. καίειν, ἀναζεῖν. ο θεν ἡ ἐκ θερμότητος ἀνάζεσις λέγεται φλυκτὸς, ὡς ἀπὸ τοῦ φλύω. Τὸ Φ μετὰ τοῦ Ν. (᾿Αρσενικόν.) Φνί. κύριον. φνεὶ δὲ, μίμημα φωνῆς, δίφθογγον. Τὸ Φ μετὰ τοῦ Ο. (᾿Αρσενικόν.) Φόβοσ. προσδοκία κακοῦ, η συστολὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δειλίας ἀπροσδοκήτου. φόβος θεῖος ἐστὶ τῆς μελλούσης ἐπὶ phi.1816 πλημμελήμασι τιμωρίας προφυλακτικὴ ἐπὶ παρόντι κακῷ μεταμέλεια. ἰστέον, ο τι διαιρεῖται ὁ φόβος εἰς ε ξ· εἰς ο κνον· εἰς αἰδῶ· εἰς αἰσχύνην· εἰς κατάπληξιν· εἰς ε κπληξιν, καὶ εἰς ἀγωνίαν. ο κνος μὲν ου ν ἐστι φόβος μελλούσης ἐνεργείας· αἰδὼς δὲ φόβος ἐπὶ προσδοκίᾳ ψόγου· κάλλιστον δὲ τοῦτο τὸ πάθος· αἰσχύνη δὲ φόβος ἐπὶ αἰσχρῷ πεπραγμένῳ· οὐδὲ τοῦτο ἀνέλπιστον εἰς σωτηρίαν· κατάπληξις δὲ φόβος ἐξ ἀσυνήθους φαντασίας· ἀγωνία δὲ φόβος διαπτώσεως η γουν ἀποτυχίας· φοβούμενοι γὰρ ἀποτυχεῖν τῆς πράξεως ἀγωνιοῦμεν. Φοῖβοσ. ὁ Ἀπόλλων. η μάντις. η καθαρός. παρὰ τὸ φάος καὶ τὸ βιός· ο ἐστιν ὁ λαμπρὸν τόξον ε χων. η παρὰ τὸ φάος καὶ τὸν βίον. η παρὰ τὸ φοιβάζειν, η γουν μαντεύεσθαι. οἱ δὲ παρὰ τὸ φοίβας, ο σημαίνει τὰς κόμας. καὶ Φοιβήϊος, καὶ Φοιβίδας, καὶ Φοιβιάδης. Φοιδέρατοσ. ἀξίωμα. Φοιβόληπτοσ. ὁ μαινόμενος. Φοινικελίτησ. ὁ ἀπατεών. Φοίνικεσ. πρότερον Φοίνικες ῳ κουν ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, κἀντεῦθεν αὐτοῖς τὸ Φοινίκων ο νομα· φοινικῆ γὰρ τὴν χροιὰν ἀπὸ τῶν παρακειμένων αὐτῇ πετρῶν πορφυρῶν οὐσῶν. διὸ καὶ ἐρυθρὰ λέγεται. ἐντεῦθεν μεταστάντες καὶ Συphi.1817 ρίας τὰ κατὰ θάλασσαν κατασχόντες ὁμοίως ἐκαλοῦντο Φοίνικες, οὐκέτι δὲ ἐπωνύμως. παρὰ γοῦν τὸ φοινικὸν, τὸ ἐρυθρὸν η πυῤῥὸν, γίνεται παρωνύμως Φοίνιξ. Φοινόσ. ἐρυθρός· πυῤῥός· φόνιος. η μέλας. παρὰ τὸ φόνος φονὸς ὀξυτόνως, καὶ πλεονασμῷ τοῦ ι φοινός. Φοιτηταί. μαθηταί. Φολιδωτόσ. λεπιδωτός. φολιδωτὸς χιτών. Φολκόσ. ὁ στραβός. παρὰ τὸ τὰ φάη παρέλκεσθαι. Φοντήϊοσ. κύριον. Φόνοσ. ἀπὸ τῆς φυσήσεως καὶ τοῦ η χου τοῦ γενομένου ἐν τῇ χύσει τοῦ αι ματος. η παρὰ τὸ φένω, τὸ φονεύω. Φοξίδασ. κύριον. Φοξόσ. ὁ ὀξυκέφαλος. η ὁ διεστραμμένος τὰ φάη, η τῷ φάει. η παρὰ τὸ τὰ ἐν τῷ φάει καὶ τῷ πυρὶ ἐστραμμένα ἀγγεῖα ἐν τῷ ὀπτᾶσθαι ει ρηται. ἀπὸ τῶν κεραμεικῶν ἀγγείων τῶν ἐν τῇ καμίνῳ ἀπὸ τοῦ φωτὸς ὠξυμμένων, καθά φησι καὶ Σιμωνίδης· αυ τη δὲ φοξόχειλος Ἀργείη κύλιξ. Φορολόγοσ. ἀπαιτητής. Φόρτοσ. γόμος. phi.1818 Φορμόσ. ὁ καλαθίσκος. η ψίαθος. καὶ φορμίσκος. η φορμίσκος τὸ σχοινίον. οι μαι δὲ, τὸ ἐκ παπύρων λέγουσιν η βρύλλων η φοινίκων. Φόρκυσ. δαίμων θαλάσσιος. παρὰ τὸ φέρεσθαι ὠκέως. ὡς καὶ Νηρέα παρὰ τὸ ῥᾳδίως ῥεῖν. Φοινήεισ. φονευτικός. καὶ φοῖτος, ἡ μανία, καὶ φοιτόληπτος, ὁ μαινόμενος. Φοινικιστήσ. ὁ βαφεύς. Φοῖνιξ. τὸ δένδρον. Φόνον. τὴν μέχρι ἀναιρήσεως κίνησιν λέγει ὁ Ἀπόστολος· μεστοὺς φθόνου, φόνου. (Θηλυκόν.) Φόβη. ἡ θρὶξ τῆς κεφαλῆς. παρὰ τὸ φοβεροὺς ει ναι τοὺς κομῶντας· οἱ γὰρ παλαιοὶ τῶν ἀνθρώπων ου τω φοβερὰν ἐνόμιζον τὴν κόμην, ω στε καὶ φόβην αὐτὴν προσηγόρευσαν. Φοβέστρα. ἡ α θλησις. Φοῖβαι. αἱ καθαραὶ καὶ λαμπραὶ τρίχες. παρὰ τὸ φάος καὶ τὸν φόβον. καὶ φοιβάδες αἱ κόμαι. ε χει τὸ ¯ι· ἀπὸ γὰρ τῆς φοιβαΐδος ἐστί. Φοινίκη. ἡ Συρία ἀπὸ Φοίνικος τινὸς τὸ ο νομα λαβοῦσα. Φοίνισσα. ἡ ἀπὸ Φοινίκης. †Φοιτεία. ἡ μάθησις.† phi.1819 Φοιτία. ἡ πορεία. ἀπὸ τοῦ φοιτῶ, τὸ παραγίνομαι. φυτεία δὲ, ἡ φύτευσις, ψιλὸν καὶ δίφθογγον. Φολίδεσ. αἱ λεπίδες τοῦ ο φεως. παρὰ τὸ λέπω, λεπὶς, ὑπερθέσει πολὶς, καὶ τροπῇ τοῦ ¯π εἰς φ φολίς. καταχρηστικῶς δὲ καὶ τὰ μικρὰ πτερά. Φόναι. φόναι καλοῦνται οἱ τόποι, ε νθα τινὲς ἀναιροῦνται. Φονεία. ἡ φόνευσις. φονῆα δὲ, τὸν φονέα, ¯η. Φορά. κίνησις ἀπὸ τόπου εἰς τόπον. η ἡ ὁρμή. †περιφορὰ δὲ, ἡ ἐν αὐτῷ τόπῳ ὁρμή.† Φορβάδων. νομάδων. Φορβειά. ὁ χαλινός. η καπίστριον. Φορίνη. τὸ ἀνθρώπινον δέρμα. παρὰ Ἀντιφῶντι. Φόρμιγξ. ἡ κιθάρα. παρὰ τὸ προηγεῖσθαι τῆς οι μης, ο ἐστι τῆς ᾠδῆς, φόρμη καὶ φόρμιγξ. Φορτίσ. ἡ φορταγωγὸς ναῦς. καὶ ὁ θεόλογος· πλήρης παιδεύσεως ἡ φορτίς. τοῦτο λέγει· πλήρης τῶν καλῶν ἀγωγίμων ἡ τοῦ ἁγίου Βασιλείου ψυχή. (Οὐδέτερον.) Φοβερά. ο σα ἐφ' ἑτέρων γινόμενα η μέλλοντα ἐλεεινά ἐστι. phi.1820 Φόβητρον. φόβημα. Φοινικοῦν. πυῤῥὸν η μέλαν. Φοινικήϊα γράμματα. ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος τοῦ εὑρόντος αὐτά. Φορητόν. ὑπομονητικόν. φορυτὸς δὲ, τὸ πλῆθος, ψιλόν. Φορεῖον. τὸ †βάσταγμα τὸ† ου τω λεγόμενον. φώριον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ, κλέμμα, μέγα καὶ ¯ι. Φοσσάτον. *ὁ στρατός.* (Ῥῆμα.) Φοιτῶ. ὁρμῶ, παραγίνομαι. ὡς παρὰ τὸ πόρος πορῶ καὶ πορεύομαι παράγωγον, ου τω καὶ παρὰ τὸ ὁδὸς γίνεται ὁδῶ, καὶ τροπῇ τοῦ ¯δ εἰς ¯τ ὀτῶ, καὶ πλεονασμῷ τοῦ ¯φ καὶ ¯ι φοιτῶ. Φοινίξαι. αἱμάξαι. πυρῶσαι. βάψαι. ἀπὸ τοῦ φοίνικος, ο τι πυῤῥός ἐστιν. η ἀπὸ τοῦ φόνου. Φοδέραι. ὀρύξαι. †Φολύνει. πιμπλᾷ.† †Φολύσσω. ἐξαλείφω.† Φονῶντεσ. φοινικῶς πνέοντες η φρονοῦντες. φωνοῦντες δὲ, ἀντὶ τοῦ βοῶντες, μέγα. Φορύνετο. τῷ αι ματι ἐφυρᾶτο, ἐμολύνετο. καὶ φορύνω. phi.1821 Φορμοκοιτεῖν. τὸ ἐπὶ ψιάθου κεῖσθαι. Φόσαι. ὀρύξαι. Φουλκίζω. ....... Φόωντα. ψηλαφῶντα. οἱ δὲ λαμπρύνοντα. Ομηρος· καὶ ἀγκύλα τόξα φόωντα. (Ἐπίῤῥημα.) Φοράδην. φερόμενος· ὁρμητικῶς· η βαστακτικῶς. Τὸ Φ μετὰ τοῦ Ρ. (Ἀρσενικόν.) Φράδμονοσ. τοῦ ἐμπείρου. Φράτοροσ. συγγενοῦς. Φράρησ. κύριον. Φράτορεσ. διδάσκαλοι, πατέρες η συγγενεῖς. phi.1822 κατὰ τὴν Ῥωμαίων διάλεκτον. οι μαι δὲ παρὰ τὸ φατρία, η παρὰ τὸ φράζειν. Φραγμόσ. καὶ ὁ νόμος. τὸν νόμον ἀεὶ ει ωθεν ἡ θεία γραφὴ καλεῖν φραγμόν. ὡς τό· τί διεκόπη διὰ σὲ φραγμός. περὶ τοῦ νέου δὲ λαοῦ τοῦτο φασὶν εἰρῆσθαι· παραγενόμενος γὰρ ου τος τὸν νόμον κατέλυσε. †Φρενόλειπτοσ. ὁ ἀναίσθητος. ὁ δὲ φρόνιμος, ¯η.† Φρεώρυξ καὶ φρεωρύχοσ. ὁ τὰ φρέατα ὀρύσσων. φρεορύκτης δὲ, μικρόν. Φρενήρησ. φρόνιμος. καὶ ὁ παράφρων. Φρενόληπτοσ. ἀναίσθητος. †Φρικαλέων. περιφόβων.† Φριτηγέρνησ. κύριον. Φριμαγμόσ. ὁ χρεμετισμός. Φριξότριχα. τὰς τρίχας ὀρθοῦντα. Φρίξοσ. κύριον. καὶ πόλις. phi.1823 Φρόνιμοσ. φρῶ ἐστι ῥῆμα, ο περ ἀπὸ τοῦ προΐω γέγονε, πρῶ καὶ φρῶ κατὰ συγκοπὴν καὶ τροπήν· ἀφ' ου ο νομα ῥηματικὸν φρὼν, καὶ ἐν συνθέσει σώφρων καὶ ευ φρων· ου παράγωγον φραίνω· ἐξ ου καὶ τὸ φρήν. τοῦ ου ν φρὼν ὀνόματος ἡ γενικὴ φρονὸς, ου παράγωγον φρόνιμος· καὶ ἡ φρόνις παρ' Ομήρῳ· –κατὰ δὲ φρόνιν η γαγε πολλήν. ἐκ τοῦ φρόνησιν κατὰ συγκοπὴν φρόνιν. ὁ δὲ Μιλήσιος Ωρος ἐκ τῆς φρὼν φρονὸς γενικῆς φρόνις, καὶ ἡ αἰτιατικὴ τὴν φρόνιν. Φρουρόσ. ὁ φύλαξ. παρὰ τὸ προορᾷν. Φρονιματίασ. ὁ μωρός. Φρυαγμόσ. ἠχὴ τὶς ἀσημοτάτη, πνεύματι ῥαγδαίῳ συμμιγὴς, διὰ τῆς τῶν ι ππων καὶ ἡμιόνων ῥινὸς ἐκπίπτουσα. δρῶσι δὲ τοῦτο μάλιστα, ο ταν παραιτούμενοι ω σι τὰς τῶν τιθασσευόντων θεραπείας. †Φρυμόσ. τὸ ζῶον.† Φρύνοι. οἱ βάτραχοι. Φράτηρ. παρὰ τὸ φράτωρ, ο σημαίνει τὸν ἀδελφόν. η παρὰ τὸ πατὴρ, πράτηρ καὶ τροπῇ τοῦ ¯π εἰς ¯φ φράτηρ. (Θηλυκόν.) Φράσισ. ἑρμηνεία τὶς τῶν ἀσαφῶν. ο θεν καὶ οἱ Σαδδουκαῖοι ἠρώτων τὸν κύριον φράσαι αὐτοῖς τὴν παραβολὴν ταύτην, η γουν ἑρμηνεῦσαι. ει ρηται δὲ παρὰ τὸ φρῶ, ο περ ἐκ τοῦ προϊῶ. φρῶ ου ν τὸ φράζω, ὡς φοιτῶ φοιτάζω. Φραδμοσύνη. ἡ ἐμπειρία. Φρεατία. ἡ ο ρυξις. Φρενῖτισ. νόσος. phi.1824 Φρήν. φρόνησις. νοῦς. ἀπὸ τοῦ προϊῶ, πρῶ καὶ φρῶ, φρὴν, ἀφ' η ς προΐεται τὰ βουλεύματα. Φρήτρα. φατρία· συγγένεια. φήτρα, καὶ πλεονασμῷ τοῦ ρ φρήτρα. καὶ φρήτρη κατὰ μετατροπήν. Φρίκη. τρόμος. Φρίξ. ἡ ἐξ ἐπιπολῆς κίνησις τοῦ τρόμου. η φρίκα τὴν ἐπιφάνειαν τοῦ υ δατος. φρὶξ γὰρ ἡ εὐθεῖα. ἀπὸ τοῦ φρίξω μέλλοντος, ἀποβολῇ τοῦ ω, φρίξ. ὡς τὸ ἁρπάζω, ἁρπάξω, α ρπαξ. Φρόνησισ. ἀκρίβεια νοός. η δεινότης τῶν συντεινόντων πρὸς σωφρονισμὸν σκοποῦσα. η ἀρετὴ τοῦ δοξαστικοῦ μέρους τῆς ψυχῆς. φρονήσεως μὲν ε ργον τὸ στρατηγεῖν πρὸς τὰς ἀντικειμένας δυνάμεις, καὶ τῶν μὲν ἀρετῶν ὑπερασπίζειν, πρὸς δὲ τὰς κακίας παρατάττεσθαι, τὰ δὲ μέσα πρὸς τοὺς καιροὺς διοικεῖν. φρόνησις δὲ ει ρηται παρὰ τὸ φέρειν ο νησιν. ἰστέον, ο τι τέσσαρες ἀρεταί εἰσιν· φρόνησις, ἀνδρεία, σωφροσύνη καὶ δικαιοσύνη· α ς καὶ μεμαθήκαμεν παρὰ τοῦ δικαίου Γρηγορίου. καὶ φρονήσεως μὲν ε ργον ε λεγεν ει ναι τὸ θεωρεῖν τὰς νοερὰς καὶ ἁγίας δυνάμεις δίχα τῶν λόγων· τούτοις γὰρ ὑπὸ τῆς σοφίας μόνης δηλοῦσθαι παρέδωκεν. ἀνδρείας δὲ, τὸ ἐγκαρτερεῖν τοῖς ἀληθέσι, καὶ πολεμούμενον μὴ ἐμβατεύειν εἰς τὰ μὴ ο ντα. τὸ δὲ παρὰ τοῦ πρώτου γεωργοῦ δέχεσθαι σπέρμα καὶ ἀπωθεῖσθαι τὸν ἐπισπορέα τῆς σωφροσύνης ι διον ἀπεκρίνατο. δικαιοσύνη δὲ, τὸ κατ' ἀξίαν ἑκάστῳ λόγους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποδιδόναι, τὰ μὲν σκοτεινῶς ἀπαγγέλλουσα, τὰ δὲ δι' αἰνιγμάτων σημαίνουσαν, τὰ δὲ καὶ φανεροῦσαν πρὸς ἀσφάλειαν τῶν ἁπλουστέρων. phi.1825 Φρυγανεία. ἡ ξυλεία, καὶ ἡ ξύλευσις. Φρυγία. χώρα. Φρυκτωρία. δᾳδουχία, λαμπαδουχία. ει τουν φυλακὴ νυκτερινὴ, η λαμπάς. (Οὐδέτερον.) Φραγέλιον. σειρὰ ἐκ σχοινίου πεπλεγμένη, η καλεῖται μάστιξ. καὶ Φράγελοι, ε θνος Ἰταλικόν. Φρέαρ. ἀπὸ τοῦ φρῶ, τὸ δὲ ἀπὸ τοῦ προϊῶ καὶ κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ π εἰς φ πρῶ καὶ φρῶ. ο θεν φρέαρ, ὡς σθένω, σθέναρ· πρόεισι γὰρ τὴν τῶν ὑδάτων ῥύμην. καὶ φρείατα, τὰ φρέατα. Φροίμια. τὸ προοίμια. Φρόνημα. βούλημα. θέλημα. φρόνιμα δὲ ἐπὶ πληθυντικοῦ, ι. Φροντιστήριον. μοναστήριον, η διατριβή. μοναστήριον οἱ Ἀττικοὶ σεμνεῖον καλοῦσι. Φροῦδα. ἀφανῆ· α φαντα. ἐκ τοῦ ὁδὸς καὶ τῆς πρὸ προθέσεως, πρόοδος, καὶ κατὰ συναλοιφὴν τῶν δύο οο προῦδος καὶ φροῦδος, ὁ προπορευόμενος καὶ ἀφανὴς, η γουν ὁ μὴ φαινόμενος.

Φρούριον. κάστρον, ὀχύρωμα. οὐκ ἀπὸ τοῦ φρουρός· φρουρεῖον γὰρ η ν διὰ τῆς ει διφθόγγου. Φρύαγμα. κίνημα α τακτον. phi.1826 (Ῥῆμα.) Φράζω. ἐκ τοῦ φρῶ, ο περ ἐκ τοῦ προϊῶ. φρῶ ου ν τὸ φράζω. ὡς φοιτῶ φοιτάζω, καὶ βῶ βάζω, ου τως ου ν καὶ φρῶ φράζω. τῶν γὰρ νοηθέντων ε κδοσιν καὶ δεῖξιν διὰ τοῦ φράζεσθαι ποιούμεθα. Φράζω. τὸ λέγω. καὶ φράσαι τὸ ἑρμηνεῦσαι. καὶ φράσαντος. Φρεναπατᾶ. χλευάζει, διαπαίζει. Φρενιτιᾷ. Φριμάσσω. ἀναπηδῶ. χρεμετίζω. Φριμαγμένοσ. κολοβὸς τοῖς ἱματίοις. Φρίσσω. τὸ φοβοῦμαι. Φρίσσειν. κυρίως τὸ ἐξορθοῦν τὰς τρίχας. οι ον θρίσσειν καὶ φρίσσειν. παρὰ τὸ θρὶξ, τριχός. Φρονεῖν. σημαίνει καὶ τὸ νοεῖν, καὶ τὸ φρόνημα ε χειν. Φρουρεῖ. φυλάσσει. †Φρυγόων. φεύγων.† Φρυκτωρῶ. λάμπω. Φρυάττειν. καταπλήττειν. Φρυασσόμενοι. ἐπαιρόμενοι. ἀπὸ τοῦ φρυάσσω ῥήματος. Φραγγελλωθῇσ. μαστιχθῇς. Φρασάμενοσ. σκεψάμενος. phi.1827 Τὸ Φ μετὰ τοῦ Υ. (Ἀρσενικόν.) Φυλάσιοι. οἱ ἐμφύλιοι. Φυλέτησ. ὁ ὁμογενής. †Φυλεύσ. ἀλώπηξ.† †Φύλιψ. ἡ θρίξ.† Φύξηλισ. ὁ φευγοπόλεμος. Φυτοκόμοσ. γεωργός· κηπωρός. Φυτοσκάφοσ. ὁ τὰ φυτὰ παρασκάπτων. φυτόσκαφος δὲ, ἡ γῆ, ἡ τὰ φυτὰ ἐσκαμμένα ε χουσα. Φυτάλμιος Ζεύσ. φοιτάλμιος δὲ Ποσειδῶν, ὁ ἐν τῇ α λμῃ φοιτῶν, δίφθογγον. Φυλιστιείμ. τόπος. (Θηλυκόν.) Φυγαδέμνιοσ. ἡ παρθένος. ἀπὸ τοῦ φεύγειν τὰ δέμνια, ο ἐστι τὴν κοίτην καὶ τὴν στρωμνήν. Φυζακινή. δειλή. phi.1828 Φύζα. ἡ μετὰ δέους φυγή. ἀπὸ τοῦ φεύγειν. Φυή. ἡ βλάστησις. ἡ αυ ξησις ἡλικίας. παρὰ τὸ φύω. Φύλοπισ. ἡ μάχη. παρὰ τὸ ὁμοῦ τὰ φῦλα ε χειν. οι ον φύλομις τὶς ου σα, τροπῇ τοῦ ¯μ εἰς ¯π. Φύξισ. ἡ φυγή. †Φύσα. ἀλώπηξ.† Φύσκη. τὸ παχὺ ε ντερον. ἡ γαστήρ. ει ρηται δὲ ἀπὸ τοῦ πεφυσῆσθαι πληρουμένου λίπους ἀλφίτων καὶ αι ματος. Φύσῃ. τῇ μητρί. καὶ φύσσῃ, τῇ κενοδοξίᾳ. Φυσίζωοσ. ἡ τὰ πρὸς τὸ ζῆν φέρουσα. παρ῾ Ομήρῳ δὲ διὰ τοῦ ¯ο μικροῦ γράφεται. σημαίνει δὲ καὶ ο νομα τόπου. Φύσισ. φύσις καὶ οὐσία καὶ μορφὴ ὁμοῦ ἡ αὐτή ἐστιν, ὡς ὑπόστασις καὶ πρόσωπον ταυτό ἐστι. καὶ ἡ μὲν οὐσία η τοι φύσις τὸ κοινὸν χαρακτηρίζει, ἡ δὲ ὑπόστασις η τοι τὸ πρόσωπον τὸ ι διον ἑκάστου σημαίνει. ὡς φέρω εἰπεῖν ἐπὶ phi.1829 ἀνθρώπων· Πέτρος καὶ Παῦλος μιᾶς καὶ τῆς αὐτῆς φύσεως, ὑποστάσεων δὲ διαφόρων· καὶ κοινωνοῦσι μὲν ἀλλήλοις κατὰ τὴν φύσιν, διαιροῦνται δὲ κατὰ τὰς ὑποστάσεις η τοι κατὰ τὰ πρόσωπα. ἡ φύσις ἐστὶ τὸ καθολικὸν πρᾶγμα καὶ περιεκτικὸν τῶν κατ' αὐτὴν ὑποστάσεων. η ου τως· ἀληθὴς υ παρξις πραγμάτων, ὡς ει ναι οὐσίαν, φύσιν καὶ μορφὴν ε ν καὶ τὸ αὐτὸ πρᾶγμα. φύσεις δὲ ὁμολόγει ἐπὶ τῆς οἰκονομίας δύο, θεότητα καὶ ἀνθρωπότητα, ὡς ει ναι τὸν αὐτὸν θεὸν τέλειον καὶ α νθρωπον τέλειον. ὡσαύτως καὶ φυσικὰς θελήσεις καὶ ἐνεργείας ἐπὶ Χριστοῦ δύο ὁμολόγει, θεϊκὴν μίαν καὶ ἀνθρωπίνην μίαν. θέλημα δὲ θεϊκὸν, τὸ καθαίρειν τοὺς λεπροὺς, ὡς τό· θέλω καθαρίσθητι. καὶ θέλημα ἀνθρώπινον, τὸ αἰτῆσαι πνεῖν, ο ἐπὶ τοῦ σταυροῦ γέγονεν. ἐνέργεια πάλιν θεϊκὴ, τὸ σωθῆναι πάντας ἀνθρώπους καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ἐνέργεια δὲ ἀνθρωπίνη, τὸ ὁδοιπορῆσαι, τὸ κοπιάσαι καὶ τὰ τοιαῦτα. φύσις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοίνυν κατὰ τὸ φρόνημα τῆς ἐκκλησίας ἀληθὴς πραγμάτων υ παρξις. κατὰ ᾿Αριστοτέλην καὶ τοὺς λοιποὺς Ἑλληνας πολυτρόπως ἡ φύσις ὁρίζεται· ου στινας ο ρους οἱ ἀπὸ Σεβήρου κρατοῦντες, ἀπεπλανήθησαν. Φύσισ ἐστὶ κατὰ τὸν᾿ Απόστολον πᾶν τὸ ἐν ἀληθείᾳ ο ν καὶ οὐκ ἐν φαντασίᾳ λεγόμενον. φύσιν γὰρ λέγει ἡ ἐκκλησία τὴν τῶν ὑπαρχόντων ἀλήθειαν, η γουν τὸ τούτων ἐνούσιον. φύσις δὲ ει ρηται διὰ τὸ πεφυκέναι καὶ ει ναι, ω σπερ καὶ οὐσία, ὡς ου σα ἐν ἀληθείᾳ καὶ γνωριζομένη. φύσις δὲ καὶ οὐσία καὶ γένος καὶ μορφὴ ε ν καὶ τὸ αὐτό ἐστιν ἐν τοῖς ἐκκλησιαστικοῖς δόγμασιν. ω σπερ ὁ α ρτος, τὸ ψωμίον καὶ τὸ βουκίν. διὸ καὶ τὸ ε μφυτον καὶ τὸ ἐνούσιον ταυτό ἐστι. τετραχῶς δὲ ει ρηται ἡ φύσις, ὡς ε φην· οὐσία καὶ φύσις καὶ γένος καὶ μορφή. φύσις ἁπλῆ πολυσήμαντόν ἐστι. δηλοῖ γὰρ καὶ θεὸν καὶ α γγελον καὶ ψυχὴν καὶ νοῦν· ὁμοίως phi.1830 καὶ τὸ α ληπτον. ἀλλὰ καὶ τὸ ληπτὸν, ὁμοίως καὶ κρατητὸν, σημαίνει πολλὰ, πάντα γὰρ τὰ ὁρώμενα. Φύσις θεοῦ α πειρος καὶ ἀόριστοσ. καὶ α πειρος μὲν, καθὸ πέρατι οὐχ ὑπόκειται· ἀόριστος δὲ, ἐπείπερ ὁρογραφίᾳ οὐχ ὑπογράφεται. καὶ τοῦτο ἀποδεικτέον ου τως. πάντα τὰ ὑπὸ χρόνον καὶ ἀρχῇ ὑπόκειται καὶ πέρατι· ἀρξάμενα γὰρ τοῦ ει ναι φθάνουσι καὶ εἰς τὴν τοῦ μὴ ει ναι κατάπαυσιν. ταῦτα δὲ δημιουργήματα ο ντα εἰκότως καὶ περιγράφονται· ο γὰρ τῷ χρόνῳ περινοεῖται, τοῦτο δὴ καὶ πεπόσωται· ποσούμενον δὲ καὶ πεποίωται· ὑπὸ δὲ τὴν ποιότητα γινόμενον καὶ εἰς ο ρον χωρεῖ. ο ρον τὸν ἐπὶ τῶν σωμάτων, λέγω δὴ τῆς περιγραφῆς. καθὼς δηλοῦσι καὶ τὰ ὁροθέσια. ἀλλὰ μὴν καὶ αὐτὰ τὰ ἀσώματα, α γγελοι φημὶ καὶ ψυχαί. καὶ εἰς τόπον διαφεύγουσι καὶ υ λην καὶ παχύτητα σώματος. ἀλλ' ου ν ο μως ὑπὸ περιγραφήν εἰσι καὶ ο ρῳ τινὶ περιέχονται. καὶ ἀρχὴν ου ν ε χουσι τῆς ὑπάρξεως, οὐ χωροῦσι δὲ εἰς τὸ τέλος. Φύσισ καὶ οὐσία καὶ μορφὴ καὶ γένος ε ν κατὰ τοὺς ἁγίους πατέρας καὶ τὸν ἀληθῆ λόγον ταυτόν ἐστιν, ἡ τῶν ο ντων ου σα ποιότης. τάττονται δὲ καὶ κατὰ τοῦ ει δους. Φύσισ ἐστὶν ἡ ἀρχὴ καὶ αἰτία τοῦ κινεῖσθαι καὶ ἠρεμεῖ, ἐν ῳ ὑπάρχει πρώτως κατ' αὐτὸ καὶ μὴ κατὰ συμβεβηκός. Φύσισ ἐστὶν ο νομα δηλωτικὸν τῆς ἁπλῆς τῶν ο ντων κινήσεως. πάντα γὰρ ἐν κινήσει ο ντα ὁρᾶται. φύσις ἡ πρώτη ἑκάστῳ ὑποκειμένη υ λη. Φύσισ ἐστὶν, ἐν ῳ τὸ ει ναι τῆς οὐσίας λαμβάνεται. φύσις λόγου, καὶ φύσις χρόνου, καὶ φύσις ψεύδους κατὰ τὸν μέγαν Βασίλειον. Φύσισ ἐστὶ ἡ μορφὴ καὶ τὸ ει δος κατὰ τὸν θεολόγον Γρηγόριον. Φύσισ θυμοῦ τὸ τοῖς δαίμοσι μάχεσθαι καὶ ὑπὲρ ἡστινοσοῦν ἡδονῆς ἀγωνίζεσθαι. phi.1831 Φύσισ ἐστὶν ἡγεμὼν καὶ αἰτία αὐξητικὴ διὰ τροφῆς, τηρητικὴ τοῦ καθ' ἑαυτὴν συστήματος. Φύσισ ἐστὶν ἡ φύουσα καὶ συνέχουσα ἐν τῷ γενικωτάτῳ τὸ ζῆν. Φύσισ ἐστὶν αὐθυπόστατος υ παρξις ἀνελλιπῶς σώζουσα τὰ οἰκεῖα γνωρίσματα. φύσις ἐστὶν ὁλότης ἀνενδεὴς πάντων τῶν ἐν οι ς πέφυκεν ἐνθεωρεῖσθαι. Φύσισ ἐστὶν ἡ ἀεὶ ὡσαύτως ε χουσα καὶ μὴ ἐξισταμένη τῆς οἰκείας ἀμετρίας, κα ν ἐν ἀτόμοις διακρίνηται. Φύσισ ἐστὶν ἀναλλοίωτος, ἀντεχομένη τῶν οἰκείων ἰδιωμάτων, καὶ οι α τίς ἐστι παραδεικνύουσα. Φύσισ ἐστὶ κατὰ τοὺς ε ξω φιλοσόφους δύναμίς τις θεία ἐνδεδυκυῖα τῇ υ λῃ, ἀρχὴ ἠρεμίας καὶ κινήσεως. ἡ γὰρ ἀληθῶς φύσις τοῦτό ἐστι. Φύσιν πολλάκις καλοῦμεν τὸ τοιῶσδε πεφυκέναι, καὶ οὐκ αὐτὴν πάντως τὴν οὐσίαν. φύσιν δὲ πάλιν ὡς τὰ πολλὰ τὴν οὐσίαν καλεῖν σύνηθες, καὶ μάλιστα τοῖς ἡμετέροις διδασκάλοις. φέρεραι δὲ πολλάκις τὸ τῆς φύσεως ο νομα καὶ κατὰ ἀνυπάρκτων. ταῦτα φύσεις ε χοντα οὐσίαι εἰσί. Φύσιν καλοῦσιν αὐτὴν τὴν ἁπλῶς τῶν ο ντων κίνησιν. αυ τη δὲ πεντάτροπος· η γὰρ νοερὰ τυγχάνει, η λογικὴ, η αἰσθητικὴ, η φυτικὴ, η α ψυχος. καὶ νοερὰ μὲν, ὡς ἐπὶ τῶν ἀγγέλων, ἐξ αὐτῶν τῶν νοημάτων ἀλλήλοις συγγινομένων. phi.1832 λογικὴ δὲ ἐπὶ τῶν ἀνθρώπων, δι' ὀνομάτων καὶ ῥημάτων τὰ ἀφανῆ τῆς ψυχῆς κινήματα. Φύσει. ἀντὶ τοῦ ἀληθῶς καὶ γνησίως. ὁ᾿ Απόστολος· τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί. †Φυταή. γένεσις.† Φυταλιῆσ. ἀμπελοφύτου γῆς. παρὰ τὸ φυτεύειν. Φύτλη. ἡ συγγένεια. *οὐσία.* Φυσιώσεισ. ὀφρυώσεις. ὠφρυῶντο γὰρ κατὰ Παύλου τιμῶντες τοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ψευδαποστόλους οἱ Κορίνθιοι. (Οὐδέτερον.) Φύγελλα. τόπος. Φύκοσ. τὸ φυκάριον, καὶ τὸ χορτῶδες τῆς θαλάσσης. καὶ φύκια, τὰ βρύα, η θαλάσσης ζῶα. η ὁ ἀφρός. παρὰ τὸ φύω. Φυλακεῖον. τὰ δὲ σύνθετα διὰ τοῦ ι, οι ον ὀπωροφυλάκιον, πλὴν τοῦ σιτοφυλακεῖον. Φῦλα. τὰ ε θνη· τὰ γένη. ἡ ἐκ πολλῶν α θροισις. ἀπὸ μεταφορᾶς τῶν φύλλων. †Φυλλεῖον. τῶν λαχάνων τὸ ε ωλον καὶ φαῦλον.† Φῦμα. ἡ βλάστησις. Φυσικόν. τὸ ἐν τῇ φύσει κείμενον. η τὸ κατὰ κοινὴν καὶ καθολικὴν συνήθειαν λεγόμενον. η τὸ ἀψευδῶς γνωριζόμενον. Φύστα. τὰ ἀναπεφυρμένα μέλιτι α λφιτα. Φυτάλμια. τὰ βάντα. Φύτειον. τόπος. phi.1833 Φυτωρεῖον. ὁ κῆπος, η φυτουργεῖον. †Φυλιστιείμ. τόπος.† Φύστα καὶ φύστη ἐπὶ θηλυκοῦ. ἡ ὑδατώδης μάζα. καὶ ὁ Ψελλός· φύστη ει δος πέφυκε μάζης ὑδατουμένης. Φύλλον. παρὰ τὸ φύω. (Ῥῆμα.) Φῦ. ἀντὶ τοῦ προσεπέλασε τῇ χειρὶ καὶ προσήγγισεν. ἀπὸ τοῦ φύω, φῦ. Φύει. βλαστάνει. Φυῆναι. γεννηθῆναι. Φυλοκρινῶ. φυλὰς καὶ γενεὰς διαχωρίζω. Φύρει. μιγνύει. Φυσιολογεῖ. φύσεως λόγους ἐξαγγέλλει. Φυσιοῦται. ἐπαίρεται. Φυσόμενον. τὸ μέλλον φῦναι. φυσώμενον δὲ, τὸ ἐπαιρόμενον, μέγα. Φύσασ. γεννήσας. Φυταλίζει. πλησιάζει. Φυτεύει. κηπεύει. Φυτεύω. παρὰ τὸ φύω. η τὸ φυτὸν, φυτεύω. τὸ δὲ φυτὸν παρὰ τὸ φύω. phi.1834 Φυλάσσου. ἀντὶ τοῦ παραιτοῦ. ο ν καὶ σὺ φυλάσσου, λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις. (Ἐπίῤῥημα.) Φύρδην. συγκεχυμένως. ἀναμίξ. Τὸ Φ μετὰ τοῦ Ω. (Ἀρσενικόν.) Φωλεόσ. ὁ σκοτεινὸς τόπος. παρὰ τὸ ἀπολωλέναι τὸ φῶς ἐκεῖσε. φωλεὸς καὶ τὸ παιδευτήριον, ω ς φασιν οἱ Ιωνες. ο θεν καὶ ἀποφώλιοι, οἱ ἀπαίδευτοι καὶ οἱ ξένοι. †Φῶνοσ. ὁ μεγαλόφωνος.† Φώρ. ὁ κλέπτης. καὶ κλίνεται φωρός. παρὰ τὸ φὲρ καὶ φὼρ μεταθέσει τοῦ ¯ε εἰς ¯ω. ὁ τὰ ἀλλότρια φέρων. Φώριοι. οἱ ε λεγχοι. Φωριαμόσ. τὸ κιβώτιον. παρὰ τὸ φάρη. ἡ τῶν φαρῶν δεκτική. ὁ δὲ Ἡρωδιανὸς παρὰ τοὺς φῶρας· ἐπειδὴ πρὸς φυλακὴν τούτων παρεσκεύασται. φαραμὸς καὶ τροπῇ τοῦ ¯α εἰς ¯ω φωραμὸς, ὡς θάκος θῶκος καὶ κράζω κρώζω, καὶ πλεονασμῷ τοῦ ι φωριαμός. phi.1835 Φώσ. ὁ ἀνήρ· ὁ α νθρωπος, ὁ μόνος τὰ τῆς διανοίας φωτίζων τῷ λόγῳ. η παρὰ τῷ φῶ, τὸ λέγω. λογικὸν γὰρ ζῶον ὁ α νθρωπος. καὶ κλίνεται φὼς φωτός. Φώσσων, φώσσωνοσ. τοῦ ἀρμένου. καὶ φωσσώνιον, τὸ α ρμενον. η λινοῦν τὶ σινδόνιον. η τὸ πεφυσημένον ἱστίον τῆς νηός. φώσσωνας ὀργυιωμένους. Φωκυλίδησ. κύριον. Φωστήρ. ὁ η λιος. τῇ τετάρτῃ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν φωστῆρα τὸν μέγαν, η τοι τὸν η λιον, εἰς ἀρχὴν καὶ ἐξουσίαν τῆς ἡμέρας· δι' αὐτοῦ γὰρ ἡ ἡμέρα συνίσταται. ἡμέρα γάρ ἐστιν ἐν τῷ τὸν η λιον ὑπὲρ γῆν ει ναι· καὶ διάστημα ἡμέρας ἐστὶν ὁ ἀπὸ ἀνατολῆς μέχρι δύσεως ὑπὲρ γῆν τοῦ ἡλίου δρόμος. καὶ τὸν φωστῆρα τὸν ἐλάσσω ἡ γραφὴ λέγει τὴν σελήνην καὶ τοὺς ἀστέρας, οι τινες εἰς ἀρχὰς καὶ ἐξουσίας τῆς νυκτὸς ἐτάχθησαν τοῦ φωτίζειν αὐτήν· νὺξ δέ ἐστιν ἐν τῷ τὸν η λιον ὑπὸ γῆν ει ναι. διάστημα δὲ νυκτὸς ὁ ἀπὸ δύσεως μέχρι ἀνατολῆς ὑπὸ γῆν τοῦ ἡλίου δρόμος. εἰσὶ δὲ καὶ ἐν ἡμέρᾳ ἀστέρες ἐν τῷ οὐρανῷ ὑπὲρ γῆν· ἀλλ' ὁ η λιος τούτους α μα καὶ τὴν σελήνην τῇ σφοδροτέρᾳ αι γλῃ ἀποκρύπτων, οὐκ ἐᾷ φαίνεσθαι. τοῖς φωστῆρσι τούτοις τὸ πρωτόκτιστον φῶς ὁ δημιουργὸς ἐναπέθετο, οὐχ ὡς ἀπορῶν α λλου φωτὸς, ἀλλ' ι να μὴ ἀργὸν ἐκεῖνο μείνῃ τὸ φῶς· φωστὴρ γάρ ἐστιν οὐκ αὐτὸ τὸ φῶς, ἀλλὰ φωτὸς δοχεῖον. ἐκ τούτων τῶν φωστήρων ἑπτὰ πλανήτας φασὶν ἐναντίαν τοῦ οὐρανοῦ κινεῖσθαι αὐτοὺς κίνησιν. τὸν μὲν γὰρ οὐρανόν φασιν ἐξ ἀνατολῶν ἐπὶ δυσμὰς κινεῖσθαι, τοὺς δὲ πλανήτας ἐκ δυσμῶν ἐπὶ ἀνατολάς. συμπεριphi.1836 φέρειν δὲ τὸν οὐρανὸν τῇ ἑαυτοῦ κινήσει ὡς ὀξυτέρᾳ τοὺς ἑπτὰ πλανήτας, ω ν τὰ ὀνόματα ταῦτα· Ζεύς· Αρης· Ηλιος·Ἑρμῆς· Σελήνη·Ἀφροδίτη καὶ ὁ Κρόνος. ει ναι δὲ καθ' ἑκάστην ζώνην τοῦ οὐρανοῦ ε να τῶν ἑπτὰ πλανήτων. τρέχουσι δὲ δρόμον α ληκτον, ο ν ὁ δημιουργήσας ε ταξεν αὐτοῖς· καὶ ἐθεμελίωσεν αὐτὰ, ω ς φησιν ὁ Δαβίδ· σελήνην καὶ ἀστέρας, α σὺ ἐθεμελίωσας. ἐν γὰρ τῷ εἰπεῖν ἐθεμελίωσας ἐδήλωσε τὸ πάγιον καὶ ἀμετάβλητον τοῦ εἱρμοῦ καὶ τῆς τάξεως τῆς ὑπὸ θεοῦ δοθείσης αὐτοῖς. ε ταξε δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοὺς εἰς ἡμέρας καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτούς· καὶ γὰρ διὰ μὲν τοῦ ἡλίου αἱ τέσσαρες τροπαὶ συνίστανται. Φώταυγοσ. *ὁ η λιος. σημαίνει καὶ ἀπαύγασμα τοῦ φωτὸς ει ναι τὸν Χριστὸν τοῦ πατρός.* (Θηλυκόν.) Φῷδεσ. ε χει τὸ ι προσγεγραμμένον. καὶ τῆς φῳδὸς ὀξυτόνως, ὡς δᾳδός. ει ρηται παρὰ τὸ φῶς, ο περ ταυτόν ἐστι τῷ πυρί. καὶ σημαίνει τὰ ἐν τοῖς σκεύεσι γινόμενα ἐκκαύματα ἀπὸ τοῦ πυρός. ε χει δὲ τὸ ι. ευ ρηται δὲ κατὰ διάστασιν φωΐδες. δισύλλαβον δὲ λέγει Γεώργιος ὁ Χοιροβοσκός. καἲ Αριστοφάνης ἐν Πλούτῳ· –πλὴν φῴδων ἐκ βαλανείου. η φῷδες αἱ τοῦ πυρὸς θάλψεις. καὶ φῶδον, τὸ καῦμα. Φώκεα. πόλις. καὶ Φώκεια. Φώκη. ει δος ἰχθύος. Φωλάσ. ει δος νόσου. καὶ φωλεία, τὸ τῆς α ρκτου πάθος. Φωνή. ἡ λαλιά. παρὰ τὸ φῶ καὶ τὸ νοῦς. ἡ τὰ ἐν τῷ νῷ φωτίζουσα. Φωταυγία. ..... phi.1837 Φωψίσ. πόλις. Φωνή. οὐ πᾶς λόγος, ἀλλὰ πᾶν ο ψόφον δι' ἀκοῆς ἐμποιεῖ. Φωΐδεσ. τὰ φλογίσματα. τοῦ Ψελλοῦ· φωΐδας τὰ φλογίσματα· καταφορὰν δὲ κῶμα. (Οὐδέτερον.) Φώριον. τὸ κλέμμα. Φῶσ. τὸ λάμπον. η τοι παρουσία πυρώδης ἐν τῷ διαφανεῖ. η χρῶμα τοῦ διαφανοῦς κατὰ συμβεβηκός. κατὰ συμβεβηκὸς δὲ ει πεν, ο τι μὴ παθητικῶς ἀναδέχεται τὸ διαφανὲς τὴν πρὸς αὐτὸν ποιὰν τοῦ φωτίζειν πεφυκότος ἐστὶν, ὡς ποτὲ μὲν πεφωτίσθαι, ποτὲ δὲ ου . διὸ οὐκ οἰκεῖον αὐτὸ χρῶμα, ἀλλὰ κατὰ σχέσιν, τὸ φῶς, ω σπερ τῶν α λλων κεχρωσμένων. ἐν ἐκείνοις γὰρ μένει τὸ χρῶμα ὡς οἰκεῖον ο ν. ἐπὶ δὲ τοῦ φωτὸς οὐχ ου τως. καὶ α λλως· ἐντελέχεια τοῦ διαφανοῦς ῃ διαφανές. *ει ρηται δὲ φῶς παρὰ τὸ φῶ, τὸ λάμπω. ἐξ ου γίνεται φάος, καθ' ὑπερβιβασμὸν τοῦ ¯ο φόας, καὶ συναιρέσει φῶς, ω σπερ κρείττοα κρείττω. φῶς καὶ ἡ γνῶσις τῆς δικαιοσύνης.* phi.1838 Φωτίγγιον. ο ρνεον. Φῶσ. παρὰ τὸ φῶ, τὸ φαίνω, φάος, καὶ κράσει τοῦ ¯α¯ο εἰς ¯ω μέγα φῶς. (ʽΡῆμα.) Φῶ. τὸ λέγω. καὶ τὸ λάμπω. Φωγύνω. τὸ φρύγω. Φῴζω. τὸ καίω, σὺν τῷ ¯ι. Στράττις· ἀλλ' εἰ μέλλεις ἀνδρείως φῴζειν. Φωλεύειν. τὸ ἐν τοῖς παιδευτηρίοις διατρίβειν. φωλεοὶ γὰρ τὰ παιδευτήρια. Φωνεῖν. βοᾷν. φονᾷν δὲ, τὸ φονικῶς πνέειν, μικρόν. Φωρῶ. τὸ ὑπονοῶ. Φωραθῶσιν. ἐλεγχθῶσιν. καὶ φωραθεὶς ἀντὶ τοῦ ἐλεγχθεὶς η εὑρεθείς. ἀπὸ τῆς φὼρ εὐθείας, ο σημαίνει τὸν κλέπτην. ο θεν καὶ φωρᾷν, τὸ ἐρευνᾷν καὶ ἐκζητεῖν, καὶ φωράσας ἀντὶ τοῦ διερευνήσας. Φωτίσαντοσ. φανερώσαντος. ὁ᾿Απόστολος· φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου. chi.1839 Χ. Τὸ Χ μετὰ τοῦ Α. (᾿Αρσενικόν.) Χαλκόσ. κατὰ προσθήκην τοῦ χ, δωρικῶς, ἀλκὸς καὶ χαλκός· ἐπεὶ πρὸς ἀλκὴν ευ θετός ἐστιν. η παρὰ τὸ ε χειν ἀλκήν. Χαλίφρων. ἀνόητος. μωρός. παρὰ τὸ χαλᾷν τὴν φρένα. κυρίως δὲ ὁ ἐν μέθῃ εὐφραίνων. χάλις γὰρ ὁ α κρατος οι νος, παρὰ τὸ χαλᾷν καὶ ἀνιέναι ἀραρυίας τὰς φρένας. Χαλινόσ. παρὰ τὸ χαίνειν, ο τι δι' αὐτοῦ χαίνειν γίνεται. η παρὰ τὸ ι ς, ἰνὸς, καὶ τὸ χαλῶ γίνεται χαλινός. Χαλκώδοντοσ. Χαλκηδόνιοσ. τοπικόν. Χαιρέασ. ποταμός. Χαῖρισ. κύριον. Χαιρωνεύσ. ὁ ἀπὸ Χαιρωνείας πόλεως. Χαμαίζηλοι. ταπεινοί. chi.1840 Χαμέρ. ο νομα κύριον. καὶ Χαμὼς, ει δωλον, βδέλυγμα. Χαναναῖοι. οἱ μὴ ε τοιμοι διὰ τὴν ἀπείθειαν πρὸς ταπείνωσιν ἑρμηνευόμενοι. Χάονεσ. ἐθνικόν. καὶ χάονας, α ρτους κριθίνους. Χαροπόσ. εὐόφθαλμος, περιχαρής. Χαρακηνόσ. τοπικόν. Χαμερπήσ. ταπεινός. μικρόφρων. τοῦ Θεολόγου· μηδὲ ἀλογίστως μηδὲ χαμερπῶς. Χάρησ. κύριον. καὶ κλίνεται Χάρητος. Χαραδριόσ. ο ρνις. παρὰ τὸ τὰς χαράδρας δεδιέναι. η τὸ ἐναντίον παρὰ τὸ ἐν αὐταῖς ἐνοικεῖν. ἐξ ου καὶ τὸ ο νομα κέκτηται. Χάρακα. περίφραγμα τειχομαχίας, ἑλεπόλεις. καὶ χάραξ τὰ σιδήρια τὰ τεμνόμενα καὶ χαρασσόμενα, ο θεν καὶ χάρακας καλοῦμεν τοὺς ὀξυνομένους καλάμους η τὰ ξύλα. διαφέρει δὲ ὁ χάραξ καὶ ἡ χάραξ. τὸ μὲν γὰρ ἀρσενικὸν chi.1841 δηλοῖ τὸ στρατόπεδον, η τείχισμά τι καὶ περίφραγμα. ὡς Δημοσθένης καὶ Μένανδρος· πολλοὶ γὰρ ἐκλελοιπότες τὸν χάρακα τὰς κώμας ἐπόρθουν–. θηλυκὸν δὲ τὸ τῆς ἀμπέλου. οι ον. ἐξηπάτησεν ἡ χάραξ τὴν α μπελον. Χαρίεισ. τὰ εἰς ¯ε¯ι¯ς ὀνόματα διὰ τοῦ ¯ε¯ν¯τ¯ο¯ς κλινόμενα οὐ θέλουσι τῷ ¯ι παραλήγειν, ἀλλ' η τῷ ¯η, ὡς ἐπὶ τοῦ τιμήεις, η τῷ ¯ο, ὡς ἐπὶ τοῦ ἀνεμόεις, η



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

